
600086254V





THEODORI ANTIOCHENI,

MOPSUESTIAE EPISCOPI

QUAE SUPERSUNT OMNIA



EDIDIT

AUGUST. FRIDER. VICTOR A WEGNERN,

S. S. THEOLOGIAE LICENTIATUS, PHILOSOPHIAE DOCTOR, SOCIETATIS TEUTONICAE REGIMONTANAE ATQUE LIPSIENSIS SOCIETATIS HISTORICO-THEOLOGICAE SODALIS, APUD SCHAKENSES PROPE REGIMONTUM BORUSSORUM DIACONUS.

VOLUMEN PRIMUM,

THEODORI COMMENTARIUM IN PROPHETAS DUODECIM MINORES AD EXEMPLAR CODICIS VINDOBONENSIS, NUNC PRIMUM EDITUM CONTINENS.

BEROLINI.

IMPENSIS FERDINANDI DUEMMLERI.

MDCCCXXXIV.

VIRIS

ILLUSTRISSIMIS, SUMME REVERENDIS

AUGUSTO NEANDRO,

THEOL. DOCT. ET PROF. P. O. IN ACAD. BEROLINENSI, POT. BORUSSIAE REGI A CONSIL. ECCLES., AQUILAE RUBR. ORD. EQUITI

ET

JOH. CAROL. LUDOV. GIESELERO

PHILOS. ET THEOL. DOCT. HUJUSQUE PROF. P. O. IN ACADEMIA GOETTINGENSI

PRAECEPTORIBUS, FAUTORIBUS,

AMICIS

EDITOR.

Etiam si nulla alia de causa, quam ut hunc librum statim ab initio apud viros, theologicarum rerum peritos, certe aliquatenus commendarem eum Vobis voverem, benigne Vos ac benevole nominis Vestri honorem ei commodaturos fore, non dubito. At hoc honore insigni etiam majus aliquid cupio. Quod enim diu in votis erat, ut reverentiae, amoris et erga Vos gratiarum, quae pectus mihi movent, etiam publice exhiberem testimonium, id quod tandem mihi obtigerit, summopere gaudeo. Grata enim semper

et prae caeteris jucunda illius biennii mihi erit memoria, quo non solum audiendis scholis Tuis, Illustrissime NEANDER, in christianarum rerum historiam penitius et fructuosius pervestigandam cognoscendamque adducebar, sed etiam in familiam Tuam admissus, atque consuetudine Tecum conjunctus egregia quaeque in animo Tuo pio conspicua admirari, et majore in dies caritate Te amplecti ediscebam. Tu vero, Reverendissime GIESELERE, adolescentem primo conamine ante hos septem, et quod ex-

cedit, annos ad scriptorum numerum timide accedentem, Tibique ignotum, adeo benigne et indulgenter in civitatem litterariam induxisti, et postea tanta me Bonnae excepisti comitate atque officiosa benevolentia, ut totum tibi devinctum me esse, libentissime semper professurus sim. Itaque nonnisi animo meo ut sufficiam, tanquam mei in Vos studii testem Vobis, Viri Clarissimi, hanc Theodori offero editionem; quam ut eadem, atque olim me ipsum, accipiatis benignitate et indulgentia, nec unquam amicam mei recordatio-

nem dedignari velitis, omnibus precibus a Vobis expeto. Valete.

Scribebam Schakae prope
Regimontum Borussorum,
die domin. Reminiscere
1834.

Augustus a Wegnern.

PROLEGOMENA.

1. Quicunque ad interpretationis librorum sacrorum et dogmatum christianorum historiam penitius pervestigandam in arctiorem cum priscis illis viris, qui et verbo et rebus gestis ecclesiae summo suo fini propius admovendae consuluerint, se dederit consuetudinem, is, inter eos, qui caeteros omnes ingenii efficaciaeque suae vi antecellant, cum Origene et Augustino THEODORUM Antiochenum, Mopsuestiae episcopum, numerandum esse, absque haesitatione largietur, si, hunc virum non solum admirabili eruditione et sagacitate haud minus quam constantia hermeneuticen, eo usque per devia ac tenebras vagatam, ad firmas justasque regulas, quibus omnem semper inniti oportebit sanam S. Scripturae interpretationem, revocasse, easque in operibus suis exegeticis secutum esse; sed etiam in excutienda doctrina christiana aevo non tantum ei, quo vivebat sed sequentibus etiam saeculis eo, quod, liberatiori sobrioque sensu ductus, res divinas claris et dilucidis notionibus circumscriptas mentis humanae captui, quantum id in rebus *divinis* fieri poterat, adaptare studeret, praefulsisse, probe consideraverit. Jure igitur THEODORUM, ut scholae, quae saec. quarto et quinto Antiochiae floruit, quasi personam agit ejusque indolem et naturam optime demonstrat, ita etiam recentioris theologiae, quae, his nostris diebus ex-

coli coepta, tantum abest, ut, quod veteratae theologiae erat studium, christianam doctrinam ejusque fontem vel omnibus, quaecunque singularem ejus efficiunt vim ac vigorem, exoneret vel suis additamentis et minutiis impleat, ut, quae libri sacri christiani tradant, probe ex iis cognoscere, horumque internam veritatem et cum piis animi humani sensibus necessitudinem perspicere ac demonstrare omnibus viribus, nec prospero eventu destituta, nitatur, indolem ac naturam jam quasi praefigurasse, haud inepte dixeris.

2. Operae igitur pretium fore, censebam, si, quidquid de hujus viri scriptis nobis conservatum est, colligendo et in unum corpus redigendo, ita ingenii ipsius monumentum statuerem, quod, qualis quantusque ille fuerit, optime ostendere posset. Quem in finem, quum ante hos quatuor, et quod excedit, annos Vindobonam adeundi, ibique per aliquod tempus commorandi paterna munificentia facultatem mihi parasset, THEODORI in duodecim prophetas minores commentarium, inter codices bibliothecae Caesareae asservatum, liberali et benigna Viri Summe Reverendi, COPITARIS, bibliothecae Caesareae Praefecti, favore ac comitate, quam summis laudibus ac gratiis etiam publice profiteri ac celebrare pectus exigit, adjutus describebam, ut eum, qui solus ex omnibus Theodori libris integer temporum injurias effugit, cujusque fragmenta quaedam ab *Angelo Majo* bibliothecae Vaticanae praefecto jam anno 1825 edita erant, quin hucusque continuata sint [1]), primum in *priori hoc* editionis meae *volumine* virorum eruditorum communi usui traderem. Quod quominus jam prius factum sit, varii vitae meae casus prohibuerunt, inprimis vero praesens ejus ratio, ut quae studiis laete et prospere tractandis et per se parum faveat, et scribentem a prelo typographico mirum quantum remotum tenuerit. *Alterum* vero hujus editionis *volumen*, quod, ubi Deus vires et otium largitur, post haud lon-

[1]) In Scriptorum veterum nova collectione e Vaticanis codicibus edita ad Leonem XII., Pontificem Maximum. Vol. I. Romae 1825. Ubi in secunda parte, pag. 41 — 104. Theodori in Jonam, Nahumum et Abdiam commentarii integri, commentariorum vero in Amosum, Haggaeum, Zachariam et Hoseam praefationes tantum atque initia leguntur.

gum tempus prius excepturum est, quae passim occurrunt et a me impetrari poterunt, THEODORI nostri fragmenta cum hermeneutica et exegetica tum dogmatica collecta et in commodum ordinem disposita, una cum insignis illius viri, qui Theodorum institutione sua imbuit, DIODORI, Tarsensis episcopi, fragmentis, continebit, addito rerum, inprimis vero verborum et locutionum accurato indice, et praemissa de utriusque viri historia, libris et theologia dissertatione, nisi forte tunc SIEFFERTUS, amicus carissimus, doctissimus, libro suo de Theodoro edendo, operam nostram, certe quoad hunc, superfluam reddiderit. Caetera igitur omnia, quae editores libris suis praefari solent, posterioris voluminis commodiori loco reservantes, hic ea tantum, quae ad Theodori in duodecim prophetas commentarium pertinent, pertractabimus [1]).

3. Quod enim attinet ad *codices*, qui hoc Theodori opus exhibent, a FABRICIO [2]) quinque, ab ANGELO MAJO [3]) autem octo recensentur. Et primum quidem locum obtinet *Codex Vaticanus* is, qui teste Majo fuit olim cujusdam dignitate protoasecretis, deinde vero Johannis, cardinalis Florentini, Salviati; postea autem Florentia Romam in *Columnensium bibliothecam* transiit, unde postremo, Majo jam Vaticanae bibliothecae praefecto, ad ejus codices accessit. Est autem hic codex membraneus, pervetustus, saeculi circiter undecimi; cujus scripturae tenue specimen a Majo in tabula primo Collectionis suae novae volumini praefixa exhibitum, minusculis litteris adpositisque accentibus scriptum eum esse, ostendit. Exstat porro etiam *alter codex Vaticanus*, illo priore multo inferior, chartaceus et recens scriptus, et insuper commentario ad Zachariam carens qui, quum vetustioris illius lectio-

[1]) Non possumus, quin hoc loco viros eruditos omnes quicunque favorem suum huic nostro operi suscepto non denegandum censeant, obnixe atque omnibus precibus rogemus, ut, si quis eorum Theodorianorum librorum fragmenta qualiacunque, hucusque aut inedita aut difficilia inventu sibi paraverit, vel invenerit, is haec nobiscum benigne communicare velit, aut certe, ubi aditus pateat etsi nondum inventus, eum indicare.

[2]) Biblioth. Graec. Vol. IX. p. 162. ed. *Harl.* Vol. X. p. 358.

[3]) Coll. nov. I Proleg. p. XXII. XXIII.

nem presse sequatur, a Majo ex eodem exscriptus esse omni jure dicitur. Commentarium in duodecimum prophetam autem omisit librarius, aut omittere jussus erat, quoniam in hoc haud pauca occurrunt, quae orthodoxiae propugnatoribus summae offensioni esse debebant, et temporum decursu haeretici nomen et damnationem Theodoro nostro parabant. Namque si, Veteris Testamenti scriptores Spiritum Sanctum nescivisse, i. e. ejus θεότητα nondum cognovisse, eumque tanquam singularem personam a Deo patre Deoque filio diversam exsistere, nondum docuisse, pro certo et aliter censentes miratus immo castigans contendit Theodorus, quomodo id non summopere displicere oportebat orthodoxis, eorumque stomachos movere?[1]) Quam ob causam etiam in vetustiori codice Vaticano iisque, qui ex hoc fluxere, illis locis non tam adnotationes vel scholia, quam indignabundae contumeliae, quae auctoris impiam temeritatem castigent, a lectore quodam Graeco vel scriptore codicis in margine adscriptae sunt[2]). Utroque hoc codice Ang. Majus in edendis Commentariorum fragmentis usus est, ita tamen, ut, quod nemo sane improbabit, priorem potissimum in constituendo textu secutus sit. Posterioris etiam FRANCISCUS TURRIANUS, Jesuita, tanquam a se lecti (in notis ad Constitut. apostol. II, 20) mentionem injicit. — Tertius codex is est, cujus jam SIEFFERTUS fragmenta nonnulla a Majo nondum promulgata cum viris eruditis communicavit;[3]) et quem haec nostra editio lectoribus proponit, *Vindobonensis*, inter theologicos bibliothecae Caesareae codices sub numero 55 asservatus, et a DANIELE DE NESSEL[4]) his verbis descriptus:

[1]) Cf. Comment. ad Zachar. I, 8—11. p. 537. sqq.

[2]) Quin etiam Majum ipsum ejusmodi haeresias in lucem proferre ipsique sanctissimo papae vovere non ausum fuisse, suspicari liceat, quum commentarium ad Zachariam usque ad ea tantum verba publici juris fecerit, quibus Theodorus interpretes, prophetam cap. I. v. 8 sqq. θεὸν λόγον significare, statuentes perstringere incipit.

[3]) Vide Ejus d. dissertat. Theodorus Mopsuestenus veteris testamenti sobrie interpretandi vindex. Regimonti 1827. p. 39. 45. 59. 61—72.

[4]) Catalogus, sive recensus specialis omnium Codicum manuscriptorum Graecorum bibliothecae Vindobonensis. Vindob. 1690. p. 135. — In LAMBECII codicum Vindobonensium catalogo s. commentario (quem quod

„Quinquagesimus quintus codex manuscriptus theologicus Graecus est chartaceus, mediocriter antiquus, in folio, constatque foliis ducentis viginti tribus et ad Joh. Sambucum, ut ipse solita propriae manus inscriptióne testatur, olim pertinuit. Continetur eo Theodori Antiocheni Mopsuestiae in Cilicia episcopi expositio in duodecim prophetas minoris, cujus titulus est et principium: *Θεοδώρου Ἀντιοχέως ἑρμηνεία εἰς τοὺς προφήτας. Ἑρμηνεία Ὡσηὲ προφήτου. Εἰς ἔλεγχον τῶν ἀβασανίστως ἐπιβάλλειν* etc.“ Neque tamen cum Nesselio *mediocriter antiquum* hunc codicem nominaverim, sed potius, *mediocriter recentem;* quum ejus aetatem saeculum decimum sextum, vel ad summum inventae artis typographicae tempora haud excedere, vix dubitandum sit: codices saltem saeculi decimi quarti et quinti, quorum haud paucos videndi occasio nobis data erat, iidemque chartacei, multo majoris antiquitatis speciem exhibuerunt. Recte autem, quod Majus de altero codice Theodori commentarios saepe dictos continente suo jure judicat, etiam de hoc statuere posse nobis videmur, nempe eum „nonnisi apographum vetustioris codicis Columnensi-Vaticani esse, quandoquidem tria illa scholia, quibus in Zachariae prophetae margine theologus quidam Graecus Theodori nostri sententias haereticas castigat, eadem scholia etiam in margine Columnensis codicis exstent et ad litteram cum illis congruant.“ Quam sententiam causis haud contemnendis fulcimus his. Codex enim Vindobonensis a Nesselio et Lambecio descriptus nobisque lectus, cum Vaticano illo vetustiore, quatenus hunc ex fragmentis a Majo editis cognoscere licet, adeo conspirat, ut nullas fere proprias, aut certe perpaucas easque levis momenti, lectiones varias exhibeat, quas nonnisi ex scriptionis vel auditionis errore natas esse,[1]) vel typographi negligentia in Maji editionem irrepsisse,[2]) facile

assequi et ipse evolvere nequiverim, summopere doleo) Tom. IV: p. 160. (ed. *Kollar*. p. 359.) idem codex sub numero CLXIII. eodem modo describitur. Cf. FABRICII bibl. Gr. IX. p. 162. ed. *Harl*. X. p. 357.

[1]) In hujus rei testimonium ablegamus lectorem instar omnium ad Commentarium in Jonam; ubi cf. I, 4. p. 294. 295; II, 5. p. 307; IV, 4. p. 311.

[2]) L. c. I, 3. p. 293. II, 10. p. 305.

cognosces. Denique vero, quod gravissimum est, codex noster Vindobonensis, textus Maji, itaque codicis quoque Vaticani lectiones procul dubio falsas ac mutilatas ad litteram reddit.[1]) — Jam vero cum HARLESIO (in nota ad Fabricium l. c. p. 358) etiam MAJUS, alterum praeterea codicem in Bibliotheca Caesarea asservari perhibet, a *Forlosia* apud *Kollarium* in supplementis ad Lambecii commentar. p. 167—174 prolixius descriptum, et codici, de quo modo egimus, perquam similem. Quem etiamsi nosmet ipsos Vindobonae non vidisse, profiteamur; id tamen non adeo dolendum videtur, quoniam, quae viri modo dicti de eo referunt, eum codici a Nesselio Lambecioque descripto adeo similem esse ostendunt, ut ambos unum tantum esse, quodammodo queat dici. Forlosia enim de suo codice, et de eodem Majus prorsus eadem praedicant, quae supra de nostro codice exposuimus: uti enim hic, ita ille quoque, teste Majo, Roma Vindobonam delatus, veterisque codicis Columnensis apographum est, eadem tria scholia ad Zachariae marginem exhibens atque ille. — Quintum codicem, si eum ita nominare velis, in bibliotheca *Vallicilliana* exstantem, nihil autem nisi tenue interpretationis in Hoseam fragmentum, (usque ad cap. II, 13.) duodecim paginis continentem, se ipsum vidisse Majus testatur, idemque Theodori Antiocheni in Hoseam fragmentum esse, suspicatur, quod Samuel Tenulius, in litteris ad Nic. Heinsium datis, in Latio sibi descripsisse ait. — Integrum praeterea nostrum Theodori commentarium exhibere dicuntur: *Codex Venetus*, a Montfauconio in Grimanorum bibliotheca observatus;[2]) — *Codex aeque Venetus*, quem idem Montfauconius in bibliotheca *Meletii Typaldi*, Graecorum antistitis, archiepiscopi Philadelphiae se

[1]) Cf. Praef. in Jon. c. 1. p. 277., ubi uterque codex *κατ' αὐτὴν* habet pro *κατὰ ταύτην;* et Commentar. in Jon. I, 4., ubi in utroque codice eadem lectio justo sensu carens reperitur: *δῆλον αὐτὸν οἷον ὁ θεός* etc.; pro qua conjecturam ausi sumus hanc: *δῆλον αὐτῷ ποιῶν ὁ θεός* etc.

[2]) Cf. *Ejusd. Diarium Italicum* p. 39.; et: *Bibliothecam bibliothecar. manuscr.* p. 478. Priore enim loco, cujusnam Theodori sint hi commentarii, nesciri quidem dicit, loco autem posteriore eundem codicem sub nomine Theodori Antiocheni citat.

vidisse narrat;[1]) — Codex *Gerasini Blachi*, abbatis, quem se vidisse, *Combefisius* (biblioth. concionator. Tom. I. p. 44.) et Scipio *Maffei* in epistola ad Blanchinum testantur. Denique FABRICIO si fides est, etiam Florentiae in Medicea bibliotheca codex horum commentariorum exstat, cujus editionem ANSELMUS BANDURIUS, eidem bibliothecae quondam praepositus, sperare jusserit; at BANDINIO, qui nunc eam regit, codex ejus operis ignotus est, unde jam HARLESIUS adnotavit, catenam esse ex Theodoreto maxime contextam. Verum autem MAJUS vidit, qui „Revera," inquit, „Bandurius nihil ait, nisi se id opus e bibliothecis eruisse, quas inter paulo ante Vaticanam commemoraverat; et quidem si de sua Medicea loqueretur, Mopsuestenum apud se habere dixisset. Tum vero et ille codex Salviatorum, nunc Vaticanus, illa adhuc aetate Florentia apud veteres dominos, ut credo fuit, qua in urbe ad Bandurii notitiam manusque facile venit." — Quae hucusque de codicibus commentarii nostri Theodoriani disputata sunt respicientes, septem eos numero esse, (fragmentum enim Vallicellianum vix quisquam inter codices referat) quorum trium tantum nomina nobis innotuerunt, quatuor autem reliqui, quorum accuratiorem habemus notitiam, unam quasi constituere familiam, cujus pater ac caput codex est Columnensi-Vaticanus, verisimillimum est.

4. Jam ad quaestionem *de authentia* hujus Commentarii nostri transeuntes, priusquam firmas, quibus illa nititur, explicemus causas, antea dubitationes consideremus, quae contra eam possint cieri. Quum enim constet, scripta fictitia Theodori nostri nomini nonnunquam supposita esse, fuerunt, qui dicerent[2]) Commentarium in XII. prophetas alius cujusdam junioris Theodori esse, itidem Mopsuestiae episcopi, genere autem non Antiocheni, sed Galatae, qui anno Justiniani im-

[1]) Cf. Diar. Ital. l. c. et p. 46.

[2]) JACOBUS LELONGUS in bibl. sacr. tom. I. p. 985. *Longuereum* nominat, qui hanc sententiam foverit, virum in exercenda arte critica nimis celerem, improvidum et levem. Nec non LEO ALLATIUS in diatribe sua de Theodoris *Robert. Balforeum*, aliosque plures fuisse, narrat, qui cum illo in sententia supra indicata conspiraverint.

peratoris vigesimo, annis plus centum post Antiochenum Theodorum obiit. Quae tamen opinio quum nihil sit, nisi merum commentum omni causa, certe aliquatenus probabili carens, et quum Leo Allatius jam animadverterit, usque ad quintae synodi generalis, Theodorum ejusque scripta condemnantis, tempora nullum alium exstitisse Theodorum Mopsuestiae episcopum praeter nostrum Antiochenum, non amplius nos moretur. — Gravioris vero ad impugnandam commentariorum nostrorum authentiam momenti aliud quid videri possit. Accusationum enim in Synodo quinta contra Theodorum nostrum motarum vigesima [1]) ita habet: „Ejusdem (Theodori) ex principio commenti, [2]) quod in duodecim prophetas scripsit, abnegans prophetias de Christo esse praedictas. *„Sed non volentes ista considerare, voces omnes trahere ad Dominum tentant Christum: ut et quae de populo facta sunt, simili modo intelligerent et risum praestarent Judaeis, quando ex scriptorum sequentia nihil ad Dominum Christum pertinentes ostendunt voces.“* Quae verba quamvis, si generalem eorum sensum spectaveris, in his nostris commentariis omnino inveniantur, ita tamen uti sonant neque in praefatione ad Hoseae interpretationem, tanquam „principio“ totius operis; neque ullo alio loco leguntur; unde colligi fortasse possit, commentarium in duodecim prophetas, qui nunc in codicibus sub Theodori fertur nomine, non ejusdem esse, quem concilium quintum damnavit, non igitur magni illius Mopsuestiae episcopi, cujus laudes etiam adversarii in ipsis suis opprobriis ipsi factis, licet inviti, dicunt. Omni autem dubio vacat, locum istum non e Theodori commentario in XII. prophetas desumptum esse, sed ad ejusdem commentarium in Psalmos

[1]) Cf. Acta concilior. ed. Harduin. Tom. III. p. 78.

[2]) Ita hic et alibi in actis concilii quinti pro *commentario*, quod Majus rescribendum censet, quum *commenti* lectio non nisi mendum sit librarii, qui non intellexerit litterae compendium cum superposita lineola. At nihil mutandum videtur; a more enim veterum catholicorum etiam haec adversarii haeretici impugnandi refutandique vel potius conviciandi ratio, ut commentarius levi ingenii lusu in *commentum* opprobrii causa mutatus sit, nullo modo abhorret.

pertinere, et in titulum vigesimae istius criminationis errorem vel Callonymi, ut Majus suspicatur, concilii quinti notarii sive eclogarii, vel postea in synodicos codices, quorum nullus satis antiquus superesse videtur, irrepsisse. Qui error non adeo mirus est, quum etiam caeteroquin diversorum Theodori operum titulos aut fortuito aut maligna mente mutatos ac perversos fuisse, constet [1]), et, quod jam supra monuimus, Theodori de veteris testamenti in Christum vaticiniis sententia, in vigesima ista criminatione a concilio vituperata, etiam in commentariis ad prophetas passim occurrat, insuper vero, quae Theodorus in comment. ad Joel. II, 28. sqq. p. 157. et ad Zachar. IX, 9. p. 613. disserit de loco Psalm. XV, 10., simillima et fere ad verbum passim congrua sint iis, quae illic ex interpretatione psalmorum desumpta sunt. — Quae vero omnes dubitationes de authentia operis, de quo nunc sermo est, facile praecidere possunt, si primo loco externa, quae vocantur, argumenta examinamus, fere haec sunt. Theodorum Mopsuestenum duodecim prophetas commentario instruxisse, et Concilium quintum l. c. testatur, et EBEDJESU, Barbricha cognominatus, Sobae et Armeniae metropolita saeculi XIV, in catalogo librorum Theodori nostri, a Syriae Nestorianis Interpretis vel Commentatoris nomine insigniti, confirmat [2]). Deinde vero codices uno ore omnes *Θεοδώρου Ἀντιοχέως* opus hunc commentarium esse, clamitant. namque Antiochenum Theo-

[1]) Quod ut confirmet, Majus (p. XXVII.) TILLEMONTIUM scite provocat, qui in adnotationibus ad notitiam Theodori nostri (cf. Mem. p. servir. à l'hist. eccles. Tom. XII. p. 674.) ita scribit: *Dans le cinquième concile entre les passages citéz de Theodore de Mopsueste, pour justifier sa condamnation, on en trouve un cité de son commentaire sur saint Matthieu, et à la tête du suivant il y a:* „Ejusdem ex libro Quod Deus peccatum docuit et mortem introduxit." *Theodore n'a point assurement donné ce titre à aucun de ses ouvrages; et il faut, que ce soit un erreur, qu'on pretend tirer de quelqu'un de ses livres, et sans doute du commentaire sur s. Matthieu nommé immediatement auparavant, si nous lisons: ex eodem libro* etc. Cf. Collat. IV. dist. 50. 51.

[2]) Cf. SIEFFERT. l. c. p. 37. sq.

[3]) Vide ASSEMANI biblioth. oriental. Tom. III. P. I. p. 34. *Duodecim prophetas commentatus est duobus tomis ad Mar Turim.*

dorum eundem esse, qui Mopsuestiae episcopus erat, *Photius* diserte affirmat [1]). Praeterea etiam compertum habemus, eundem Theodorum Psalmos interpretatum esse, cujus operis passim quoque fragmenta inveniuntur haud pauca; jam vero auctor commentariorum in XII prophetas non solum operis sui initio, prius jam etiam psalmos commentario se instruxisse testatur, sed utrumque commentarium uti in rebus, ita etiam in locutionibus, verborumque usu et structura plane inter se convenientem videmus, [2]) itaque unius ejusdemque auctoris esse,

[1]) Cf. Cod. 4. *Ἀνεγνώσθη Θεοδώρου Ἀντιοχέως ὑπὲρ Βασιλείου κατὰ Εὐνόμιον ἐν λόγοις κε΄. κ. τ. λ. Ὁ δὲ Μοψουεστίας γεγονὼς ἐπίσκοπος οὗτός ἐστιν, οἶμαι.* Hanc vero locutionem haudquaquam dubitantis, vel etiam suspicantis tantum, sed ex more Graecorum, qui se *οἴεσθαι* etiam in rebus dicunt, quarum certissimam tenent persuasionem, positam esse, cuivis apparet. Porro *Cod.* 177. idem Photius scribit: *Ἀνεγνώσθη βιβλίον, οὗ ἡ ἐπιγραφὴ Θεοδώρου Ἀντιοχέως.* Jam quae hic in antiquioribus editionibus sequuntur verba: *ὁ Μοψουεστίας δέ ἐστιν, ὡς ἀπό τινων ἐπιστολῶν ἐμάθομεν*, ab *Imm. Bekkero*, codicum auctoritatem secuto, jure omittuntur. at versus finem laudati codicis Photius, eundem esse Theodorum, adfirmat, cujus adversus Eunomium pro Basilio jam prius laudaverit opus, i. e. Mopsuestiae episcopi. Id quod cod. 38. disertis etiam verbis affirmat: *Θεοδώρου Ἀντιοχέως . . . οὗτος δέ ἐστιν ὁ Μοψουεστίας.* Caeterum monendum est, *Antiocheni* nomine solum ipsum Theodorum in librorum suorum titulis se significasse videri, desumpto hoc cognomento, quo ab aliis discerneretur, a patria urbe, in qua et adoleverat magnamque vitae partem degerat, et litteras imbiberat. ab aliis vero de urbe cui episcopus praeerat, denominatur, ita tamen ut soli Latini, barbara vocis forma usi, eum *Mopsuestenum*, Graeci vero *τὸν τῆς Μοψουεστίας ἐπίσκοπον*, vel breviter *τὸν Μοψουεστίας* vocitent. cf. *Acta concil.* V. l. c. p. 71. 72. 74 etc.; *Facund. Herm.* defens. trium capitul. I. init. et saepe; *Socrat.* H. E. VI, 3. etc. Sin vero *Marius Mercator* eum oppidi *Mamsisteni* civem nuncupet, id nonnisi rudis illius hominis inscitia factum esse videtur.

[2]) Cf. quem supra laudavimus locum ex interpretatione Zachar. IX, 9. cum fragmento commentarii in Psalm. XV, 10. a Concilio quinto in collat IV. dist. 23. exhibito. Ita enim loquitur Theodorus

Ad Psalm. XV.

Tale est et quod Non derelicta est anima ejus in inferno, nec caro ejus vidit corruptionem. Nam propheta quidem supra modum ipsam ponit circa populum provi-

Ad Zachar. IX.

Τοιοῦτόν ἐστι τὸ „Οὐκ ἐγκατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδου, οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν," ὅπερ ὑπερβολικῶς εἰρημένον παρὰ τοῦ μακαρίου Δαυὶδ ἐπὶ τοῦ λαοῦ τῶν Ἰσραηλιτῶν, ἐπ'

Theodori Mopsuestiae episcopi. — Etiamsi vero haec omnia commentarii nostri authentiae omni dubitatione liberandae nondum sufficere cui videantur, *interna* tamen hujus libri *indoles*, genuinum eum ejus viri esse opus, cujus prae se fert nomen, extra omnem dubitationem ponit. *Photius* enim, doctus ille ingeniosusque Constantinopolitanus patriarcha, variis Bibliothecae suae locis Theodorum quam accuratissime et sagacissime depingit, qualem in scriptis suis cum exegeticis tum dogmaticis cognoscendum se praebeat, quaeque ei sint propria, prae caeteris clare denotat. Cujus imaginis jam singula lineamenta in commentariis nostris conspicere, Theodorumque agnoscere cuivis vel negligentius circumlustranti licet. Et primum quidem, ut ab uno exegetico, cujus Photius mentionem injicit, incipiamus opere, in cod. 38. de Theodori in Genesin commentario[1]) disserens, eam hujus viri in libris sacris interpretandis fuisse rationem singularem, refert, ut *φεύγων τὸν δυνατὸν αὐτῷ τρόπον τὰς ἀλληγορίας κατὰ τὴν ἱστορίαν* interpretationem fecerit. Jam vero haec eadem est ratio, quam scriptor noster in prophetarum XII minorum expositione ubique sequitur. nusquam enim in hac ullum vel etiam

dentiam, volens dicere, quoniam inextentabiles eos ab omnibus conservavit malis. Quoniam autem hoc verum, et ex ipsis rebus eventum accepit in Domino Christo, frequentissime de eo loquens beatus Petrus utitur voce, ostendens quoniam quod de populo supra modum dictum est ex quadam ratione utente voce propheta, hoc verum eventum in ipsis rebus accepit nunc in Domino Christo.

αὐτῆς τῆς τῶν πραγμάτων ἀληθείας ὤπται γεγονὸς ἐπὶ τοῦ δεσπότου Χριστοῦ. Ὅθεν δὴ καὶ τῇ φωνῇ δικαίως ὁ μακάριος ἐχρήσατο Πέτρος, λέγων, ὅτι οὐκ ἐγκατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδου οὐδὲ ἡ σάρξ αὐτοῦ εἶδε διαφθοράν. Πολλὰ τοιαῦτα εὕροι τις ἄν, ἃ μακρὸν λέγειν ἐπὶ τοῦ παρόντος, ἃ πρότερον μὲν ὑπερβολικῶς ἐλέγετο, οὐκ ἔχοντος τοῦ λεγομένου τὴν ἀλήθειαν ἀκριβῆ, εὑρίσκετο δὲ οὕτως ἔχοντα ἐπὶ τοῦ δεσπότου Χριστοῦ.

Et sic etiam multa istorum fragmentorum adhibitis loquendi formulis et structuris in commentario ad prophetas obviis in Graecorum linguam vertere poteris, quin tibi timendum sit, ne ab Theodori, uti ipse scripserit, verbis longe aberres.

[1]) De quo vide, quae *Sieffertus* l. c. p. 31. 32. disputat, non diversum fuisse hanc *ἑρμηνείαν τῆς κτίσεως* a Photio laudatam et in Actis synodi quintae *de creatura* inscriptam, a commentario Theodori in Genesin ab Ebed-Jesu dicto demonstrans.

levissimum reperiri potest vestigium ejus interpretandi methodi, quam inde ab Origene usque ad Theodorum ejusque praeceptores Antiochenos omnes fere patres, qui scripturae sacrae explanandae operam dedere, amplexos videmus. Tantum enim abest ut Theodorus in hoc opere (qui allegoristarum erat mos), neglecto verborum sensu eo, quem totius orationis nexus ac tenor (ἀκολουθία τῶν εἰρημένων) postulant, non quid scriptores sacri vere senserint et significaverint, quaerat, sed quid eorum verba per se spectata significare fortasse possint, ut iis, quas aliunde in mentem habuit informatas, opinionibus congrua sint, curiose et praepostere exploret; ut ad inveniendum verum scriptoris sacri sensum, tempora semper, loca et personas, eorumque varias rationes, rerumque casus, quos prophetarum mentibus obversatos fuisse, necesse erat, sedulo atque accurate exquirat et respiciat, indeque suos faciat interpretationes. In quo quum expositionibus suis talia saepe efficeret, quae ab interpretationibus hucusque usitatis multum differebant, quumque vaticiniorum eventum, ipsis prorsus consentaneum, non tam in Christi historia, quam in Judaicarum rerum prioribus casibus invenire sibi videretur, factum est, ut Judaicis interpretationibus plus aequo studuisse a multis, ut veterum, ita recentiorum etiamnum dicatur. Fieri etiam nequivit, quin Theodorus regulas suas hermeneuticas constanter sequens, eos, qui alia methodo libros sacros tractarunt, respicere ac refutare, aut certe eorum pravas perversasque opiniones rejicere, cogeretur. id quod etiam in prophetis minoribus illustrandis auctorem facientem videmus: et confitendum est, hoc non semper ea, qua opus esse haud pauci, nec temere, censebunt, comitate ac lenitate factum esse ab eo. namque temere (ἀβασανίστως) propheticis sermonibus se immiscuisse adversarios dicit, fabularum anilium amantes eos nuncupat et insipientiae ac impietatis accusat, eorumque sententias ut prodigiosas deridet[1]). Haec vero in Mopsuestenum optime quadrare, apparet; *Leontius enim Byzantinus* de eodem nihil aliud

[1]) Cf. statim ab initio Praef. in Hos. p. 3.; Commentar. in Sophon. I, 4—6. p. 468.; III, 2. p. 488. Zachar. I, 18—21. p. 555; IX, 9—10. p. 611 sq.

praedicat [1]) quum dicit: „Hic scelestus in omni prava interpretatione scripturarum labores sanctorum doctorum, qui in eis laborarunt, nunquam irridere et illudere desinebat.“ Sed redeamus ad Photium et eam, quam nobis Theodori proponit imaginem. nempe facta illius laudatione, supra e cod. 38 descripta, hoc tamen in eodem reprehendit, quod *ταὐτολογεῖ τὰ πλεῖστα*, eoque *ἄχαρίς πως καὶ ἀηδὴς εἶναι δοκεῖ*. Nec diversum auctorem nostrum in concinnando suo ad prophetas commentario videmus; cui haud semel accidit, ut quod modo clare et satis perspicue exposuerit, mox iisdem fere verbis repetat, addita fortassis etiam altera in eadem pagina repetitione ejusdem rei: quo fit, ut lectoribus haudquaquam jucundus ac venustus, sed potius molestissimus nonnunquam evadat [2]). Nihilominus vero idem Photius (cod. 4), Theodorum in sententiis suis excutiendis exponendisque earum causis atque argumentis gravem esse, et testimoniis de scriptura sacra petitis abundare (*ταῖς διανοίαις καὶ τοῖς ἐπιχειρήμασι λίαν πυκνὸς, καὶ ταῖς γραφικαῖς ἄριστα πλουτῶν μαρτυρίαις*) testatur. Quod quantopere verum sit e legendo ipso *commentario subsequenti*, additoque locorum codicis sacri in eo citatorum indice inspecto, mox intelliges. — Postremo vero quod ad *scribendi genus stylumque* attinet, quo auctor noster utitur, etiam in hoc prorsus iis respondet, quae Photius de stylo in Theodori Antiocheni operibus a se lectis conspicuo refert. Graeco enim sermone ille utitur etsi non tali, quem

[1]) *Leont.* adv. Nestor. et Eutych. III, 11. apud Gallandium XII. p. 686.

[2]) Huc pertinet, quod auctor quae semel ad illustrandam hanc illamve prophetarum loquelam adnotavit, semper fuse largeque repetat denuoque exponat, quotiescunque eadem loquendi formula redeat, quamvis ipse, saepius idem jam a se expositum esse, diserte moneat. Praeterea ablegamus lectorem ad Praefationes in Amosum et Jonam, quae prae caeteris repetitionibus molestis scatent, et ad Comment. in Habac. I, 2. p. 431., in Hos. XII, 11. p. 110., in Joel. II, 18. p. 149. Neque tamen hoc soli auctoris garrulitati aut negligentiae tribuendum est, quae, in viro tanti ingenii tantique acuminis non facile credibilis videtur; sed plerumque eum tales sententias repetere denuoque excutere, animadvertimus, quae aut in se singularem habent vim, aut quae aliorum opinionibus oppositae sunt, et cum singularibus, quae Theodorus secutus est, hermeneuticis principiis ac causis cohaerent.

rudem barbarumque jure appellaveris, haudquaquam tamen ea elegantia ornato ac polito, qualem jam in Chrysostomo, ne dicam Platone aliove veterum Graecorum, laudamus, sed gravitate quadam invenusta, tarditate et obscuritate laborat, quae inde nascitur, quod participiorum in adnectendis singulis enuntiationibus frequentissimum facit usum, et (Maji utor verbis) longis periodis involvitur, alte incipit, diu pendet, vel insertis novis sententiis longe recedit, ita ut legenti vel interpretanti salebrosus fiat. Idem vero etiam Photius in cod. 177 affirmat, qui ita scribit: *Ἀσαφὴς δέ ἐστι, καίτοι λέξει οὐ ξενιζούσῃ χρώμενος, ἀλλὰ τῷ σχοινοτενέσι χρῆσθαι ἐκ τοῦ ἐπὶ πλεῖστον περιόδοις καὶ παρεμβολαῖς ἀλλεπαλλήλοις, δι᾽ ὧν καὶ εἰς μήκιστον ὁ νοῦς ἀποτείνεται τῶν προκειμένων, ταῖς τε τῶν ὀνομάτων πλαγίαις καὶ ταῖς μετοχικαῖς λέξεσι πλεονάζειν, τὰ αὐτά τε πολλάκις καὶ οὐδὲ σὺν κόσμῳ ἐπανακυκλεῖν καὶ τὰς ἐπαναλήψεις πλέον τῶν διηγήσεων (ὅπερ ἀμέθοδον παντελῶς) ταῖς περιστάσεσι μεμεστῶσθαι, καὶ τοῖς τοιούτοις οὐκ ὀλίγον ζόφον τῶν αὐτοῦ γραμμάτων κατασκεδάζει.* — Stat igitur sententia, Theodori, Mopsuestiae episcopi, genuinum opus hosce in XII. prophetas minores commentarios procul omni dubio esse.

5. Deinde vero tempus exploraturi, quo Theodorus hunc librum confecerit, prorsus certi aliquid definiri nequire, statim ab initio infitias ire nolumus; quoniam omnibus externis historicis, quae dicuntur, testimoniis indubitatis carentes, in ipso hoc opere vestigia aetatis, qua ab auctore compositum sit, indagare nos oportet. qua in re tamen veritati proximum accedere posse nobis videmur, si duo tantum loca hujus commentarii accuratius exploraverimus, quorum posterius ante prius examinare placet. In explanando enim Zachar. IX, 9. postquam Theodorus, temporum mutationem scriptoribus sacris perquam usitatam esse monuit et demonstravit, ita pergit: *ὑπερ οὖν διὰ πολλῶν ἡμεῖς ἔν τε τῇ τῶν ψαλμῶν ἑρμηνείᾳ καὶ ἐπὶ τῶν προφητῶν ἐδείξαμεν αὐτάρκως.* Unde jure colligere posse nobis videmur, eo tempore, quo Theodorus duodecim prophetas minores explanaverit, in nullo dum scripturae sacrae libro explicando operam cum collo-

casse praeter psalmos prophetasque, quia, quamvis aliquid adnotet; quod universae sacrae scripturae proprium esse dicit, hoc tamen in illis solum libris a se expositum testatur. Et plerumque ita rem se habere quisque facile videbit, ut Theodorus, ubi res ad hermeneuticas regulas pertinentes vel ad grammaticam spectantes exponat, ibi Davidem ejusque psalmos respiciat, eosque conferat. Cf. Comm. ad Hos. II, 14. p. 26. IX, 3. p. 79. Jam vero quum aliunde sciamus, Psalmos ex omnibus libris sacris primos a Theodoro illustratos fuisse, etiam hoc suspicari licet, commentarium nostrum scriptis suis antiquioribus accensendum esse; ita ut inter psalmorum et minorum prophetarum interpretationem majorum fortassis, qui dicuntur, prophetarum expositio a nobis interponenda sit. Qua de re alter locus certiores nos reddere potest. Initio enim totius, de quo nunc agimus, operis, praefationisque ad Hoseam primis verbis, Theodorus non solum, psalmorum interpretationem jam praecessisse, diserte dicit, sed etiam, hunc in duodecim prophetas commentarium quoad tempus istum excipere et cum eo etiam interno quodam vinculo *contineri*, haud obscure innuit. Etiamsi enim, de Davidis in *psalmis* vaticiniis jam πρόσθεν locutum se esse quum dicit, hujus vocis usus nostrae conjecturae necessitatem non quidem demonstrat; totius tamen orationis nexus ac tenor, recte perspectus, eam evincit. Quae enim Theodorus universo suo operi hic praefaturus dicit, haec fere sunt: A Davide quidem, monet, populi varios casus in universum, inprimis vero adversas rerum Judaicarum mutationes praesagitas esse; tempus autem inde a factis Davidicis praedictionibus usque ad earum eventum silentio obtectum esse; appropinquantibus autem diebus infaustis, a rege vate praedictis, Deum prophetas, qui proprie sic dicuntur, excitasse, ut pristinorum vaticiniorum memoriam innovarent praesentesque calamitates sublevarent; quorum ad interpretationem jam se accedere, ejus rei ab Hosea initium facturum, ut qui princeps sit aetate inter reliquos prophetas. — In his vero prophetarum appellationem non ad duodecim minores solos, sed ad universos generatim pertinere, nobis quidem persuasissimum est: vox enim προφητικαὶ

φωναὶ, qua utitur Theodorus, latius patet, quam quae ad duodecim prophetas solos queat restringi. Itaque Hoseam πρῶτον τῷ χρόνῳ τῶν λοιπῶν προφητῶν, et πρὸ τῶν λοιπῶν divina gratia ad indicandas res futuras excitatum si dicit, Theodorum omnem prophetarum catervam spectasse, quis non videt? Jam vero scimus, Theodori in psalmos commentarium primum fuisse, quem scripserit, librum [1]); unde duodecim prophetarum interpretationem proximam post illum confectam, Theodorique adolescentis esse opus, jure statuemus: psalmos enim octodecim annos natus commentario instruxisse dicitur [2]). — Attamen contra hanc nostram sententiam unum, idque, quantum nos quidem videmus, solum possit fortasse moneri ab aliquo ita obloquente. Theodorum, annis ubi provectus fuerit, ingenioque maturuerit, commentarium suum in psalmos non magni aestimasse, eumque immaturum adolescentuli opus esse, ipsum confessum fuisse, ita enim eum in libro de historia et allegoria post verba infra in adnotatione laudata pergere: *Non autem quantam oportuerat habuimus circa istam rem diligentiam. Passi enim sumus, quaecunque incipientes, ut evenit, in imperitia scribendi constituti. siquidem et multas immutationes illo tempore, quae nostra sunt, susceperunt, quas non est praesentis temporis enarrare; ex qua causa magis negligenter composita sunt plurima, et maxime illa quae prima sunt.* Jam vero (ita pergere possit noster

[1]) Ex Hesychii histor. eccles. in Concil. quint. act. V. p. 184. ed. *Harduin.* haec leguntur de Theodoro nostro: *Prima elementa suae doctrinae ex Judaico vaniloquio incipiens, codicem in prophetiam psalmorum conscripsit, omnes de Domino praedictiones abnegantem.* Etiam ipse Theodorus in libro de allegoria et historia ad Cerdonem initium interpretandae Scripturae se ab expositione psalmorum fecisse affirmat, dicens: „Ego quidem quod nostra sic laudes non alii cuipiam imputo, quam amicitiae, quam circa nos habes, quam etiam in multis et magnis rebus semper ostendisti, et maxime quoniam ea, *quae scripta sunt in psalmos*, miraris, *quae etiam prima caeterorum omnium scripsimus.* Cf. Facund. Herm. III, 6. apud Gallandium XI. p. 698.

[2]) Leontius Byzantinus adv. Eutych. et Nestor. III. ap. Galland. XII. p. 685. in Theodorum invehens, *Hunc*, inquit, *ajunt non amplius quam decem et octo annos natum in scripturas debacchatum esse.*

adversarius) ejusmodi nihil in commentario ad prophetas minores Theodoro accidisse; nihil enim in his animadverti posse, quod juvenilem fervidamque, audacem et praeposteram ingenii alacritatem sapiat; sed contra potius clara placidaque mente providaque manu Theodorum omnia in eo scribere, adeo ut hoc opus maturi virilisque ingenii testimonium luculentum ubivis exhibere dicendum sit. — Attamen ita obloquenti nullatenus cedendum esse censemus; sed duo potissimum habemus, quae ei respondeamus. Primum enim quaerendum est, quid tandem sit, in quo Theodorus, non quantam oportuerat circa istam rem, i. e. circa ea, quae scripserit in psalmos, se habuisse diligentiam, ait? Qua in re si SIEFFERTO[1]) fides est habenda, auctor, in resecandis allegoricis et typicis psalmorum explicationibus nimis audacter et minore, qua par erat, diligentia versatum se fuisse, verbis istis indigitat. Quod ut confirmet amicus doctissimus Leontium Byzantinum provocat, qui (l. c. p. 687), *Omnes psalmos judaice ad Zorobabelem et Ezechiam retulisse Theodorum*, conqueritur, *tribus tantum ad Dominum rejectis;* et Facundum Hermianensem, qui, *Impugnatores sanctae synodi* [Chalcedonensis] *ob hoc de illo ista jactare*, dicit, *quod in interpretatione psalmorum quaedam moraliter exposuisse dicatur, quae in Christum magis dicta debent intelligi.* Quae argumentatio etiamsi recte omnino se haberet, tantum abest, ut contra nostram sententiam, supra propositam dimicet eamve evertat, ut eam fulciat. In explicandis enim prophetis minoribus etiam audaciorem quoad resecandas allegoricas explicationes quam in psalmorum expositione se praebet Theodorus: e psalmis enim tres saltem *totos et proprie* Christum spectare, statuit; idem tamen omnium, quae in prophetis minoribus passim occurrere dicuntur, Messianorum, quae vocantur, oraculorum nulli largitur, *typicum* tantum (ipsum SIEFFERTUM ejus rei in dissertatione sua habemus auctorem ac testem) inter prophetarum dicta et Christum Dominum exstare nexum, *κατὰ δὲ τὸ πρόχειρον* in rerum Judaicarum casibus ea even-

[1]) L. c. p. 29. in diss. supra laudata p. 29.

tum habuisse proximum, easdemque igitur spectasse, haud semel exponens[1]). Nonne vero ita audaciam, qua Theodorus in commentario ad psalmos laborare fertur ob ingenii juvenilem nimiamque alacritatem, etiam vere majorem, atque in ea testimonium habemus luculentissimum, quod sententiae nostrae favet? At non satis credibile est, eam, quam Sieffertus meus suspicatur, fuisse causam, cur Theodorus, non eam, quam oportuerat, circa psalmorum interpretationem diligentiam se habuisse, Cerdoni scribat. Quamvis enim tres tantum psalmos (inter quos octavus et quadragesimus quartus numerantur[2]), directo, ut dicunt, ad Christum referri jubeat, tamen etiam alios plures, etsi non diserte, certe typica ratione ad Christum accommodari potuisse, demonstrat: quod in psalmo decimo quinto, et vigesimo (*Vers. Alex.*) interpretando ab eo factum esse, Synodi quintae ipsius acta docent[3]); unde etiam saepius, ubi per rei naturam licuerit, idem fecisse jure censendus est. Quodsi vero Theodorus in eo negligenter se egisse dixisset, quod hanc typicam interpretandi rationem nimis fidenter et audacter secutus sit, singulare, quod invenerat, principium suum hermeneuticum deseruisset, malas insuper gratias Cerdoni suo de hujus commentariorum in psalmos admiratione referens; quod parum profecto probabile est. Verum enim vero, si Theodori verba ad hunc virum scripta accuratius consideramus, nihil eum dicentem invenimus, nisi „maxime illa, quae prima sunt magis negligenter a se composita esse." quae verba quomodo debeant intelligi, Majus jam demonstravit, qui *primorum* illorum nuncupatione *praefationem* ad psalmorum expositionem denotari, probe monet[4]).

[1]) Videsis SIEFFERTUM l. c. Cap. III. inprimis vero pag. 44. 48. 56.

[2]) Cf. *Leont. Byz.* l. c. p. 696. Acta Synod. V. Coll. 4. dist. 19.; *Facund. Herm.* Defens. trium capitul. IX, 1.

[3]) Coll. IV. dist. 21—24.

[4]) L. c. p. XXVII. „Esto sane ambiguum, utrum apud Facundum vocabulum *prima* significet primordia operis, an potius scribendi initium; minime vero dubia est Leontii (contra Nestor. III, 43.) auctoritas, ubi scripta Mopsuesteni vituperans, in his recenset *τὴν κατὰ τῶν ἱερῶν ψαλμῶν τυφλοποιὸν προθεωρίαν*; sic enim lego in Graeco codice Vatic.; quae verba in Turriani latinitate, quae sola edita est, sic habent: *Et*

Jam si quis ex nobis quaerat, quaenam tandem illa fuerint, quae Theodorus in ista praefatione negligentius composuisse sibi visus sit; respondemus, Theodorum, qui dicto loco regulas suas hermeneuticas excutiisse sine dubio putandus sit, hoc non ea diligentia ac subtilitate, qua in tali re opus esse serius intellexit, fecisse; fortasse vero etiam in ipsis psalmis explicandis hasce regulas non eadem semper et aequabili constantia retinuisse atque observasse. Quibus positis, rectius fortasse dixerimus, illud Theodori sui ipsius vituperium psalmos spectare eos, quos non typico sed proprio sensu Christum tangere statuerat. Tum vero libenter etiam concedere possumus, utrumque commentarium interno vinculo contineri eo, ut comparata psalmorum cum prophetarum minorum interpretatione, Theodori et ingenium et artem hermeneuticam incrementa satis perspicua cepisse, ex hac posteriori bene cognoscatur. Sed demus, (ad *alterum* jam progredimur, quod adversario respondendum nos habere, supra dicebamus,) non probari posse, quae hucusque disputavimus, Theodorumque nativa ingenii sui vi noviter ebulliente in psalmis interpretandis ad extrema quaeque raptum fuisse, eandem vero vim in commentario ad prophetas, utpote nunc domitam et intra justos fines coercitam, praeclara quaeque effecisse; nemo sane dicat, hinc sequi, ut Theodorus hunc commentarium, multis annis post illum librum confectum praeterlapsis, scripserit. Ea enim praeclari cujusque ingenii est vis, ut, quidquid ab eo magni vel novi inventum excogitatumque fuerit, etsi initio quidem cum erroribus variis cohaereat, mox tamen hos vincat et relinquat, itaque inventa sua puriora et quasi nova in lucem proferat. Id quod ipse quoque Theodorus verbis illis ad Cerdonem scriptis confirmat et testatur, si illo potissimum tempore, quo commentarium in psalmos scripserit, quae

praemeditationem excaecantem in sacros psalmos. Sane Turrianus interpretari potuisset: *praefationem.* quis enim nescit argumenta seu praefationes Graecorum vel orationum, vel hujusmodi lucubrationum appellari προθεωρίας? Valde igitur censeo, synodicum eclogarium respexisse ad praefationem commentarii psalmorum, in quo Theodorus juvenili ingenio exultaverat, et quaedam contra mysticos figuratosve sensus audacius effuderat, quae deinde ipsemet retractaverat, ut ait Hesychius."

sua sint multas suscepisse immutationes, narrat. Quae verba nobis quidem hoc indicare videntur, ista vitae suae aetate in Theodori adolescentis animo et de rebus theologicis sentiendi ac judicandi ratione multa, quorum antea certam satisque claram persuasionem non habuerat, firmata esse justis causis et undequaque munita. Ita vero nos quoque sententiam nostram de tempore scripti a Theodoro in duodecim prophetas commentarii, quoad ejus fieri potuit, satis firmasse et munivisse nobis videmur.

6. Restat, ut nunc etiam pauca de edito a nobis textu moneamus. Reddimus eum quod attinet ad *lectiones*, fere prorsus talem, qualem in cod. Vindob. invenimus; ita tamen ut, ubi lectionem ejus scriptoris errore depravatam esse cuivis per se apparet, rectum restituerimus, codicis mendosa lectione in margine inferiore adnotata; ubi vero ulla vel levissima cieri possit dubitatio, id quod nobis certo vel fortasse legendum videbatur, textui supposuerimus. In uno vero virorum eruditorum excusatione egebimus eamque ab iis petimus. Ubi enim in hoc volumine citandi formula ὅταν λέγῃ occurrit, in codice posterius vocabulum scribendi compendio adhibito λ̃ pictum est, quod proprie λέγει denotat. jam vero quoniam particula ὅταν a Theodoro nostro alias semper cum conjunctivo juncta ponatur, (v. c. Praef. Nah. c. 2. p. 394. Comm. Hab. III, 8. p. 457. sq. et saepissime) eundem hoc quoque loco scribendum putavimus, τὸ λέγει nonnisi scriptionis compendio natum esse censentes. — Quod vero porro attinet ad *orthographiam*, codicis in hac re auctoritatem [1]) presse sequi prorsus non licebat, quia ipse sibi non constat. sic, quum in eo γίγνεσθαι et γίνεσθαι promiscue inveniatur, posteriorem scriptionem, utpote serioribus Graecis usitatam ubivis posuimus. — ν ἐφελκυστικὸν ante sequentem

[1]) Quae quantopere sit fallax et incerta, inde cernitur, quod v. c. modo ἐβούλετο modo ἠβούλετο, modo γίγνεσθαι modo γίνεσθαι, ἂν ἀλογον pro ἀνάλογον saepius, θειόθεν pro θεόθεν plerumque scribatur. Haec vero codicis inconstantia inde repetenda est, quod librarius altero quodam dictante commentarium calamo exciperet, uti prae caeteris crebrae litterarum permutationes docent: ο enim et ω, αι et η vel ε, η, vel ι (ex Itacismi ratione) persaepe in scriptione confusa videmus.

consonantem saepius redit, et in fine enunciatorum semper ponitur; at non minus etiam ante sequentem vocalem haud semel deest; unde hanc litteram sequente vocali in fine tantum enunciatorum retinendum esse, nobis visum est. — Ita etiam *orationis membra* codex *per notas* habet *distincta*; quae tamen quum partim justo saepius, partim perverse et locis, quibus deesse debebant, positae sint, vel in hac re nostram secuti sumus sententiam notas istas omittentes, ubi omitti poterant, quin orationis perspicuitas et intelligentia hac ratione turbaretur. Summopere vero dolemus, quod typothetae incuria nobis invitis, multas harum notarum omiserit, quin nos, ab illo tam longe remoti, eam emendare potuerimus. — Quod vero commentarii textum secundum capitulorum versuumque ordinem in bibliis nostris vulgatum disposuimus, id eum in finem factum est, ut commodiori conspectu singula quaeque possis videre et invenire. — Nec minus fortasse unus alterve mirabitur, quod Latinam *versionem* huic editioni addiderimus. Cui dicere possimus, hunc veterem in edendis Graecae linguae scriptoribus, praesertim vero ecclesiasticis esse usum, nec nostrum visum esse, antiquum morem nova nostra, si qua est, auctoritate mutare, itaque editoris muneri etiam in hac re deesse nos noluisse. Sed praeterea quum, commentarium commentario illustrari, superfluum censeremus, quae illi fortasse inessent difficultates et obscuritates addita versione facillime posse solvi ac dissipari, nobis videbantur. Postremo vero dicendum erit, in addenda hac versione nos non solum nostrum arbitrium, sed etiam et multo magis amicorum eruditorum consilium secutos esse, qui, haud omnibus eam offensioni, imo multis gratam fore, nobis persuadebant. Sed excusent nos viri eruditi, si forte hic vel illic quaedam minus recte vel accurate a nobis translata fuerint: nam salebrosum Theodori stylum interpretanti nonnunquam fieri, Majus merito monuit et nos experti sumus, ipsique in salebras delapsi. Multa vero, quae in versione invenies, errata typographi, inde nata, quod Latinas litteras pingimus difficillimas lectu, praeterea etiam plures plagulae corrigentis manum effugerint, benevole corrigas, quaesumus. Caeterum quae Majus jam in

Latinum sermonem verterat, ea retinuimus, paucis tantum mutatis, quae mutatione egere videbantur.

7. Denique vero priusquam praefandi finem faciamus, a lectoribus benevolis veniam nonnullorum, in quos nos incidisse animadvertimus, errorum hoc loco emendandorum expetimus, ita commune permultorum scriptorum recentissimorum atque editorum vitium haud laudabile imitari, necessitate coacti.

Pag. 32. not. 1. ad Hos. III, 1. textum a nobis propositum cum Maji et textu et versione congruere diximus. Quod quomodo a nobis potuerit scribi, nunc nescimus, quum Majus edendi in Hoseam prophetam commentarii jam in cap. II, v. 9. finem fecerit. Non hujus igitur textum conferre potuimus l. c., sed fragmenta potius, quae SIEFFERTUS e cod. Vindob. jam ante nos descripta habet, et nobiscum amice communicavit, revera comparavimus.

Pag. 90. lin. 5. inf. pro *κατασκευασθεῖσι,* quod legitur in cod., reponendum est *κατασκευασθείσαις.*

Pag. 120. nota, inferiori margini adscripta, delenda est; omnia enim in textu recte se habent; itaque versioni lin. 9 inf. post *deinceps*, vocem *Deus* inserere velis, quaeso.

Pag. 616. lin. 18. inf. pro *αὐτῶν* legendum videtur *αὐτὸν*. qua de causa in versione non legendum: *Ex hac autem illorum ratione etc.,* sed potius: *Ejusdem vero generis. etc.* —

Faxit autem Deus, ut etiam haec veteris ecclesiastici viri editio ad promtuarium accedat illud, e quo eruditi, regni coelestis res edocti, quae ecclesiae saluti esse sciunt, sive recentia sive vetera depromunt.

Augustus a Wegnern.

Scribebam Schakae prope
Regimontum Borussorum,
die dom. Reminiscere
a. 1834.

ΘΕΟΔΩΡΟΥ ἈΝΤΙΟΧΕΩΣ

ΕΡΜΗΝΕΙΑ

ΕΙΣ

ΤΟΥΣ ΠΡΟΦΗΤΑΣ.

THEODORI ANTIOCHENI

COMMENTARIUS

IN

PROPHETAS.

ἙΡΜΗΝΕΙΑ ὨΣΗΕ ΤΟΥ ΠΡΟΦΗΤΟΥ [1]).

ΠΡΟΟΙΜΙΟΝ.

α΄. Εἰς ἔλεγχον περὶ ἀβασανίστως ἐπιβάλλειν ταῖς προφητικαῖς ἐπιχειρούντων φωναῖς, καὶ μὴν καὶ πρὸς κατασκευὴν τῶν ἑξῆς ἀρξώμεθα τῆς τῶν προφητικῶν σαφηνείας, θεοῦ διδόντος, ἀπὸ τοῦ Ὠσηὲ τὴν ἀρχὴν ποιησάμενοι, ὃν καὶ πρῶτον εἶναι τῷ χρόνῳ συμβέβηκε τῶν λοιπῶν προφητῶν. Τοῦ γὰρ μακαρίου Δαυὶδ, καθὰ πρόσθεν ἔφθην εἰπὼν [2]), ἐν ψαλμοῖς ἁπάσας τὰς περὶ τὸν λαὸν ἐσομένας μεταβολὰς ἐπιόντος [3]) προδήλως, σιγῇ μὲν τὸν ἐν μέσῳ χρόνον κατείχετο, ἅτε ἀρκούντως ἅπαντα προειρηκότος ἐκείνου. Ἐπειδὴ δὲ ἐπιστῆναι τὸν καιρὸν συνέβη, καθὸν ἤρξαντο κακῶς

COMMENTARIUS IN HOSEAM PROPHETAM.

PRAEFATIO.

1. Ut redarguam eos, qui sermonibus propheticis interpretandis operam navare inconsiderate conantur, simulque ut posteris viam muniam, Deo juvante, ad explicandos libros propheticos aggrediar, initio capto ab Hosea propheta, qui et princeps est aetate inter reliquos prophetas. Namque postquam beat. David, sicuti in prioribus jam exposui, omnes, quae populo eventurae erant, rerum publicarum mutationes perspicue in psalmis narraverat, silentium intermedia tempora occupavit, cunctis quippe

[1]) Praefatio cum commentario usque ad cap. II. v. 9. jam ab *Angelo Majo* (Collectio nova veterum anecdotorum Vol. I. p. 97. sqq.) publici juris facta est.

[2]) De hoc Theodori in psalmos commentario conferas, quae in prolegomenis a nobis prolixius sunt disputata.

[3]) Ita cod. Vindob. et editio Maji; sed f. l. εἰπόντος.

πάσχειν αἱ δέκα φυλαὶ, τῶν Ἀσσυρίων αὐτὰς πολιορκούντων ἀχρὶς οὗ παντελῶς αὐτὰς τῶν οἰκείων τόπων ὁ Σενναχηρεὶμ [1]) ἀφελὼν εἰς ἀλλοτρίους μετῴκισε τόπους, τά τε πόῤῥωθεν τῷ μακαρίῳ Δαυὶδ προειρημένα περὶ τῶν τῷ λαῷ συμβησομένων χαλεπῶν, τὴν ἀρχὴν ἐντεῦθεν ἐδέχετο — ὅπερ οὖν ἐπὶ τῶν κατὰ Ἐζεκίαν ἐγένετο καιρῶν τῆς Ἰούδα φυλῆς βασιλεύοντα σὺν τῇ Βενιαμὶν — προεβάλετο, τῶν πραγμάτων ἔγγυθεν ὄντων, ἡ θεῖα χάρις τοὺς προφήτας, καὶ πρό γε τῶν λοιπῶν τὸν Ὠσηὲ, μηνύοντα τὰ περὶ αὐτοὺς θέοθεν ἐσόμενα, καθάπερ τινὰ ὑπόμνησιν ποιούμενον τῶν παρὰ τῷ Δαυὶδ παλαί τε εἰρημένων καὶ πρόπαλαι, ὡς ἂν τῶν τε ἐσομένων χαλεπῶν τοὺς Ἰσραηλίτας ἀποφήνειεν αἰτίους, ἀποστάντας μὲν τῆς περὶ τὸν θεὸν θεραπείας τε καὶ γνώσεως, περὶ δὲ τὰ εἴδωλα καὶ τοὺς δαίμονας ἅπασαν ἔχοντας τὴν σπουδὴν, δῆλόν τε ποιήσειεν, ὅτι οὐκ ἔκ τινος συντυχίας γίνεται ταῦτα, πόῤῥωθεν δὲ εἴρητο καὶ προώριστο τῷ θεῷ γενέσθαι τὴν τούτων αὐτῶν ἐπισταμένῳ κακίαν, καὶ τὰ περὶ αὐτοὺς ὅντινα τρόπον προσῆκεν οἰκονο-

ab illo sufficienter praedictis. Simulac vero tempus adfuit, quo coeperunt adversa pati decem tribus ab Assyriis pressae, donec omnino eas e patriis sedibus abductas Sennacherimus in extranea loca traduxit, atque abhinc principium duxere ea quae beatus David populo imminere mala praedixerat, — id quod factum est Ezechiae aetate Judae et Benjamini tribuum imperium tenentis — tunc appropinquantibus rebus adversis, divina gratia prophetas excitavit, ac prae caeteris quidem Hoseam, ut, quae ipsis divinitus eventura essent, indicaret, et in memoriam quasi revocans praedictas olim a Davide calamitates, harum culpam Israelitis, quippe qui a Dei cultu ac cognitione abalienati omnem in idola ac daemones conferrent curam, esse tribuendam ostenderet, neque igitur casu aliquo haec accidere, palam faceret, sed multo ante edicente ac decernente Deo, quippe cui et Israëlitarum improbitas futura ex-

[1]) Theodorum hoc loco mutatis utriusque regni casibus in errorem incidisse, cuivis apparet; neque enim a Sennacherimo, sed a Salmanassaro post captam Samariam cives decem tribuum regni in captivitatem abactos esse constat. cf. 2 Reg XVII. XVIII.

μεῖν εἰδότι σαφῶς, εἰς προπαρασκευὴν τῆς τοῦ δεσπότου Χριστοῦ δείξεώς τε καὶ παρουσίας.

β΄. Ὥστε γὰρ δῆλον ἅπασι γενέσθαι ὅτι τὴν περὶ τὸν λαὸν κηδεμονίαν διὰ τὸν ἐξ αὐτῶν προσδοκώμενον φανήσεσθαι ποιεῖται, ἐκδίδωσι μὲν τὰς δέκα φυλὰς τῇ τῶν Ἀσσυρίων αἰχμαλωσίᾳ, φυλάττει δὲ ἐπὶ τῶν τόπων τὴν Ἰούδα μόνην, ἐξ ἥσπερ ἤμελλεν ὁ δεσπότης ἀναφαίνεσθαι τὸ κατὰ σάρκα Χριστός· ἥνπερ οὖν εἰς αἰχμαλωσίαν ὕστερον ἀπελθοῦσαν διὰ τὰς αὐτῶν ἐκείνων παρανομίας ὑπὸ Ναβουχοδονοσὸρ, τοῦ βασιλεύσαντος τῶν Βαβυλωνίων, ἐπανελθεῖν παραδόξως πεποίηκεν, ἐπανελθόντων μὲν καὶ ἐκ τῶν λοιπῶν φυλῶν τινῶν εὐαριθμήτων ἐξ ἑκάστης, τῆς Ἰούδα δὲ μόνης ἐπαναχθείσης [1]) ὅλης, ὡς ἂν γένοιτο δῆλον, ὅτι ἠδύνατο μὲν βουληθεὶς ὁ θεὸς καὶ τοὺς λοιποὺς ἐπαναγαγεῖν ὁμοίως ταύτῃ, ἀμελήσας δὲ τῶν λοιπῶν περὶ ταύτην ἅπασαν ἔθετο τὴν φροντίδα, ἀφ᾽ ἧσπερ ἤμελλεν ὁ δεσπότης ἀναδείκνυσθαι Χριστὸς, ἐπὶ κοινῇ τῇ πάντων φαινούμενος σωτηρίᾳ. — Κατὰ δὲ τοῦτον τὸν λόγον καὶ αἱ τῶν προφητῶν μηνύσεις ἐτύγ-

plorata esset, et simul comperta ratio, qua cum his agendum esset ob viam parandam Christi domini ostensioni atque adventui.

2. Deus nempe, ut omnes certiores faceret, se populi curam gerere propter eum, qui ex ipsarum genere orturus exspectabatur, idcirco tradidit decem tribus Assyriorum captivitati, unicam vero Judae tribum, de qua dominus exiturus erat secundum carnem Christus, in suis sedibus tuitus est. At vel eam captivam deinceps abductam propter pares iniquitates a Nabuchodonosore Babyloniorum rege, mirabili modo tandem redire fecit. Et quamvis etiam ex reliquis tribubus pauci quidam redirent, una tantum Judae tribus tota se in patriam recepit, quo perspicuum fieret, Deum, si id voluisset, vel caeteras haud secus quam istam reducere sane potuisse, verumtamen neglectis caeteris ad hanc unam curas suas contulisse, ex qua dominus apparituruS erat Christus ad communem omnium salutem restituendam. — His ita se habentibus, prophetarum quo-

[1]) Cod. Vindob. ἐπανελθείσης.

χανον ἀναγκαῖαι, δηλοῦσαι, ὅτι παλαί τε δεδογμένα τῷ Θεῷ, καὶ διὰ τοῦ μακαρίου Δαυὶδ εἰρημένα νῦν λαμβάνει πέρας, ἀποῤῥήτως ἅπαντα οἰκονομοῦντος τὰ περὶ αὐτοὺς τοῦ Θεοῦ. Ὅπερουν καὶ ὁ μακάριος Ὡσηὲ ποιῶν ὁ προφήτης τὰ περὶ τὸν λαὸν, ὑπὲρ ὧν ἠσέβουν, κατὰ θείαν ἐσόμενα βουλὴν μηνύει σαφῶς. Ἄρχεται δὲ οὕτως.

que vaticinia necessaria erant, quibus notum fieret, poenas olim a Deo decretas atque a Davide praedictas, nunc demum inflictum iri, arcana Dei providentia cunctas populi vices moderante. Id quod vel beatus propheta Hoseas agit, quaeque Deo jubente populo propter ejus impietatem eventura essent, perspicue significat. Ita vero incipit.

Κεφάλαιον Α΄.

α΄. „Λόγος κυρίου ὃς ἐγενήθη πρὸς Ὡσηὲ τὸν τοῦ Βεηρὶ ἐν ἡμέραις Ὀζίου καὶ Ἰωάθαμ καὶ Ἀχὰζ καὶ Ἐζεκίου βασιλέων Ἰούδα, καὶ ἐν ἡμέραις Ἱεροβόαμ υἱοῦ Ἰωὰς βασιλέως Ἰσραήλ.“ Ὡς ἐπιγραφή τις ἐστὶν αὕτη τοῦ βιβλίου περιεκτικὴ, δηλοῦσα τόν τε προφήτην οὗπέρ ἐστι τὰ εἰρημένα, καὶ τὸν καιρὸν καθ᾽ ὃν εἰρήκει ταῦτα. Λόγον δὲ κυρίου τὴν ἐνέργειαν ἁπανταχοῦ λέγει τὴν θείαν τὴν ἐφ᾽ ὅτῳ δήποτε γινομένην· ὡς τὸ [1]) „Τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν,“ ἵνα εἴπῃ ὅτι τῇ ἐνεργείᾳ συνέστησαν τῇ θείᾳ. Θείαν δὲ ἐνέργειαν κἀνταῦθα λέγει, καθ᾽ ἣν ἀποκάλυψις τῶν ἐσομένων ἐγίνετο τῷ προφή-

Caput I.

V. 1. „*Verbum domini, quod factum est ad Hoseam, filium Beeri in diebus Oziae et Joathami et Ezechiaë regum Judae, et in diebus Jeroboami, filii Joaso nati, regis Israelis.*“ Hic quasi titulus est, libri argumentum exhibens, simulque declarans, et a quo, et quo tempore dicantur haec. *Verbum domini* autem pro potentia divina ubique dicit scriptura; veluti: „Verbo domini coeli firmati sunt,“ quasi dicat potentia divina eos esse compactos. Potentiam itaque divinam hic quoque innuit, quum ab ea ipsi (prophetae) et revelandi et edicendi futura facultas data esset. Ob sui

[1]) Ps. XXXII, 6.

τῃ· ἀφ' ἧσπερ αὐτῷ καὶ τὸ λέγειν τε καὶ μηνύειν τὰ ἐσόμενα δύναμις ὑπῆρχεν. Εἰς δήλωσιν δὲ ἀκριβεστέραν καὶ τὸ τοῦ πατρὸς προστίθησιν ὄνομα· ἀναγκαίως δὲ λέγει καὶ τὸν καιρὸν ἐν ᾧπερ κατὰ τὴν ἀποκάλυψιν τὴν ἐγγενομένην αὐτῷ θεόθεν ἐμήνυε τὰ ἐσόμενα· λέγει δὲ ὅτι καθ' ὃν καιρὸν Ὀζίας τε ἐβασίλευε καὶ Ἰωάθαμ καὶ Ἄχαζ καὶ Ἐζεκίας· ἀφ' ὧν σκοπήσειεν ἄν τις εἰκότως, ὅτι οὐχ ὑπὸ μίαν τινὰ ἁρμονίαν συγγέγραφε τὸ βιβλίον ὁ προφήτης, ἀλλ' ἐν διαφόροις καιροῖς τὰς περὶ τῶν ἐσομένων ἀποκαλύψεις δεχόμενος, ἐποιεῖτο τῶν ἐσομένων τὴν μήνυσιν, ὑπομιμνησκόμενός τε περὶ τῶν αὐτῶν πολλάκις διὰ τῆς ἀποκαλύψεως τῆς θείας, καὶ δὴ καὶ λέγων αὐτὰς πρὸς τὸν λαὸν εἰς δήλωσιν τῶν ἐσομένων. ὅνπερ δὴ τρόπον καὶ ὁ μακάριος Δαυὶδ εἰς τὴν αὐτὴν ὑπόθεσιν φαίνεται πλείστους ψαλμοὺς εἰρηκώς, ὧν ἕκαστον κατὰ τὴν ἐγγινομένην ἀποκάλυψίν τε αὐτῷ καὶ ὑπόμνησιν τῇ τοῦ πνεύματος ἐνεργείᾳ συνετίθει τε καὶ πρὸς τὴν ἑτέρων ἐξεφώνει χρείαν αὐτός τε τὰς [1]) περὶ τῶν αὐτῶν ἀποκαλύψεις δεχόμενος πολλάκις καὶ λέγων ἀκολούθως, ὁσάκις δὲ τῶν αὐτῶν ἀποκαλύψεων ἠξιοῦτο. Εἰρηκὼς δὲ τοὺς τῆς [2]) Ἰουδαίας βασιλέας,

autem pleniorem notitiam, patris quoque nomen adjicit, tum etiam necessario tempus adnotat, quo secundum divinitus sibi impertitam revelationem res futuras significabat. Praefinit igitur tempus quo regnaverunt Ozias et Joathamus et Achazus et Ezechias. Unde quivis recte cognoscere possit, haud uno continenter spiritu conscripsisse prophetam hunc librum, sed prout variis temporibus rerum futurarum notiones exceperit, sic eas elocutum fuisse, facta haud semel rerum mentione pro divinis ad se oraculis, quae in populo vulgabat ut futura patefaceret. Similiter beatum quoque Davidem eodem argumento complures cecinisse psalmos videmus quorum singulos secundum eam, quam spiritu id efficiente exceperat, revelationem et admonitionem composuit, et ad caeterorum usum pronunciavit; et ipse videlicet earundem rerum revelationes saepius recipiens et deinceps evulgans quotiescunque iisdem dignus habebatur revelationibus. Jam ubi dixit Hoseas, quinam

[1]) Editio Maji omittit articulum τας, sed perperam.
[2]) Editio Maji omisso articulo εἰρηκὼς δὲ τοὺς Ἰουδαίας βασιλέας.

ὁπηνίκα πρὸς τὸ προφητεύειν διέγειρεν ἡ θεία χάρις τὸν Ὠσηὲ, λέγει καὶ τὸν ἐν τῷ Ἰσραὴλ τουτέστι τὸν ἐν δέκα φυλαῖς βασιλεύοντα τότε Ἱεροβοὰμ, τὸν τοῦ Ἰωὰς υἱὸν, ἔγγονον δὲ τοῦ Ἰωάχαζ, ὃς υἱὸς ἐγεγόνει τοῦ Ἰηοῦ, ὃν[1]) ἐπὶ τιμωρίαν τοῦ τε Ἀχαὰβ καὶ πάσης αὐτοῦ τῆς οἰκίας διὰ τοῦ προφήτου Ἐλισσαίου προβαλόμενος ὁ Θεὸς, ὑπέσχετο ἄχρι τετάρτης διαδοχῆς ἐπὶ τῆς βασιλείας ἔσεσθαι τοὺς ἐξ αὐτοῦ γινομένους· ὧν τρίτος μὲν ἦν ὁ Ἱεροβοὰμ υἱὸς μὲν τοῦ Ἰωὰς ἔγγονος δὲ τοῦ Ἰωάχαζ. τέταρτος δὲ γέγονε Ζαχαρίας ὁ τοῦ Ἱεροβοὰμ υἱὸς, ὃς ἐπὶ ἓξ βασιλεύσας τοῖς μησὶ τετελεύτηκε· πέρας μὲν ἐπ' αὐτοῦ τῆς ἐπαγγελίας λαβούσης τῆς θείας, μεταστάσης δὲ λοιπὸν ἀπὸ τοῦ γένους τοῦ Ἰηοῦ τῆς βασιλείας ἐπὶ τὸν Σελλὴμ οὐ τῆς αὐτῆς ὑπάρχοντα συγγενείας. Παρεληλύθει μὲν οὖν εἰς τὴν τοῦ Ἰσραὴλ βασιλείαν ὁ Ἱεροβοὰμ, Ὀζίου βασιλεύοντος τῆς Ἱερουσαλήμ. Ἐξ ἐκείνου τοῦ χρόνου τοῦ κακῶς πράττειν ἔλαβον τὴν ἀρχὴν οἱ τῶν δέκα φυλῶν, ἄχρις οὗ παντελῶς αὐτὰς αἰχμαλώτους λαβὼν μετῴκισεν ὁ τῶν Ἀσσυρίων βασιλεύς. ὥστ' ἂν εἰκότως κατὰ τοῦτον τὸν καιρὸν ἐπὶ τὴν προφητείαν τὸν Ὠσηὲ

essent Judae reges, quo tempore ad prophetandum divina gratia excitatus fuerit, nominat etiam eum, qui tunc Israeli, id est decem tribubus imperabat, Jeroboamum, Joasi filium, nepotemque Joachasi, qui filius erat Jehu, quem postremum ad Achaabi ejusque familiae poenam Deus excitaverat per prophetam Elissaeum, et cui promiserat, fore ut posteri ejus usque ad quartam generationem regno potirentur. Ex iis quidem tertius erat Jeroboamus, Joasi filius, Joachazi nepos, quartus autem erat Zacharias Jeroboami filius, qui post sex regni menses obiit, in quo exitum habuit divinum vaticinium, translata deinceps regia dignitate a Jehu genere ad Sellumum, qui haud ejusdem erat cognationis. Quum igitur capessivisset Israelis regnum Jeroboamus Ozia Hierosolymis imperante, inde ab ea aetate cladibus coeperunt adfici decem tribus, donec eas prorsus servitio addictas migrare coegit rex Assyriorum. Quare commodo tempore ad vaticinandum venit Hoseas, praesagiorum Davidicorum

[1]) Majus male ὅς.

παρεληλυθέναι [1]) τῶν τε πῤῥήσεων ὑπομιμνήσκοντα τοῦ μακαρίου Δαυὶδ καὶ μνημονεύοντα ἔγγυθεν ἐσόμενα τὰ δὴ πόῤῥωθεν εἰρημένα περὶ αὐτῶν. Καὶ μετὰ ταῦτα φησίν.

β. „Ἀρχὴ λόγου κυρίου πρὸς Ὡσηέ.“ δῆλον ὅτι ἐντεῦθεν τῆς πρὸς αὐτὸν ἀποκαλύψεως ἤρξατο ὁ Θεός· κελεύει τε αὐτῷ γυναῖκα πόρνην ἀγαγέσθαι, καὶ δὴ καὶ τεκνώσασθαι ἐξ αὐτῆς. καὶ τὴν αἰτίαν προστίθησι· „διότι ἐκπορνεύουσα ἐκπορνεύσει ἡ γῆ ἀπὸ ὄπισθεν τοῦ κυρίου.“ Τὸ μὲν οὖν παρασκευάζειν τινὰ τῶν οὐχ ἁρμοδίων εἶναι δοκούντων τοῖς πολλοῖς τοὺς προφήτας ποιεῖν τὸν Θεὸν, ὡς τὸν Ἡσαΐαν γυμνὸν ἀνυπόδητον ἐκέλευσεν ἐν μέσῳ παριέναι πάντων [2]), καὶ ὁπόσα δὴ τοιαῦτα [3]), πρόδηλον ἔχει τὴν αἰτίαν. ἐπειδὴ γὰρ οἱ πολλοὶ τῶν μὲν λόγων παρέργως ἀκούειν εἰώθαμεν, ἐκταρραττόμεθα δὲ πρὸς τὴν τῶν γινομένων τε καὶ ὁρωμένων καινότητα, καὶ μάλιστα ὅταν ἀπῳδὰ τοῦ τρόπου τοῦ ποιοῦντος ὑπάρχῃ [4])· εἰκότως ὁ Θεὸς διὰ τὸ τῶν Ἰουδαίων δυσπειθὲς παρασκευάζει πολλάκις τοὺς προφήτας τοιαῦτά τινα διαπράττεσθαι, ἵν' ἐκ τῆς τῶν γινομένων καινότητος ἐπιστρεφόμε-

redintegrans memoriam atque ea jam proxima annuntians, quae multo ante praedicta fuerant. Deinde vero ita loquitur.

V. 2. „*Initium verbi Domini ad Hoseam.*“ Patet hinc Dei coepisse apud illum revelationes; et jubet eum conjugem meretricem ducere, et ex ea liberos procreare. Cujus rei causam quoque addit: *Quoniam fornicans fornicabitur terra a Domino.* Jam vero quando Deus prophetas quaedam facere jubet, quae multis praeter decorum esse videntur, veluti quum Jesajam nudum jussit atque excalceatum coram omnibus incedere, id causam habet facile cognitu. Nam quia plerique sermones oscitanter audire solemus, rerum vero gestarum et ob oculos positarum novitate commovemur, praesertim quum haec absona sint a facientis moribus; suo jure Deus saepius ob Judaeorum incredulitatem, prophetas talia quaedam agere facit, ut scilicet percussum novitate factorum vulgus causam ediscat, et quid sit jus-

[1]) Ed. Maj. παρεληλυθῆναι. — [2]) Jes. XX. — [3]) Cod. Vat. δή τοι αὐτά. — [4]) Cod. Vat. ὑπάρξῃ.

νοί πως οἱ τοῦ λαοῦ μανθάνωσί τε τὴν αἰτίαν καὶ παιδεύωνται τὸ δέον. Ἐκέλευσε τοίνυν τῷ προφήτῃ πόρνην ἀγαγέσθαι γυναῖκα· κοινὸν γὰρ ἦν τὸ τὸν προφήτην ἑλέσθαι γυναῖκα τοιαύτην εἰς γάμου λαβεῖν κοινωνίαν, ὅπερ οὖν αὐτῷ ποιῆσαι προσέταξεν ὁ θεός, ἐπειδὴ αὐτῷ τε τῷ προφήτῃ εἰς κοινωνίαν γάμου γυναῖκα λαβεῖν κατὰ νόμον ἐξῆν, τήν τε πόρνην λαμβάνων σωφρονεῖν ἔπειθεν ὡς εἰκὸς· ἀνάγκη γὰρ ἦν ξενίζεσθαι μὲν ἅπαντας, ὅτι ἀνὴρ τοῦ προσήκοντος πολλὴν ἐπιμέλειαν ἔχων, καταλιπὼν τὰς ἐν σεμνότητί πως εἶναι δοκούσας, εἰς γάμου κοινωνίαν εἵλετο πόρνην λαβεῖν. Ἡ δὲ τοῦ γινομένου καινότης ἀφορμὴν ἐδίδου τῷ προφήτῃ τὰ προσήκοντα λέγειν πρὸς αὐτούς, πρός τῷ [1]) καὶ πολλῇ [2]) τῇ παραθέσει μείζονα φαίνεσθαι, τὸ τὸν θεὸν αἱρεῖσθαι οὕτως ἀγνωμόνων ἀνδρῶν εἰς ἐπιμέλειαν ἑαυτὸν κατιέναι, εἴ γε καὶ τὸν προφήτην θαυμαστὸν ἦν ἐπειλημμένου [3]) τοῦ προσήκοντος εἰς πόρνης ὁμιλίαν χωρεῖν. Ἐπειδὴ τοίνυν, φησὶν, ἐπιμελοῦμαι τῶν Ἰσραηλιτῶν πορνικὸν τρόπον πάντοτε ἐπιδεδειγμένων περὶ ἐμὲ

tum doceatur. Jussit igitur prophetam meretricem uxorem ducere. Novum enim erat ejusmodi mulierem a propheta in matrimonii convictum adsumi, id quod reapse peragere Deus ei praecepit. Nam prophetae quidem secundum legem uxorem ducere licebat; et quum meretricem in matrimonium assumsit, eam ut caste nunc viveret commovisse sane putandus est. Necesse enim erat mirari omnes, quod vir decori perquam studiosus, spretis iis, quae pudicitiae laude florebant, nuptias meretricias praeferret. Verum rei novitas occasionem prophetae praebebat, quae opus erant Judaeis dicendi praetereaque graviore argumento demonstrandi, quam mira essent Dei consilia, qui tam ingratorum hominum curam suscepisset, siquidem mirum erat, vel prophetam, conculcato eo quod honestum est, ad scorti nuptias proruere. Jam vero, quum ego, inquit (Deus), Israelitarum, qui meretricio prorsus more

[1]) Maji editio: πρὸς τὸ καὶ etc., sed male.

[2]) Locus paululum corruptus videtur, nec Maji codices opem ferunt. Versionem secuti sumus Maji. Sed fortasse legendum: πολλῷ, τ, π. μεῖζον ἀναφαίνεσθαι et vertendum: *Praeterea ex comparatione multo etiam gravius id videbatur, quod Deus hominum tam ingratorum curam suscepisset.*

[3]) Legendum sine dubio: ἐπειλημμένον.

καὶ καθ' ἑκάστην ἡμέραν ἄχρι τοῦ δεῦρο ταύτην ἐπιτεινόντων τὴν γνώμην, καὶ παρὰ πάντας ἀνθρώπους αὐτοὺς εἰς οἰκειότητα εἱλόμην τὴν ἐμήν, μετ' οὐ πολὺ δὲ ἔλεγχον τῆς περὶ ἐμὲ γνώμης ἀκριβὲς παρέξονται τὴν ἐπαγομένην αὐτοῖς ὑπ' ἐμοῦ τιμωρίαν, ὅτε τῇ αἰχμαλωσίᾳ παραδιδόμενοι παντελῶς ταύτης ἀπαλλοτριοῦνται τῆς γῆς, ἐν ἥπερ οἰκοῦντας ἐπιμελείας τε τῆς ἐμῆς ἀξιουμένους ἐπὶ τῶν νόμων μένειν ἐκέλευσα τῶν ἐμῶν, ὅνπερ δὴ τρόπον καὶ ταῖς γυναιξὶν ἔθος εἰς κοινωνίαν λαμβανομέναις ἐπὶ τῶν γαμικῶν μένειν νόμων, ἐφ' ἅπασι δὲ τούτοις οὐ τὴν προσήκουσαν τῶν γινομένων αἴσθησιν ἔχουσιν, οὔθ' ὧν ποιοῦσιν, οὔθ' ὧν πείσονται δικαίως · φέρε δὴ σὺ προφῆτα τῇ τοῦ γινομένου καινότητι ἔλεγχον τῆς παρ' αὐτῶν πραττομένης ποίησαι ἀτοπίας.

mecum agunt et quoque hucusque die hanc retinuerunt mentem, curam geram et prae omnibus hominibus eos potissimum in familiaritatem meam receperim; ipsi autem qualem erga me habuerint animum clare experturi sint e poena iis a me infligenda, quando captivitati traditi, ex ea prorsus fugabuntur terra, in qua antea habitantes meaque cura insigniti legibus a me scriptis obtemperare, prouti mulieribus in conjugium assumtis nuptialibus obtemperare fas est, jussi erant, nunquam tamen earum omnium rerum respectum habentes, neque quid iis faciendum vel merito patiendum sit animo secum reputantes: — agedum tu Propheta facti tui novitate coargue susceptam ab iis absurditatem.

γ' — ε'. Πείθεται δὴ τούτοις ὁ προφήτης καὶ ἄγεται πρὸς γάμον πόρνην, ἧς καὶ τὸ ὄνομα καὶ τὸν πατέρα λέγει, ὡς μὴ πλάσμα ψιλόν τι δοκοίη τὸ λεγόμενον ἱστορία δὲ ἀληθὴς τῶν πραγμάτων. Γίνεται δὲ αὐτῷ καὶ υἱὸς ἐκ ταύτης, ὃν ἐκέλευσεν Ἰεζραὴλ ὀνομασθῆναι · οὕτω δὲ τὸ χωρίον ἐλέγετο, ἐν ᾧ τε Ναβουθαὶ τὴν παράνομον ὑπομεμένηκε

V. 3—5. Morem jusso gerit propheta, meretricem in matrimonium ducit, cujus et nomen et patrem appellat, ne forte, quod dictum est, res plane fictitia sed revera gesta et historia videatur. Nascitur quoque ei filius ex hac conjuge, quem Iesraëlem nominari jubet. Ita vero locus dicebatur, quo Nabuthes ini-

σφαγὴν [1]), καὶ μὴν καὶ Ἰεζαβὴλ κατεσφάγη δίκας τῆς ἐπ' αὐτῷ τίνουσα παρανομίας, αὐτήν τε καὶ ἅπαν τὸ γένος τοῦ Ἀχαὰβ ἀντὶ τῆς παρανομίας ταύτης κατὰ πρόσταγμα θεῖον ἀπολέσαντος τοῦ Ἰηοῦ [2])· „μικρὸν γάρ, φησι, καὶ ἐκδικήσω τὸ αἷμα τοῦ Ἰεζραὴλ ἐπὶ τὸν οἶκον Ἰηοῦ καὶ καταπαύσω βασιλείαν οἴκου Ἰσραήλ." ἀνθ' ὧν γάρ, φησίν, εἰς βασιλείαν ὑπ' ἐμοῦ προχειρισθεὶς ὁ Ἰηοῦ ἅπαν τοῦ οἴκου Ἀχαὰβ ἀπώλεσεν τὸ γένος, ὑπέρ τε τῆς ἀσεβείας καὶ τῆς ἀνομίας, ἣν κατὰ τοῦ Ναβουθαὶ ἐπὶ τοῦ προῤῥηθέντος τετόλμηκε τόπου, εἶτα οὐ σωφρονισθεὶς ἐπὶ τούτοις, οὐδ' ἀφ' ὧν ἴσχυε καθ' ἑτέρων παρανενομηκότων ἐφυλάξατο τὴν παρανομίαν [3]), ἅπαντες δὲ οἱ ἐφεξῆς τοῦ Ἀχαὰβ ἐμιμήσαντο γνώμην· μετ' οὐ πολὺ δὴ πᾶσαν παύσω τοῦ Ἰσραὴλ τὴν βασιλείαν, ἐπεὶ μηδὲ οἷόν τε ἦν οἰκεῖον ἔχειν βασιλέα τοὺς ὑπὸ τὴν αἰχμαλωσίαν τυγχάνοντας τοῦ λοιποῦ. —

quam passus est trucidationem, et Jesabel quoque caesa fuit sui in illum sceleris poenas luens, quia videlicet ipsam cum universa Achaabi familia propter illam impietatem Jehu (rex) Deo jubente leto tradidit. „*Quia adhuc modicum, inquit, et ulciscar sanguinem Jesraelis super domum Jehu, et finem imponam regno Israelis.* Quia, ait, Jehu ad regni honorem a me provectus cunctam quidem Achaabi stirpem delevit propter scelus ac maleficium, quod praedicto in loco contra Nabuthem fuerat patratum: verumtamen ipse non satis hinc emendatus ne ab iis quidem continuit se criminibus, quae in caeteros vindicaverat, cunctique, qui postea fuerunt Israelis reges, mores Achaabi imitati sunt. Ergo paulo post universam Israelis regnum extinguam, quum fieri non possit, ut ii regem habeant qui deinceps in captivitate vitam sunt acturi.

ε'. „Συντρίψω δὲ καὶ τὸ τόξον τοῦ Ἰσραὴλ ἐν τῇ κοιλάδι τοῦ Ἰεζραήλ." Ἐκ τοῦ μέρους πᾶσαν αὐτῶν καλέσας τὴν χώραν, ἵνα εἴπῃ ὅτι πᾶσαν αὐ-

V. 5. *Conteram quoque arcum Israëlis in vallo Jesraëlis.*" A parte universam hic ipsorum regionem appellat: dicit enim, se cunctas

[1]) III Reg. 21, 1. sqq. — [2]) IV. Reg. 9, 30. sqq. — [3]) IV. Reg. 10, 31. sqq.

τῶν τὴν δύναμιν ἄπρακτον ἐργάσομαι ἐν τοῖς οἰκείοις τόποις ὑποχειρίους τοῖς πολεμίοις ἐργασάμενος, λέγει δὲ τοῖς Ἀσσυρίοις.

ϛ — ζ. Εἶτα λέγει ὅτι γέγονεν αὐτῷ καὶ θυγάτηρ ἐκ τῆς αὐτῆς γυναικός, ἣν „Οὐκ ἠλεημένην" κληθῆναι κελεύει, ὑπόμνημα τι παρεχομένην διὰ τῆς οἰκείας προσηγορίας τοῦ μηδενὸς ἐλέου τεύξεσθαι τοὺς Ἰσραηλίτας ἐπὶ παντελεῖ δὲ παραδοθήσεσθαι αἰχμαλωσίᾳ, οὐ τῇ δυνάμει τῶν πολεμίων, ἀλλ' αὐτοῦ γε αὐτοῖς πολεμοῦντος τοῦ θεοῦ προδήλως· τοῦτο γὰρ δηλοῖ τὸ „ἀντιτασσόμενος ἀντιτάξομαι αὐτοῖς." Εἰς μείζονα δὲ ἀπόδειξιν τοῦ γνώμῃ, φησὶν, ἐμῇ ταῦτα γίνεσθαι περὶ αὐτοὺς, παρέξομαι τὰ κατὰ τὸν Ἰούδαν, οὓς ἐλεήσω τε ὑπὸ τῶν Ἀσσυρίων τῶν ἐκείνους αἰχμαλωτευσάντων τὰ ὅμοια κινδυνεύοντας παθεῖν, καὶ περισώσω τῇ δυνάμει τῇ ἐμῇ, οὐ τόξῳ καὶ ξίφει καὶ πολέμῳ, ἀλλ' οὐδέ τινι ἀνθρωπίνῃ συμμαχίᾳ βοηθουμένους καθάπαξ, μόνῃ δε τῇ ἐμῇ δυνάμει τὸν τοσοῦτον κίνδυνον διαφεύγοντας. Ὅπερ δὴ καὶ γέγονεν ἀγγέλου διὰ τῆς νυκτὸς ἀθρόον ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας τῶν Ἀσσυρίων ἀνελόντος, ὡς τραπῆναι μὲν πρὸς φυγὴν τοὺς λοιποὺς, ἀναντίῤῥη-

eorum vires irritas redditurum in patrio solo hostibus eos subjiciendo, videlicet Assyriis.

V. 6. 7. Deinde, natam sibi ex eadem femina filiam, ait propheta, quam „Non miserandae" nomine appellari jubet, quae satis admoneret per suam ipsius appellationem, fore, ut nullam Israelitae nacturi essent misericordiam, sed generali servitio tradendi, haud quidem hostium vi, verum ipsius Dei manifeste pugnantis. Hoc enim significant verba: *Adversans adversabor illis.* Atque ut magis etiam, inquit, demonstrem ex voluntate mea haec iis accidere, Judae rebus utar; ejus enim miserebor, quum in idem discrimen ab Assyriis vocabitur, qui Israëlem fecerunt captivum: eumque servabo potentia mea, et haud quidem arcu vel gladio vel bello, vel ullo alio hominum auxilio unquam adjutum; sed mea sola potentia tantum periculum effugiet. Id quod re vera contigit, angelo noctu centum octoginta millia Assyriorum acervatim occidente, ita ut reliqui in fugam se converterent, incolae ve-

τον δὲ τοὺς ἐπὶ τῇ Ἱερουσαλὴμ δέξασθαι τὴν σωτηρίαν [1]).

η'. θ'. Τίκτεται δὲ πάλιν καὶ ἕτερος υἱὸς, ὃν εἰς τὴν τῶν εἰρημένων βεβαίωσιν „Οὐ λαὸν“ κελεύει κληθῆναι, καὶ τὴν αἰτίαν λέγει· „ὅτι ὑμεῖς οὐ λαός μου, καὶ ἐγὼ οὐκ εἰμὶ ὑμῶν.“ ὑμεῖς τε γὰρ ἀπαλλοτριωθήσεσθε τῆς ἐμῆς κηδεμονίας λοιπὸν, κἀγὼ δὲ ὡσὰν ἀλλοτρίους ὄντας τοῖς ἐπικειμένοις ἐκδώσω κακοῖς. Εἶτα ἐπάγει.

ι'. Ὅτι ἦν ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡσεὶ ἄμμος τῆς θαλάσσης, καὶ οὐκ ἐκμετρηθήσεται οὐδὲ ἐξαριθμηθήσεται.“ μεῖζον γὰρ ἦν τὸ θαῦμα καὶ σαφῆ τῆς θείας ὀργῆς τὸν ἔλεγχον παρεχόμενον, εἰ τοσούτους ὄντας ἀθρόον αἰχμαλωσίᾳ παρεδίδου μηδὲν ἐξ ἑαυτῶν [2]) τοσούτων ὄντων ὠφελεῖσθαι οἵους τε ὄντας. — Εἶθ' ὅπερ ἔθος τοῖς προφήταις καὶ μὴν καὶ τῷ μακαρίῳ Δαϋὶδ τὸ ἐν μέσῳ τῶν λυπηρῶν καὶ τὰ ἡδέα μηνύειν, τήν τε ἐπὶ τὸ κρεῖττον μεταβολὴν ἐπὶ ψυχαγωγίᾳ τῶν ἐν τοῖς χείροσι γινομένων, „Καὶ ἔσται, φησὶν, ἐν τῷ τόπῳ, οὗ ἐῤῥέθη [3]) αὐτοῖς οὐ λαός μου ὑμεῖς, αὐτοὶ

ro Hierosolymarum salutem nanciscerentur.

V. 8. 9. Paritur rursus alter filius, quem dictorum causa confirmandorum jubet vocari „*Non populus meus,*“ causamque nominis addit: „*Quippe vos jam populus meus non eritis, neque ego vester ero (Deus).*“ Vos enim a cura mea deinceps alieni eritis, quos ego tanquam extraneos imminentibus traditurus sum malis. Deinde adjungit.

V. 10. *Erat numerus filiorum Israelis velut arena maris, quam neque commetiri, neque numerare poteris.* Majus quippe miraculum erat et manifestum divinae argumentum exhibens irae, si tanti numeri populum in captivitatem confertim daret, nemine ex tanta eorum multitudine ad ferendam opem idoneo. — Deinde, pro more prophetarum et beati quoque Davidis, molestis dulcia miscendi et ad meliora rerum conversionem significandi ad laborantium animos relevandos, „*Et erit, inquit, eo loco, ubi dictum illis fuerat, Non populus meus vos estis ibi iidem*

[1]) IV. Reg. 19, 35. — [2]) Apud Majum scriptum est: ἐξ αὐτῶν. — [3]) Majus: ἐῤῥήθη.

κληθήσονται υἱοὶ θεοῦ ζῶντος.“ Οὕτω καὶ ὁ μακάριος Δαυὶδ τὰ κατὰ τοὺς Ἀσσυρίους εἰπὼν, ἐπάγει [1]· „Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ; ἐν τῷ ἐπιστρέψαι κύριον τὴν αἰχμαλωσίαν λαοῦ αὐτοῦ ἀγαλλιάσεται Ἰακὼβ, καὶ εὐφρανθήσεται Ἰσραήλ.“ δεικνὺς ὅτι ἔσται καιρὸς, ὁπηνίκα τὴν αἰχμαλωσίαν λύσει πάντως αὐτοις ὁ Θεός· τὸ γὰρ αὐτὸ δὴ κἀνταῦθά φησιν, ὅτι ἔνθα δὴ ἐκλήθησαν Οὐ λαὸς, τουτέστιν, ἀπεῤῥίφησαν τῆς προνοίας τῆς ἐμῆς, ἐνταῦθα δὴ κληθήσονται υἱοὶ Θεοῦ ζῶντος, ἵνα εἴπῃ, τεύξονται πάλιν τῆς οἰκειώσεως τῆς ἐμῆς, καλῶς εἰπὼν τὸ ἐν τῷ τόπῳ τούτῳ, ἀφ᾽ οὗπερ αὐτοὺς ἀφελὼν εἰς τὸν αὐτὸν ἐπανάγειν ἤμελλε πάλιν. Ἐπάγει γοῦν εἰς μείζονα τοῦ λεγομένου σαφήνειαν.

ιά. „Καὶ συναχθήσονται οἱ υἱοὶ Ἰούδα καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐπὶ τὸ αὐτὸ καὶ θήσονται ἑαυτοῖς ἀρχὴν μίαν καὶ ἀναβήσονται ἐκ τῆς γῆς.“ λέγει δὲ ὅτι μετὰ τὴν εἰς Βαβυλῶνα αἰχμαλωσίαν τῶν τῆς Ἰούδα φυλῆς μία τις ἁπάντων γενήσεται ἐλευθερία. ὅτι δὲ ὑπὸ μίαν ἔσονται τὴν ἀρχὴν, οὐκέτι διῃρημένοι κατὰ τὸ πρότερον ὑπὸ μίαν δὲ ὄντες τὴν

[1]) Ps. XIII., 7.

viventis Dei filii vocabuntur.“ Sic etiam beatus David de Assyriorum rebus locutus addit: „Quis dabit ex Sione salutem Israelis? quando avertet Dominus captivitatem populi sui, tunc exultabit Jacob et Israel laetabitur;“ in quo docet, fore tempus, quo Deus eorum captivitatem omnino sublaturus sit. Idem vero et hic dicit, fore scilicet, ut ubi Israelitae vocati fuerant „*Non populus*,“ id est a divina clementia rejecti, ibidem *filiorum Dei viventis* nomen accepturi, i. e. ejus familiaritatem recuperaturi sint. Et praeclare dicitur „loco eo,“ quippe ex quo antea a se abductos, nunc rursum eodem esset reducturus. Ut magis etiam declaret, quae modo dixerat propheta, adjicit:

V. 11. *Et congregabuntur in unum filii Judae et filii Israelis, et constituent sibi principatum unum, et ascendent e terra,*“ Innuit propheta fore ut post Babylonicam Judae tribus captivitatem, una sit omnibus parata libertas, atque omnes sub uno sint imperio non amplius uti antea divisi sed sub unum coacti imperium ita quidem ut

ἀρχὴν [1]), τῶν πάντων μὲν ἡγεῖσθαι τὴν Ἰούδα φυλὴν, ἐν βασιλείᾳ δὲ καὶ ἀρχῇ καθεστάναι τοὺς ἐξ ἐκείνης τυγχάνοντας τῆς φυλῆς. — Εἶτα ἐπάγει· „ὅτι μεγάλη ἡ ἡμέρα τοῦ Ἰεζραήλ.“ ἐπειδὴ γὰρ εἶπεν, ὅτι ὑπὲρ τούτου δώσουσι δίκας, τοῦτο βούλεται εἰπεῖν, ὅτι τούτων δὴ τῶν ὑπὲρ τῆς πρόσθεν αὐτῶν ἀσεβείας πεπονθότων κακῶς, φοβερά τις ἔσται καὶ ἐπίδοξος ἡ ἡμέρα ἐκείνη, καθ' ἣν παρὰ πᾶσαν ἀνθρωπίνην ἐλπίδα τῆς ἐπανόδου τεύξονται τῆς ἐπὶ τὰ οἰκεῖα. Καὶ τίς ἡ ἀπόδειξις;

potior sit Judae tribus, regiamque potestatem teneant, qui ex ea fuerint oriundi. Deinde ita pergit: „*Quia magna dies Jesraëlis.*“ Postquam dixit, eos propterea poenas soluturos, jam id vult dicere, fore, ut postquam scelerum suorum causa graviter passi fuerint, terribilis atque illustris adveniat dies, quo praeter omnem spem humanam, reditum in patriam nanciscentur. Quidnam autem ejus rei est documentum?

Κεφάλαιον Β'.

α'. „Εἴπατε τῷ ἀδελφῷ ὑμῶν, λαός μου, καὶ τῇ ἀδελφῇ ὑμῶν, ἠλεημένη.“ εἴπατε, ἀντὶ τοῦ ἐρεῖτε, ἵνα εἴπῃ, ὅτι ἐναλλαγήσεται αὐτοῖς τὰ ὀνόματα, ἐν δὲ τοῖς ὀνόμασι δηλοῖ τὰ πράγματα [2]). ἁρμόσει γὰρ αὐτοῖς, φησὶ, τὸ λαὸς λέγεσθαι καὶ ἠλεημένη ὡς ᾠκειωμένοις τε καὶ τῆς φιλανθρωπίας ἀπολαύουσι τότε τῆς ἐμῆς. Εἶτα ἀπὸ τῆς προκειμένης εἰκόνος τοῦ λόγου τὴν ἀφορμὴν λαβὼν,

β'. Κρίθητε (φησὶ) πρὸς

Caput II.

V. 1. „*Dicite fratri vestro: Populus meus, et sorori vestrae: Misericordiam nacta.*“ Dicite pro dicetis, ut indicet, eorum nomina mutata fore; in nominibus vero facta significat. Congruum enim erit eos Populum vocari et Misericordiam nactam, quippe qui sint familiares mei futuri et clementia mea fruituri. Deinde a proposita imagine ansam dicendi capiens,

V. 2. „*Ferte sententiam*

[1]) Verba οὐκέτι διῃρημένοι — — ἀρχὴν in Maji quidem editione desunt, sed negligentia editoris excidisse putanda sunt, quum in Latina ejusdem versione legantur.

[2]) Vel haec verba ἐν δὲ τοῖς — πράγματα a Majo, licet in versione expressa, in Graeco textu omissa sunt.

τὴν μητέρα ὑμῶν κρίθητε, ὅτι αὐτὴ οὐ γυνή μου κἀγὼ οὐκ ἀνὴρ αὐτῆς. ἐπὶ μὲν τῆς προκειμένης εἰκόνος εὔδηλον, ὅτι μητέρα μὲν τὴν πόρνην καλεῖ, τέκνα δὲ τὰ ἐξ αὐτῆς ὡς εἰκὸς γεννηθέντα, ἐνταῦθα δὲ μητέρα μὲν λέγει τὴν συναγωγὴν τῶν Ἰουδαίων, ἣν ἄνωθεν ὡσανεὶ μνηστευσάμενός τε καὶ συνάψας ἑαυτῷ τῇ τῆς κηδεμονίας ὑπερβολῇ ἐξήγαγέ τε τῆς Αἰγύπτου, καὶ ἐλευθερίας ἀξιώσας εἰς τὴν ἔρημον ἤγαγεν, ἐπὶ τῷ τὴν θεοσέβειαν ἐκπαιδεῦσαι εἰς μείζονα σχέσιν ἀγαγεῖν ἑαυτοῦ· καθὰ καὶ ὁ μακάριος Δαυὶδ φησι[1]· „Μνήσθητι τῆς συναγωγῆς σου ἧς ἐκτήσω ἀπαρχῆς, ἐλυτρώσω ῥάβδον κληρονομίας σου.“ τέκνα δὲ ταύτης τὸν κατὰ διαδοχὴν ἐξ αὐτῆς συστάντα λαόν. ὡς γὰρ οἱ πατέρες οἱ τότε λέγονται τῶν μετὰ ταῦτα [„Οἱ γὰρ πατέρες ὑμῶν, φησὶ, τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ καὶ ἀπέθανον[2])]“ οὕτω καὶ μήτηρ ἡ ταύτης συναγωγὴ καλοῖτο ἂν δικαίως, ἀφ᾽ ἧσπερ τὸ μετὰ ταῦτα σύστημα γέγονε τῶν Ἰουδαίων. Ὀνειδίζων οὖν αὐτοὺς τὴν μοχθηρίαν τοῦ τρόπου, καλῶς φησὶν, ὅτι ἄνωθέν ἐστε μοχθηροὶ καὶ τῇ μητρὶ σαφῶς ἐοικότες τῇ οἰκείᾳ· εἰ γοῦν τις τὰ τῶν τότε κρίνοι καὶ τὰ νῦν, πολλὴν αὐτῶν

inquit, contra matrem vestram ferte sententiam, quoniam ipsa haud uxor mea, neque ego ejus maritus.“ Jam secundum dictam imaginem perspicuum videtur, matrem ab eo vocari meretricem illam, filios autem eos, qui de eadem nati erant. Hic autem matrem universos dicit Judaeos, quos superiore tempore tanquam sibi desponsatos atque copulatos eximia providentia eduxerat ex Aegypto, ac libertate dignatus in desertum usque transtulerat, ut ibi eos doceret, pietatem erga se majore cultu ac specie expromere. Sicuti etiam beatus dicit David: „*Memor esto congregationis tuae, quam possedisti ab initio. Redemisti virgam hereditatis tuae.*“ — Filios vero horum dicit generatum ex iis populum. Sicuti enim, qui antea vixerunt posteriorum patres nominantur („*nam patres vestri manducaverunt manna in deserto et mortui sunt*“ —) ita vel horum congregatio mater justo appellabitur, a qua, qui priores excepit Judaeorum coetus originem duxit. Exprobrans ita-

[1]) Ps. 73, 2. — [2]) Joh. 6, 49.

εὑρήσει σαφῶς τὴν συγγένειαν, ἐκείνων μὲν μετὰ τοσούτων καὶ τηλικούτων τυχεῖν ἀγαθῶν τολμησάντων μόσχον τε κατασκευάσαι καὶ εἰπεῖν· „Οὗτοι οἱ θεοί σου Ἰσραὴλ, οἳ ἐξήγαγόν σε ἐκ γῆς Αἰγύπτου [1]), *“ ὑμῶν δὲ καθ' ὁμοιότητα ἐκείνων καταλελοιπότων μὲν τὴν γνῶσιν τὴν ἐμὴν τοῦ τοσαύτην ὑμῶν πάντοτε πεποιημένου κηδεμονίαν, ἐπὶ δὲ τὴν τῶν εἰδώλων θεραπείαν τραπέντων, ὥστ' ἂν ἁρμοδίως ὑμᾶς παρεικασθῆναι τῇ πόρνῃ, ἐπεὶ μήτε ὑμῖν οὕτω διακειμένοις ἅρμοττον τὸ ἐμοὺς ἔτι καλεῖσθαι, ἐγώ τε ἀπηλλοτριωμένος ὑμῶν ἐξ αὐτῶν δείκνυμαι τῶν πραγμάτων. Τοιγαροῦν τί; „Καὶ ἐξαρῶ τὴν πορνείαν αὐτῆς ἐκ προσώπου μου καὶ τὴν μοιχείαν αὐτῆς ἐκ μέσου μαστῶν αὐτῆς.“ μακρὰν γὰρ αὐτοὺς ἐμαυτοῦ καταστήσω διὰ τῆς αἰχμαλωσίας καὶ διὰ τῆς πόῤῥω τῶν τόπων ἀπαγωγῆς· ὡς μηκέτι θεωρεῖν αὐτὴν παρ' ἐμοὶ τὴν πορνείαν ἐκτελοῦσαν τὴν οἰκείαν, μήτε μὴν τὴν μοιχείαν, ἣν μετὰ πολλῆς ἐργάζεται τῆς ἀκολασίας ἅπασαν ἑαυτὴν προθεῖσα τοῖς εἰδώλοις· τοῦτο γὰρ λέγει τὸ, „ἐκ μέσου μαστῶν αὐτῆς,“ ὡσὰν τῶν πορνῶν δι' ὑπερβολὴν ἀκολασίας τοὺς μαστοὺς τοὺς*

que iis morum perversitatem, egregie dicit: priore tempore perversi eratis matrique vestrae plane similes. Jam si quis vetera cum praesentibus conferre voluerit, is multam ac perspicuam inter utrumque inveniet similitudinem, nempe quod illi tot tantisque fructi beneficiis vitulos sibi conficere auderent, dicentes: *„Hi sunt qui te eduxerunt ex Aegypto o Israel, tui Dii!“* — vos vero illorum exemplis usi, abjecta notitia mei (inquit Deus) qui tantam vestrum gessi sollicitudinem ad idolorum cultum conversi sitis, ita ut apte vobis accommodetur meretricis imago, quum ita affectos vos meos amplius dici dedeceat, egoque, quod res vestrae docent, a vobis prorsus sim abalienatus. Idcirco quid porro? *„Auferam fornicationem ejus a conspectu meo, ejusque adulterium de uberibus ejus.“* Procul a me eos abigam projectos in captivitatem, abductosque in longinquas regiones, ne diutius a me conspiciantur fornicationes suas committentes atque adulteria, quibus audacter navant operam, totos

[1]) Exod. 32, 4.

ἰδίους τοῖς ἐρασταῖς παρεχουσῶν. Καὶ καθεξῆς τὰ ἀκόλουθα λέγων.

se dicantes idolis. Id enim significant verba: „*de uberibus ejus*," tanquam si meretrices per nimiam lasciviam proprias mammas amatoribus suis porrigant. Atque his consentanea prosequitur.

γ΄. „Ὅπως ἂν ἐκδύσω αὐτὴν γυμνὴν καὶ ἀποστήσω αὐτὴν [1]*) καθὼς ἐν ἡμέραις τῆς γενέσεως αὐτῆς." Πάντα τὸν κόσμον φησὶν, ἀφελὼν, ὃν διὰ τῆς ἐμῆς αὐτῇ περιέθηκα κηδεμονίας, ἐν ἐκείνῳ καταστήσω τῷ σχήματι, ἐν ᾧπερ ἦν ἐπὶ τῆς Αἰγύπτου τὸ πρῶτον συστᾶσα, ὅτε ἐν ἀνάγκαις ἦν καὶ πόνοις καὶ δουλείᾳ πικρᾷ. γέννησιν γὰρ αὐτῆς τὸν καιρὸν ἐκεῖνον καλεῖ, ἐπειδὴ τῆς Ἰουδαϊκῆς συναγωγῆς ἀρχὴ τῆς συστάσεως ὁ καιρὸς ἦν ἐκεῖνος. — „Καὶ θήσω αὐτὴν ἔρημον καὶ τάξω αὐτὴν ὡς γῆν ἄνυδρον." οὕτω παντὸς ἐστερημένην ἀγαθοῦ, ὥσπερ ἡ ἔρημος καὶ ἡ ἄνυδρος γῆ καρπῶν ἄμοιρός ἐστι παντελῶς. — „Καὶ ἀποκτενῶ αὐτὴν ἐν δίψει." πάντων ἐστερημένην τῶν ἀγαθῶν καὶ ἐφιεμένην μὲν αὐτῶν ὡς εἰκὸς, τυγχάνουσαν δὲ οὐδενός. —*

V. 3. *Ut eam vestibus spoliem constituamque talem, qualis erat die nativitatis suae.* Omni, inquit, ornatu detracto, quem ipsi propter meum erga eam studium, circumdederam, in illa prostituam specie, quam habuit in Aegypto, quum miseriis implicita esset acerboque servitio. Nativitatem enim ejus istam appellat aetatem, quoniam Judaicae civitatis tunc initia erant. — „*Reddamque eam desertam faciamque quasi terram aqua carentem.*" i. e. adeo omni bono destitutam, qualis est deserta et aqua carens terra ac frugum prorsus expers. — „*Et siti eam necabo,*" omnibus bonis orbatam, et eorum quidem vehementer cupidam, nullius vero participem.

δ΄. „Καὶ τὰ τέκνα αὐτῆς οὐ μὴ ἐλεήσω, ὅτι τέκνα πορνείας ἐστὶν. ε΄. ὅτι ἐξε-

V. 4. „*Liberorumque ejus non miserebor, quoniam sunt germina scortationum.* V. 5.

[1]) Verba *γυμνὴν καὶ ἀποστήσω αὐτήν* in Maji editione non leguntur.

πόρνευσεν ἡ μήτηρ αὐτῶν κατῄσχυνεν ἡ τεκοῦσα αὐτά.“ ἐν δὲ τούτοις ἐξεταζομένων κακοῖς ἔλεον οὐ ποιήσομαι, ὅπερ οὖν ἐπὶ τῆς Αἰγύπτου τότε πεποίηκα, ἐπειδὴ οὗτοί τε ἀνάλογα τῇ μητρὶ πεφρονήκασι τῇ οἰκείᾳ, καὶ ἡ μήτηρ δὲ αὐτῶν ἄνωθεν τοιαύτην ἐπιδειξαμένη περὶ ἐμὲ τὴν γνώμην, αἰσχύνῃ καὶ τὰ τεχθέντα ἐξ αὐτῆς περιβέβληκεν, ἅτε μιμησάμενα τὴν μητρῴαν κακίαν. „*ὅτι εἶπε· πορεύσομαι ὀπίσω τῶν ἐραστῶν μου τῶν διδόντων μοι τοὺς ἄρτους μου, καὶ τὸ ὕδωρ μου, καὶ τὰ ἱμάτιά μου, καὶ τὰ ὀθόνιά μου, τὸ ἔλαιόν μου, καὶ πάντα ὅσα μοι καθήκει.*“ Ἐκδεδώκασι γὰρ ἅπαντες ἑαυτοὺς τῇ τῶν δαιμονίων θεραπείᾳ, παρ᾽ αὐτῶν ἔχειν ἅπαντα εἰπόντες, ὁπόσαπερ αὐτοῖς πρόσεστιν ἀγαθὰ, ἃ προδήλως ἔχουσι παρ᾽ ἐμοῦ τοῦ ποιητοῦ ἁπάντων. ἐραστὰς δὲ αὐτῆς τοὺς δαίμονας εἶπεν, ὡς ἂν καὶ τὴν ἐκείνων ἐφήνειεν [1]) σπουδὴν, ἣν περὶ τῆς ἀπωλείας ἔχουσι τῶν ἀνθρώπων, καὶ τούτων τὴν μανικὴν περὶ ἐκείνους γνώμην, καθ᾽ ἣν ὡς θεούς τε καὶ πάντων αὐτοῖς αἰτίους τῶν ἀγαθῶν περιέπειν ἐτόλμων.

ς΄. „*Διὰ τοῦτο ἰδοὺ, ἐγὼ*

Scortata est enim eorum mater, et quae eos peperit sese foedavit.“ Licet talibus obrutos malis, tamen misericordia nulla prosequar secus agens quam olim in Aegypto. Namque ipsi similia quam mater meditati sunt, mater vero, quae olim jam ejusmodi erga me animum prodidit, vel ipsos a se natos liberos ignominia induit, maternam enim imitati sunt nequitiam. „*Quia dixit: sectabor adulteros meos, qui mihi porrigunt panem meum, meamque aquam, vestimenta mea et linum meum, oleum meum, et quaecunque mihi sunt usui.*“ Omnes se daemonum cultui addixerunt, ab ipsis omnia possidere rati, quaecunque iis contigerunt bona, a me parata omnium rerum creatore. Ejus vero adulteros nuncupat daemones, ut et eorum homines perdendi declaret cupiditatem, atque horum insanum in illos studium, quo permoti eos ut Deos atque omnium, quae perceperant bonorum auctores colere conati sunt.

„V. 6. *Propterea, ecce, ego*

[1]) f. l. ἐκφήνειεν.

φράσσω τὴν ὁδὸν αὐτῆς ἐν σκόλοψι, καὶ ἀνοικοδομήσω τὰς ὁδοὺς αὐτῆς, καὶ τὴν τρίβον αὐτῆς οὐ μὴ εὕρῃ·“ τοιγαροῦν ἀδιεξοδεύτοις αὐτοὺς περιβαλῶ κακοῖς τούτου γε ἕνεκεν, ἵν᾽ ὥσπερ εἴ τις ἔνδον ἀπειλημμένος τῶν δὲ ὁδῶν ἀνῳκοδομημένων καὶ σκόλοψι πολλοῖς διειλημμένων καὶ χαλεποῖς, ἀδύνατον ἔχοι τὴν ἔξοδον, οὕτω τῇ βαρύτητι τῶν πολέμων τῇ τε αἰχμαλωσίᾳ καὶ ταῖς ἐκεῖθεν κατασχεθέντες ἀνάγκαις μηδεμίαν εὑρίσκοιεν διέξοδον κακῶν. —

ζ. Καὶ διώξεται τοὺς ἐραστὰς αὐτῆς, καὶ οὐ μὴ καταλάβῃ αὐτούς· καὶ ζητήσει αὐτοὺς καὶ οὐ μὴ εὕρῃ αὐτούς.“ Τότε καλέσουσι μὲν εἰς βοήθειαν οὓς ἐθεράπευον δαίμονας, περίεσται δὲ αὐτοῖς κέρδος ἐκεῖθεν οὐδέν. — Καὶ ἐρεῖ, πορεύσομαι καὶ ἐπιστρέψω πρὸς τὸν ἄνδρα μου τὸν πρότερον, ὅτι καλῶς μου ἦν τότε ἢ νῦν.“ τότε δὴ τὴν πλάνην ἐπιγνώσονται τὴν οἰκείαν καὶ ὡς ἄμεινον ἦν αὐτοῖς τῆς ἐμῆς ἀντέχεσθαι θεραπείας, ἢ περὶ τὴν τῶν δαιμόνων ἀπάτην εἰλεῖσθαι. —

η΄. Καὶ αὐτὴ οὐκ ἔγνω, ὅτι ἐγὼ ἔδωκα αὐτῇ τὸν σῖτον καὶ τὸν οἶνον καὶ τὸ

quidem sepiam viam ejus vallo, et obstruam tramites ejus, ita ut semitam non inveniat.“ Idcirco inevitabilibus eos irretiam malis, eumque in finem, ut quasi quis intro conclusus, viis undique obstructis multaque sude circumvallatis et asperis, nullam habet exitum; ita bellorum gravitate et captivitate, angustiisque inde prodeuntibus irretiti, nullam prorsus e malis hisce invenient exitum.

V. 7. „*Et prosequetur amatores suos, neque tamen eos assecutura, et quaeret eos, nullo tamen modo ipsos inventura.*“ Tunc vocabunt quidem in auxilium, quos coluerunt, daemones, quin tamen opis quidquam nanciscantur. — „*Et loquetur: agedum, revertar ad priorem maritum meum, quia tunc beatiorem degi vitam, quam nunc.*“ Tunc denique errorem suum agnoscent, secumque melius actum fore, si cultui meo adhaesissent, quam quod ad daemonum superstitionem semet demiserint.

V. 8. „*Namque non noverat, se a me accepisse et panem et vinum oleumque, ar-*

ἔλεον [1]), καὶ ἀργύριον καὶ χρυσίον ἐπλήθυνα αὐτῇ, αὐτὴ δὲ ἀργυρᾶ καὶ χρυσᾶ ἐποίησε τῇ Βαάλ.“ μαθήσονταί τε ὡς πολλήν τινα τὴν ἄγνοιαν ἐνόσουν ἐκείνοις λογιζόμενοι τῶν προσόντων ἀγαθῶν αὐτοῖς τὴν αἰτίαν, ἅπερ οὖν αὐτοῖς σαφῶς παρ᾿ ἐμοῦ τοῦ ποιητοῦ τῶν ἁπάντων διαρκῶς ἐχορηγεῖτο οὐ καρποὺς παρέχοντος μόνον ἀλλὰ καὶ ἀργύριον καὶ χρυσίον, ἔκ τε τῆς κατὰ τὴν Αἴγυπτον ἐξόδου, καὶ μὴν καὶ ἐκ πολλῶν ὕστερον ἀφορμῶν ἑτέρων, ἀφ᾿ ὧν οὐκ ὤκνουν εἴδωλα κατασκευάζοντες ἑαυτοῖς σεμνήν τινα διὰ τὴν τῆς ὕλης πλεονεξίαν τὴν θεραπείαν αὐτῶν ἡγεῖσθαι.

θ'. „Διὰ τοῦτο ἐπιστρέψω καὶ κομιοῦμαι τὸν σῖτόν μου καθ᾿ ὥραν αὐτοῦ, καὶ τὸν οἶνόν μου ἐν καιρῷ αὐτοῦ.“ τοιγαροῦν πολλὴν ἐν αὐτοῖς ἐργάσομαι τὴν ἀκαρπίαν. ἐν ᾧ δὴ μάλιστα καιρῷ τὴν προσδοκίαν αὐτῶν τῆς ἀπολαύσεως ἔχουσι, τότε δὴ πάντας αὐτῇ ἀθρόον ἀφαιρούμενος τοὺς καρποὺς τῇ ποικιλίᾳ τῶν εἰωθότων λυμαίνεσθαι τοῖς τοιούτοις, ἐρυσίβῃ οἷον εἰπεῖν, καὶ χαλάζῃ καὶ τοῖς τοιούτοις ὁπόσα ἀθρόον συμβάντα πολλάκις τῶν φαινομένων τε καὶ προσδοκωμέ-

gentum et aurum, sed argenteas aureasque Baali dicavit oblationes.“ Discent magna se inscitia laboravisse idolis bonorum suorum causam tribuentes, quae tamen a me rerum omnium creatore abundanter suppeditabantur, quum non fruges solum, sed argentum quoque et aurum donarem iis, tum Aegypto exeuntibus, tum aliis postea permultis occasionibus. Ipsi vero conflantes sibi ex hac materia idola, non dubitarunt propter metalli praestantiam, vel eorum cultum plurimi facere.

V. 9. „*Propterea detraham iis rursus frumentum meum sua hora, et vinum meum suo tempore.*“ Itaque multam iis sterilitatem parabo: atque eo tempore, quo maxime iis fruituros se esse, sperant, omnes iis simul fruges auferam, eorum ope, quae talia devastare solent, veluti rubigine, et grandine, caeterisque, quae subito saepius omnem frugum spem prorsus delere solent, ut, quem bonorum sibi paratorum auctorem non agnoverunt, eum e poena iis af-

[1]) Leg. ἔλαιον.

νων καρπῶν παντελῆ τὴν ἀπώλειαν εἴργασται· ὥστε ὃν οὐκ ἔγνωσαν αἴτιον αὐτοῖς τῶν ἀγαθῶν, τῇ ἐπαγομένῃ τιμωρίᾳ καὶ τῇ τῶν δοθέντων ἀφαιρέσει γνῶναι σαφῶς. — „Καὶ ἀφελοῦμαι τὰ ἱμάτιά μου καὶ τὰ ὀθόνιά μου, τοῦ μὴ καλύπτειν τὴν ἀσχημοσύνην αὐτῆς.“ Πάντα ὁπόσα διαφόρως αὐτοῖς παρ' ἐμοῦ χορηγούμενα ἐκόσμει καὶ εὐπρεπεστέρους ἐδείκνυ τῶν τῆς ἀπολαύσεως λοιπῶν ἀνθρώπων, ταῦτα ἀφελὼν ἀτιμωτέρους ἐργάσομαι ἁπάντων.

ι'. „Καὶ νῦν ἀποκαλύψω τὴν ἀκαθαρσίαν αὐτῆς ἐνώπιον τῶν ἐραστῶν αὐτῆς, καὶ οὐδεὶς οὐ μὴ ἐξέληται ἐκ χειρός μου.“ Ὥςτε διὰ τῆς τιμωρίας τῆς ἐμῆς σαφεστέραν ἅπασιν αὐτῶν γενέσθαι τὴν παρανομίαν, ἣν εἰργάζοντο, ἀφεστῶτες μὲν ἐμοῦ τῇ δαιμόνων δὲ προσανέχοντες θεραπείᾳ, ὧν ἐπ' ὄψεσι βαρυτάτας δέξονται παρ' ἐμοῦ τὰς τιμωρίας, οὐδεμιᾶς ὑπ' αὐτῶν βοηθείας ἀξιοῦσθαι οἷοί τε ὄντες, ἐπεὶ καὶ κρεῖττον πάσης τῆς ἐξ ἐκείνων ῥοπῆς τῆς ἐπαγομένης αὐτοῖς παρ' ἐμοῦ τιμωρίας ἡ δύναμις. —

ια'. „Καὶ ἀποστρέψω πάσας τὰς εὐφροσύνας αὐτῆς, καὶ πάσας τὰς ἑορτὰς αὐτῆς, καὶ τὰς νουμηνίας αὐτῆς, καὶ τὰ σάββατα αὐτῆς,

flicta et donis iis ademtis perspicue agnoscere queant. — „*Et auferam vestimenta mea ac lina mea, ne deformitatem suam obtegere possint.*“ Omnibus quaecunque a me donata eos ornabant, et prae caeteris hominibus commodis a me cumulatos declarabant, iis omnibus ademtis, prae caeteris eos ignominiae sum traditurus.

V. 10. „*Jamque impudicitiam ejus coram ejus amatoribus detegam, nemine eam a manu mea defendente.*“ Poena mea omnibus etiam clarius reddet, quam grave sit scelus quod commiserint, me derelicto daemones sectantes; adde quod ob horum oculos gravissimas a me recipient poenas nullum ab iis auxilium assecuti, namque poenae, quam equidem iis infligam, vis omnem, quam ab istis nancisci possunt opem longe antecellit.

V. 11. „*Atque omnes ejus voluptates, omnesque dies festos, novilunia, sabbata, omnesque ejus solemnitates tollam.*“ Neque solemnitatis cu-

καὶ πάσας τὰς πανηγύρεις αὐτῆς.“ Οὐδὲ γοῦν πανηγύρεως καὶ ἑορτῆς ἤ τινος εὐφροσύνης ἕξουσιν ἔτι καιρὸν, ἅτε τῇ αἰχμαλωσίᾳ παραδιδόμενοι καὶ ταῖς τῶν κατεχόντων ἀνάγκαις πιεζόμενοι ποικίλως.

ιβ´. „Καὶ ἀφανιῶ ἄμπελον αὐτῆς, καὶ τὰς συκὰς αὐτῆς, ὅσα εἶπε· μισθώματά μού ἐστι ταῦτα, ἃ ἔδωκάν μοι οἱ ἐρασταί μου.“ Πάντας δὴ τοὺς καρποὺς αὐτῶν ἀφελοῦμαι, ὧν τοῖς δαίμοσιν ἐλογίζοντο τὴν δόσιν. — „Καὶ θήσομαι αὐτὰ εἰς μαρτύριον.“ ὥστε τὴν ἀφαίρεσιν αὐτῶν μεγίστην εἶναι μαρτυρίαν τῆς παρανομίας αὐτῶν τῆς πρόσθεν, καθ᾽ ἣν τοῖς δαίμοσιν ἐλογίζοντο ἐκεῖνα· ὧν καὶ τῆς δόσεως καὶ τῆς ἀφαιρέσεως κύριος ἤμην ἐγώ. — „Καὶ καταφάγεται αὐτὰ τὰ θηρία τοῦ ἀγροῦ, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τὰ ἑρπετὰ τῆς γῆς.“ Εἰς λυμὴν αὐτὰ προθήσω πᾶσιν, ὥστε μηδὲν ἐξ αὐτῶν ἀπόνασθαι τούτους. Θηρία γὰρ τοῦ ἀγροῦ, καὶ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ἑρπετὰ τῆς γῆς τὸ πολύτροπον εἰπεῖν ἠβουλήθη τῶν λυμαίνεσθαι μελλόντων αὐτοῖς πολεμίων, ἐπειδὴ τὸ μὲν θηρίον τῇ ὠμότητι βλάπτειν ἕτοιμον, πετεινὰ δὲ τῷ πᾶσιν ἐφίπτασθαι οἷς ἂν ἐθέλῃ ῥᾳδίως, τὰ ἑρπετὰ δὲ τῇ βαρύτητι τῆς λυμῆς. —

jusquam vel festi neque voluptatis ullius iis erit opportunitas, captivitate quippe obnoxiis et necessitate multifariam ab adversariis parata tunc pressis.

V. 12. *„Et vineas ficusque ejus evastabo et quaecunque suum esse quaestum ab amatoribus sibi datum, dixit.“* Omnes eorum fruges auferam, quas daemonum putarunt esse donum. — *„Ponamque ea ut testimonium.“* Haec eorum spoliatio priorem eorum impietatem luculentissime testabitur, quod daemonibus ista beneficia adscripserint, quum equidem ea et dedissem et abstulissem. — *„Et depascent ea ferae agri et volucres coeli et reptilia terrae.“* Ita prorsus ea omnia deperdam, ut nil inde ferant commodi. Feras enim agri et volucres coeli et reptilia terrae varios appellat adversarios, qui eos agressuri sint; ferae enim saevitia, volucres rapiditate, qua ubique advolant, et reptilia gravitate perniciei, quam parant, nocere solent.

ιγ΄. „Καὶ ἐκδικήσω ἐπ' αὐτὴν τὰς ἡμέρας τῶν Βααλὶμ, ἐν αἷς ἐπέθυεν αὐτοῖς, καὶ περιετίθετο τὰ ἐνώτια αὐτοῖς [1]) καὶ τὰ καθόρμια αὐτῆς, ἐμοῦ δὲ ἐπελάθετο, λέγει κύριος." Ταῦτα δὲ πείσονται δίκας διδόντες ὑπὲρ ὧν τοῖς εἰδώλοις προσεῖχον, οἷς δὴ τὰς θυσίας προσῆγον, καὶ πανηγύρεις ἐπὶ τῇ τούτων θρησκείᾳ συνίστων, κόσμον τε περιτιθέμενοι πλεῖστον καὶ πανηγύρεις συνιστῶντες ἐπὶ τῇ τῶν δαιμόνων θεραπείᾳ, ἐμοῦ δὲ μνήμην ἔχοντες μηδεμίαν. Λέγει γὰρ τοῖς μὲν Βααλὶμ, τουτέστι τοῖς εἰδώλοις, ἐκ μέρους τὰ πάντα λέγει· ἐραστὰς δὲ συνήθως ὀνομάζει τοὺς δαίμονας· εὔδηλον γὰρ, ὅτι ἐν τῇ εἰδώλων θεραπείᾳ δαίμονες ἦσαν οἱ θεραπευόμενοι παρ' αὐτῶν. —

V. 13. „*Sumamque de ea supplicium temporis Baalum, quo accendebat iis suffimenta et inauribus monilibusque suis ornata mei plane obliviscebatur, inquit dominus.*" Hanc poenam sustinebunt, propter idolorum cultum, quibus et sacrificati sunt et conventus solennes honorificosque faciebant ornamentis multis cumulati, festaque celebrabant in daemonum cultum, mei ne memores quidem. *Baales* enim dicit idola, ex parte totum significans. Amatores vero, ut assolet, daemones appellat; namque in idolorum cultu daemones fuisse cultos ab iis, manifestum est.

ιδ΄. „Διὰ τοῦτο ἰδοῦ, ἐγὼ πλανῶ αὐτὴν, καὶ τάξω αὐτὴν ὡς ἔρημον." Αἰχμαλωσίᾳ παραδώσω, φησὶν, ὥστε αὐτὴν πάντων ἔρημον οὖσαν τῶν ἀγαθῶν πλανᾶσθαι κατὰ τοὺς ὁδοὺς, ἃς πρότερον οὐκ εἰδυῖα νῦν ἀνύειν ὑπὸ τῆς συμφορᾶς ἠναγκάζετο. Εἶτα καταμίγνυσι τῇ ἀποφάσει τῆς τιμωρίας καὶ τὴν ἐπὶ τὸ κρεῖττον καταβολὴν [2]), καθὼς ἔθος τοῖς προφήταις ποι-

V. 14. „*Quapropter, ecce, ego eam seducam et faciam eam ut desertum.*" Captivitati, inquit, eam tradam, ut omnibus bonis privata in viis circumerret, quibus antea incognitis nunc incedere rebus adversis cogitur. Deinceps vero annunciata poena etiam rerum in meliorem statum commutationem definit, pro vulgari prophetarum more,

[1]) Procul dubio legendum: αὐτῆς. — [2]) Legendum videtur: μεταβολὴν.

εἶν, μιμουμένοις καὶ κατὰ τοῦτο τὸν μακάριον Δαϋὶδ, ὃς ἐν ψαλμοῖς ὁμοῦ τε πολλάκις τὰς συμφορὰς ἔλεγε, καὶ τὴν λύσιν ὑπισχνεῖτο, ὡς ὅταν ἐπὶ τοῦ τριακόστου λέγῃ ψαλμοῦ[1]. *„Ἐλέησόν με κύριε, ὅτι θλίβομαι, ἐταράχθησαν ἐν θυμῷ οἱ ὀφθαλμοί μου, ἡ ψυχή μου, καὶ ἡ γαστήρ μου· ὅτι ἐξέλιπεν ἐν ὠδύνῃ ἡ ζωή μου καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς,“ καὶ καθεξῆς τὰ ὅμοια τούτοις. Εἶτα προβαίνων τοῦ λόγου μετὰ βραχέα φησίν*[2]. *„Εὐλογητὸς, ὅτι ἐθαυμάστωσε τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς,“ καὶ καθεξῆς τὰ ὅμοια τούτοις. Πολλὰ δὲ τοιαῦτα ἐπὶ τῶν ψαλμῶν εὕροι τις ἄν· ἅπερ οὖν ἀναγκαίως ἐζήλωσαν οἱ προφῆται πολλὴν τοῖς ἀκούουσι παρεχόμενα τὴν χρείαν, ὡς ἂν διὰ μὲν τῶν τῆς συμφορᾶς ῥημάτων φοβοῖεν, διὰ δὲ τῆς τῶν ἀγαθῶν ἐπαγγελίας εὐελπίδας ποιοῖεν. Τί οὖν φησί; „Καὶ λαλήσω ἐπὶ τὴν καρδίαν αὐτῆς.“ Παρακαλέσω, φησὶν, αὐτὴν μετὰ τοῦτο, ἀπαραμυθήτοις παλαίουσαν τοῖς κακοῖς.*

vel in eo beatum Davidem imitantium, qui in psalmis saepius calamitates praecinit, simulque earum finem promittit. Veluti si in trigesimo psalmo *„Miserere mei, Deus,* inquit, *quia tanta sum in angustia, ut mihi prae moerore et oculi et animus et venter contabescant; quia me prae aegritudine vita deficit et aetas prae gemitibus.“* Quibus similia addit, et paulo post ulterius progressus in sermone haec inserit: *„Benedictus, quia misericordiam suam admirabilem reddidit in urbe munita,“* et similia deinceps. Multaque ejusmodi loca in psalmis inveniri possunt. Eumque morem haud absque re imitati sunt prophetae, quum magna audientibus utilitas inde proveniat; malorum enim minationes timorem injiciunt, bonorum vero promissiones laetam excitant spem. Quid jam ulterius dicit? *„Et loquar ad cor ejus.“* i. e. Quando cum ferocissimis luctabitur calamitatibus, tunc eam consolabor.

ιε′. „Καὶ δώσω αὐτῇ τὰ κτήματα αὐτῆς ἐκεῖθεν.“ — ἀποκαταστήσω πάλιν αὐτὴν τῶν

V. 15. *Et inde ei possessiones suas dabo,* — captivitate ereptae, quibus olim gavisa

[1]) Ps. XXX., 10. 11. — [2]) Ibid. v. 22.

προτέρων ἀπόλαυσιν τῆς αἰχμαλωσίας ἐκσπάσας. — „*Καὶ τὴν κοιλάδα Ἀχὼρ διανοῖξαι σύνεσιν αὐτῆς·*“ — ὥστε ὁπόσα κατ᾽ ἐκεῖνον πεπόνθασι τὸν τόπον, συντελέσαι λοιπὸν αὐτοῖς εἰς βελτίωσιν καὶ διόρθωσιν τῶν προειληφότων πταισμάτων. Αἰσθήσονται γὰρ, ὡς εἰκὸς, ἐκ τῆς ἐπὶ τὸ κρεῖττον μεταβολῆς, ὅτι καὶ τῶν λυπηρῶν οὐκ ἐπειράθησαν δι᾽ ἀμέλειαν ἐμὴν, ἀλλ᾽ ἐπειδὴ πταίσαντας αἴσθησιν ἐχρῆν τῶν ἁμαρτημάτων λαβεῖν τῶν οἰκείων· τὸ γὰρ κοιλάδα Ἀχὼρ, τόπον ἔοικε λέγειν, ἐν ᾧ δὴ μάλιστα τὴν βαρυτάτην ἐδέξαντο τοῦ πολέμου τροπὴν, ὡς ἀκολουθῆσαι τήν τε αἰχμαλωσίαν καὶ τὰ ἐκεῖθεν κακά· λοιπὸν ὡς εἰκὸς ἐκ μέρους κατὰ τὸ εἰωθὸς πᾶσαν αὐτῶν καλῶν τὴν χώραν, ἐν ᾗ πλεῖστα ὅσα παρὰ τῶν πολεμίων ὑπομεμενηκότες κακὰ, ἐπὶ τὴν αἰχμαλωσίαν ἀπήχθησαν ὑπὸ τῶν πολεμίων. — „*Καὶ ταπεινωθήσεται ἐκεῖ κατὰ τὰς ἡμέρας ἀναβάσεως αὐτῆς ἐκ γῆς Αἰγύπτου.*“ Ἐπειδὴ γὰρ ὑπερηφανίαν λέγει τὸ ἀποστῆναί τε καὶ ἀμελῆσαι τοῦ θείου, ταπείνωσιν λέγει τὴν ἐπίγνωσιν τοῦ προσήκοντος, καὶ τὸ ὡς δεσπότην τε καὶ κρίτην καὶ κύριον τῶν ἁπάντων φοβεῖσθαι δικαίως. Τοιούτων οὖν, φησὶν, ἐν τῷ καιρῷ τεύξεται τῆς συμφορᾶς, καθ᾽

est bona reddam — „*et vallum Achor, ut ejus intelligentia aperiatur.*“ Quaecunque iis isto loco acciderunt mala, ea talem habebunt eventum, ut ob ea pristina sua peccata corrigere discant. Inde enim intelligent, vel tristia, quae experti sint, sibi non contigisse me nesciente, sed quoniam necesse erat, ut mala perpassi peccatorum suorum notitiam reciperent. Vox enim *Achor* locum innuere videtur eum, quo gravissimam iis bellum inflixit plagam, ita ut et captivitas et cum hac conjuncta mala jam sequerentur. Caeterum, eum ut assolet, ex parte totam eorum regionem nominare apparet, ubi maxima ab hostibus passi mala ab iis captivi abducebantur. — „*Et humilem se praebebit ibi, eadem ratione, quam eo tempore, quo ex Aegypto redibat.*“ Quum propheta defectionem a Deo ejusque oblivionem apellet superbiam, ejus cognitionem et pietatem erga eum, tanquam dominum, judicem omniumque creatorem, suo jure humilitatem dicit. Talem igitur, inquit, diebus adversis se ostendet, qualis erat tempore rerum in Aegypto gestarum,

ὁμοιότητα τῶν κατὰ τὴν Αἴγυπτον γεγονότων· οἱ τῇ τε δουλείᾳ καὶ τῇ τῶν πλίνθων ἐργασίᾳ συντριβόμενοι ἐπέγνωσαν τε ὅθεν προσῆκε τὴν τούτων εὑρέσθαι λύσιν καὶ ἐβόησαν ἅπαντες πρὸς θεὸν, ὥστε αὐτὸν ἐπινεύσαντα ταῖς τῶν βοησάντων αἰτήσεσι μετὰ μεγάλου τοῦ θαύματος παρασχεῖν αὐτοῖς τὴν οἰκείαν βοήθειαν. Καθ' ὁμοιότητα δὴ φησὶν ἐκείνων ἔσται καὶ τὰ νῦν, οὕτω σωφρονιζομένων τε ὑπὸ τῆς συμφορᾶς καὶ ἐπιγινωσκόντων τὸν αἴτιον τῶν ἀγαθῶν καὶ αἰτούντων τὴν βοήθειαν ἐκεῖθεν, μετὰ πολλῆς δὲ εὐκολίας τυγχανόντων αὐτῆς. —

ιϛ'. „*Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος, καλέσει με Ὁ ἀνήρ μου, καὶ οὐ καλέσει με ἔτι Βααλίμ.* ιζ'. *Καὶ ἐξαρῶ τα ὀνόματα τῶν Βααλὶμ ἐκ τοῦ στόματος αὐτῆς, Καὶ οὐ μὴ μνησθῶσιν οὐκέτι τῶν ὀνομάτων αὐτῆς.*" Τότε δὴ, φησὶν, ἐπιγνώσονται κηδεμόνα οἰκεῖον, καὶ πάντων ἀποστάντες τῶν λοιπῶν, τῇ θεραπείᾳ προσέξουσι τῇ ἐμῇ, πάσης τῆς τῶν εἰδώλων ἀφιστάμενοι θεραπείας, ὡς μηδεμίαν μνήμην αὐτοὺς ἔχειν ἐκείνων ἔτι, μηδέ τινα λόγον αὐτῶν ποιεῖσθαι τοῦ λοιποῦ. Τὸ δὲ „Οὐ καλέσει με ἔτι Βααλίμ," ἐπειδὴ θεὸς ἦν ὁ ταῦτα λέγων,

quum servitute laterumque coctura attriti, et, unde talium angustiarum relevationem exspectare deceret, cognoscerent, et ad unum omnes Deum implorarent; quo factum est, ut clamantium preces exaudiret, modoque summopere mirabili auxilium iis ferret. Haud secus igitur, ait, quam tunc accidebant res, nunc quoque evenient, calamitatibus enim bene edocti, et quis iis sit bonorum auctor haud inscii, ab eo opem et expetent et sine difficultate consequentur.

V. 16. „*Et fiet isto die, inquit Dominus, ut me vocatura sit maritum suum, neque amplius Baales vocabit.* V. 17. *Ego vero Baalum nomina ita ex ore ei detraham, ut eorum nominum vel ne mentio quidem fiat.*" Tunc, ait, eum agnoscent, qui iis proprie prospicit, omnibusque caeteris relictis meum amplectentur cultum, idolorum venerationem ita fugientes, ut in posterum vel ne sermonem ea de re faciant. Verba autem: *Non amplius Baales me vocabit*, quippe a Deo pronunciata, significant hoc: Meam appellationem Baali-

οὐκέτι, φησὶ, τὴν ὀνομασίαν τὴν ἐμὴν ἐπιθήσουσι τοῖς Βααλὶμ, ἅτε τῆς ἀπάτης κεχωρισμένοι τῆς ἐκείνων, πρὸς ἐμὲ δὲ ὁρᾷν ἐγνωκότες τοῦ λοιποῦ τὸν ὄντως θεόν. — ιη'. „Καὶ διαθήσομαι αὐτοῖς διαθήκην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ μετὰ τῶν θηρίων τοῦ ἀγροῦ, καὶ μετὰ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ μετὰ τῶν ἑρπετῶν τῆς γῆς.“ Τοὺς πρότερον, φησὶν, αὐτοῖς ἐπιβουλεύοντας καὶ πολεμίως ἔχοντας πρὸς αὐτοὺς παρασκευάσω τὴν πρὸς αὐτοὺς ἑλέσθαι φιλίαν. — „Καὶ τόξον, καὶ ῥομφαίαν, καὶ πόλεμον συντρίψω ἀπὸ τῆς γῆς.“ — πάσης αὐτοὺς πολέμου πείρας ἐκτὸς καταστήσω· — „Καὶ κατοικιῶ αὐτοὺς ἐπ' ἐλπίδι.“ παρασκευάσω δὲ ἐκ τῶν προσγινομένων αὐτοῖς ἀγαθῶν καὶ περὶ τῶν μετὰ ταῦτα χρηστότερα ἐλπίζειν. — ιθ. „Καὶ μνηστεύσομαί σε ἐμαυτῷ εἰς τὸν αἰῶνα· καὶ μνηστεύσομαι ἐμαυτῷ ἐν δικαιοσύνῃ, καὶ ἐν κρίματι, καὶ ἐν οἰκτιρμοῖς.“ Ἐν ὁμοιότητί σε πάλιν κατατάξω τῇ ἐμῇ· παρέξω δέ σοι, φησὶ, τὴν οἰκείωσιν τὴν ἐμὴν, ἐπιμελόμενός τε τοῦ δικαίου καὶ κολάζων τοὺς ἠδικηκότας σε κατὰ τὸν τῆς αἰχμαλωσίας καιρὸν, κρινών τε ἅπασι μετὰ τοῦ δικαίου καὶ μὴν καὶ ἐλεῶν τὰ κατὰ σε διοικῶν. —

bus dare non ulterius conabuntur, ab errore et fallacia eorum longe remoti, me contra, qui sum re vera Deus, in futurum intuentes.

V. 18. *Atque illos tum foedere conjungam cum feris agri, et volucrihus coeli, et reptilibus terrae.*“ Omnes, ait, qui olim eos insidiabantur et infense tractabant, tunc eorum amicitiam, me auctore, exoptabunt. — „*Et arcum cum gladio frangam, bellumque de terra tollam,*“ extra omne belli periculum eos ponam, „*et habitare eos faciam spe nutritos.*“ Ex iis, quae ipsis tunc obvenient bonis, in posterum se etiam meliora nacturos esse, spem hausturi sunt.

V. 19. „*Et despondebo te mihi in perpetuum te mihi justitia et jure, misericordia et miseratione despondebo.*“ Mihi te similem reddam, et in meam familiaritatem rursus recipiam, justum praemiis ornans, mulctis vero deprimens eos, qui captivitatis tempore male tecum egerunt; et omnibus justus ero judex, tuaque negotia benigne administraturus.

κ'. „Καὶ μνηστεύσομαί σε ἐμαυτῷ ἐν πίστει καὶ ἐπιγνώσῃ τὸν κύριον.“ Δέξομαι τὴν οἰκείωσιν ὑμῶν λοιπὸν πεπιστευκότων τέ μοι καθὼς προσῆκε θεῷ, καὶ δεσπότην ἐπιγινωσκόντων οἰκεῖον. —

V. 20. *„Et despondebo te mihi fide, efficiamque ut dominum cognoscas.“* In familiaritatem meam in posterum vos recipiam, quoniam mihi, uti decet, tanquam Deo fidem habebitis, vestrumque agnoscetis dominum.

κα'. „Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος, ἐπακούσομαι τῷ οὐρανῷ, καὶ ὁ οὐρανὸς ἐπακούσεται τῇ γῇ. κβ'. καὶ ἡ γῆ ἐπακούσεται τῷ σίτῳ, καὶ τῷ οἴνῳ, καὶ τῷ ἐλαίῳ· καὶ αὐτὰ ἐπακούσεται τῷ Ἰσραήλ. κγ. Καὶ σπερῶ αὐτὴν ἐμαυτῷ ἐπὶ τῆς γῆς, καὶ ἐλεήσω τὴν οὐκ ἠλεημένην· καὶ ἐρῶ τῷ Οὐ λαῷ μου, Λαός μου εἶ σὺ, καὶ αὐτὸς ἐρεῖ, Κύριε, ὁ θεός μου εἶ σύ.“ Τότε δὴ πολλὴν ἕξετε καὶ τῶν καρπῶν τὴν ἀφθονίαν· ὁ μὲν γὰρ ἀὴρ κατὰ γνώμην ἐμὴν παρέξει τῇ γῇ τὸν ὑετόν, [οὐρανὸν γὰρ τὸν ἀέρα καλεῖ, ὡς καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ ὅταν λέγῃ [1]), ἵνα εἴπῃ, τὰ τέμνοντα τὸν ἀέρα] ἡ δὲ ὡς εἰκὸς ἀρδομένη τοὺς καρποὺς ἀφθόνως παρέξεται τοὺς οἰκείους. Ἐκ δὲ τούτων ἄφθονον ὁ Ἰσραὴλ τὴν ἀπόλαυ-

V. 21. *„Ac eo tempore exorabor coelo, inquit dominus, et coelum exorabitur terrae.* V. 21. *Et terra exorabitur frumento, vino et oleo*; *eaque exorabuntur Israeli*, V. 22. *Eamque mihi in terra seminabo, et miserebor misericordiam non nactae* (*antea*), *et „Non meum populum,“ populum meum dicam, et ipse dicet: Domine, tu es Deus meus.“* Tunc et frugum magna vobis erit abundantia: aër enim ex meo decreto terrae pluviam infundet (coeli enim appellatione aërem significat, pariterque volucres coeli dicit pro, aërem secantibus), ipsa vero, pro necessitate satis irrigata fruges suas abundanter procreabit. Inde vero Israël commoda sufficienter lucrabitur, quae e terrae donis prodeunt. Ac pro-

[1]) In cod. quidem λέγει scriptum est, adhibito scripturae compendio; sed quum alias ὅταν semper cum conjunctivo conjunctum legatur apud nostrum Theodorum, ista grammaticae regulis consentanea mutatione h. l. non abstinuimus.

σιν κτήσεται τῶν ἐκ τῆς γῆς ἀγαθῶν· παρασκευάσω τε πάλιν αὐτοὺς τὴν γῆν οἰκεῖν τὴν ἰδίαν, ἥσπερουν ἀφῃρέθησαν πρόσθεν, ὡς ἂν αὐτόθι διάγοντες τῆς ἐμῆς ἐπιμελοῖντο θεραπείας. Τοῦτο γάρ λέγει τὸ „Σπερῶ ταύτην ἐμαυτῷ ἐπὶ τῆς γῆς,“ ἐκ μεταφορᾶς τῶν σπειρόντων βουληθεὶς εἰπεῖν, ὅτι κατὰ πάσης αὐτοὺς ἐκτενῶ πάλιν τῆς γῆς τῆς οἰκείας, μετὰ ἀσφαλείας τε οἰκοῦντας ἐν αὐτῇ καὶ τῶν ἐμοὶ προσηκόντων ἀντεχομένους λοιπόν. Ἔσται δὲ ταῦτα ἐπειδὴ μεταβολὴν τὴν ἐπὶ τό κρεῖττον τὰ καθ' ὑμᾶς διὰ τῆς κηδεμονίας δέχεται τῆς ἐμῆς, ὡς ἐλεεῖσθαι μὲν τὴν οὐκ ἠλεημένην λαὸν δὲ εἶναι τὸν οὐ πρότερον λαόν. Ὅπερουν εἰκότως αὐτοῖς προσέσται, ἐπειδὴ κἀκεῖνοι τῆς πρότερον ἀποστάντες πλάνης ἐπιγνώσονταί τε τὸ δέον, καὶ μετὰ λαμπρᾶς ἐροῦσι τῆς φωνῆς, ὅτι αὐτὸς δὴ μόνος ἐστὶν αὐτῶν ὄντως κύριός τε καὶ θεὸς, ὁ τῶν ἁπάντων μὲν ποιητὴς καὶ δεσπότης, ἰδίαν δὲ αὐτοῖς ἄνωθεν τὴν οἰκείαν ἀνανείμας τὴν [1]) κηδεμονίαν.

priam terram qua antea privati erant, rursus eos habitare faciam, ut ibi degentes cultus mei curam gerant. Id enim innuit verbis: *„Et seminabo eam in terra;“* metaphora enim a seminantibus desumta dicit: per totam eos terram rursus diffundam, ut secure habitantes, ea, qua par est reverentia me prosequantur in futurum. Id quod fiet, quando me curante res vestrae in melius convertentur, et ita miscricordiam non nacta misericordiam nanciscetur, et qui antea populus non fuerat, populus erit. Neque immerito haec iis obtingent, quum ipsi priore errore abalienati, quod aequum est agnituri sint magnaque voce professuri, neminem esse verum unicumque Deum, nisi eum qui omnia creavit et gubernat, ipsisque peculiari cum benignitate prospicit.

Κεφαλαῖον γ'.

α'. „Καὶ εἶπε κύριος πρὸς μέ· ἔτι πορεύθητι καὶ ἀγάπησον γυναῖκα ἀγαπῶσαν

Caput III.

V. 1. *„Et dixit mihi dominus: i nunc, et ama mulierem malitiae studiosam adulte-*

[1]) Articulus hoc loco delendus videtur propter antecedens τήν.

πονηρὰ καὶ μοιχαλίν· καθὼς ἀγαπᾷ ὁ θεὸς τοὺς υἱοὺς Ἰσραὴλ, καὶ αὐτοὶ ἀποβλέπουσιν ἐπὶ θεοὺς ἀλλοτρίους, καὶ φιλοῦσι πέμματα μετὰ σταφίδων.“ Εὔδηλον ὃ πολλάκις εἰρήκαμεν κἀντεῦθεν, ὅτι μὴ ἐν συγγραφῆς εἴδει κατὰ μίαν ἁρμονίαν συγγέγραπται τὰ τῶν προφητῶν, διῃρημένως δὲ εἴρηται κατὰ τὸν τῶν ἀποκαλύψεων, ὧν ἐδέξαντο, καιρόν· ἐφ' αἷς καὶ τὰ πρὸς τὸν λαὸν ἀναγκαίως προσήγοντο λέγειν, ταῖς ἀποκαλύψεσιν ἑπόμενοι ταῖς θείαις. Εἰρηκὼς γὰρ τὴν λῆψιν τῆς πόρνης, καὶ τῆς κατ' ἐκεῖνα εἰκόνος ἐπ' ἐλέγχῳ τοῦ λαοῦ ῥηθέντα[1]) *δικαίως ἑτέραν ἀποκάλυψιν ἐνταῦθα διηγεῖται πάλιν, ἣν παρὰ θεοῦ δεξάμενος ἐκτίθεται ἀναγκαίως. Τὸ γὰρ „Εἶπε κύριος πρός με,“ τοῦτο δηλοῖ, θεοῦ λέγοντος εἶναι φωνὴν τὴν γεγενημένην ἀποκάλυψιν αὐτῷ θεόθεν· εἶπεν οὖν μοι, φησὶ, περὶ γυναῖκα ἔχειν μοιχαλίδα καὶ παντοίων ἐργάτιν*

ramque, sicut amat Deus filios Israelis, qui tamen in alienos intuentur Deos et placentas amant cum uvis.“ Hinc quoque, quod jam saepius monuimus, apparet, non librorum instar prophetarum vaticinia uno tenore compacta esse, sed singillatim emissa pro temporum, quibus revelationes acceperunt, ratione, ita ut divina secuti indicia, iisque coacti ad populum ea proloquerentur. Ita postquam (propheta noster) de connubio cum meretrici ineundo sermonem injecit, pluraque imagini isti consentanea ad populum arguendum addidit, jam aliam quandam revelationem significat, quam divinitus acceptam necessitate interna ductus exponit. Namque verba: *„Dixit mihi dominus“* indicant, Dei loquentis fuisse vocem, qua coelitus edoctus erat. Cum muliere igitur adultera vario-

[1]) Versionem secuti sumus Maji, textumque reddidimus talem, qualis in cod. Vindob. et Maji editione exhibetur. Locum autem hunc corruptum quidem esse, neque tamen adeo, ut, quid auctor in mente habuerit perspicere non possis, facile intelliges. In quonam vocabulo mendum situm sit, certo definiri nequit; fortasse justus orationis tenor restituitur, si legimus: *Εἰρηκὼς γὰρ τὴν λῆψιν τῆς πόρνης καὶ τὰ τῆς κατ' ἐκεῖνα εἰκόνος ἐπ' ἐλέγχῳ τοῦ λαοῦ ῥηθέντα, δικαίως* etc. *Postquam propheta de connubio cum meretrici inito mentionem injecerat, et quaenam in hac inesset imago declaraverat, id quod ad arguendum populum ab eo factum s. dictum erat, jam etc.*

κακῶν, ὡς ἂν μίμησις εἴη καὶ τοῦτο τῆς γνώμης, ἣν περὶ τοὺς υἱοὺς Ἰσραὴλ ἀποσῴζειν ἐσπούδακα πάσῃ μοχθηρίᾳ συζῶντας, καὶ σαφῆ τὴν ἑαυτῶν ἐπιδεικνυμένους μοιχείαν· οἳ περὶ διαφόρους ἐσπουδάκασι θεοὺς τοὺς παρὰ τοῖς ἔθνεσι νομισθέντας ψευδῶς, περὶ πολλοῦ ποιούμενοι τὸ τὴν παρ᾽ αὐτοῖς νενομισμένην θεραπείαν προσάγειν. Τοῦτο γὰρ λέγει τὸ Πέμματα μετὰ τῶν σταφίδων, ἵνα εἴπῃ, ἄρτους, οὓς ποικίλως κατασκευάζοντες σταφίσι καὶ τοῖς τοιούτοις τραγήμασι μίγνυντες κατά τι τῶν περὶ ταῦτα ἐχόντων ἔθος, προσέφερον τοῖς εἰδώλοις. Τὸ γὰρ Φιλοῦσι πέμματα μετὰ σταφίδων, ἀντὶ τοῦ, δι᾽ ἡδονῆς ἐστὶν αὐτοῖς τοῦτο ποιεῖν ἐπὶ τιμὴν τῶν εἰδώλων. Ἔστι δὲ αὐτῷ τὰ μὲν πρότερα εἰρημένα πρὸς ἔλεγχον μᾶλλον τῶν δέκα φυλῶν, οἳ καταλελοιπότες τὸν θεὸν τοῖς εἰδώλοις προσεῖχον, ταυτὶ δὲ πρὸς ἔλεγχον τῶν τῇ βασιλείᾳ προσηκόντων τῆς Ἰουδαίας, οἳ τὸν ναὸν ἔχοντες παρ᾽ ἑαυτοῖς, καὶ δὴ καί τινα σπουδὴν διά τε πανεγύρεων καὶ θυσιῶν ἐνδεικνύμενοι περὶ ὄντως θεὸν, μοιχευομένης δίκην τὴν περὶ τὰ εἴδωλα θεραπείαν συνῆπτον τῇ ἐνδείξει τῆς περὶ τὸ θεῖον σπουδῆς. Εἶτα λέγει·

β΄. „Καὶ ἐμισθωσάμην

rumque flagitiorum studiosa rem me habere jussit, eoque animum indicare, quo Deus filios Israelis semper benigne tractaverit, quamvis cujuscunque nequitiae consortium iniissent, adulteriumque suum palam fecissent, diversos, qui falso a gentilibus habentur et creduntur, Deos studiose venerati, et eorum ab istis institutum cultum maxime esse faciendum rati. Id enim significant verba „*placentae cum uvis*“ i. e. pro more penes idololatros consueto, panes diverso modo confectos uvisque et aliis cupediis confertos idolis obtulerunt. Namque *placentas cum uvis amant* dicit pro: magna cum voluptate peragunt, quaecunque ad idolorum pertinent honorem. — Prioribus vero magis ad arguendas decem tribus, quae relicto Deo idolis adhaerebant, a propheta dictis, haec contra Judaeae regni cives vaticinatur, qui et templum apud se habentes, et verum Deum solennitatibus et sacrificiis studiosissime venerati, adulterae instar Dei studio idolorum cultum postea adjunxerunt. — Deinde dicit:

V. 2. „*Mihique eam quin-*

ἐμαυτῷ πεντεκαίδεκα ἀργυρίου καὶ γομὸρ κριθῶν, καὶ νεβὲλ οἴνου.“ Τῇ ἀκριβολογίᾳ κἀνταῦθα χρησάμενος εἰς δήλωσιν τοῦ γεγονότος ὄντως· ἀναγκαῖον δὲ καὶ τοῦ Ἐμισθωσάμην τὸ ὑπόδειγμα, ἐπεὶ καὶ ὁ Θεὸς ἐπὶ μεγάλαις δωρεαῖς τε καὶ μισθοῖς τοὺς Ἰουδαίους ἑαυτῷ συνῆψεν.

γ'. „Καὶ εἶπον πρὸς αὐτήν· ἡμέρας πολλὰς καθίσῃ ἐπ' ἐμοὶ, καὶ ἐγὼ ἐπὶ σοὶ, καὶ οὐ μὴ πορνεύσῃς, οὐδὲ μὴ γίνῃ ἀνδρί.“ ὡσὰν καὶ τοῦ Θεοῦ οὐκ ἐπ' ὀλίγου [1]) ἀλλ' ἐπὶ μακρῷ χρόνῳ προσέχειν τε αὐτῷ βουληθέντος τοὺς Ἰουδαίους, καὶ τὴν κηδεμονίαν αὐτοῖς ὑποσχομένου τὴν οἰκείαν, οὕτω τε αὐτοὺς βουληθέντος μὴ πρὸς τὰ εἴδωλα νεύειν, ἐπὶ δὲ τῆς περὶ αὐτὸν μένειν εὐνοίας. Εἶτα ἐπάγει.

δ'. „Διότι ἡμέρας πολλὰς καθίσονται υἱοὶ Ἰσραὴλ οὐκ ὄντος βασιλέως, οὐδὲ ὄντος ἄρχοντος, οὐδὲ οὔσης θυσίας, οὐδὲ ὄντος θυσιαστηρίου, οὐδὲ ἱερατείας, οὐδὲ δήλων.“ Ὡς γὰρ ἐκείνης ἐπὶ τῶν συνθηκῶν [2]) μενούσης τῶν οἰκειῶν, τῇ δὲ πορνικῇ γνώμῃ πρὸς ἑτέρους νευσούσης, οὕτως ἐνταῦθα λέγει, ὅτι παρόμοια δὴ καὶ τῶν Ἰουδαίων περὶ ἐμὲ

decim argenteis nummis, hordeique coro et vini urceo emi.“ Vel hic accurata rerum significatione utitur propheta, rem vere factam esse indicaturus. Necessario quoque emtionis documentum dedit, quoniam etiam Judaeos Deus multis donis et praemiis sibi adstrinxerat.

V. 3. „*Et dixi ei: per multos dies penes me maneas et equidem penes te manebo, neque meretriceris, neque cum viro rem habeas.*“ Haec indicant, Deum tum velle ut non per aliquantum temporis sed diu Judaei ipsi adhaereant, tum iis singularem suam curam promittere, siquidem ad idola non inclinantes rectum erga ipsum animum retineant. Deinde pergit:

V. 4. *Namque multos dies manebunt Israelis filii sine rege et principe, sine sacrificio, sine ara, sine sacerdotio, sine manifestationibus.* Sicut ista foedere mecum inito non stetit, sed pro meretricio suo animo ad alios se inclinavit, ita hic dicit: Judaeos quoque similium in me delictorum causa calamitatibus consentaneis gravabo, justo eos

[1]) Leg. ὀλίγῳ. — [2]) Inserendum μὲν οὐ.

πεποιηκότων τιμωρίαν αὐτοῖς ἀνάλογον ἐπάξω, ἐφ' ἱκανῷ μὲν τῷ χρόνῳ παραδοὺς αἰχμαλωσίᾳ, παρασκευάσας δὲ πάντων τῶν κατὰ τὴν χώραν τὴν οἰκείαν ἐρήμους εἶναι παντελῶς, ὡς βασιλέως μὲν οἰκείου ἐκτὸς εἶναι καὶ ἄρχοντος, ἅτε ὑφ' ἑτέρῳ βασιλεῖ τεταγμένους, ὥσπερ αἰχμαλώτους γεγονότας δουλεύειν ἀνάγκη, ἀφαιρεῖσθαι δὲ αὐτῶν καὶ τὰς θυσίας καὶ τὴν τῶν θυσιαστηρίων χρείαν, καὶ πᾶσαν τὴν ἱερατικὴν λειτουργίαν, διὰ τὸ γεγονότας αἰχμαλώτους πόῤῥω καθεστάναι τῶν τόπων, ἐν οἷς ἱερατεύειν τῷ θεῷ νενομισμένον ὑπῆρχεν, ἀμοιρεῖν δὲ καὶ τῆς ἐπὶ τοῖς ἀπορουμένοις διὰ τῶν προφητῶν δηλώσεως, οὗπερ οὖν πρότερον ἐτύγχανον ποικίλως. —

tempore captivitati traditurus, omnibusque patriae beneficiis plane privaturus, ita ut neque proprio rege nec principe utantur, sed alieno regi sint subjecti et, quippe captivi, deservire coacti. Privabuntur etiam sacrificiis et aris omnique sacerdotati cultu, quum locis, quibus ea persolvere Deo fas erat, longe sint captivi abducti; et denique vel omni,.qua antea saepius edocti fuerant, per prophetas iis facta manifestatione prorsus carebunt.

έ. „*Καὶ μετὰ ταῦτα ἐπιστρέψουσιν οἱ υἱοὶ Ἰσραὴλ, καὶ ζητήσουσι κύριον τὸν θεὸν αὐτῶν, καὶ Δαυὶδ τὸν βασιλέα αὐτῶν.*“ Τηνικαῦτα, φησὶν, αἰσθόμενοι τῶν οἰκείων κακῶν μεταβαλοῦνται τὴν γνώμην, τὴν τοῦ θεοῦ μετιόντες γνῶσίν τε καὶ θεραπείαν σπουδῇ· καὶ βασιλέα στέρξουσιν ἔχειν τὸν ἐκ τῆς Δαυὶδ διαδοχῆς. Ταῦτα γὰρ ὡς μετὰ τὴν ἐπάνοδον ἐσόμενα λέγει, ὅτε ὑφ' ἑνὶ βασιλεῖ τῷ Ζοροβάβελ ἐτύγχανον ἅπαντες ἐκ τοῦ Δαυὶδ καταγομένῳ, οὐκέτι ζηλοῦντες τὴν γνώμην

V. 5. „*Deinde vero revertentur Israelitae, Deum suum suumque regem Davidem quaesituri.*“ Tunc inquit, malorum suorum perpessione edocti, mutataque pristina sententia Dei cognitionem venerationemque studiosissime sequentur, regemque e Davidis stirpe habere vehementer desiderabunt. Ea enim post reditum eorum fore annunciat, quum sub unius Zorobabelis a Davide oriundi regis imperium essent coacti et illam mentem excu-

ἐκείνην, καθ' ἣν ἀποστᾶσαι τῆς βασιλείας τῶν διαδόχων τοῦ μακαρίου Δαυὶδ αἱ δέκα φυλαὶ βασιλέας εἵλοντο ἑτέρους. — „Καὶ ἐκστήσονται ἐπὶ τῷ κυρίῳ, καὶ ἐπὶ τοῖς ἀγαθοῖς αὐτοῦ ἐπ' ἐσχάτων τῶν ἡμερῶν.“ Εἰς ἔκστασιν δὲ καταστήσονται πάντες τῇ ὑπερβολῇ τοῦ θαύματος, ἀναλογιζόμενοι ὁπόσων αὐτοῖς ἀγαθῶν διὰ τῆς προνοίας τῆς θείας ἐνεγένετο τυχεῖν. — Ἐν δὲ τούτοις καὶ τὰ πρὸς ἔλεγχον τῶν κατὰ τὴν Ἰουδαίαν εἰπών, κοινὸν λοιπὸν πρὸς ἅπαντας ποιεῖται τὸν λόγον, ποτὲ μὲν τούτους, ποτὲ δὲ ἐκείνους, ποτὲ δὲ ἅπαντας ἐλέγχων κοινῇ. Διὸ φησίν·

rent, qua decem tribus spreto Davidicae prolis imperio, alios sibi crearunt regis. — „*Deunque stupebunt ultimis diebus et ejus beneficia.*“ Stupor cunctos invadet, miraculi ob magnitudinem, quum reputaverint, quot beneficia divina iis paraverit providentia. —

Postquam in his Judaeae incolas objurgavit propheta, jam in sequentibus ad omnes orationem dirigit, modo hos, modo illos, modo omnes simul conviciis consectans. Et ita quidem incipit:

Κεφαλαῖον Δ'.

α'. Ἀκούσατε λόγον κυρίου, υἱοὶ Ἰσραήλ, ὅτι κρίσις τῷ κυρίῳ πρὸς τοὺς οἰκοῦντας τὴν γῆν· διότι οὐκ ἔστιν ἀλήθεια οὐδὲ ἔλεος, οὐδὲ ἐπίγνωσις θεοῦ ἐπὶ τῆς γῆς. β'. Ἄρα καὶ ψεῦδος, καὶ φόνος, καὶ κλοπή, καὶ μοιχεία κέχυται ἐπὶ τῆς γῆς· καὶ αἵματα ἐφ' αἵμασι μίσγουσιν. Ἀλλὰ γὰρ ἐπὶ τούτοις, φησίν, ἀκούσατε κρινομένου τοῦ θεοῦ πρὸς ὑμᾶς καὶ δεικνύοντος, οἵοις τε καὶ ἡλίκοις αὐτοῦ τὴν κηδεμονίαν ἠμείψασθε κακοῖς· φροντίζει μὲν γὰρ

Caput IV.

V. 1. „*Audite sermonem Domini, Israelitae; judicium enim dominus exercebit de incolis terrae; quoniam nulla veritas, neque misericordia vel cognitio Dei est in terra.* V. 2. *Sed contra mendacia, et neces, furta et adulteria super terram effusa sunt, sanguinemque contingit sanguis.*“ Verumtamen audite nunc Deum judicium facientem de vobis et indicantem, cum quantis qualibusque malis ejus curam commutaveritis. Nemo enim

ἀληθείας οὐδεὶς ἐν ὑμῖν· ἀλλ' οὐδὲ φιλανθρωπίας ἐν ὑμῖν λόγος, ἐπεὶ μηδὲ τῆς θείας γνώσεως ἔχετε φροντίδα, ἀπάτη δὲ καὶ τὰ πάσης ἄξια κατάρας, φόνος τε καὶ κλοπὴ καὶ μοιχεία διὰ πάσης χύδην ἐπιτελεῖται τῆς γῆς, τοσαύτην ὑμῶν ἐχόντων περὶ τὸ φονεύειν ἀλλήλους σπουδὴν, ὥστε ἀεὶ τοῖς προειληφόσι τῶν καθεξῆς μιγνύναι τὰ αἵματα.

γ'. Διὰ τοῦτο πενθήσει ἡ γῆ καὶ σμικρυνθήσεται σὺν πᾶσι τοῖς κατοικοῦσιν αὐτήν. ἐν πένθει πᾶσα γενήσεται διὰ τὸ μέγεθος τῶν ἐπιγινομένων αὐτοῖς κακῶν, οὕτω τῶν πολεμίων ἀναιρούντων αὐτοὺς ἀφειδῶς, ὥστε εἰς ἐλάττωσιν περιστῆναι τῶν οἰκούντων τὸν ἀριθμόν. Τοῦτο γὰρ λέγει τὸ Σμικρυνθήσεται ἡ γῆ σὺν τοῖς κατοικοῦσιν αὐτὴν. — „Σὺν τοῖς θηρίοις τοῦ ἀγροῦ, καὶ τοῖς ἑρπετοῖς τῆς γῆς, καὶ σὺν τοῖς πετεινοῖς τοῦ οὐρανοῦ.“ Τροπικῶς λέγει κατὰ τὸ εἰωθὸς, ὅτι συναπολοῦνται καὶ οἱ ἐν αὐτοῖς δυνατοὶ τοῖς λοιποῖς, οἱ θηρίων τε δίκην ἐπηρεάζοντες τοῖς ἀσθενεστέροις, καὶ ὥσπερ τινὰ πτηνὰ ἀθρόον ταῖς τῶν πενήτων ἁρπαγαῖς ἐπιόντες, καὶ οὐχ ἧττον ἑρπετῶν βλάπτειν ἐσπουδακότες τοὺς πέλας. — „Καὶ οἱ ἰχθύες τῆς θαλάσ-

vestrum veritatem curat, neque humanitatis rationem habetis, cognitionemque divinam negligitis. Fraudes vero, et alia execratione dignissima, velut neces et furta atque adulteria per totam terram vestram abundanter perpatratis, tanta invicem necandi cupidine impleti, ut sanguini modo profuso extemplo novum addatis sanguinem.

V. 3. „*Propterea lugebit terra cumque omnibus suis incolis extenuabitur.*“ Luctui totam se tradet propter calamitatum suarum magnitudinem, hostibus eos ita trucidantibus, ut incolarum numerus eo minuatur. Id enim innuit dicens: extenuabitur terra cum incolis suis. — „*cum bestiis agri, reptilibus terrae et volucribus coeli.*“ Tropice pro more suo cum reliquis dicit perituros esse vel potentes qui bestiarum instar debiliores offendant, et sicut volucres pauperibus spoliandis studeant, nec secus quam reptilia aliis nocere nitantur. — „*Et pisces maris consumentur.*“ Paucis ut absolvam, ad unum omnes qui marinis piscibus similes terram replent, prorsus interimentur. Et his addit:

σης ἐκλείψουσιν.“ ἅπαντες συντόμως εἰπεῖν οἱ καθ᾽ ὁμοιότητα τῶν τῆς θαλάσσης ἰχθύων πληροῦντες τὴν γῆν ἄρδην ἀπολοῦνται. Τούτοις ἐπάγει·

δʹ. „*Ὅπως μηδεὶς μήτε δικάζηται, μήτε ἐλέγχηται μηδείς.“* Τοσαύτην δὲ, φησὶν, ἅπαντα καθέξει [1]) ὡς μήτε τὸν δικάζοντα εἶναι λοιπὸν, μήτε τὸν τὰ ἑτέρων διορθούμενον πταίσματα, μιᾷ τῇ τῆς αἰχμαλωσίας συμφορᾷ κατεχομένων ἁπάντων ὁμοίως. — „*Ὁ δὲ λαός μου ὡς ἀντιλεγόμενος ἱερεύς.“* πάσης ἀποπεσὼν τῆς πρόσθεν ἀξίας καὶ οὐδενὶ λόγῳ [2]) φαινόμενος ἄξιος, ὥσπερ ἂν εἴ τις ἱερεὺς εἰς ἀντίῤῥησιν πεσὼν ἀθετοῖτό τε καὶ ἀτιμάζοιτο παρὰ πάντων. —

εʹ. „*Καὶ ἀσθενήσει ἡμέρας.“* ἐπὶ πλεῖστον ἐν ἀσθενείᾳ ὑπὸ τῶν ἐπικειμένων γενήσεται κακῶν. — „*Καὶ ἀσθενήσει ὁ προφήτης μετὰ σοῦ νυκτός.“* Καὶ οἱ ταῖς προῤῥήσεσι δὲ ταῖς ψεύδεσι πρὸς ἀπάτην ὑμῶν πρότερον κεχρημένοι, ἐν ἀσθενείᾳ πλεῖστον [3]) καὶ αὐτοὶ γενήσονται ὑπὸ τῆς κατεχούσης αὐτοὺς συμφορᾶς, ὥσπερ νυκτερινῷ τινὶ περιβαλλόμενοι σκότῳ,

V. 4. „*Nec est, quod quisquam judicet, vel reprehendat quispiam.*“ Adeo tunc, inquit, omnibus rebus privati erunt, ut ne sit quidem quisquam, qui judicium ferat, vel aliorum delicta corrigat, eadem enim omnes captivitatis calamitate impliciti erunt. — „*Populus autem meus exaequatur sacerdoti, cui contradicitur*“ i. e. omni sua pristina dignitate destitutus, neque dignus de quo quisquam verbum faciat, tanquam si sacerdos in vituperium incurrens ab omnibus contemneretur et vili penderetur.

V. 5. „*Et interdiu infirmata erit*“ summam in debilitatem malis urgentibus demergetur. „*Et propheta tecum noctu infirmatus erit.*“ Etiam ii, qui mendacibus vaticiniis usi priori tempore te deceperunt, in summam debilitatem vel ipsi devenient, calamitate tanquam nocturnis tenebris correpti, et quam inutile iis fuerit fraudis studi-

[1]) Justam fortasse huic loco plane corrupto medelam adhibebis, si leges: τοσαύτη δὲ, φησὶν, ἅπαντα καθέξει ἀνάγκη vel ἐρημία.

[2]) Nonne legendum λόγου? — [3]) f. l. πλείστῃ.

καὶ τῆς ἀπάτης ἄχρηστον ἑαυτοῖς τὴν ἐπιτήδευσιν ὁρῶντες. — „Νυκτὶ ὡμοίωσα τὴν μητέρα σου“ — οὕτως ἐν ἀγνοίᾳ καὶ πλάνῃ καθεστῶσαν ἀεί. —

ς'. Ὡμοιώθη ὁ λαός μου ὡς οὐκ ἔχων ἐπίγνωσιν.“ Ἐμιμήσασθε δὴ ταύτην καὶ ὑμεῖς, οὐδένα τῆς ἐπιγνώσεως τῆς ἐμῆς ἔχοντες λόγον. — „Ὅτι καὶ σὺ ἐπίγνωσιν ἀπώσω, ἀπώσομαι σὲ κἀγὼ, τοῦ μὴ ἱερατεύειν μοι.“ ὥσπερ δὲ ὑμεῖς ἀποβεβλήκατε τὴν γνῶσιν ἑαυτῶν τὴν ἐμὴν, οὕτω κἀγὼ τῆς περὶ ἐμὲ θεραπείας ὑμᾶς ἐκβαλῶ, μακρὰν δι' αἰχμαλωσίας ποιήσας τῶν τόπων, ἐν οἷς ἱερατεύειν ὑμᾶς προσῆκον ἦν ἐμοί. Ἐπειδὴ γὰρ κοινὸν ἁπάντων κέρδος ἡ ἱερατεία, καθὼς ὁ μακάριος λέγει Παῦλος [1]), „Διὰ τοῦτο ὀφείλει ὥσπερ ὑπὲρ ἑαυτοῦ, οὕτω καὶ τῶν τοῦ λαοῦ προσφέρειν ἀγνοημάτων,“ εἰκότως ἅπαντας ἀποβάλλεσθαι τῆς ἱερωσύνης λέγει πεπαυμένης ἐκείνης, ἐπειδὴ ὥσπερ γινομένη κοινὸν εἶχε τὸ κέρδος, οὕτω παυομένη κοινὴν ἀποτελεῖ τὴν ζημίαν. — „Καὶ ἐπελάθου νόμου θεοῦ σου· ἐπιλήσομαι τέκνων σου κἀ-

um tunc bene intelligentes.— „*Nocti matrem tuam similem reddidi.*“ i. e. in tantam inscitiam tantumque errorem eam immersi.

V. 6. „*Populus meus par est homini scientia carenti.*“ Vel ipsi eam imitati estis mei cognitionem nihil curantes. — „*Quoniam tu sicentiam recusasti, equidem te recusabo, ne sacerdotio fungaris.*“ Sicuti vos mei cognitionem abjecistis, ita ego quoque cultum meum vobis auferam, longe vos abducens iis locis, quibus vos mihi sacra facere debuistis. Namque quum sacerdotium commodum habeat omnibus commune, uti beatus Paulus dicit sacerdoti non solum pro sui ipsius sed etiam pro populi delictis sacrificandum esse, bene itaque cessante sacerdotio, omnes hoc amittere dicit; nam sicut quamdiu duravit omnibus commoda afferebat, ita sublato isto communi omnes damno affliguntur. „*Et quia legis a Deo tuo latae oblitus es, ego quoque liberorum*

[1]) Locus ex epistola ad Hebraeos desumtus menti auctoris obversatus fuisse videtur, Hebr. 7, 27. Scimus enim Theodorum nostrum, sicuti omnes fere illius aevi patres Graecos istam epistolam a Paulo apostolo confectam esse, temere censuisse, Alexandrinorum seriorum vestigia parum considerate sequentes.

σης ἐκλείψουσιν." ἅπαντες συντόμως εἰπεῖν οἱ καθ' ὁμοιότητα τῶν τῆς θαλάσσης ἰχθύων πληροῦντες τὴν γῆν ἄρδην ἀπολοῦνται. Τούτοις ἐπάγει·

δ'. „Ὅπως μηδεὶς μήτε δικάζηται, μήτε ἐλέγχηται μηδείς." Τοσαύτην δὲ, φησὶν, ἅπαντα καθέξει [1]) ὡς μήτε τὸν δικάζοντα εἶναι λοιπὸν, μήτε τὸν τὰ ἑτέρων διορθούμενον πταίσματα, μιᾷ τῇ τῆς αἰχμαλωσίας συμφορᾷ κατεχομένων ἁπάντων ὁμοίως. — „Ὁ δὲ λαός μου ὡς ἀντιλεγόμενος ἱερεύς." πάσης ἀποπεσὼν τῆς πρόσθεν ἀξίας καὶ οὐδενὶ λόγῳ [2]) φαινόμενος ἄξιος, ὥσπερ ἂν εἴ τις ἱερεὺς εἰς ἀντίῤῥησιν πεσὼν ἀθετοῖτό τε καὶ ἀτιμάζοιτο παρὰ πάντων. —

V. 4. „*Nec est, quod quisquam judicet, vel reprehendat quispiam.*" Adeo tunc, inquit, omnibus rebus privati erunt, ut ne sit quidem quisquam, qui judicium ferat, vel aliorum delicta corrigat, eadem enim omnes captivitatis calamitate impliciti erunt. — „*Populus autem meus exaequatur sacerdoti, cui contradicitur*" i. e. omni sua pristina dignitate destitutus, neque dignus de quo quisquam verbum faciat, tanquam si sacerdos in vituperium incurrens ab omnibus contemneretur et vili penderetur.

ε'. „Καὶ ἀσθενήσει ἡμέρας." ἐπὶ πλεῖστον ἐν ἀσθενείᾳ ὑπὸ τῶν ἐπικειμένων γενήσεται κακῶν. — „Καὶ ἀσθενήσει ὁ προφήτης μετὰ σοῦ νυκτός." Καὶ οἱ ταῖς προῤῥήσεσι δὲ ταῖς ψεύδεσι πρὸς ἀπάτην ὑμῶν πρότερον κεχρημένοι, ἐν ἀσθενείᾳ πλεῖστον [3]) καὶ αὐτοὶ γενήσονται ὑπὸ τῆς κατεχούσης αὐτοὺς συμφορᾶς, ὥσπερ νυκτερινῷ τινὶ περιβαλλόμενοι σκότῳ,

V. 5. „*Et interdiu infirmata erit*" summam in debilitatem malis urgentibus demergetur. „*Et propheta tecum noctu infirmatus erit.*" Etiam ii, qui mendacibus vaticiniis usi priori tempore te deceperunt, in summam debilitatem vel ipsi devenient, calamitate tanquam nocturnis tenebris correpti, et quam inutile iis fuerit fraudis studi-

[1]) Justam fortasse huic loco plane corrupto medelam adhibebis, si leges: τοσαύτη δὲ, φησὶν, ἅπαντα καθέξει ἀνάγκη vel ἐρημία.
[2]) Nonne legendum λόγου? — [3]) f. l. πλείστῃ.

καὶ τῆς ἀπάτης ἄχρηστον ἑαυτοῖς τὴν ἐπιτήδευσιν ὁρῶντες. — „Νυκτὶ ὡμοίωσα τὴν μητέρα σου“ — οὕτως ἐν ἀγνοίᾳ καὶ πλάνῃ καθεστῶσαν ἀεί. —

ϛʹ. Ὡμοιώθη ὁ λαός μου ὡς οὐκ ἔχων ἐπίγνωσιν.“ Ἐμιμήσασθε δὴ ταύτην καὶ ὑμεῖς, οὐδένα τῆς ἐπιγνώσεως τῆς ἐμῆς ἔχοντες λόγον. — „Ὅτι καὶ σὺ ἐπίγνωσιν ἀπώσω, ἀπώσομαι σὲ κἀγὼ, τοῦ μὴ ἱερατεύειν μοι.“ ὥσπερ δὲ ὑμεῖς ἀποβεβλήκατε τὴν γνῶσιν ἑαυτῶν τὴν ἐμὴν, οὕτω κἀγὼ τῆς περὶ ἐμὲ θεραπείας ὑμᾶς ἐκβαλῶ, μακρὰν δι᾽ αἰχμαλωσίας ποιήσας τῶν τόπων, ἐν οἷς ἱερατεύειν ὑμᾶς προσῆκον ἦν ἐμοί. Ἐπειδὴ γὰρ κοινὸν ἁπάντων κέρδος ἡ ἱερατεία, καθὼς ὁ μακάριος λέγει Παῦλος [1]), „Διὰ τοῦτο ὀφείλει ὥσπερ ὑπὲρ ἑαυτοῦ, οὕτω καὶ τῶν τοῦ λαοῦ προσφέρειν ἀγνοημάτων,“ εἰκότως ἅπαντας ἀποβάλλεσθαι τῆς ἱερωσύνης λέγει πεπαυμένης ἐκείνης, ἐπειδὴ ὥσπερ γινομένη κοινὸν εἶχε τὸ κέρδος, οὕτω παυομένη κοινὴν ἀποτελεῖ τὴν ζημίαν. — „Καὶ ἐπελάθου νόμου θεοῦ σου· ἐπιλήσομαι τέκνων σου κἀ-

um tunc bene intelligentes. — *„Nocti matrem tuam similem reddidi.“* i. e. in tantam inscitiam tantumque errorem eam immersi.

V. 6. *„Populus meus par est homini scientia carenti.“* Vel ipsi eam imitati estis mei cognitionem nihil curantes. — *„Quoniam tu sicentiam recusasti, equidem te recusabo, ne sacerdotio fungaris.“* Sicuti vos mei cognitionem abjecistis, ita ego quoque cultum meum vobis auferam, longe vos abducens iis locis, quibus vos mihi sacra facere debuistis. Namque quum sacerdotium commodum habeat omnibus commune, uti beatus Paulus dicit sacerdoti non solum pro sui ipsius sed etiam pro populi delictis sacrificandum esse, bene itaque cessante sacerdotio, omnes hoc amittere dicit; nam sicut quamdiu duravit omnibus commoda afferebat, ita sublato isto communi omnes damno affliguntur. *„Et quia legis a Deo tuo latae oblitus es, ego quoque liberorum*

[1]) Locus ex epistola ad Hebraeos desumtus menti auctoris obversatus fuisse videtur, Hebr. 7, 27. Scimus enim Theodorum nostrum, sicuti omnes fere illius aevi patres Graecos istam epistolam a Paulo apostolo confectam esse, temere censuisse, Alexandrinorum seriorum vestigia parum considerate sequentes.

γῷ.“ Παραλογισαμένους τὰ νόμιμα τὰ ἐμὰ ἐν οὐδενὶ ποιήσομαι λόγῳ.

ζ. „Κατὰ τὸ πλῆθος αὐτῶν, οὕτως ἥμαρτόν μοι.“ Καὶ γὰρ πολλοί τινες καὶ ἀναρίθμητοι διὰ τῆς κηδεμονίας γεγονότες τῆς ἐμῆς, δέον ἐπιγινώσκειν τὸν ταύτης αὐτῆς [1]) αἴτιον γεγονότα τῆς δωρεᾶς· οἱ δὲ ἀνάλογον τῷ πλήθει τῷ οἰκείῳ τὴν εἰς ἐμὲ παρανομίαν ἐπεδείξαντο, πολλήν τινα καὶ ἀμέτρητον αὐτὴν ἐργασάμενοι· Τί οὖν; — „Τὴν δόξαν αὐτῶν εἰς ἀτιμίαν θήσομαι.“ ἀπὸ τῶν προτέρων ἀγαθῶν εἰς χείρονα πεῖραν αὐτοὺς καταστήσω. —

η΄. „Ἁμαρτίας λαοῦ μου φάγονται.“ Ἵνα εἴπῃ ὅτι τοιαῦτα δὲ ὁ λαὸς ἡμαρτηκὼς εἰς ἐμὲ, ἀνάλογον ὧν πεποίηκε λήψεται τὸν καρπὸν, τοιούτων ἀπολαύσας καρπῶν οἷάπερ ἔσπειρε. Τὸ γὰρ Ἁμαρτίας λαοῦ μου φάγονται, ἀντὶ τοῦ, τοιούτων ἀπολαύσουσιν οἱ τοῦ λαοῦ μου, οἷάπερ ἥμαρτον. — „Καὶ ἐν ταῖς ἁμαρτίαις αὐτῶν λήψονται ἄλλοι ψυχὰς αὐτῶν.“ ὑπὲρ γὰρ ὧν ἡμάρτανον εἰς ἐμὲ, δι' ἑτέρων δώσουσι δίκην, τῶν ἐπιέναι μελλόντων αὐτοῖς πολεμίων. —

[1]) αὐτοῖς.

tuorum obliviscar.“ Nil curabo vos, qui legem fraude circumvenistis.

V. 7. „*Quotquot eorum sunt, tot etiam peccant contra me.*“ Ad ingentem numerum mea providentia aucti, me tanti iis beneficii auctorem esseintelligere debebant; at numero suo legis violationes adaequant, quas multas imo inenarrabiles peragunt. — Jam quid porro? „*Gloriam eorum in ignominiam convertam.*“ E pristini temporis fortuna secunda in adversae experientiam eos traducam.

V. 8. „*Peccata populi mei comedunt.*“ Prophetae sententia est, populus meus propterea quod peccavit contra me, mercedem factis suis accommodatam recipiet, talis habebit fructus, quales seminavit. *Peccata populi mei comedunt,* dictum est pro: qualia peccata commisit populus meus, talibus fruetur praemiis. — „*Mediisque in iniquitatibus suis animae ipsorum ab aliis extinguentur.*“ Aliis, quippe hostibus eos aggressuris, scelerum suorum poenas luent.

θ'. „Καὶ ἔσται ὡς ὁ λαός, οὕτως καὶ ὁ ἱερεύς.“ Ἐν τοσαύτῃ συγχύσει τε καὶ συμφορᾷ διὰ τῆς αἰχμαλωσίας γενήσονται, ὡς μηδεμίαν εἶναι τοῦ ἱερατεύοντός τε καὶ τοῦ ὑπὸ τὴν ἱερωσύνην διαφοράν· ἅτε μηδενὸς μὲν τῶν ἐν ἱερατείᾳ θείᾳ προσηκόντων γινομένου τότε, πάντων δὲ τῇ τῆς αἰχμαλωσίας συμφορᾷ περικειμένων ὁμοίως. — „Καὶ ἐκδικήσω ἐπ' αὐτοὺς τὰς ὁδοὺς αὐτῶν καὶ τὰ διαβούλια αὐτῶν ἀνταποδώσω αὐτοῖς.“ Τιμωρήσομαι γὰρ αὐτοὺς ἀνάλογα οἷς τε ἐβουλεύοντο ἐπιτελεῖν καὶ προῄρηντο. —

ι'. „Καὶ φάγονται, καὶ οὐ μὴ ἐμπλησθῶσιν.“ ἄπαυστον ἕξουσι τῶν κακῶν τὴν πεῖραν, ἀεὶ τοῖς πρώτοις προτιθεμένων [1]) ἑτέρων· ἐκ μεταφορᾶς αὐτὸ εἰπὼν τῶν ἐπειδὰν φάγοντες μὴ κορεσθῶσιν ἐσθιόντων πάλιν, ἵνα εἴπῃ, ὅτι καὶ οὗτοι ἐν πείρᾳ γενήσονται τῶν κακῶν, καὶ τῶν προτέρων γεγονότων πάλιν ἔσται δευτέρα, πέρας δὲ τῶν γινομένων οὐκ ἔσται. Τὸ γὰρ Φάγονται κἀνταῦθα εἶπεν ὡς ἐν τοῖς ἀνωτέροις, Ἁμαρτίας λαοῦ μου φάγονται, ἀντὶ τοῦ παραθήσονται. — „Ἐπόρνευσαν, καὶ οὐ μὴ κατευθυνθῶσιν.“ ἐπει-

V. 9. „*Et qualis populus, talis erit sacerdos.*“ In tantam captivitate rerum perturbationem et miseriam irruentur, ut neque sacerdotis, neque ejus qui sub sacerdotio est, ullum sit discrimen; nihil enim eorum quae ad divina sacrificia pertinent, tunc fiet, quando omnia captivitatis calamitate erunt obruta.— „*Et animadvertam in eorum actiones et rependam illis mores eorum.*“ Poena, quam ab iis repetam, iis apta erit, quae moliti sunt et agenda sibi sumserunt.

V. 10. „*Et comedent quidem neque tamen saturabuntur.*“ Perpetuam habebunt miseriarum experientiam,-nam antecodentem proxime semper sequetur altera. Metaphora ab iis desumta, qui quotiescunque edant, nunquam saturantur, id dicere vult propheta, quod et hi talem malorum experientiam habebunt, ut alterum semper alterum excipiat nullo eorum seriei posito fine. Vox enim „Comedent“ hic eodem modo, quam in prioribus „Populi mei peccata comedunt,“

[1]) Leg. προστιθεμένων.

δὴ γὰρ ἀπέστησάν μου παντελῶς, οὐδὲν αὐτοῖς εἰς δέον ἐκβήσεται. — „Διότι τὸν κύριον ἐγκατέλιπον, τοῦ φυλάξαι πορνείαν. ια'. Καὶ οἶνον καὶ μέθυσμα ἐδέξατο ἡ καρδία τοῦ λαοῦ μου.“ Ἀμελήσαντες γὰρ τοῦ θείου παντελῶς πολλὴν ἐπιμέλειαν τῆς περὶ τὰ εἴδωλα ἐποιοῦντο σπουδῆς, ὥστε μεθύοντας αὐτοὺς τοῖς κακοῖς, μηδὲ αἴσθησιν τῆς παρανομίας λοιπὸν ἔχειν τῆς ἰδίας. —

ιβ'. „Ἐν συμβόλοις ἐπηρώτων καὶ ἐν ῥάβδοις αὐτοῦ ἐπήγγελον αὐτῷ.“ Ἃ κατὰ τὸ ἑλληνικὸν ἔθος ἐποίουν λέγει, ὅτι οἱ μὲν ἐπηρώτων τοὺς δαίμονας, ἅτε τοὺς τούτων ἱερέας, διὰ συμβόλων μανθάνειν βουλόμενοί τι τῶν αὐτοῖς ἀναγκαίων, οἳ κατὰ τὸ εἰωθὸς αὐτοῖς ῥάβδοις τισί κεχρημένοι μετὰ ἀπάτης τῶν ἐρωτήσεων τὴν ἀπόκρισιν ἐποιοῦντο. — „Πνεύματι πορνείας ἐπλανήθησαν, καὶ ἐξεπόρνευσαν ἀπὸ τοῦ θεοῦ αὐτῶν.“ πορνικῇ χρησάμενοι γνώμῃ πρὸς πλάνην εἶδον ἀποστάντες τοῦ θεοῦ παντελῶς. —

ιγ'. „Ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων ἐθυσίαζον, καὶ ἐπὶ τοὺς βουνοὺς ἔθυον ὑποκάτω δρυὸς καὶ λεύκης καὶ δένδρου σκιάζοντος,

posita est pro: periculo exponentur. „*Et enim dominum relinquentes scortationes moliuntur.* — V. 11. *Et vinum mustumque cor populi mei imbibit.*“ Deo prorsus relicto omne suum studium ponunt in colendis idolis, ita ut impietate inebriati, legem se violare, ne animadvertant quidem.

V. 12. „*Per auguria interrogabant, et per virgas suas annunciabant ei.*“ Id ex more Graecorum eos facere, dicit. Consulunt enim daemonas, i. e. eorum sacerdotes, ab his per auguria intelligere studentes ea, quae sibi cordi sunt; hi vero ex consueto virgis quibusdam usi responsum dant interrogantes decipientes. — „*Spiritu fornicationis adeo decepti sunt, ut omisso Deo suo meretricentur.*“ Meretricio imbuti animo Deum prorsus aspernantes errori se dederunt.

V. 13. „*In montium verticibus sacrificabant, et in collibus immolabant sub quercu, sub populo et arbore umbrosa, quia amoenum erat*

ὅτι καλὸν σκέπη." Εἶτα ἐπὶ τὰ ὄρη καὶ τοὺς βουνοὺς ἀνέτρεχον, αὐτόθι θυσίας ἐπιτελοῦντες τοῖς δαίμοσι, καὶ δὴ καὶ τῶν δένδρων τὰ μεγάλα καὶ τὰ σύσκια ἐκλεγόμενοι, αὐτόθι τὴν ἀπάτην ἐκπληροῦν [1]) τὴν οἰκείαν, μέγα τι καὶ σεμνὸν νομίζοντες εἶναι τὸ μέγεθος τῆς ἀπὸ τῶν δένδρων σκιᾶς, ὥστε καὶ πρὸς τὴν ἀσέβειαν ἐπιτηδείως ἔχειν αὐτὰ νομίζειν. — „*Διὰ τοῦτο πορνεύσουσιν αἱ θυγατέρες ὑμῶν, καὶ αἱ νύμφαι ὑμῶν μοιχεύσουσι. ιδ΄. καὶ οὐ μὴ ἐπισκέψωμαι ἐπὶ τὰς θυγατέρας ὑμῶν, ὅταν πορνεύσωσι, καὶ ἐπὶ τὰς νύμφας ὑμῶν, ὅταν μοιχεύσωσιν, ὅτι καὶ αὐτοὶ μετὰ τῶν πόρνων συνεφύροντο καὶ μετὰ τῶν τετελεσμένων ἔθυον, καὶ ὁ λαός σου* [2]) *συνιὼν συνεπλέκετο μετὰ πόρνης.*" Ἀναλόγους δὴ τοῖς πλημμελήμασι τοῖς οἰκείοις δώσετε τὰς δίκας ἐπειδὰν κατασχόντες ὑμῶν οἱ πολέμιοι εἰς τὰς προσηκούσας ὑμῖν θυγατέρας τε ἐξυβρίζωσι καὶ νύμφας, ὧν γινομένων οὐδένα ποιήσομαι λόγον, ἐπείπερ δικαίως ὑπομενεῖτε ταῦτα, συμφυρέντες τε τῇ πορνικῇ πλάνῃ, καὶ κοινωνίαν ποιησάμε-

tegumentum." Deinde ad montes collesque concurrebant, ibi daemonibus sacra facientes, nec non magnas umbrosasque sibi arbores elegerunt, ibique fraudes suas impias fecerunt, latitudinem umbrae de arboribus cadentis magnum aliquid augustumque esse rati et impietati obtegendae maxime commodum. — „*Propterea filiae vestrae scortantur sponsaeque vestrae adulterantur.* V.14. *Neque ego vel in filias vestras scortatas, vel in sponsas vestras adulteratas animadvertam, quoniam et ipsi cum meretricibus miscebantur et cum initiatis sacrificabant, et populus iste imprudens adhaerebat meretricibus.*" Poenas sane luetis delictis vestris consentaneas; hostes enim, qui vos opprimient, filias et sponsas vestras vitiabunt, me nullam hujus rei rationem habente. Nam vos ea omnia jure tolerabitis, quippe qui meretricio errore nutriti, societatem quasi invicem inieritis, ut me derelicto idolis adhaereretis. Et factum est ut reliqui e vobis exceptis iis,

[1]) Legendum videtur aut ἐκπληροῦντες, aut quod melius esset ἐπλήρουν, cf. ad Hos. VII., 14.

[2]) Leg. οὐ.

νοι πρὸς ἀλλήλους ἐπὶ τὸ καταλιπεῖν μὲν ἐμὲ, προσέχειν δὲ τοῖς εἰδώλοις, ὥστε τελεῖσθαι μὲν λοιποὺς ἐξ ὑμῶν τὴν παρὰ τοῖς Ἕλλησι νενομισμένην μύησιν, θυσίαν δὲ ἐπ᾽ ἐκείνων ὡς ὑπὲρ μεγίστων τινῶν ἐπιτελεῖν ἀγαθῶν· ἅπας τε συντόμως εἰπεῖν ὁ λαὸς, ὁ μάλιστα πάντων συνιέναι τὸ δέον ὀφείλων καὶ θεὸν ἐπιγινώσκειν τὸν ἑαυτοῦ ποιήτην, τὴν μετὰ τῶν τοιούτων εἵλετο κοινωνίαν, οἳ τὴν μοχθηρὰν ταύτην καὶ ἀκόλαστον ἐξετέλουν πορνείαν, θεοῦ μὲν ἀποστάντες, δαίμοσι δὲ προσανέχοντες θεραπείαν.

ιε΄. „Σὺ δὲ Ἰσραὴλ μὴ ἀγνόει, καὶ Ἰούδα μὴ εἰσπορεύεσθε εἰς Γάλγαλα, καὶ μὴ ἀναβαίνετε εἰς τὸν οἶκον Ὤν, καὶ μὴ ὀμνύετε ζῶντα κύριον.“ Ἀλλὰ γὰρ μὴ οὕτω πάντες χαλεπὴν νοσεῖτε τὴν ἄγνοιαν, ὥστε ἀνιέναι μὲν εἰς Γάλγαλα ἐπὶ θεραπείᾳ τοῦ αὐτόθι ἱδρυμένου εἰδώλου, προσποιεῖσθαι δὲ τιμᾷν τὸν ἀΐδιον καὶ ὄντως ὄντα θεόν, δέον εἰδέναι, ὡς συνιέναι γὰρ τὰ ἀλλήλοις τῶν ἀδυνάτων [1]), πολλὴ δὲ διαφορὰ ἀϊδίου τε θεοῦ καὶ εἰδώλου τοῦ χθὲς ὑπ᾽ ἀνθρωπείων κατασκευασθέντος χειρῶν, καὶ ὡς τῷ γε τὸν ἀΐδιον ὁμολογοῦντι

quae penes Graecos in usu sunt mysteriis, daemonibus sacrificarent, quasi maxima inde commoda reportaturi. Universus autem populus, quem, quid justum sit intelligere, Deumque creatorem suum cognoscere prae omnibus decuit, familiaritate implicatus est cum iis, qui abominandum istud ac frivolum adulterium fecerunt, Deum aspernati et in daemonum sedulam conversi venerationem.

V. 15. „*Tu vero Israel, ne ignores, et Juda nolite ingredi Galgalan, nec adscendatis in domum On, neve per dominum viventem juretis.*“ Attamen cavete, ne omnes tanta decipiatis (Dei) ignorantia, ut Galgalam quidem idoli ibidem exstructi venerandi causa, proficiscamini, Deum aeternum et unice verum colere simulantes. Scire enim vos oportet utrumque, utpote oppositum in unum cogi neutiquam posse; multum vero interesse discriminis inter Deum aeternum, idolumque heri confectum

[1]) Nisi forte librarii negligentia post vocem ὡς integra quaedam enuntiatio excidit, quam sequens particula γὰρ respicit, vocabulis συνιέναι γὰρ τὰ in συνεῖναι ταῦτα mutatis sensus loci justus efficitur.

θεὸν ἀφεστάναι προσῆκον εἴη πάντων πεπλασμένως τὴν ὀνομασίαν ἐπαγομένην [1]) ταύτην, οἷόνπερ ἐστὶ τὸ Ὢν εἴδωλον, οὗπερ εἰς τὸν οἶκον εἰσι, τὴν οὐχ ἁρμοδίαν αὐτῷ προσάγοντες θεραπείαν.

humanis manibus, et hominem, qui Deum profitetur, omnibus quae fictitiam hanc appellationem gerunt, prorsus abstinere debere. Ejusmodi vero vel On idolum est, cujus aedes adeunt cultu, quo non fas est, illud prosequentes.

ιϛ΄. „Ὅτι ὡς δάμαλις παροιστρῶσα παροίστρησεν Ἰσραήλ.“ Δίκην γὰρ δαμάλεως κινήσει τῆς φυσικῆς ἐπιθυμίας πρὸς ἀταξίαν νευσάσης, ἀπέστητε μὲν τῆς δουλείας τῆς ἐμῆς, ἀκολάστῳ δὲ γνώμῃ πρὸς τὴν τῶν εἰδώλων ἐνεύσατε θεραπείαν. — „Νῦν νεμήσει αὐτοὺς κύριος ὡς ἀμνὸν ἐν εὐρυχώρῳ.“ Διασκορπίσω τοίνυν αὐτοὺς τῇδε κἀκεῖσε περιάγων τῇ τῶν πολεμίων ἐφόδῳ, ὥς μηδὲν ἀμνοῦ διαλλάττειν ἐν μεγίστῃ χώρᾳ διατρέχοντός τε καὶ πλανωμένου καὶ τὴν οἰκείαν ἐπιζετοῦντος μήτερα. Τὸ γὰρ σκορπίσειν νεμήσει λέγει ἀπὸ τῶν διανεμόντων τι ἀφειδῶς καὶ διασκορπιζόντων.

V. 16. „*Vaccae oestro concitatae instar se gessit Israel.*“ Pariter ac vacca naturalis libidinis impetu excitata et furibunda, a meo servitio remoti lasciva mente ad idolorum cultum vos inclinastis. — „*Nunc autem pascet eos dominus ut agnum in loco longe patenti.*“ Huc illuc eos circumducens dissipabo eos hostium impetu, ut agno similes evadant maxima in regione circumerranti matremque quaerenti. Voce pascet enim propheta pro; dissipabit utitur, desumta ab iis imagine qui aliquid distribuunt et dissipant.

ιζ΄. „Μέτοχος εἰδώλων Ἐφραΐμ.“ Τὴν πρὸς τὰ εἴδωλα εἵλοντο κοινωνίαν. Ἐφραΐμ γὰρ πολλαχοῦ ἑτέρωθι κἀνταῦθα ἐκ μέρους τὸν Ἰσραὴλ ὀνομάζει, ἐκ τῆς δυνατωτέρας φυλῆς ἐν

V. 17. „*Ephraim particeps est idolorum.*“ Idolorum inierunt societatem. Ephraïmi enim appellatione alias saepius et etiam hoc loco cunctos Israëlitas signi-

[1]) Leg. ἐπαγομένων.

ταῖς δέκα τὴν ὀνομασίαν τιθείς, ὡς τὸ „Υἱοὶ Ἐφραΐμ ἐντείνοντες καὶ βάλλοντες τόξοις [1])." — „Ἔθηκαν ἑαυτοῖς σκάνδαλα." Αὐτὸς ἐπενόησεν αὐτῷ τὰς ἐπὶ τὸ χεῖρον ἐκτροπάς. πῶς καὶ τίνα τρόπον; „ιη'. ἡρέτισε Χαναναίους." τὴν ἐκείνων ζηλώσαντες ἀσέβειαν. „— πορνεύοντες ἐξεπόρνευσαν." ἐντεῦθεν παντελῶς ἔνευσαν πρὸς τὸ χεῖρον· ἠγάπησαν ἀτιμίαν ἐκ φρυάγματος αὐτῆς." πολλῇ τῇ ἀπονοίᾳ χρησάμενοι καὶ τῇ ὑπεροψίᾳ τῇ κατ' ἐμοῦ, τὴν τῶν εἰδώλων εἵλοντο θεραπείαν, ἣ πάσης αὐτοῖς ἀτιμίας πρόξενος ἔσται.

ιθ'. „Συστροφὴ πνεύματος αὐτοὺς συρεῖ ἐν ταῖς πτέρυξιν αὐτῆς." ὡς γὰρ ἱπτάμενον τὸ ὄρνεον ταῖς πτέρυξι ταῖς οἰκείαις τὸ ἀέριον ἐλαῦνον πνεῦμα μετάρσιον αἴρεται τῇ πτήσει· οὕτως ὑπὸ τῆς ὀργῆς οὗτοι ληφθέντες τῆς ἐμῆς, ὡσανεὶ μετέωροι γεγονότες, μετὰ πολλῆς ἀπαχθήσονται τῆς ὕβρεως εἰς αἰχμαλωσίαν. — „Καὶ καταισχυνθήσονται ἐκ τῶν θυσιαστηρίων αὐτῶν" ὥστε αὐτοὺς τότε αἴσθησιν λαβεῖν, ὅτι ματαίαν καὶ ἐπιβλαβῆ τὴν περὶ τὰ θυσιαστήρια τῶν εἰδώλων εἶχον σπουδήν.

[1]) Ps. LXXVII., 12.

ficat, nomine a potentiori tribu desumto et ad decem tribus universas translato. Ita dicit: „Ephraëmitae arcum intendentes telaque jacientes." — „*Ignominiam sibi pararunt.*" Ipsi sibi rerum in pejora mutationes excogitavit. Quomodo autem et qua ratione? „V. 18. *Cananaeos amplectebatur*" i. e. eorum impietatem imitati sunt. — „*Ultra modum scortati sunt*" dehinc ad malum totos se converterunt. — „*Insolentia capti dedecorum amant.*" Multa insipientia et erga me superbia usi, idola colenda sibi sumserunt, unde omnis generis ignominia iis profluet.

V. 19. „*Turbo eos in alis suis auferet.*" Tanquam si avis inter volandum aërem alis suis exagitans volatu sursum tollitur; ita isti mea correpti ira, quasi sursum sublati multa cum superbia in captivitatem trahentur. „*Et pudebit eos altarium suorum.*" Tunc inani et noxio idolorum altaria se coluisse studio intelligent.

Κεφάλαιον Ε΄.

α΄. „*Ἀκούσατε ταῦτα οἱ ἱερεῖς, καὶ προσέχετε οἶκος Ἰσραήλ, καὶ οἶκος τοῦ βασιλέως ἐνωτίζεσθε.*“ Δῆλον ὅτι πάλιν ἐνταῦθα ἐξ ἀποκαλύψεως ἑτέρας ἀρχὴν τῆς παρούσης διαλέξεως ποιεῖται, πρός τε τοὺς ἱερέας καὶ τὸν Ἰσραὴλ καὶ τοὺς τῆς βασιλικῆς οἰκίας απαντας λέγει. — „*διότι πρός ὑμᾶς ἐστὶ τὸ κρῖμα.*“ ὑμᾶς γὰρ ἐλήλυθα ὑπὸ τὴν κρίσιν ποιησόμενος τὴν ἐμὴν, καὶ δίκας ὑπὲρ ὧν τετολμήκατε ληψόμενος παρ' ὑμῶν. — „*ὅτι παγὶς ἐγενήθητε ἐν τῇ σκοπιᾷ, καὶ ὡς δίκτυον ἐκτεταμένον ἐπὶ τὸ Ἰταβύριον, (β΄.) ὃ οἱ ἀγρεύοντες τὴν θήραν κατέπηξαν.*“ Διαφόρους, φησὶν, ἐπιβουλὰς κατὰ τῶν προφητῶν ἐτεκτήνασθε τῶν ἐμῶν, δίκην τῶν τὰ δίκτυα ἁπλούντων ἐπὶ θήραν τῶν ἀγρευομένων διαφόροις αὐτοὺς περιβάλλειν ἐσπουδακότες κακοῖς. Σκοπιὰν γὰρ τῶν [1]) προφητῶν τὸν σύλλογον λέγει, ὡς παρὰ τῷ Ἰεζεκιὴλ τὸ, „Σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραὴλ [2]). „*Ἐγὼ δὲ παιδευτὴς ὑμῶν εἰμί.*“ ἀλλ' ἐπειδὴ δυσχεραίνοντες ἐφ' οἷς ἐμήνυον ὑμῖν ἐκεῖνοι τὰ ἐσόμενα τοιαῦτα

Caput V.

V. 1. „*Audite haec, sacerdotes, attendite domus Israëlis, et regia domus auscultate.*“ Ex alia rursus revelatione hic prophetam hanc interlocutionem incipere et ad sacerdotes, Israelitas omnesque de regia familia sermonem dirigere, apparet. — „*Contra vos enim judicium agitur.*“ Vos enim in meum judicium vocaturus poenasque a vobis de iis, quae audacter in me commisistis jam repetiturus adsum. „*Quia laqueus facti estis in specula, et rete expansum in Itabyrio, quod venatores extenderunt.*“ Varias, inquit, prophetis meis insidias struitis, iis similes qui retia in ferarum venationem expandere solent, variis eas circumvenire dolis obnixi. „Speculam“ enim prophetarum nuncupat coetum, sicut apud Ezechielem legitur: „*Speculatorem te reddidi Israelis domui.*“ — „*Ego vero vos castigabo.*“ Quum autem aegre ferentes, quod isti vobis futura vaticinati fuerint, talia in eos machinaremini, ipse ego ad vos

[1]) In MS. τόν. — [2]) Ezech. XXXIII., 7.

κατ' αὐτῶν ἐμηχανᾶσθε, αὐτὸς ἐπάξω τὴν τιμωρίαν παιδεύων ὑμᾶς ἐφ' οἷς ἡμαρτήκατε, ἣν καὶ ἄκοντες ὑποδέξεσθε πάντως.

γ'. „Ἐγὼ ἔγνων τὸν Ἐφραΐμ, καὶ Ἰσραὴλ οὐκ ἄπεστιν ἀπ' ἐμοῦ." Καὶ γὰρ ἐπίσταμαι τὰ γινόμενα παρ' αὐτῶν ἀκριβῶς, ἅτε πάντοτε αὐτοῖς παρών. — „Διότι νῦν ἐξεπόρνευσεν Ἐφραΐμ, ἐμιάνθη Ἰσραήλ." Οἶδα τοίνυν αὐτοὺς τέλεον ἀποστάντας ἐμοῦ, καὶ ἐν τῇ τῶν εἰδώλων μιανθέντας λατρείᾳ.

δ'. „Οὐκ ἔδωκαν τὰ διαβούλια αὐτῶν τοῦ ἐπιστρέψαι πρὸς τὸν θεὸν αὐτῶν, ὅτι πνεῦμα πορνείας ἐστὶν ἐν αὐτοῖς. τὸν δὲ κύριον οὐκ ἐπέγνωσαν." Οὐδὲ γὰρ μεταβαλλόμενοι γνώμην ἔσχον τοῦ νεῦσαι πρὸς ἐμὲ, ἐπειδὴ παντελῶς πρὸς τὸ χεῖρον ἐξώκειλαν, οὐδένα λόγον ἐθέλοντες ἐμοῦ ποιεῖσθαι.

ε'. „Καὶ ταπεινωθήσεται ἡ ὕβρις τοῦ Ἰσραὴλ εἰς πρόσωπον αὐτοῦ." Ἀλλὰ γὰρ ταύτης τῆς παροινίας καὶ τῆς ὕβρεως, ἣν ἐπαρήνουν [1]) ἀποστάντες ἐμοῦ καὶ προσανέχοντες τοῖς εἰδώλοις, ἀξίαν δώσουσι δίκην, αὐτοὶ θεάται τῆς οἰκείας γενόμενοι ταπεινώσεως, εἰς ἣν διὰ τῆς τιμωρίας καταστήσονται

propter delicta vestra castigandos supplicio vos affligam, quod vobis licet invitis tolerandum erit.

V. 3. „*Novi ego Ephraimum, nec latet me Israel.*" Quae ab iis peraguntur haud ignoro, semper enim praesens iis sum. — „*Nempe nunc meretricatur Ephraim et Israel polluitur.*" Scio eos omnino nunc a me descivisse idolorum cultu pollutos.

V. 4. „*Consilia sua non eo tendunt, ut ad Deum suum redeant, quia spiritu fornicationis repleti Dominum non curant.*" Mutato animo ad me reverti nolunt, totos enim ad malum se voluunt, neque ullam mei habent rationem.

V. 5. „*At Israelis superbia frangetur in faciem ipsius.*" Poenam sane tanta sua petulantia ac superbia, qua a me defecerunt idolis adhaerentes, dignam soluent, quum ita se fractos meo supplicio ipsi videbunt. „*Et Israel atque Ephraim impietate sua infirmabuntur, et in-*

[1]) Absque dubio legendum ἐπαρῴνουν, a παροινέω.

τῆς ἐμῆς. — „Καὶ Ἰσραὴλ καὶ Ἐφραῒμ ἀσθενήσουσιν ἐν ταῖς ἀδικίαις αὐτῶν, καὶ ἀσθενήσει καὶ Ἰούδας μετ' αὐτῶν.“ Ἅπαντες κοινῇ πλημμελοῦντες κοινῇ καὶ τὴν τιμωρίαν ὑπομενοῦσιν, ὑπὲρ ὧν τὴν γνῶσιν ἠδίκουν τὴν ἐμήν. Οὕτω καὶ ὁ μακάριος λέγει Παῦλος τὸ [1]) „Τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων,“ ἵνα εἴπῃ, τῶν τὴν ἀλήθειαν τῇ πρὸς τὸ χεῖρον ἀδικούντων [τῶν] [2]) ἐκτροπῇ.

ϛ'. „Μετὰ προβάτων καὶ μόσχων πορεύσονται τοῦ ἐκζητῆσαι τὸν κύριον, καὶ οὐ μὴ εὕρωσιν αὐτὸν, ἐκκέκλικε γὰρ ἀπ' αὐτῶν, (ζ'.) ὅτι τὸν κύριον ἐγκατέλιπον.“ Κἂν θυσίας δὲ προσάγωσι, τούτοις ἐξιλεοῦσθαι νομίζοντες τὸ θεῖον, οὐδὲν ἐντεῦθεν ἕξουσι πλέον, ἐκτετραμμένου πάντως αὐτοὺς τοῦ θεοῦ, ὑπὲρ ὧν ἀφέντες αὐτὸν παντελῶς τοῖς εἰδώλοις προσεῖχον. — „ὅτι τέκνα ἀλλότρια ἐγέννησαν ἑαυτοῖς.“ Καὶ γὰρ καὶ τοῖς ἔθνεσι παρὰ τὸ διατεταγμένον ἐπιμμιγέντες [3]) ἐξ ἀλλοφύλων ἐτεκνώσαντο ἐπιμιξίας. Τοῦτο γὰρ αὐτοῖς καὶ ὁ μακάριος Δαυὶδ ἐγκαλεῖ λέγων [4]), „Καὶ ἐπεμίγησαν ἐν τοῖς ἔθνεσι.“ Κἂν-

firmabitur cum iis Juda.“ Communiter omnes deliquerunt; ita quoque supplicium communiter perferent, propterea quod cognitionem mei impie abjecerunt. Ita beatns quoque Paulus „Qui veritatem impietate oppresserunt,“ ait, ut significet eos, qui veritatem impietatis suo studio oppresserunt.

V. 6. „*Cum agnis et vitulis quaesitum ibunt Dominum, nec invenient eum; subtraxit enim se eis,* (V. 7.) *quoniam Dominum reliquerunt.*“ Quamvis sacrificiis oblatis Deum reconciliaturos se esse putant, nil tamen eo efficiunt, quum Deus plane se ab iis averterit propterea quod ipsi idolorum cultui totos se dederunt. — „*Namque filios spurios genuerunt.*“ Etenim cum gentilibus, neglecto interdicto, se commiscentes e coitu cum peregrinis liberos procrearunt. Idem iis etiam beatus David opprobrium facit, dicens: „Et commiscebantur cum gentilibus.“ Hic igitur absolutam eorum cum pere-

[1]) Rom. I., 18.
[2]) τῶν delendum esse apparet, quum e vitio scripturae natum sit.
[3]) Leg. ἐπιμιγέντες. — [4]) Ps. CV., 34.

ταῦθα τοίνυν τὴν παντελῆ πρὸς τοὺς ἀλλοτρίους ἐπιμιξίαν δηλοῖ τὸ τέκνα αὐτοῖς ἐξ αὐτῶν γενέσθαι. — „νῦν καταφάγεται αὐτοὺς ἡ ἐρυσίβη καὶ τοὺς κλήρους αὐτῶν.“ ἵνα εἴπῃ, ὅτι δίκην τῆς ἐρυσίβης αὐτούς τε καὶ τὰ προσόντα αὐτοῖς ἅπαντα παραδώσω φθορᾷ. —

η'. „Σαλπίσατε σάλπιγγι ἐπὶ τοὺς βουνοὺς, ἠχήσατε ἐπὶ τῶν ὑψηλῶν, κηρύξατε ἐπὶ τῷ οἴκῳ Ὤν.“ Ἐν ἅπασι δὲ, φησὶ, τοῖς τόποις, ἐν οἷς τὴν ἀσέβειαν ἐργάζεσθε τὴν οἰκείαν ἀφέντες τὰς συνήθεις σπουδὰς, βοήσατε μᾶλλον τὰ περὶ ὑμᾶς ὑπὲρ τούτων ἐσόμενα μηνύοντες κακά. Ποῖα ταῦτα; — „ἐξέστη Βενιαμὶν, (θ'.) Ἐφραῒμ εἰς ἀφανισμὸν ἐγένετο ἐν ἡμέραις ἐλέγχου.“ Ἀπὸ μὲν γὰρ τοῦ Βενιαμὶν τὴν τῆς Ἰουδαίας λέγει βασιλείαν, ἐκ δὲ τοῦ Ἐφραῒμ τὰς δέκα μηνύει φυλάς. Οὐ τοῦτο δὲ λέγει, ὅτι ὁ μὲν ἐξέστη, ὁ δὲ εἰς ἀφανισμὸν ἐγένετο, ἀλλ' ἵνα κοινῇ ἐπ' ἀμφοτέρων εἴπῃ τὸ συναμφότερον, ὅτι ἐκστήσονται καὶ εἰς ἀφανισμὸν γενήσονται [1]) Καὶ „ἐν ἡμέραις τοῦ ἐλέγχου“ λέγει δὲ ἐν τῇ ἐφόδῳ τῶν πολεμίων, ἣν ἐπάξει τὰς παρανομίας αὐτῶν ἐλέγχων προδήλως. Ἐκστήσονται οὖν, φησὶν, ἐκπλητ-

grinis commistionem eo significat propheta, quod iis liberos ab istis natos esse dicit. — „*Nunc devorabit eos, eorumque sortes rubigo.*“ Quasi rubigine ipsos eorumque bona omnia nunc plane deperdam.

V. 8. „*Clangite buccina in collibus tuba canite in cacuminibus, annunciate in domo On.*“ Omnibus locis, ubi relicto justo studio, impietatem secuti estis, magna voce, quae vos ea de causa supplicia maneant, proclamate. Et quaenam ista sunt? — „*Obstupuit Benjamin, et Ephraim diebus mulctae ex oculis sublatus est.*“ Benjamino ad significandum Judaeae regnum, ad indicandas autem decem tribus Ephraimi utitur appellatione propheta. Neque tamen alterum obstupuisse dicit, alterum ex oculis sublatum, sed utrumque ambo passuros esse, ambo stupore correptos et ex oculis sublatos fore. Verba autem „diebus mulctae“ idem valent quam: hostium impetu, quos Deus ad arguendas palam eorum iniquitates, contra

[1]) In margine codicis Vindob. scriptum est ἴσ. λ. ἔσονται. Conjectura parum felix!

τόμενοι τῆς περὶ αὐτοὺς μεταβολῆς τὸ ἀθρόον, ὑφ' ἧς ἀφανισθήσονται παντελῶς, ἐμοῦ τούς τε πολεμίους ἐπάγοντος αὐτοῖς, καὶ τὴν ἐπιτελουμένην παρ' αὐτοῖς ἐλέγχοντος παρανομίαν. Τόδε τὸ [1]) κοινὸν κατὰ διαίρεσιν λέγει. Εὕροι ἄν τις συνεχὲς καὶ παρὰ τῷ μακαρίῳ Δαυὶδ, ὡς ὅταν λέγῃ [2]), „Ἡμέρας ἐκέκραξα, καὶ ἐν νυκτὶ ἐναντίον σου," οὐκ ἐν ἡμέρᾳ μὲν βοᾷν λέγει, ἐν νυκτὶ δὲ ἐναντίον φθέγγεσθαι τοῦ θεοῦ, ἀλλ' ἵνα εἴπῃ, ὅτι ἡμέρας καὶ νυκτὸς ἐκέκραξα ἐναντίον σου. κατὰ διαίρεσιν τοίνυν εἶπε τὸ κοινόν. οὕτω κἀνταῦθα λέγει τὸ, „Ἐξέστη Βενιαμὶν, Ἐφραῖμ εἰς ἀφανισμὸν ἐγένετο, ἵνα εἴπῃ, ὅτι κατὰ κοινοῦ ἐξέστησάν τε καὶ εἰς ἀφανισμὸν γεγόνασιν. — „Ἐν ταῖς φυλαῖς Ἰσραὴλ ἔδειξα πιστά." Ταῦτα δε ἐπάγων αὐτοῖς ἐλέγξω τῶν ἀπειλῶν τῶν ἐμῶν τὸ ἀληθὲς καὶ βέβαιον, αἷς διὰ τῶν προφητῶν γινομέναις ἠπίστουν· αἰσθήσονται δὲ ἐκ τῆς πείρας, ὅτι πάντα ἦν πιστά τε καὶ ἀψευδῆ τὰ λεγόμενα.

eos excitabit. Obstupebunt igitur, inquit, de subita rerum suarum mutatione horrore perfusi. Nam radicitus evertentur ab hostibus, quos ego iis obducam ad nequitiam eorum coërcendam. Totum autem in singula dividit propheta. Id quod simili ratione etiam a beato Davide factum videmus; veluti quum dicit: „die clamavi, et noctu coram te," non die se clamare, noctu vero coram Deo loqui, sed interdiu et noctu se clamasse ad Deum, significare vult. Singillatim igitur totum depingit. ita hic quoque intelligenda sunt verba: obstupuit Benjamin, Ephraim ex oculis sublatus est, uterque enim et obstupuit et evanuit. — *„In Israelis tribubus fidem manifestavi."* Talia iis immittendo, veras esse minationes meas ac firmas declarabo, quibus per prophetas emissis fidem denegarunt. Experientia edocti omnia, quae illi annunciaverint, non fallacia sed fide dignissima fuisse intelligent.

ι'. „Ἐγένοντο οἱ ἄρχοντες Ἰούδα ὡς μετατιθέντες ὅρια." ὥσπερ γὰρ οἱ τὰ σημεῖα

V. 10. *„Principes Judaeorum iis similes facti sunt, qui terminos mutant."* Sicut ii

[1]) legendum τὸ δὲ κοινόν etc. — [2]) Ps. LXXXVII, 1.

τῆς τῶν χωρῶν διαιρέσεως ἀφαιροῦντες λυμαίνονται τοῖς τῆς δεσποτείας δικαίοις, οὕτως ὑμᾶς [1]), φησὶ, πολλῆς οὔσης διαιρέσεως μεταξὺ ἐμοῦ τε καὶ τῶν εἰδώλων τῷ προσήκειν μὲν ἐμοὶ τὴν θεοῦ τιμήν τε καὶ ὀνομασίαν, ἐκείνοις δὲ οὔ, δολίως ἀῤῥαγῆ δίκαια πολλοῖς τε καὶ ποικίλοις διῃρημένα τρόποις. τό γε ἐφ' ὑμῖν διελύσατε, τὴν ἐμοὶ προσήκουσαν ὀνομασίαν τε καὶ τιμὴν ἐφάψαντες ἐκείνοις. — „ἐπ' αὐτοὺς ἐκχεῶ ὡς ὕδωρ τὸ ὅρμημά μου.“ Φοβερᾷ γοῦν τινὶ χρήσομαι τῇ κατ' αὐτῶν ὁρμῇ τετολμηκότων τοιαῦτα, δίκην ὕδατος ἐπικλύσας αὐτοὺς τῷ πλήθει τῶν πολεμίων. —

qui signa terrarum fines indicantia auferunt, jura possessorum corrumpunt, ita vos, inquit, quamvis multum sit discriminis inter me et idola, quum Dei et nomen et honor me solum non vero ista deceat, nihilominus jura haec sanctissima, multis variisque modis sejuncta, quantum ad vos, solvistis, appellationem et honorem, qui mihi debetur illis tribuendo. „*Super eos iram meam effundam quasi aquam.*“ Horrendo impetu eos invadam, hostium multitudine eos tanquam aqua inundans.

ια'. „Κατεδυνάστευσεν Ἐφραῒμ τὸν ἀντίδικον αὐτοῦ, κατεπάτησε τὸ κρῖμα.“ Οὐδένα λόγον εἶχον τοῦ δικαίου· ἕκαστος δὲ καθὼς ἴσχυεν ἠδίκει τὸν ἕτερον, πεπατηκότες τὸ δίκαιον, καὶ μηδένα τούτου ποιούμενοι λόγον, ὡς καὶ ὁ κύριος ἐν τοῖς εὐαγγελίοις [2]), „Κατελίπετε τὴν ἀγάπην καὶ τὴν κρίσιν καὶ τὸν ἔλεον,“ ἵνα εἴπῃ, ὅτι λόγον οὐδένα ἔχετε τῆς ἀγάπης καὶ τοῦ δικαίου καὶ τῆς φιλανθρωπίας. καὶ ἀντίδικον τὸν ἀντιδικούμενον ὁ κύριος φαίνεται καλῶν, ὡς

V. 11. „*Oppressit Ephraïm adversarium suum, conculcavit judicium.*“ Nihil curantes justitiam alter alterum sicut potuit, laesit, jure pedibus protrito, neque ulla ejus ratione habita. Similiter etiam Dominus in evangeliis „Caritatem, inquit, et judicium ac misericordiam reliquistis“ pro: Nec caritatis, nec justi neque humanitatis rationem habuistis. Adversarium autem Dominus appellare videtur eum, cui adversatur aliquis, sicuti

[1]) Fort. leg. ὑμεῖς.
[2]) Mat. XXIII, 23. ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν, καὶ τὸν ἔλεον, καὶ τὴν πίστιν.

τό[1]), „Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχὺ," τοῖς ἀδικοῦσι παραινῶν πάσῃ δυνάμει τοὺς ἀδικουμένους ὑπ' αὐτῶν θεραπεύειν. — „ὅτι ἤρξατο πορεύεσθαι, ὀπίσω τῶν ματαίων." Ταῦτα δὲ διεπράττοντο, ἐξότε περὶ τὴν τῶν εἰδώλων προσανέχειν εἵλοντο θεραπείαν· ἅτε μηδένα τῶν νόμων τῶν ἐμῶν καὶ τοῦ προσήκοντος ἔτι ποιούμενοι λόγον. —

ιβ. „Καὶ ἐγὼ ὡς ταραχὴ τῷ Ἐφραΐμ, ὡς κέντρον τῷ οἴκῳ Ἰούδα." ἐν πολλῇ ταραχῇ διὰ τῶν πολεμίων αὐτοὺς καταστήσω, ὥσπερ τινὶ βαρεῖ κέντρῳ ταῖς ἐκεῖθεν ὀδύναις πλήττων αὐτούς. Εὔδηλον γὰρ, ὅτι οὐχὶ τὸ μὲν τῷ Ἐφραΐμ, τὸ δὲ τῷ Ἰούδα λέγει, κατὰ κοινοῦ δὲ ἀμφοτέροις τήν τε ταραχὴν ἐποίσειν καὶ τὸ κέντρον φησί· καθὼς καὶ ἐν τοῖς ἀνωτέροις ἐδείξαμεν.

ιγ. „Καὶ εἶδεν Ἐφραΐμ τὴν νόσον αὐτοῦ, καὶ ἐπορεύθη Ἐφραΐμ πρὸς Ἀσσυρίους, καὶ ἀπέστειλε πρέσβεις πρὸς βασιλέα Ἰαρείβ· καὶ αὐτὸς οὐκ ἠδυνήθη ῥύσασθαι ὑμᾶς." Τότε δὴ τῶν οἰκείων αἰσθήσονται κακῶν (τοῦτο γὰρ λέγει νόσον καὶ ὀδύνην),

in illis verbis: „Benevolo sis animo erga adversarium tuum mature," eos qui quempiam offenderunt, ut hunc omni modo deliniant, hortatur. — „*Coepit enim inania studiose sectari.*" Haec autem fecerunt, ex quo idolis colendis studere coeperunt, nullam vel praeceptorum meorum vel eorum quae observare fas est, amplius rationem habentes.

V. 12. „*Ego vero quasi terror ero Ephraïmo et domui Judae quasi stimulus.*" Multo per hostes terrore eos obruam, et calamitatibus inde factis quasi stimulo acerbo eos percutiam. Apparet enim, eum non alterum Ephraimo dicere, Judae vero alterum, sed communem utrique terrorem stimulumque se esse excitaturum minatur; id quod jam in prioribus adnotavimus.

V. 13. „*Et vidit Ephraïm morbum suum, vulnusque suum Juda; sed abiit Ephraim ad Assyrios, legatosque misit ad Jaribum regem: is vero minime vobis salutem afferre potuit.*" Tunc mala sua sentient (ea enim dicit morbum ac vulnus) quando

[1]) Mat. V., 25.

ὅταν ἀπάγηται μὲν αἰχμάλωτος εἰς τοὺς Ἀσσυρίους ὁ Ἐφραΐμ, ἀποστέλλων δὲ πρεσβεῖς ἐπὶ τὸν τῶν Αἰγυπτίων βασιλέα, μηδεμίαν ἐκεῖθεν κομίζηται βοήθειαν. — „Καὶ οὐ μὴ διαπαύσῃ ἐξ ὑμῶν ὀδύνη. ιδʹ. Διότι ἐγώ εἰμι ὡς πάνθηρ τῷ Ἐφραΐμ, καὶ ὡς λέων τῷ οἴκῳ Ἰούδα, καὶ ἐγὼ ἁρπῶμαι, καὶ πορεύσομαι, καὶ λήψομαι, καὶ οὐκ ἔσται ὁ ἐξαιρούμενος.“ Ἐν ἀπαύστοις μενεῖτε κακοῖς, ἐπειδὴ ὡς ἂν ἤ [1]) πάνθηρ τε καὶ λέων ὑμῖν ἔσομαι μετὰ πολλῆς ὑμᾶς τῆς ὀξύτητος ἁρπάζων τε καὶ ἀπάγων διὰ τῆς τῶν πολεμίων ἐφόδου, οὐδενὸς ἀπαλλάττειν ὑμᾶς τῶν ἐπικειμένων κακῶν οἵου τε ὄντος.

Ephraimitae in Assyriam captivi trahentur, nulla per legatos ad Aegyptiorum regem missos ab eo salute impetrata. „*Neque vulneri vestro medebitur quispiam.* (V. 14.) *etenim ego quasi panther Ephraïmo et quasi leo domui Judae ero, et ego rapiam, et abibo et auferam; neque erit qui eripiat,*“ In perpetuis manebitis calamitatibus nam tanquam panther et leo vobis ero magna cum velocitate vos rapiens et abducens, hostibns vos obruentibus, neque quoquam liberandi vos potestatem habente.

ιεʹ. „Πορεύσομαι καὶ ἐπιστρέψω εἰς τὸν τόπον μου ἕως οὗ ἀφανισθῶσιν.“ Ἀκολούθως τῇ εἰκόνι τῇ προκειμένῃ καὶ τοῦτο ἐπήγαγεν, ἐπειδὴ τῶν τοιούτων θηρίων ἴδιόν ἐστι, μετὰ ὀξύτητος ἁρπάζειν τε καὶ ἀφαιρεῖν τὸ προσπίπτον, ἀπιέναι δὲ ἐπὶ τὴν μάνδραν τὴν οἰκείαν, εἶτα αὐτόθι κατεσθίειν τε καὶ καταναλίσκειν τὸ ληφθέν· πρὸς οὖν τὸ „Ὡς πάνθηρ καὶ λέων“ ἀπέδωκε καὶ τοῦτο, ἀντὶ τοῦ, ἁρπάσας ἡμᾶς [2]) διὰ τῶν

V. 15. „*Redibo in locum meum, donec evanescant.*“ Imagini praecedenti adaptatum etiam hoc addidit, quum ejusmodi ferae velociter rapere et quod iis obvenit necare deinde vero in latibula reversi rapinam comedere et devorare soleant. Verbis igitur, „Tanquam panther et leo,“ vel hoc addit pro: Vobis raptis et per hostes in captivitatem abductis solus equidem remanebo, non ad

[1]) Leg. ὡσανεί. — [2]) Leg. ὑμᾶς.

πολεμίων καὶ αἰχμαλώτους καταστήσας, κατ' ἐμαυτὸν ἔσομαι, οὐκ ἐπιστρεφόμενος πρὸς τὰ γινόμενα, οὐδέ τινα νέμων ὑμῖν βοήθειαν ἄχρις ἂν ὑπὸ τῶν κατεχόντων παντελῆ τὴν ἀπώλειαν ὑπομένητε. — „Καὶ ἐπιστρέψουσι καὶ ζητήσουσι τὸ πρόσωπόν μου.“ Τότε γὰρ κἀκεῖνοι μεταβαλλόμενοι τῆς βοηθείας δεήσονται τῆς ἐμῆς.

ea quae facta sunt reversus, neque ullum vobis afferens auxilium, donec qui vos opprimunt exitium vobis paraverint. „*Et tunc convertent ad me faciem meam quaerent.*“ Tunc mutato suo animo etiam illi opem meam expetent.

Κεφάλαιον ς'.

α'. „Ἐν θλίψει αὐτῶν ὀρθριοῦσι πρὸς μὲ λέγοντες· πορευθῶμεν καὶ ἐπιστρέψωμεν πρὸς κύριον τὸν θεὸν ἡμῶν, ὅτι αὐτὸς πέπαικε καὶ ἰάσεται ἡμᾶς· πατάξει καὶ μολώσει ἡμᾶς (β'.) ὑγιάσει ἡμᾶς μετὰ δύο ἡμέρας, ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναστησόμεθα, καὶ ζησόμεθα ἐναντίον αὐτοῦ, (γ'.) καὶ γνωσόμεθα.“ Ὑπὸ γὰρ τῶν ἐπικειμένων αὐτοῦ θλίψεων μετὰ πολλῆς ὁρμήσουσιν ἐπ' ἐμὲ τῆς ὀξύτητος, σφόδρα θαῤῥοῦντες, ὅτι πατάξας αὐτοὺς καὶ ἰάσομαι πάντας θεραπείαν τε ἐπάξω τοῖς συμβεβηκόσιν αὐτοῖς κατάλληλον τραύμασι, μετὰ πολλῆς τῆς ὀξύτητος καὶ τῆς εὐμαρείας εἰς διόρθωσιν ἄγων παντελῆ τὰ κατ' αὐτούς. τοῦτο γὰρ λέγει τὸ Ὑγιάσει ἡμᾶς μετὰ δύο ἡμέρας, ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ

Caput VI.

V. 1. „*In miseriis suis mane ad me venient, dicentes: Eamus convertamusque nos ad Dominum Deum nostrum, nam idem nos sanciavit, idem ille nos sanabit; percutiet et curabit nos.* (V. 2.) *Medebitur nobis post duos dies, ita ut tertia die resurgamus et coram eo vivamus.* (V. 3.) *Et cognoscemus eum.*“ Miseriis ibi eos aggravantibus ducti magna cum velocitate ad me current, admodum in me confidentes, ut qui eos percusserim omnes quoque sanaturus sim, vulneribusque, quae sibi invicem ipsi inflixerunt, velociter et lubentissime medelam allaturus, omnes suas res in melius plane commutando. Hoc enim indicant verba: „Medebitur nobis post duos dies, et

ἀναστησόμεθα.“ οὕτως γὰρ ἡμᾶς, φησὶ, συντόμως ἰάσεται, ὥστε ἐν δύο καὶ τρισὶν ἡμέραις τὸ μήκιστον εἰς τὴν παλαιὰν ἡμᾶς ἀποκαταστῆναι πάλιν εὐπραγίαν. Τὸ δὲ „καὶ γνωσόμεθα,“ ἀντὶ τοῦ, ἐν ἀπολαύσει τῶν κρειττόνων ἐσόμεθα, ὡς τὸ [1]) „Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς,“ ἀντὶ τοῦ, ἐν τῷ ζῆν με κατέστησας. — „διώξομεν τοῦ γνῶναι τὸν κύριον.“ μετὰ σπουδῆς αὐτοῦ τῆς γνώσεως ἐπιμελησόμεθα. — „ὡς ὄρθρον ἕτοιμον εὑρήσομεν αὐτόν.“ τευξόμεθα γὰρ αὐτοῦ τῆς βοηθείας δίκην ὄρθρου, ὡσὰν ἐκ σκότους εἰς φῶς μεταβαλόντα τὰ ἡμέτερα. — „Καὶ ἥξει ἡμῖν, ὡς ὑετὸς πρώϊμος καὶ ὄψιμος τῇ γῇ.“ ἄφθονον παρέξει τῶν ἀγαθῶν τὴν χορηγίαν δίκην τῶν ἐκ γῆς ἀναδιδομένων καρπῶν, ὅταν κατὰ πάντα καιρὸν ἐπιτηδείου τυγχάνῃ τοῦ ὑετοῦ. —

tertia die resurgemus“ tam cito, inquit, nos sanabit, ut duobus vel tribus ad summum diebus in pristinam restituti simus felicitatem. „Et cognoscemus eum“ dicit pro: „Melioribus gaudebimus rebus;“ sicut similiter dictum est: „Cognitas mihi fecisti vias vitae“ pro, vitam mihi restituisti. — „*Dominum cognoscere enitemur.*“ Cognitioni ejus studiose operam nauabimus. „*Quasi mane paratum inveniemus eum.*“ Auxilium ejus tanquam tempus matutinum nobis eveniet; quasi e tenebris in lucem traducens nostras res videbitur. — „*Et ut pluvia matutina nobis veniet, ut irrigans terram imber serotinus.*“ Abundantem nobis porriget bonorum copiam, haud secus ac si terra fructus suos porrigit pluviis justo tempore irrigata. —

δ'. „Τί σοι ποιήσω, Ἐφραΐμ, τί σοι ποιήσω, Ἰούδα; τὸ δὲ ἔλεος ὑμῶν ὡς νεφέλη πρωϊνὴ, καὶ ὡς δρόσος ὀρθρινὴ πορευομένη.“ Ἀρχή τις ἑτέρα καὶ αὕτη διαλέξεως, ἣν πρὸς τὸν λαὸν ὁ προφήτης ἐποιήσατο, ἐξ ἧς ἐδέ-

V. 4. „*Quid tibi faciam, Ephraim, quid tibi faciam, Juda? Misericordia vestra similis est nubi matutinae, aut rori mature disparenti.*“ Etiam hic rursus alia incipit interlocutio, quam cum populo instituit propheta, e no-

[1]) Ps. XV., 11.

ξατο ἀποκαλύψεως τὴν ἀφορμὴν τοῦ λόγου λαβών. Τί δὲ προσῆκεν ὑμῖν, φησὶ, παρ᾽ ἐμοῦ γίνεσθαι, οὕτω παρανομεῖν ἐσπουδακόσιν; ἐγὼ μὲν γὰρ ἐλεεῖν ὑμᾶς θέλω, τὰ δὲ πραττόμενα παρ᾽ ὑμῶν οὐκ ἐᾷ γίνεσθαι τοῦτο· τὴν τιμωρίαν ἀναγκαίως ἕλκονται ἐφ᾽ ὑμᾶς, κἂν οὐδὲ [1]) ἐλεεῖν ὑμᾶς ἐβουλευόμην, ἀνάγκη ταύτην ἀτελῆ μένειν ἐφ᾽ ὑμῖν τὴν γνώμην, ἀφ᾽ ὧν διεπράττεσθε ἀφανῆ γινομένην πάντως, ὡσανεὶ νεφέλη τις ἢ δρόσος ἕωθεν πρὸς ὀλίγον φανέντα παραχρῆμα διαλυθείη.

va quae ipsi contigerat revelatione sermonis ansam desumens. Quid me vobis facere decebat, talia in me delinquentibus? Ego enim misereri vestrum vellem, inquit, at quae vos peregistis, id non sinunt me facere; poenam necessario in vos attrahunt. Et etiamsi vobis parcere mihi (non) proposuissem, voluntatem meam imperfectam manere necesse est, quum iis, quae vos peragitis, tanquam rore vel nebula matutino tempore obducta, repente solvatur.

έ. „Διὰ τοῦτο ἀπεθέρισα τοὺς προφήτας ὑμῶν, ἀπέκτεινα αὐτοὺς ἐν ῥήματι στόματος ἐμοῦ.“ Καίτοι γε, φησὶν, ἐγὼ καὶ τοῖς προφήταις τοῖς ἐμοῖς, οὓς ὑπὲρ τῆς ὑμετέρας ἀπέστελον χρείας, θανάτου πρόξενος ἐγινόμην, ἐπειδὴ ἐγὼ μὲν αὐτοὺς ὑπομιμνήσκειν ὑμᾶς περὶ τῶν δεόντων ἐκέλευον, ἐκεῖνοι δὲ πειθόμενοι μὲν ἦσαν πρὸς ὑμᾶς, αὐτοὶ δὲ οὔτε τῶν λεγομένων οὔτε τοῦ πέμποντος ἐμοῦ τινὰ ἔχοντες αἰδῶ, ποικίλοις αὐτοὺς περιεβάλετε θανάτοις. Τὸ οὖν Ἀπεθέρισα καὶ ἀπέκτεινα αὐτοὺς ἐν ῥήματι στόματός μου, ἀντὶ τοῦ,

V. 5. „*Eam ob causam prophetas vestros demessui verbo oris mei enecatos.*“ Imo vero, ait, ego vel prophetis meis, quos propter necessitatem vestram misi, mortis auctor factus sum, quum equidem ut vos de officiis vestris commonerent, juberem, ipsi autem obtemperarent, vos vero neque sermones istorum, neque me, qui eos miseram reveriti, multis modis eos trucidaretis. „*Demessui eos verbo oris mei enecatos*“ dicit propheta pro his: mandatis meis causa iis ejusmodi calamitatis factus

[1]) l. l. κἂν εἰ δὲ particula enim οὐδὲ sensu h. l. prorsus caret.

αἴτιος αὐτοῖς δι᾽ ὧν ἐπέταττον ποιεῖν ἐγινόμην τούτου. Οὐ γὰρ τοῦτο λέγει, ὅτι αὐτὸς διὰ τῆς οἰκείας φωνῆς τοιαῦτα διετίθει τοὺς προφήτας, ἀλλ᾽ ἵνα εἴπῃ, ὅτι δι᾽ ὧν ἐπέταττον αὐτοῖς πρὸς ὑμᾶς παραγένεσθαι, μικροῦ γε τοῦτο αὐτὸς εἰργαζόμην· οἷόν ἐστι καὶ παρὰ τῷ μακαρίῳ Δαυὶδ τὸ [1]) „Ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου.“ οὐχ ὅτι αὐτὸς ἐξέκλινεν, ἀλλὰ τῷ συγχωρῆσαι πρὸς τοσούτων πεῖραν αὐτοὺς ἐλθεῖν κακῶν, αὐτῷ προσλογιζόμενος τοῦ γινομένου τὴν αἰτίαν. — „Καὶ τὸ κρῖμά μου ὡς φῶς ἐξελεύσεται.“ Ἀλλ᾽ οὐ γὰρ ἀνεκδίκητον ταύτην ὑμῶν ἐάσω τὴν παρανομίαν, λήψομαι δὲ δίκας παρ᾽ ὑμῶν, ὥστε ἐξ ὧν ὑπομένειν μέλλετε κακῶν φωτὸς ἐνδηλότερον ἅπασι γενέσθαι, ὅτι τῇ εἰς προφήτας γεγενημένῃ παρ᾽ ὑμῶν παρανομίᾳ κρίνων, τοῖς τοσούτοις ὑμᾶς περιβέβληκα κακοῖς, καὶ δεικνὺς, ὅτι οὐκ ἀλόγως αὐτὸ διαπράττεται.

ς΄. „Διότι ἔλεον θέλω ἢ θυσίαν, καὶ ἐπίγνωσιν θεοῦ ἢ ὁλοκαύτωμα.“ Ἐγὼ μὲν γὰρ ὡς καὶ θυσιῶν καὶ ὁλοκαυτωμάτων προτιθεὶς τὸ εὐτελὲς ὑμῖν ποιῆσαι, καὶ πρὸς

sum. Non enim Deum ipsum voce sua prophetas adeo vexavisse dicit, sed haec prophetae est opinio: Per ea, quae a me in vos peragere jussi erant, ipse paene hoc facere videbar. Ejusmodi etiam illud Davidis est dictum: „Semitas nostras a tua via declinasti,“ non quo ipse Deus declinaverit, sed causam ei adscribit, quatenus eos tantarum miseriarum periculis irretiri siverat. — „*Et judicium meum quasi lux orietur.*“ At non impunem relinquam hanc vestram iniquitatem, sed supplicia de vobis repetam, ut ex iis, quae passuri estis malis, luce clarius evadet, me sententia de vestra in prophetas crudelitate lata, tantis vos immersisse calamitatibus, ut inde notum fieret, non sine justa causa haec evenisse.

V. 6. „*Namque pietate magis quam victimis delector, meique reverentia magis quam sacrificiis.*“ Ego quidem victimis et sacrificiis praefero ea facere, quae

[1]) Ps. XLIII., 20.

ἐπίγνωσιν ἀγαγεῖν τὴν ἐμὴν, ἔπεμπον τοὺς προφήτας· ἐπειδὴ τοιαῦτα αὐτοὺς διατιθέντες, κακοῖς ἠμείβεσθε τὰ παρ' ἐμοῦ γινόμενα, δώσετε τῶν παρανομημάτων δίκην δικαίαν· ἐλέου γὰρ τὸ καὶ ὑπὲρ τῶν πασχόντων κακῶς τιμωρίᾳ περιβάλλειν τοὺς ἀδικοῦντας. —

vobis vilia videntur et ut mei reverentiam vos adducerem, prophetas vobis misi. Quum vos autem graviter illos vexantes beneficia mea malis pensaveritis, de hac impietate justam luetis poenam. Misericordiae enim est vel hoc, ut maleficos propter oppressos mulcta afficiat. —

ζ'. „Αὐτοὶ δέ εἰσιν ὡς ἄνθρωπος παραβαίνων διαθήκην, ἐκεῖ κατεφρόνησάν μου.“ Μεμενήκατε γὰρ ἐπὶ τῆς βάσεως οἰκείας, τῶν μὲν ἄνωθεν ὑμῖν συντεθέντων πρὸς ἐμὲ λόγον οὐδένα ποιούμενοι, καταπεφρονηκότες δέ μου παντελῶς, ὥστε καὶ τοὺς ὑπομιμνήσκοντας ὑμᾶς περὶ τούτου τῶν προφητῶν ἀνελεῖν. —

V. 7. *„Illi vero homini similes sunt foedus violanti; ibi enim contemserunt me.“* Vestrae vos sententiae stetistis, ea, de quibus olim pacti sumus, nihil curantes, sed me adeo aspernati, ut eos inter prophetas, qui illorum mentionem vobis excitarunt, trucidaveritis.

η'. „Γάλγαλα πόλις ἐργαζομένη μάταια.“ Αἰτία δὲ τούτων ὑμῖν Γάλγαλα, παρ' ᾗ τὴν ἐπιβλαβῆ καὶ ματαίαν περὶ τὰ εἴδωλα σπουδὴν ἐπιδείκνυσθε. Οὕτω γὰρ καὶ ἀνωτέρω [1]) λέγει, Μὴ εἰσπορεύεσθε εἰς Γάλγαλα. Τὴν πόλιν δὲ ἐργάζεσθαι λέγει μάταια, τὰ ἐν αὐτῇ γινόμενα σημαίνων. — „ταράσσουσα ὕδωρ,“ (ἢ) τὸ διειδὲς καὶ καθαρὸν τῆς εὐσεβείας ἐν τῇ γνώ-

V. 8. *„Galgala urbs est inania quae molitur.“* Earum vero impietatum Galgala vobis causa est, in qua inane et noxium erga idola studium ostendistis. Sic enim etiam in prioribus dicit „Ne intretis Galgalam.“ Urbem vero inania moliri quum dicit, quae in ea peraguntur indicat. — *„Conturbat aquam.“* i. e. lucidam puramque quae ex mei

[1]) Vide supra cap. IV., 16.

σει διαφαινόμενον τῇ ἐμῇ τῇ τῶν εἰδώλων ἐπιθολοῦντες ἐπιμιξίᾳ. —

θ'. „Καὶ ἡ ἴσχυς σου ὡς ἀνδρὸς πειρατοῦ.“ ἣ πᾶσαν τὴν δύναμιν τὴν οἰκείαν ἐν τῇ τῶν ἀπατωμένων ἐπιδείκνυται βλάβῃ· ὃν δὴ τρόπον καὶ τοῖς πειραταῖς ἔθος ἐστὶ περὶ τὴν ἑτέρων ἐσπουδακέναι βλάβην καὶ τὴν οἰκείαν δύναμιν ἐπὶ τῇ ἑτέρων ἐπιδείκνυσθαι ἀπωλείᾳ. — „Ἔκρυψαν ἱερεῖς ὁδόν· ἐφόνευσαν οἱ Σίκιμα, ὅτι ἀνομίαν ἐποίησαν.“ Ἐκ παραθέσεως βούλεται τὴν τούτων ἐπιδεῖξαι κακίαν· ὅτι οἱ μὲν πατέρες, φησὶν, οἱ ὑμέτεροι (λέγει τοὺς υἱοὺς Ἰακὼβ Λευΐ τε καὶ Συμεὼν), ἵνα πορνικὴν ἐπήρειαν ὑπομείνασαν ἴδωσιν αὐτῶν τὴν ἀδελφὴν, τοσαύτην ἔσχον τὴν ἀγανάκτησιν ἐπὶ τῷ γεγονότι, ὥστε λαθραίως μὲν καὶ μετὰ δόλου διαλεχθῆναι τοῖς Σικιμίταις, προσποιούμενοι φιλίαν (τοῦτο γὰρ λέγει τὸ ἔκρυψαν ὁδὸν) καιροῦ δὲ λαβόμενοι πάντας κατ' αὐτὸν [1]) ἀνεῖλον ὑπὲρ τοῦ γεγονότος. —

ι'. „Ἐν τῷ οἴκῳ Ἰσραὴλ εἶδον φρικώδη· ἐκεῖ πορνείαν τοῦ Ἐφραΐμ.“ Καὶ τὰ μὲν ἐκείνων, φησὶ, τοιαῦτα· νῦν δὲ ἐν ἅπαντι τῷ Ἰσραὴλ φρικῆς

cognitione nascitur pietatem, idolorum commixtione perturbant.

V. 9. „*Et fortitudo tua est ut piratae fortitudo,*“ quippe quae omnem suam vim in hominibus decipiendis et privandis exserit; piratis enim mos est, aliorum noxae studere, et alios perdendo ostendere vim suam. — „*Sacerdotes viam occultarunt, interfecerunt Sicima, quoniam iniquitatem operati sunt.*“ Comparando horum nequitiam declarare vult propheta. Patres enim vestri, inquit (Levin autem et Symeonem Jacobi filios dicit) ubi contumeliam meretriciam sorori illatam viderunt, tanta capti sunt indignatione, ut clam et dolose cum Sicimitis interlocuti amicitiamque simulantes, (id enim dicunt verba, absconderunt viam), capta occasione ad unum omnes propter res ab iis gestas interficerent.

V. 10. „*In domo Israelitarum horrenda vidi flagitia, ibidemque Ephraïmi fornicationem.*“ Et de istis quidem, inquit, haec hactenus.

[1]) f. l. κατὰ ταὐτόν cf. ad cap. VII., 2.

εἶδον μεστὰ, πορνείαν ἁπάντων οὐκ ἐν σώματι συστᾶσαν, ἀλλ' ἐν διαφθορᾷ ψυχῆς καὶ ἀποστάσει θεοῦ. — „ἐμιάνθη Ἰσραήλ, καὶ Ἰούδας ἀφῆκε θερισμὸν αὐτοῦ.“ Πάντες εἰς μίαν εἶδον παρανομίαν, τῇ τῶν εἰδώλων μιανθέντες θρησκείᾳ, καὶ πάντες ἀτελῆ καὶ διεφθαρμένην τὴν ἑαυτῶν ἀπέδειξαν σωτηρίαν. ὡς γὰρ εἴ τις γεωργὸς τελειωθέντων τῶν σπερμάτων, καὶ τοῦ καρποῦ τὸν θερισμὸν ἀπαιτοῦντος, ἤδη πρὸς ῥαθυμίαν ἰδὼν ἀπολέσειε μὲν τὰ γεωργηθέντα, κενὸν δὲ πάντα τὸν προειληφότα πόνον διὰ τῆς οἰκείας ἀποφήνειε ῥαθυμίας· οὕτως ὑμεῖς, φησὶ, τοσούτων καὶ τηλικούτων ἀπολελαυκότες ἀγαθῶν, ἐξεληλυθότες Αἰγύπτου, διαβάντες τὴν ἔρημον, νόμον δεξάμενοι, τὴν γῆν ἀπειληφότες τὴν ἀπηγγελμένην, τὸν τῇ θρεσκείᾳ πρέποντα κτησάμενοι τόπον, ὅτε τοὺς καρποὺς ἐχρῆν λοιπὸν τῷ θεῷ προσκομίζειν, τότε πάντα τὰ ὑπὲρ ὑμῶν γεγονότα περιττὴν [1]) διὰ τῆς ἑαυτῶν ἀπεδείξατε κακίας, ἀφέντες μὲν τὸ ἀποδιδόναι τῷ θεῷ τοὺς ὑπὲρ τῶν τοσούτων καὶ τηλικούτων εὐεργεσιῶν καρποὺς, περὶ δὲ τοῦ χείρονος ἐκτροπὴν ἀσχοληθέντες ὅλοι δι' ὅλων. Ὅμοιόν ἐστι τούτῳ καὶ τὸ παρὰ τῷ Ἡσαΐᾳ [2]).

Nunc autem penes Israelem omnia vidi nefandis repleta, omniumque adulterium non corpore factum sed in animae pernicie et Dei neglectu conspicuum. — „*Contaminatus est Israel, et Judas messem suam neglexit.*“ Omnes unam secuti sunt iniquitatem, idolorum veneratione contaminati, eoque omnes salutem suam deperditam nullamque esse ostenderunt. Nam tanquam si agricola adulta jam segete fructibusque messem postulantibus, jam inertiae deditus, fructum, quem sibi paraverat, deperderet, omnemque suam priorem operam eadem sua inertia irritam faceret; ita et vos licet tanta taliaque a me nacti bona — Aegypto relicta, superatis desertis, stabilita lege, donata vobis terra olim promissa, apto ad cultum divinum loco vobis parato — nunc, quum vos justos ejus rei fructus Deo offerre oporteret, omnia quae vestrum in commodum facta sunt, incassum esse acta nequitia vestra ipsi declaratis, et tantorum beneficiorum fructus Deo edere nolentes, et cuncti ad malum omnino conversi. Si-

[1]) Sine dubio legendum περιττά. — [2]) Jes. V., 2.

„Ἔμεινα ἵνα ποιήσῃ σταφύλην, ἐποίησε δὲ ἀκάνθας.“ — „Ἄρχου τρυγᾷν σεαυτῷ, ἐν τῷ ἐπιστρέφειν με τὴν αἰχμαλωσίαν τοῦ λαοῦ μου, ἐν τῷ ἰᾶσθαί με τὸν Ἰσραήλ.“ ὥστε δεῖν ὑμῖν πάλιν ἑτέρας ἀρχῆς, ἣν δι᾽ ὑπερβάλλουσαν φιλανθρωπίαν ἐγὼ παρέξω ἐκ τῆς αἰχμαλωσίας ὑμᾶς παρὰ πᾶσαν ἀνθρωπίνην ἐπανάγων ἐλπίδα. Τότε δὴ λοιπὸν πρὸς τὸ κρεῖττον ὁρᾷν ἐθέλοιτε [1]), ἀρχῆς ὑμῖν ἑτέρας δεήσει, ἵνα κἂν γοῦν τῶν τότε δωρεῶν αἰσχυνθέντες, τὸ μέγεθος περὶ τὴν τοῦ κρείττονος ἑαυτοὺς ἐπιμέλειαν τρέψητε τοῦ λοιποῦ, τότε μὲν δὴ τοῦτό, φησι ποιεῖν ὑμῖν ἐξέσται. Τὸ γὰρ ἄρχου λέγει ἀντὶ τοῦ, ἄρξασθαι δυνήσῃ, βουληθεὶς πρὸς τὸ δέον ἰδεῖν. Νῦν δὲ τί; —

mile quid etiam apud Jesajam legimus, quando „Exspectabam, inquit, eam uvas esse geniturам, genuit vero spinas.“ — „*Incipe vindemiare tibi, quando convertero captivitatem populi mei, Israelemque sanavero.*“ Novo vobis opus est imperio, quod praeter omnem hominum spem per inenarrabilem meam erga vos benignitatem, reductis vobis e captivitate, constituturus sum. Tunc sane, quum ad melius vos inclinare volueritis alio vobis opus erit imperio, ut licet prae magnitudine eorum quae vobis contingent, donorum pudore confusi curam geratis de animo vestro in meliora dirigendo: tunc sane, inquit hoc licebit. Verbo enim „Incipe“ utitur propheta, ut indicet, si voluerint justum sequi, eos hujus rei vel initium facere posse. Quid autem porro?

Κεφάλαιον Ζ'.

α'. „Καὶ ἀποκαλυφθήσεται ἡ ἀδικία Ἐφραΐμ, καὶ ἡ κακία Σαμαρείας, ὅτι εἰργάσαντο ψευδῆ.“ Πρό-

Caput VII.

V. 1. „*Et prodet se iniquitas Ephraimi et nequitia Samariae, nam dilexerunt mendacium.*“ Omnibus manife-

[1]) Neque hic locus integer esse, sed unum alterumve verbum negligentia librarii vel excidisse, vel ita adulteratum esse videtur, ut oratio paulo obscurior eo evaderet. Fortasse ita legendum: ὅτε δὴ λοιπὸν πρὸς τὸ κρεῖττον ὁρᾷν ἐθέλοιτε, ἀρχῆς etc.

δηλος ἅπασίν ἐστιν ἡ παρανομία, ἣν εἰργάζεσθε ἅπαντες, καὶ ὅτι ἀποστάντες μου πρὸς τὸ ψεῦδος ἑωρᾶτε, διὰ τῆς τιμωρίας, ἣν ὑπομενεῖτε δικαίως ὑπὲρ ὧν παρενομεῖτε τοιαῦτα, Πῶς καὶ τίνα τρόπον; — „Καὶ κλέπτης πρὸς αὐτὸν εἰσελεύσεται ἐκδιδύσκων, λῃστὴς ἐν τῇ ὁδῷ αὐτοῦ· (β΄.) ὅπως συνᾴδωσιν ὡς ᾄδοντες ἐν τῇ καρδίᾳ αὐτῶν.“ Ὡς γὰρ ἂν εἴ τις κλέπτης ἢ λῃστὴς ἐν τῇ ὁδῷ ποτὲ περιτυχὼν ἐκδύσειε τοὺς προστυχόντας καὶ εἰς οἰκίαν εἰσελθὼν τὰ ἐνόντα λάβοι, οὕτω, φησὶν, ἐπελθόντες ὑμῖν οἱ πολέμιοι ἅπαντα τά τε κατ᾽ οἰκίαν τά τε ἔξω προσόντα ὑμῖν ἀροῦσι, τὰ μὲν ἀφαιροῦντες, τὰ δὲ ἀφανίζοντες παντελῶς, ὥστε ἅπαντας ὑμᾶς ὑπὸ τῆς συμφορᾶς κατεχομένους ᾄσματα θρήνου μεστὰ κατὰ ταὐτὸν ᾄδειν ὀδυνωμένους τε κατὰ καρδίαν ἐπὶ τοῖς γενομένοις καὶ ὀλοφυρομένους δι᾽ ὀλοφυρτικῶν ῥημάτων ἐπὶ τῷ μεγέθει τῶν συμφορῶν τῶν συμβαινουσῶν ὑμῖν. — „Νῦν ἐκύκλωσεν αὐτοὺς τὰ διαβούλια αὐτῶν· ἀπέναντι τοῦ προσώπου μου ἐγένοντο.“ Ἁπάντων δὴ τῶν μετὰ πολλῆς αὐτῶν ἀποτετελεσμένων τῆς κακίας μνήμην λαβὼν, περιβαλῶ μεγίστοις αὐτοὺς κακοῖς ἀνάλογον οἷς βουλευόμενοι μετὰ

sta sunt facinora quae vos peragitis, et vos deficientes a me mendacium amplexos fuisse, e poenis quas solvetis de iniquitate vestra omnes intelligent. At quonam modo? „*Et fur intrabit ad eum spoliaturus et latro in via ejus ut concinant quasi in corde suo canentes.*“ Velut ac si fur vel latro eos quibuscunque in via incidit spoliat, et in domus irrumpens, quae in iis invenit furatur, sic in vos irrumpent hostes et quaecunque in domibus vel extra eas habetis vobis auferent, alia praedantes, alia perdentes; ita ut omnes communi calamitate attriti cantus canatis flebiles, lugentes in cordibus vestris propter ea quae vobis acciderunt, vocesque edentes flebiles prae magnitudine miseriae, quae vos obruit. — „*Jam vero circumventi sunt consiliis suis, et coram facie mea constituti sunt.*“ Omnium memor flagitiorum, quae obnixe perpatrarunt, maxima in eos effundam mala adaptata insolentiae multae, qua sub oculis meis scelera sua excogitarunt et commiserunt.

πολλῆς ἀναιδείας ἐπ' ὄψεσι διεπράττοντο ταῖς ἐμαῖς. — *γ'.* „*Ἐν ταῖς κακίαις ηὔφραναν βασιλεῖς, καὶ ἐν τοῖς ψεύδεσιν αὐτῶν ἄρχοντας.*“ *ὥστε πολλὴν τοῖς ἐναντίοις εἴτε βασιλεῦσιν εἴτε ἄρχουσιν ἡδονὴν ἐγγενέσθαι, οἳ κατακρατήσουσί τε αὐτῶν καὶ αἰχμαλώτους λήψονται, ὑπὲρ ὧν τε διεπράττοντο κακῶν, καὶ ὅτι δὴ τὴν ἐμὴν ἀφέντες γνῶσιν τὴν ψευδῆ καὶ ἀπατήλην τῶν δαιμόνων μετῄεσαν θρησκείαν.* — *δ'.* „*Πάντες μοιχεύοντες ὡς κλίβανος καιόμενος εἰς πέψιν.*“ *Συμφώνως γὰρ ἅπαντες τῆς γνώσεως ἀποστάντες τῆς ἐμῆς μοιχικήν τινα γνώμην ἀνεδέξαντο πρὸς τὴν τῶν δαιμόνων ἀποκλίναντες θεραπείαν, καὶ δίκην κλιβάνου πρὸς πέψιν ἐκκεκαυμένου μετὰ θερμῆς τινὸς τῆς προθυμίας πρὸς τὴν ἀκολασίαν ῥέποντες ἐκείνην.* — „*Κατακαύσει αὐτοὺς ἀπὸ τῆς φλογὸς,*“ *ἀλλὰ γὰρ ἐξ αὐτῆς δὲ ταύτης καταναλωθήσονται τῆς γνώμης.* — „*Ἀπὸ φυράσεως στέατος ἕως τοῦ ζυμωθῆναι αὐτὸ ὅλον, (ε'.) αἱ ἡμέραι τῶν βασιλέων ὑμῶν.*“ *Ὡς γὰρ εἰ στέας ληφθέν τε καὶ ἐμπληθὲν ἀλεύρῳ ζυμοῖ τε καὶ ἐναποτελεῖ τὸ σύμπαν· οὕτω ἐξότεπερ τὴν παράνομον ταύτην κατεστήσασθε βασιλείαν ἀπὸ τοῦ*

V. 3. „*Sceleribus suis reges exhilarant, et principes mendaciis suis.*“ Multum hostiles vel reges vel principes, qui eos et opprimunt et captivos abducunt, percipient gaudium de sceleribus, quae ab istis commissa sunt, et de eo, quod relicta mei cognitione mendacem et fallacem daemonum cultum sectati fuerint.

V. 4. „*Cuncti adulterantur ardentes quasi furnus pestoris.*“ Etenim uno animo omnes a mei cognitione deficientes, adulterum receperunt sensum ad daemonum cultum proclivi, et furni ad coquendum calefacti instar fervida quadam cupiditate concepti ad impudicitiam istam ruunt. — „*Cremabit eos per flammam*“ — at hac ipso suo sensu interibunt — „*A commixtione fermenti donec fermentetur tota massa* (V. 5.) *durant dies regum vestrorum.*“ Uti fermentum farinae admixtum fermentatur et praeparat totam massam, ita ex quo improbum hoc regnum a Jeroboamo oriundum constituistis, omnes eadem ratione eandem impiam induistis

Ἱεροβοὰμ λαβόντες τὴν ἀρχὴν, πρὸς τὴν αὐτὴν γνώμην τῆς κακίας ἅπαντες ἐνεύσατε ὁμοίως. — „Ἤρξαντο ἄρχοντες θυμοῦσθαι ἐξ οἴνου.“ οἵ τε γὰρ ἄρχοντες αὐτῶν μέθαις καὶ οἰνοφλυγίαις προσεῖχον, ἀκράτῳ κατὰ πάντων ἐκ τοιαύτης παρανομίας τῷ θυμῷ κεχρημένοι. — „ἐξέτειναν τὴν χεῖρα αὐτῶν μετὰ λοιμῶν.“ πρὸς πλεονεξίαν ἑώρων, κοινωνίαν ἑλόμενοι πρὸς ἅπαντας τοὺς διεφθαρμένους τὸν τρόπον;

ϛ'. „Διότι ἀνεκαύθησαν ὡς κλίβανος αἱ καρδίαι αὐτῶν ἐν τῷ καταράσσειν αὐτοὺς ὅλην τὴν νύκτα.“ Ἐξεκαίοντο γὰρ δίκην κλιβάνου τὴν διάνοιαν ἐκ τῆς μέθης, ἧς δι' ὅλης ἐπετήδευον τῆς νυκτός. — „ὕπνου Ἐφραῒμ ἐνεπλήσθη.“ ὡς ἐκ μέθης τοίνυν τοιαύτης δίκην τῶν ὕπνῳ βαρεῖ κατεχομένων οὐδένα τοῦ προσήκοντος ἐποιοῦντο λόγον. — „Πρωῒ ἐγενήθη καὶ ἀνεκαύθη ὡς πυρὸς φέγγος. ζ'. Πάντες ἐθερμάνθησαν ὡς κλίβανος καιόμενος.“ Ἡμέρας δὲ ἐπιλαμβανούσης τῶν αὐτῶν ἥπτοντο πάλιν, ἀναπτόμενοί τε δίκην πυρὸς καὶ ὥσπερ τις κλίβανος διαθερμαινόμενοί τε καὶ διεγειρόμενοι καὶ τὴν τῶν ἀτόπων ἐργασίαν. — „Καὶ πῦρ κατέφαγε τοὺς κριτὰς αὐτῶν.“ Κα-

mentem. — „*Principes vino incalescere coeperunt.*“ Principes eorum compotationibus et vinolentiae assueti, intemperanter et fervide, id quod tali improbitati consentaneum est, in omnes se gerunt. „*Manus extenderunt suas cum pestibus.*“ Avaritiam sectati sunt, sociis assumtis omnibus iis, qui mentis sunt perversae.

V. 6. „*Incensa sunt uti furnus eorum corda quum praecipitarentur tota nocte.*“ Temulentia, cui tota nocte se dederunt animus eorum quasi furnus exarsit. — „*Ephraim somno est sopitus.*“ Pro natura eorum qui ex tanta ebrietate gravi somno oppressi decorum prorsus neglexerunt. — „*Mane exarsit ut flamma ignea. Omnes incaluerunt ut furnus ardens.*“ Illucescente die eadem egerunt, flagrantes quasi ignis et quasi furnus calefacti sunt et ad absurda facienda proni. — „*Et ignis judices eorum consumsit.*“ Invicem igitur poenas sibi infligunt; omnes enim imperium in iis tenentes, tanquam igne hostium caede consumentur. — *Om-*

τάλληλον τοίνυν ὑπομένουσι τὴν τιμωρίαν, δίκην πυρὸς πάντων τῶν ἄρχειν ἐν αὐτοῖς ὑπειλημμένων τῇ τῶν πολεμίων παραδιδομένῃ [1]) σφαγῇ. — „Πάντες οἱ βασιλεῖς αὐτῶν ἔπεσον." — ἀπωλείᾳ καὶ σφαγῇ παραδοθήσονται πάντες. Τίνος ἕνεκεν; — „Οὐκ ἦν ἐν αὐτοῖς ὁ ἐπικαλούμενος πρός με." Ἐπειδὴ καὶ σύμφωνον εἶχον τὴν γνώμην, οὐδένα λόγον ἐμοῦ ποιεῖσθαι καθάπαξ ἐθέλοντες. —

nes eorum reges occiderunt," omnes perniciei et caedi tradentur. Et cur? „Nemo inter eos fuit, qui me invocaret." Eadem usi opinione mei rationem habere prorsus noluerunt.

η'. „Ἐφραῒμ ἐν τοῖς λαοῖς αὐτὸς συνανεμίγνυτο." Τοῦτο καὶ ὁ μακάριος αὐτοὺς αἰτιᾶται Δαυΐδ, λέγων [2]), „Καὶ ἐπεμίγησαν ἐν τοῖς ἔθνεσι." Καὶ γὰρ ἦν ἀπειρημένη παντελῶς αὐτοῖς ἐκ τοῦ νόμου ἡ πρὸς τοὺς ἀλλοτρίους ἐπιμιξία. Εἰκότως οὖν αὐτοῖς ὀνειδίζει κἀνταῦθα τοῦτο. — „Ἐφραῒμ ἐγένετο ἐγκρυφίας οὐ μεταστρεφόμενος." Οὕτως ἀμετάβλητος καὶ ἀδιόρθωτος τὸν τρόπον ἐπὶ τῆς αὐτῆς μεμενηκὼς κακίας, ὥσπερ ἐκεῖνο μένειν εἴωθεν ἀμετακίνητον ἐφ' οὗπερ τέτακται τόπου.

V. 8. „*Ephraim cum gentilibus se miscuit.*" Idem eis beatus quoque David opprobrium facit, qui „Et miscuerunt se cum gentilibus," ait. Lege enim sancitum erat, ne cum peregrinis unquam commiscerentur. Jure igitur ob hanc rem propheta etiam hic in eos invehitur. — „*Ephraim similis est placentae non versae.*" Immutabiles et inemendabiles mores suos perversos retinuit, sicut et illa (placenta) in eodem solet manere loco, in quo semel posita est.

θ'. „Κατέφαγον ἀλλότριοι τὴν ἰσχὺν αὐτοῦ." ὑπομένει τοίνυν ἀνάλογον τὴν τιμωρίαν· παρανόμως γὰρ τοῖς ἀλλοτρίοις ἐπιμιγείς, ὑπ' αὐτῶν

V. 9. „*Peregrini vires eorum consumserunt.*" Justam jam luit poenam; spreta enim lege, quibuscum commixta est, per eosdem nunc plane

[1]) f. l. παραδιδομένων. — [2]) Ps. CV., 34 cf. supra Hos. V., 6.

ἐκείνων ἀφανισθήσεται παντελῶς. — „αὐτὸς δὲ οὐκ ἔγνω· καὶ πολιὰ ἐξήνθησεν αὐτῷ, καὶ αὐτὸς οὐκ ἔγνω.“ Ἐπειδὴ γὰρ διαμεμένηκεν ἐπὶ τῆς τῶν προσηκόντων ἀγνοίας, οὐδὲ τῷ μακρῷ χρόνῳ πρὸς τὸ δέον ἑλόμενος ἰδεῖν, διὰ τοῦτο πείσεται τοιαῦτα.

ι. „Καὶ ταπεινωθήσεται ἡ ὕβρις τοῦ Ἰσραὴλ εἰς πρόσωπον αὐτοῦ, καὶ οὐκ ἐπέστρεψαν πρὸς κύριον τὸν θεὸν αὐτῶν καὶ οὐκ ἐξεζήτησαν αὐτὸν ἐν πᾶσι τούτοις.“ Ὑπὲρ ὧν τοίνυν ἐξύβρισαν εἰς τὸ θεῖον, οὕτως ἀναιδῶς καὶ ἀμεταθέτως περὶ τὴν τῶν δαιμόνων ἐσχηκότες θεραπείαν, καὶ τὴν περὶ ἐκείνους σπουδὴν προτιμήσαντες τῆς περὶ τὸ ὄντως θεῖον, ὄψονται τὴν ταπείνωσιν τὴν οἰκείαν, ἣν ὑπομενοῦσι δικαίως, οὐδὲ ἐκ μεταβολῆς νεῦσαι πρὸς τὸν θεὸν βουληθέντες.

ια. „Καὶ ἦν Ἐφραῒμ ὡς περιστερὰ ἄνους οὐκ ἔχουσα καρδίαν· Αἴγυπτον ἐπεκαλοῦντο καὶ εἰς Ἀσσυρίους ἐπορεύθησαν.“ Οἵαπερ ἐστὶν ἡ περιστερὰ μηδὲ τῶν οἰκείων γεννημάτων ποιουμένη λόγον, ὧν ἀφαιρουμένων ἐπὶ τῶν αὐτῶν τόπων νεοττεύειν εἴωθε πάλιν, οὐδεμίαν ἔχουσα προμήθειαν τῆς ἀφαιρέσεως τῶν γεν-

perimetur. — „*Nec tamen intelligit: jam canitie conspergitur, nec tamen intelligit.*“ Propterea quod perseveravit in spernendis iis quae facere decebat, et diu justum sequi noluit; talia patietur.

V. 10. „*Et humiliabitur Israelis superbia coram eo (Deo), quod non converterint se ad Dominum suum Deum, neque eum in omnibus his (angustiis) quaesierint.*“ Propter suam in Deum superbiam, qua posthabito Dei veri honore et erga daemones studium praeferentes insolenter et sine intermissione eos honore prosecuti sunt, humiliationem experientur suam, eamque merito perferent, quoniam mutata sententia ad Deum redire noluerunt.

V. 11. „*Et Ephraim similis erat columbae fatuae et insipienti. Aegyptum invocavit et Assyrios adiit.*“ Qualis columba est, quae pullorum nullum habet respectum, sed vel iis interfectis eodem, quo perierunt, loco ovis incubare solet, ne sentiens quidem orbitatem suam, tales et hi sunt; ne sentientes quidem

νωμένων· οὕτω δὴ καὶ οὗτοι γεγόνασιν, αἴσθησιν τῆς ἀπωλείας οὐ λαμβάνοντες τῆς οἰκείας, ἀλλ᾽ ἀναμένοντες μὲν τὴν ἐκ τῶν Αἰγυπτίων βοήθειαν, τυγχάνοντες δὲ οὐδενός· ἅτε μετὰ μεγάλης τῆς δυναστείας τῶν Ἀσσυρίων αἰχμαλώτους αὐτοὺς ἀπαγόντων ἐπὶ τὰ οἰκεῖα.

perniciem suam, ab Aegyptiis opem quidem exspectant neque tamen adipiscentur, nam Assyrii magnis copiis obrutos eos captivos in suas abducent regiones.

ιβ΄. „Καθὼς ἂν πορεύωνται ἐπιβαλῶ ἐπ᾽ αὐτοὺς τὸ δίκτυόν μου· καθὼς τὰ πετεινὰ τοῦ οὐρανοῦ ἄξω αὐτούς.“ Διαφυγεῖν γὰρ αὐτούς, φησι, τὴν ἐκείνων αἰχμαλωσίαν τῶν ἀδυνάτων, ἐπειδὴ ὥσπερ τινὶ δικτύῳ τῇ ἀποφάσει περιβαλὼν αὐτοὺς τῇ ἐμῇ πάντας αὐτοὺς δίκην πετεινῶν εἰς τὴν αἰχμαλωσίαν ἀπάξω. — „Παιδεύσω αὐτοὺς ἐν τῇ ἀκοῇ τῆς θλίψεως αὐτῶν.“ Τοιαῦτα δὲ αὐτοῖς ἐπάξω κακὰ ὥστε καὶ τὴν ἀκοὴν τῶν ἐπελευσομένων αὐτοῖς κακῶν, βαρυτάτην οὖσαν ἀρκεῖν εἰς παιδείαν αὐτοῖς. Καὶ τί τὸ τούτων αἴτιον, πάλιν λέγων.

V. 12. „*Simulac proficiscentur, plaga mea eos ambiam; ut volucres coeli eos abigam.*“ Ut istorum captivitatem evitent, fieri nequit, quum equidem jussu meo quasi plaga eos avium instar impeditos in captivitatem abducam. — „*Castigabo eos auditu miseriae suae.*“ Tantas iis calamitates obducam ut eos rumore tantum percipere quantae sibi minentur miseriae, ad eos castigandos satis habendum sit. Et quaenam ejus rei causa, rursus dicit.

ιγ΄. „Οὐαὶ αὐτοῖς, ὅτι ἀπεπήδησαν ἀπ᾽ ἐμοῦ· δείλαιοί εἰσιν, ὅτι ἠσέβησαν εἰς ἐμέ.“ ὑπὲρ γὰρ τῆς εἰς ἐμὲ παρανομίας πείσονται ταῦτα· ἐγὼ δὲ ἐλυτρωσάμην αὐτούς, καὶ αὐτοὶ κατελάλησαν κατ᾽ ἐμοῦ ψευδῆ.“ Καὶ γὰρ ἄνωθεν ἐγὼ μὲν αὐτοὺς εὖ

V. 13. „*Vae iis, quia a me discesserunt. Miseri sunt, quoniam impie egerunt erga me.*“ Propterea quod in me flagitia commiserunt, haec patientur. „*Ego etiamnum eos juvarem, sed mendacia adversus me loquuntur.*“ Olim equidem iis bene feci, sed

ἐποίουν, αὐτοὶ δὲ τὴν ἀγνωμοσύνην περὶ ἐμὲ ἐπεδείκνυντο τὴν οἰκείαν· ἀπήλλαξα μὲν γὰρ αὐτοὺς τῆς ὑπὸ Αἰγυπτίους δουλείας, ἐκεῖνοι δὲ πᾶν ὅτι βλάσφημον ἐφθέγγοντο εἰς ἐμὲ, ποτὲ μὲν μόσχον ἐργαζόμενοι καὶ λέγοντες [1]), „Οὗτοι οἱ θεοί σου, Ἰσραὴλ, οἳ ἐξήγαγόν σε ἐκ τῆς Αἰγύπτου,“ ποτὲ δὲ [2]), ἐπεὶ ἐπάταξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα, καὶ χείμαῤῥοι κατεκλύσθησαν, „Μὴ καὶ ἄρτον δύναται δοῦναι, ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτοῦ;“

ιδ'. „Καὶ οὐκ ἐβόησαν πρὸς μὲ αἱ καρδίαι αὐτῶν.“ νεῦσαι δὲ πρὸς μὲ εἰλικρινεῖ τῇ διανοίᾳ καὶ ἀναμεῖναι τὴν παρ' ἐμοῦ δωρεὰν, εἰς νοῦν οὐκ ἐβάλοντο. — „ἀλλ' ὠλόλυζον ἐν ταῖς κοίταις αὐτῶν. ἐπὶ σίτῳ καὶ οἴνῳ κατετέμνοντο.“ Τοὐναντίον μὲν οὖν καὶ εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσεληλυθότες, καὶ τῆς παρ' ἐμοῦ δοθείσης αὐτοῖς ἀναπαύσεως τετυχηκότες, (κοίτην γὰρ αὐτῶν τοῦτο καλεῖ), μηδένα λόγον ἐμοῦ ποιούμενοι, περὶ τὴν τῶν εἰδώλων ἠσχολοῦντο θεραπείαν, ὀλολύζοντές τε καὶ κατατεμνόμενοι κατὰ τὸ παρ' ἐκείνοις ἠθισμένον. ἅπερ οὖν ἐπλήρουν, αὐτοῖς λογιζόμενοι τῶν δεδομένων

mei oblivionem suam peculiarem rursus ostenderunt. Quamvis eos ex Aegytiorum servitio liberarem, ipsi conviciis me consectati sunt, modo vitulum sibi fingentes dicentesque: „Hic est Deus tuus, Israel, qui Aegypto te eduxit,“ modo vero, quum rupta rupe aquas iis porrigerem, torrentesque profluerent, „Num forte panem populo suo dare vel mensam parare valet?“

V. 14. „*Neque corda eorum ad me clamarunt.*“ Non venit iis in animum, sincera mente ad me reverti, et dona mea e me exspectare. „*Sed in lectis suis ejulantes propter frumentum et mustum anguntur.*“ Contra vero vel in terram promissam sibi reversi, acceptaque a me quiete sua (eam enim appellat propheta lectum), nihil de me solliciti, in idolorum cultu operam suam posuerunt, ejulantes et anxii pro consueto in ista veneratione more. Et ea fecerunt, illis beneficia adscribentes a me accepta.

[1]) Exod. XXXII, 4. 8. — [2]) Ps. LXXVII, 20.

αὐτοῖς ἀγαθῶν παρ' ἐμοῦ τὴν χορηγίαν.

ιε'. „Ἐπαιδεύθησαν ἐν ἐμοί." ὑπὲρ δὴ τούτων ὧν εἰς ἐμὲ παρηνόμουν δέξονται παρ' ἐμοῦ τὴν προσήκουσαν παιδείαν αὐτάρκη· διδάσκει δὲ αὐτοὺς, ὡς παρηνόμουν τοιαῦτα ποιοῦντες. „Καὶ ἐγὼ κατίσχυσα τοὺς βραχίονας αὐτῶν, καὶ εἰς ἐμὲ ἐλογίσαντο πονηρά." Καὶ ὅτι [1]) ὁ μὲν τὴν ἰσχὺν ἅπασαν αὐτοῖς παρέχων κατὰ τῶν πολεμίων ἤμην ἐγώ· οἱ δὲ πᾶν ὅ, τι ἄτοπον καὶ ἀσεβείας μεστὸν μετῄεσαν ἀσεβοῦντες εἰς ἐμέ.

ις'. „Ἐπεστράφησαν εἰς οὐθέν." μεταβαλλομένους γὰρ αὐτοὺς διὰ τῆς ὀργῆς τε καὶ τιμωρίας τῆς ἐμῆς ἔδειξα ὄντας τὸ οὐθέν. — „Ἐγένοντο εἰς τόξον οὐ τεταμένον." ὥστε μηδὲν αὐτοὺς διαλάττειν τόξου οὐκ ἐντεταμένην ἔχοντος τὴν νευρὰν, ὅπερ ἀνωφελές ἐστι τῷ πολεμοῦντι, μέχρις ἂν ἐπὶ τούτου τοῦ σχήματος ᾖ· οὕτως ἔσονται ἄπρακτοι κατὰ τῶν πολεμίων καὶ ἀσθενεῖς. Τοῦτο οὖν λέγει τὸ, Ἐπαιδεύθησαν ἐν ἐμοὶ, ἵνα εἴπῃ οὐχ ὁμολογοῦντας ὧν ἔλαβον παρ' ἐμοῦ τὴν ἀπόλαυσιν τῇ ἐπὶ τὸ χεῖρον μεταβολῇ τὸ δέον αὐτοὺς ἐπαίδευσα, σαφῆ τῆς παρανομίας αὐτῶν παρεχόμενος αὐτοῖς τὴν ἀπόδειξιν. — „Πεσοῦνται

[1]) f. l. τότε.

V. 15. *„Castigati sunt a me."* Flagitiorum in me commissorum justam et sufficientem a me recipient mulctam. — Edocet autem eos, qua ratione talia facientes perverse egerint. *„Et ego brachia quidem eorum corroboravi, nihilominus tamen pessima in me cogitaverunt."* Ego quidem multam iis paravi adversus hostes potentiam, ipsi autem pessima quaeque in me et maxime impia commiserunt.

V. 16. *„Conversi sunt in nihilum."* Ira et poena mea eversos, nihil esse ostendi. — *„Arcui non intenso similes facti sunt."* Nil differunt ab arcu, qui nervo non intenso inutilis est militi, usquedum in hanc formam redigatur. Ita vel isti nihil prae virium defectu contra hostes efficere valebunt. Verba igitur *„castigati sunt a me"* indicant, Deum eos in calamitates protrusisse, ut et ipsi castigarentur et, se inique contra ipsum egisse, intelligerent. — *„Principes eorum gladio interimentur propter linguae suae imperitiam."* Hi igitur infirmi erunt, hostes autem

οἱ ἄρχοντες αὐτῶν ἐν ῥομφαίᾳ δι' ἀπαιδευσίαν γλώσσης αὐτῶν." Οὗτοι μὲν οὖν ἀσθενήσουσιν, οἱ δὲ πολέμιοι τοσαύτην ἕξουσι κατ' αὐτῶν τὴν ἰσχὺν, ὥστε καὶ τοὺς ἄρχοντας αὐτῶν σὺν τοῖς λοιποῖς ἀνελεῖν, ὑπὲρ ὧν ἀπαιδεύτως ἐφθέγγοντο κατ' ἐμοῦ. —

tanta in eos pollebunt vi, ut cum plebe etiam principes interfecturi sint, propter impios quos contra me ediderunt sermones.

Κεφάλαιον Η'.

α'. „Οὗτος ὁ φαυλισμὸς αὐτῶν ἐν γῇ Αἰγύπτου ἐπὶ φάρυγγι αὐτῶν, ὡς γῆ ἄβατος, ὡς σάλπιγξ, ὡς ἀετὸς ἐπ' οἶκον Κυρίου." Ταῦτα δὴ πείσονται μιμησάμενοι τῶν πατέρων αὐτῶν τὴν γνώμην, οἳ κατὰ τὴν Αἴγυπτον ἐξεφαύλιζον τὰς εἰς αὐτοὺς γεγενημένας παρὰ τοῦ θεοῦ δωρεάς· ἀβάτῳ γὰρ ἔσονται παραπλήσιοι τῇ ἐρημίᾳ παραδοθέντες παντελῶς, εἰς ἣν καταστήσονται, τῆς πολεμικῆς σάλπιγγος ἐπ' αὐτοὺς ἠχούσης μέγα καὶ τὴν τῶν πολεμίων ἔφοδον μέλλουσαν γνωριζούσης, ἣ μετὰ πολλῆς αὐτοῖς ἐπελεύσεται τῆς ὀξύτητος, δίκην ἀετοῦ ἀθρόον ἐφισταμένου τοῖς θηρωμίας[1]). Οὕτω γὰρ δὴ καὶ οἱ πολέμιοι ἐπελεύσονται, τούτους τε ἀφανίζοντες καὶ τὸν οἶκον πυρπολοῦντες τὸν θεῖον. Τοῦτο δὲ προστέθεικεν εἰς ἀπόδειξιν τοῦ με-

Caput VIII.

V. 1. *„Hoc est eorum ludibrium in Aegyptiorum terra, idque in gutture, erunt tanquam terra invia, tanquam tuba, tanquam aquila in aedem Domini irruens."* Haec ergo tolerabunt sententiam secuti patrum suorum, qui quae iis in Aegypto a Deo veniebant beneficia, contemserunt. Inviae eam ob rem similes erunt terrae, et omni ornamento privabuntur; idque fiet, quando tuba magno clangore sonans hostium nuntiabit impetum, velociter et tanquam aquila, quae ex improviso praedam suam arripit, irrumpentium. Ita enim etiam hostes populum istum deperdentes Deique aedem cremantes irruent. Hoc vero addidit propheta, ut ostenderet magnitudinem di-

[1]) Forte leg. θηρωμένοις.

γέθους τῆς ὀργῆς, ὅτι μηδὲ τοῦ οἴκου φείδεται τοῦ οἰκείου, ἐκδιδοὺς αὐτὸν εἰς ἀφανισμὸν μετὰ τῶν λοιπῶν τοῖς πολεμίοις. εἶτα καὶ ἀνθότου ταῦτα γενήσεται δηλῶν. — „ἀνθ᾽ ὧν παρέβησαν τὴν διαθήκην μου, καὶ κατὰ τοῦ νόμου μου ἠσέβησαν.“ ἐπεὶ καὶ ἄτοπον ἡγούμην τούτων παραβάντων τὴν διαθήκην τὴν ἐμὴν καὶ παντελῶς εἰς τὸν νόμον ἠσεβηκότων τὸν ἐμὸν, τοῦ οἴκου φείδεσθαι, ὃν ἐῤῥύπουν τε καὶ ἐμόλυνον τῇ ἐπιβάσει τῇ οἰκείᾳ.

β΄. „Εἰς ἐμὲ κεκράξονται· ὁ θεὸς, ἐγνώκαμεν σέ.“ Τότε ὑπὸ τῶν πραγμάτων καὶ τῆς ἐπαγομένης αὐτοῖς τιμωρίας ἄκοντες τὴν δύναμιν ὁμολογήσουσι τὴν ἐμήν.

γ΄. „Ὅτι Ἰσραὴλ ἀπεστρέψατο ἀγαθὰ, ἐχθρὸν κατεδίωξαν.“ Πείσονται μὲν τοιαῦτα δικαίως οἱ περὶ τὴν δόσιν τῶν ἀγαθῶν τῶν παρ᾽ ἐμοῦ γεγονότες ἀγνώμονες, καίτοιγε, ὁπότε παρεῖχον αὐτοῖς τὴν ἐμὴν βοήθειαν, μετὰ πολλῆς τῆς εὐμαρείας κρατοῦντες τῶν ἐχθρῶν τῶν οἰκείων.

δ΄. „Ἑαυτοῖς ἐβασίλευσαν, καὶ οὐ δι᾽ ἐμοῦ ἦρξαν, καὶ οὐκ ἐγνώρισάν μοι.“ οὕτω δὲ παντελῶς με παρελογίσαντο, ὡς καὶ τὸν παρ᾽ ἐμοῦ δοθέντα βασιλέα παραγραψάμενοι

vinae irae, quae ne propriae quidem aedis miserta, cum reliquis eam hostium potestati relinquet. Deinceps vero ejus rei causam quoque significat: „*Quoniam violarunt foedus meum, et praecepta mea transgressi sunt.*“ Supervacaneum, inquit, esse putabam, quod illis foedus meum rumpentibus legemque meam plane contemnentibus, aedi meae amplius parcerem istorum jam introitu solo inquinatae et profanatae.

V. 2. „*Ad me clamabunt: novimus te, Deus!*“ Rebus tunc gerendis poenaque iis infligenda, inviti licet, potentiam meam agnoscere cogentur.

V. 3. „*Israel bona sua rejecit, quamquam persecuti sunt hostem.*“ Merito haec patientur, namque bonorum, quae a me acceperunt, obliti sunt, quamvis eo tempore quo ope mea fruebantur absque magno labore hostes suos fugarent.

V. 4. *Ipsi sibi reges constituerunt, qui me invito regnarunt; mihique nil indicatum est.*“ Adeo me supersedere se posse autumarunt, ut recusato rege iis a me desti-

αὐτοὶ βασιλείαν κατεστήσαντο ἰδίαν, οὐδένα τῶν περὶ ἐμὲ ποιησάμενοι λόγον· τοῦτο γὰρ λέγει τὸ, Οὐκ ἐγνωρίσαντο. — „Τὸ ἀργύριον αὐτῶν καὶ τὸ χρυσίον αὐτῶν ἐποίησαν ἑαυτοῖς εἴδωλα, ὅπως ἐξολοθρευθῶσιν.“ Καὶ τὴν μὲν παρ' ἐμοῦ βασιλείαν τήν τε περὶ τὸν νόμον παρεγράψαντο θεραπείαν, βασιλείαν δὲ ἰδίαν καταστησάμενοι (λέγει δὲ τὴν ἐπὶ τῶν δέκα φυλῶν γεγονυῖαν, ἀρξαμένην ἀπὸ τοῦ Ἱεροβοὰμ, ὅς καὶ τὰς δαμάλεις πρῶτος αὐτοῖς κατεσκεύασεν), ἀκόλουθα τῇ περὶ τὴν ἐκλογὴν τῆς βασιλείας ἀτοπίᾳ διαπραττόμενοι, εἴδωλα πολλά τε καὶ ποικίλα, τὰ μὲν ἐκ χρυσοῦ κατεσκεύασαν, τὰ δὲ ἐξ ἀργύρου, ἀφ' ὧν οὐδὲν ἕτερον ἀλλ' ἢ τὸν ἀφανισμὸν κερδανοῦσι τὸν οἰκεῖον. Ὅθεν δὴ κατὰ [1]) τῶν δαμάλεων ἐτολμήθη πρῶτον ἀκολούθως ἐπάγει.

nato, ipsi sibi regnum constituerent, mei plane immemores; id enim innuunt verba: „Mihi nil indicatum est.“ — „*Argentum suum aurumque suum in simulacra insumserunt; ideo exscindentur.*“ Et regnum quidem a me profectum et circa legem obedientiam recusantes, proprio sibi regno constituto — decem tribuum dicit regnum coeptum a Jeroboamo, qui et primus vitulorum simulacra fingi jussit — deinceps huic impietati consentanea commiserunt facinora, simulacra multa ac varia argentea et aurea sibi fingentes. Neque tamen inde quidquam nisi interitum suum ipsi sibi parabunt.**

έ. „Ἀπόῤῥιψον τὸν μόσχον σου, Σαμάρεια· παρωξύνθη ὁ θυμός μου ἐπ' αὐτούς.“ Ἀπόστηθι δὴ τῆς περὶ τὰς δαμάλεις ἀσεβείας, οὐδὲ γὰρ ὡς ἔτυχεν ὤργισμαι ἐπὶ τῇ τῶν γεγονότων παρανομίᾳ. — „Ἕως

V. 5. „*Abjice vitulos tuos, Samaria, flagrat enim in eos ira mea.*“ Discede ab impietate tua in colendis vitulis conspicua, non mediocriter enim pravitati qua uteris, iratus sum. „*Quamdiu non po-*

[1]) f. l. Ὅθεν δὴ καὶ τὰ τῶν δαμ. etc. *Unde vero etiam vitulorum cultus primas duxit origines* (i. e. ubinam primum ausi fuerint vitulos venerari) *deinceps dicit propheta.* Sed hanc conjecturam mihimet ipsi parum satisfacere non infitior; quaenam vero alia corrupto huic loco per levem simplicemque conjecturam possit adhiberi medela non video.

τίνος οὐ μὴ δυνῶνται (ς'.) καθαρισθῆναι ἐν τῷ Ἰσραὴλ; Καὶ αὐτὸ τέκτων ἐποίησε, καὶ οὐ θεός ἐστιν.“ Ἀλλ' οὐδὲ ὁ μακρὸς χρόνος ἐξεπαίδευσέ σε τὸ δέον, οὐδὲ ἀπέθου τῆς τοσαύτης ἀσεβείας τὸν ῥύπον, κέχηνας δὲ περὶ εἴδωλα ἐξ ἀνθρωπίνων γινόμενα χειρῶν, ἃ πότε [1]) ἂν εἰκότως νομισθεῖεν θεοὶ, τοιαύτην ἔχοντα τῆς ὑπάρξεως τὴν αἰτίαν. — „Διότι πλανῶν ἦν ὁ μόσχος σοῦ, Σαμαρεία.“ Καὶ οὐ δεδύνησαι συνιδεῖν, ὅτι ἡ τῶν δαμάλεων κατασκευὴ πλάνης σοι τῆς ἀπὸ θεοῦ γέγονεν αἰτία, ὥστε καὶ διὰ τοῦτο χρῆναι μισεῖν αὐτὰ δικαίως.

ζ. „Ὅτι ἀνεμόφθορά ἐστι, καὶ ἡ καταστροφὴ αὐτῶν ἐκδέξεται αὐτά· δράγμα οὐκ ἔχον ἰσχὺν τοῦ ποιῆσαι ἄλευρον· ἐὰν δὲ καὶ ποιήσῃ, ἀλλότριοι καταφάγονται αὐτό.“ Διαλλάττει γὰρ οὐδὲν τῶν γεννημάτων ἐκείνων, ἃ ὑπὸ καύσωνος ἀνέμου ξηρανθέντα τε καὶ διαφθαρέντα ἄχρηστα παντελῶς ἐστὶ πρὸς διατροφὴν ἀνθρώποις· φθορὰ μὲν γὰρ αὐτὰ διαδέχεται καὶ ἀπώλεια· ἐστὶ δὲ ἀνωφελὲς ἀνθρώποις ἄλευρον εἰς διατροφὴν, ἐπιτήδειον οὐδένα μὲν ὂν ποιεῖν [2])· εἰ δὲ ἄρα τι καὶ γένοιτο, ὡς φαυ-

terunt emundari in Israele? Artifex ista simulacra fecit, non Deus.“ Ne longum quidem tempus, quid justum sit, te edocere potuit, non enim tantae impietatis sordes deposuisti, concupivisti potius simulacra hominum manibus confecta, pro Diis nunquam habenda, quippe quae talem habeant originem. — *„Deceperunt te, Samaria, vituli tui.“* Neque ideo te a Deo defecisse intellixisti, quod vitulos tibi finxisti; licet eam ob causam eos merito odisse debebas.

V. 7. *„Quia segetem a vento corruptam seminaverunt, interitus eam excipiet. Seges farinam non faciet; etiamsi vero fecerit, alieni eam consument.“* Nihil differunt a germinibus, quae vento ardenti arefacta et consumta ad alendos homines nil proficiunt, pereunt enim omnino. Farina autem, quae forte inde paratur, inutilis est, neque hominibus alimenta praebet. Si qua ergo provenit inde, tanquam corrupta brutorum in cibum adhibetur. Eadem ratione etiam idolorum cul-

[1]) Legendum esse censeo ἃ μήποτε ἂν etc.
[2]) Nonne addendum h. l. σῖτον?

λὸν, εἰς βρῶσιν παρατίθεται τῶν ἀλόγων. Τὸν αὐτὸν γὰρ δὴ τρόπον καὶ ἡ περὶ τὰ εἴδωλα θεραπεία ἐπιβλάβης μέν ἐστι καὶ ὄνησιν παρέχουσα οὐδεμίαν, ὥστε εἴ τι καὶ περίεστιν ὑμῖν ἑτέρωθεν, τῶν πολεμίων ἔσται. Καὶ τοῦτο κέρδος διὰ τὴν ἐνοῦσαν ὑμῖν ἀσέβειαν.

η'. „Κατεπόθη Ἰσραήλ· νῦν ἐγένετο ἐν τοῖς ἔθνεσιν ὡς σκεῦος ἄχρηστον· θ'. ὅτι αὐτοὶ ἀνέβησαν εἰς Ἀσσυρίους." Παντελῆ γὰρ ἀφανισμὸν ὑπὲρ τούτων ὑπομενεῖτε, ληφθέντες ὑπὸ τῶν Ἀσσυρίων· ὥσπερ τι σκεῦος παντελῶς ἄχρηστον ἐν τοῖς ἀλλοτρίοις ἔσεσθε, οὐδενὸς ἀξιούμενοι λόγου. — „Ἀνέθαλε καθ' ἑαυτὸν ἐμοί." Ἐπέδωκαν εἰς πλῆθος διὰ τῆς ἐμῆς κηδεμονίας, καὶ οὐδένα ποιεῖσθε[1]) μου λόγον ἐθέλοντες, τοσούτων ἀγαθῶν ὄντος αὐτοῖς αἰτίου, αὐθαδείᾳ πάντα διεπράττοντο κατὰ τὸ δοκοῦν ἑαυτοῖς· τοῦτο γάρ ἐστι τὸ Καθ' ἑαυτόν. — „Ἐφραΐμ δῶρα ἠγάπησαν." Καὶ οὐδὲ τοῖς παροῦσιν ἀρκούμενοι πρὸς πλεονεξίαν ἀφεώρων. —

ι'. „Διὰ τοῦτο παραδοθήσεται ἐν τοῖς ἔθνεσιν." Εἰκότως ἄρα ὑπὸ τοῖς ἐχθροῖς γεγονότες αἰσθήσονται, ὧν τε ἠσέ-

tus non solum nullum praebet commodum, sed etiam ea, quae aliunde forte vobis paraveritis, hostium erunt praeda, propter pravitatem vestram.

V. 8. „*Israel devoratus est, et inter gentiles vas nullius pretii evasit, namque ad Assyrios abierunt.*" Radicitus delebimini ab Assyriis correpti; tanquam vas ad nil utile nulloque sermone dignum inter alienos habebimini. — „*Effloruit sibi ipsi me juvante.*" Mea cura in multitudinem adaucti sunt, neque tamen ullam mei, tantorum iis beneficiorum auctoris, rationem habentes, quidcunque libuit audacter commiserunt; id enim innuunt verba „Sibi ipsi." — „*Ephraim dona adamavit.*" Non contenti iis, quae ipsis contigerunt, plus semper appetierunt.

V. 10. „*Idcirco tradentur gentibus.*" Merito hostium in potestatem redacti, se impie in me egisse, neque lae-

1) Leg. ποιεῖσθαι.

βουν εἰς ἐμὲ, ὧν τε ἠδίκουν. — „Νῦν εἰσδέξομαι αὐτούς.“ Ἀναμενῶ γὰρ αὐτοὺς ἐν τῇ τῶν Ἀσσυρίων χώρᾳ, εἰς ἐκείνην διὰ τῆς αἰχμαλωσίας ἕλκων αὐτοὺς, ὥστε τῶν ἀσεβημάτων τῶν οἰκείων αἴσθησιν λαβεῖν τότε. Πῶς καὶ τίνα τρόπον; παύσονται γὰρ τοῦ τὰς παρανόμους ταύτας βασιλείας καθιστάναι καὶ ἀρχὰς, τῇ αἰχμαλωσίᾳ παιδευόμενοί τε καὶ τῆς παρανομίας αἴσθησιν λαμβάνοντες τῆς οἰκείας.

ια'. „Ὅτι ἐπλήθυνεν Ἐφραΐμ θυσιαστήρια, εἰς ἁμαρτίας ἐγένοντο αὐτῷ:“ Καὶ γὰρ εἰκότως ὑπομένουσι ταῦτα, ὑπὲρ ὧν τὴν ἀσεβῆ βασιλείαν κατεστήσαντο ἐκείνην, ἐπειδὴ ταύτην εὗρον ὁδὸν τοῦ πολυειδῆ τῶν εἰδώλων εὑρέσθαι τὴν θεραπείαν, πολλά τε ἑαυτοῖς ἐγεῖραι καὶ ποικίλα θυσιαστήρια, ἐν οἷς δὴ μάλιστα πλημμελήσαντες δικαίως δώσουσι δίκας.

ιβ'. „Καταγράψω αὐτῷ πλῆθος καὶ τὰ νοήματα αὐτοῦ.“ Τοῦτο γὰρ δὴ τῶν θυσιαστηρίων τὸ πλῆθος καὶ τῶν νόμων τῶν καινῶν ὧν εὕραντο περὶ τὴν τῶν εἰδώλων θρησκείαν, ὥσπερ γὰρ [1]) ἔγγραφόν τινα κατηγορίαν ἀποθήσομαι κατ' αὐτῶν, δικαίαν, ἐπὶ τοῖς τοσούτοις παρανομήμασι τὴν ἀπόφασιν κατ'

sisse, intelligent. — „*Nunc suscipiam eos.*“ Assyriorum in terra eos suscipiam illuc captivos abductos, ut ibi impietatum suarum cognitionem adipiscantur. Quanam autem ratione id eveniet? Imperia lege vetita, captivitate edocti impietatemque suam cognoscentes, non amplius sibi constituent.

V. 11. „*Ephraim multas sibi aras exstruxit, quae ei peccata cierunt.*“ De hoc contra legem instituto imperio justam hanc solvent poenam, quoniam ita sibi occasionem parasse putarunt multifarium idolis tribuendi honorem, altaria sibi exstruendo. Ubi quum plurimum peccaverint juste etiam puniendi sunt.

V. 12. „*Scribam ei multitudinem et consilia sua;*“ i. e. altarium et novarum, quas sibi de idolis colendis tulerunt, legum multitudinem, quasi scriptam eorum accusationem deponam, de tot iniquitatibus justam desumens causam. — „*Pro alienis reputata sunt altaria dile-*

[1]) Particula redundare, ideoque e textu removenda videtur.

αὐτῶν ἐξάγων. — „εἰς ἀλλότρια ἐλογίσθη θυσιαστήρια τὰ ἠγαπημένα.“ Καὶ γὰρ δὴ καὶ τὰ θυσιαστήρια ταῦτα, περὶ ἃ πολλὴν τὴν ἀγάπην ἐπεδείκνυντο καὶ τὴν σπουδὴν ὑπὸ τὴν τῶν πολεμίων γενήσεται ἐξουσίαν.

ιγ'. „Διότι ἐὰν θύσωσι θυσίαν καὶ φάγωσι κρέα, κύριος οὐ προσδέξεται αὐτά.“ Εἰ γὰρ δὴ καὶ πειρῶντο θυσίαις ἐξιλάσκεσθαι τὸ θεῖον ἀπογευόμενοι τῶν ἐν ταῖς θείαις[1]) κρεῶν κατὰ τὸ εἰωθὸς, οὐδὲ τούτων ἔσται τις λόγος τῷ θεῷ, οὐδέ τινα ὑπὲρ τούτων αὐτοῖς τῶν παρανομημάτων χαριεῖται λύσιν. — „Νῦν μνησθήσεται τῶν ἀδικιῶν αὐτῶν, καὶ ἐκδικήσει τὰς ἁμαρτίας αὐτῶν.“ Μεμνημένος γὰρ ὧν ἠσέβουν, ἵλεως μὲν αὐτοῖς οὐκ ἔσομαι, ἀναλόγους δὲ τῶν παρανομημάτων αὐτοῖς ἐπάξω τὰς τιμωρίας. — „Αὐτοὶ ἐπέστρεψαν εἰς Αἴγυπτον, καὶ εἰς Ἀσσυρίους ἀκάθαρτα φάγονται.“ Ἐν δὴ τούτοις τοῖς δεινοῖς αἰτήσουσι μὲν ἐξ Αἰγύπτου βοήθειαν, ὠφέλειαν δὲ ἐντεῦθεν καρπώσονται οὐδεμίαν, αἰχμάλωτοί τε ἀπαγόμενοι εἰς Ἀσσυρίους, καὶ τῆς ὡς ἐν αἰχμαλωσίᾳ πειρώμενοι κακίας.

[1]) Leg. θυσίαις.

cta.“ Etiam altaria haec, quae tanta caritate amplexi sunt, sub hostium potestate erunt.

V. 13. „*Nam si immolaverint hostias et comederint carnes, Dominus non suscipiet eas.*“ Etiamsi hostiis numen expiare conentur, et uti consuetum est carnibus sacrificalibus vescantur, nihilominus Deus nulla ejus rei ratione habita iniquitatum veniam iis non dabit. — „*Jam potius recordaturus est pravitatum eorum et in eorum peccata animadvertet.*“ Memor eorum impietatum, iis non miserebor, imo iniquitatis mulctam de iis repetam. — „*Ad Aegyptum enim conversi sunt, et penes Assyrios immunda comedunt.*“ Tantis miseriis pressi ex Aegypto auxilium petent, nullo inde commodo percepto, sed in Assyriam captivi abducti ibidem captivitatis calamitates experientur.

ιδ'. „Καὶ ἐπελάθετο Ἰσραὴλ τοῦ ποιήσαντος αὐτὸν, καὶ ᾠκοδόμησε τεμένη, καὶ Ἰούδας ἐπλήθυνε πόλεις τετειχισμένας, καὶ ἐξαποστελῶ πῦρ εἰς τὰς πόλεις αὐτοῦ, καὶ καταφάγεται τὰ θεμέλια αὐτῶν." Τοῦ μὲν γὰρ πεποιηκότος αὐτοὺς λόγον ἔχειν οὐκ ἐβούλοντο, τεμένη δὲ ἐπὶ τῇ τῶν εἰδώλων ᾠκοδόμουν θεραπείᾳ, εἶτα ἐπὶ τούτοις τὰς πόλεις τείχεσιν ὀχυροῦν ἐπειρῶντο, ὡσὰν τούτῳ τινὰ λύσιν εὑρήσοντες τῶν κακῶν. Ὀνήσει δὲ αὐτοὺς οὐδὲ ταῦτα οὐδὲν, ἐπειδὴ τοιαύτην καὶ οὕτω φοβερὰν αὐτοῖς τὴν διὰ τῶν πολεμίων ἐπάξω τιμωρίαν, ὥστε πυρὸς δίκην ἅπαντας ἐπινεμομένην· μονονοὺκ ἐκ βάθρων ἁπάσας αὐτῶν ἀφανίσαι τὰς πόλεις.

V. 14. *„Et Israel creatoris sui oblitus est, delubraque sibi exstruxit; Judas autem multas sibi fecit urbes munitas. Ego vero ignem immittam in ejus urbes, qui ejus praedia consumet."* Spreto suo creatore in idolorum honorem delubra exstruxerunt, deinde etiam urbes moeniis confirmare conati, quasi in eo malorum solutionem inventuri; nil tamen eos juvabunt, nam tantam tamque gravem per hostes poenam iis infligam, ut quasi igne crematae omnes eorum urbes funditus destruantur.

Κεφάλαιον Θ'.

α'. „Μὴ χαῖρε Ἰσραὴλ, μηδὲ εὐφραίνου καθὼς οἱ λαοὶ, ὅτι ἐπόρνευσας ἀπὸ κυρίου τοῦ θεοῦ σου." Οὐ τοίνυν παραπλησίως τοῖς λοιποῖς ἀνθρώποις ἁρμόττων [1]) ὑμῖν εὐφραίνεσθαι καὶ χαίρειν, ἐπειδὴ οἱ μὲν οὐδεμίαν ἐδέξαντο διδασκαλίαν πρὸς εὐσέβειαν αὐτοὺς ἄγειν οἵαν τε οὖσαν, ὑμεῖς δὲ μετὰ πολλὴν παίδευσίν τε καὶ διδα-

Caput IX.

V. 1. *„Noli laetari Israel, noli gaudere ut caeterae gentes, fornicando enim descivisti a Domino tuo Deo."* Non decet vos, ut reliquos homines, laetari et exsultare, his enim nulla, quae ad pietatem eos ducere possit, tradita est institutio, vos vero multifariam Dei peritiam, institutionem et cognitionem

[1]) Leg. ἅρμοττον.

σκαλίαν καὶ ἐπίγνωσιν τοῦ θεοῦ, μοχθηρίᾳ γνώμης τῆς προσγεγονυίας ὑμῖν γνώσεως ἀποστάντες ἐπὶ τὴν τῶν εἰδώλων ἐτράπητε θεραπείαν. — „*Ἠγάπησας δόματα ἐπὶ πᾶσαν ἅλωνα σίτου.*“ *Καὶ δὴ καὶ ἀπαρχὰς ἐξ ἁπάντων προσῆγές τοῖς δαίμοσιν, αὐτοῖς λογιζόμενος τῶν δοθέντων τὴν αἰτίαν.* —

β'. „*Καὶ ἅλων καὶ ληνὸς οὐκ ἔγνω αὐτούς.*“ *δώσετε τοίνυν δίκην ἀξίαν τῶν καρπῶν τὴν ἀφαίρεσιν.* —

γ'. „*Οὐ κατῴκησαν ἐν τῇ γῇ τοῦ κυρίου.*“ *Οὐ γὰρ ἐπὶ τῆς γῆς τῆς δοθείσης ὑμῖν μενεῖτε. Τὸ γὰρ Οὐ κατῴκησεν, ἀντὶ τοῦ οὐ κατοικήσουσι, τῇ ἐναλλαγῇ τοῦ χρόνου συνήθως χρησάμενος· καθὰ καὶ παρὰ τῷ μακαρίῳ Δαϋὶδ ἐν πολλοῖς ὑμῖν δέδεικται τοῦτο.* — „*Κατῴκησεν Ἐφραῒμ Αἴγυπτον, καὶ ἐν Ἀσσυρίοις ἀκάθαρτα φάγονται.*“ *Φυγάδες δὲ ἐπὶ τὴν Αἴγυπτον γεγονότες, ἐκεῖθεν ἄκοντες τῇ τῶν Ἀσσυρίων αἰχμαλωσίᾳ παραδοθήσεσθε πάντες.*

δ'. „*Οὐκ ἔσπεισαν τῷ κυρίῳ οἶνον, καὶ οὐχ ἥδυναν αὐτῷ.*“ *Καὶ περὶ μὲν τὰς τῶν εἰδώλων προσφορὰς τοσαύτην ἐπεδείκνυντο τὴν σπουδὴν καὶ τὴν φιλοτιμίαν, ὥστε ἀπὸ πασῆς ἅλωνος αὐτοῖς ἀπαρχὰς διδόναι, τῷ δὲ θεῷ τῷ πάντων αὐτοῖς αἰ-*

nacti, pro ea quae vobis propria est mentis pravitate a priori intelligentia desciscentes ad simulacra veneranda delapsi estis. — „*Munera dilexisti super omnem aream frumenti.*“ Primitias omnium frugum daemonibus obtulisti, eosdem munerum esse auctores ratus. — V. 2. „*Area autem et torcular eos non noverat.*“ Frugum jacturam ut justam tolerabitis poenam. —

V. 3. „*Non habitarunt in terra Domini.*“ Non manebitis in terra vobis data. Verba enim „*non habitarunt*“ mutato pro more prophetarum tempore, indicant eos non habitaturos fore. Quod etiam in explicando beat. Davidis libro pluribus demonstravimus. — „*Habitavit Ephraim in Aegypto, et in Assyria cibis immundis vescentur.*“ Aegyptum fuga petiistis, inde vero inviti omnes captivitati trademini.

V. 4. „*Deo non libarunt vinum nec quae ipsi placerent fecerunt.*“ Idolorum quidem cultum tam studiose et cupide sacrificiis ornarunt, ut messis suae primitias iis offerrent, Deo autem, omnium bonorum auctori, ne

τίῳ τῶν ἀγαθῶν, οὐδὲ σπονδὰς οἴνου ἀγαγεῖν εἵλοντο πώποτε οὐδέ τι ποιῆσαι τῶν ὅσα ἤδειν [1]) ἐδύναντο τὸν Θεὸν διὰ τὴν τῶν ποιούντων πρόθεσιν. Ὡς γὰρ ὁ μακάριος λέγει Δαυὶδ [2]), „Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου," ἀντὶ τοῦ ἡδεῖα αὐτῷ καὶ προσήνης φανείη, οὕτως ἐνταῦθα λέγει Οὐχ ἥδυναν αὐτῷ ἀντὶ τοῦ οὐδὲν τῶν αὐτῷ κεχαρισμένων εἵλοντο πώποτε ποιῆσαι. Εἶτα δεικνὺς ὅτι ὀνειδίζων αὐτοῖς τὴν γνώμην λέγει οὐ μὴν τοῦ θείου τούτοις τερπομένου, — „Αἱ θυσίαι αὐτῶν ὡς ἄρτος πένθους αὐτοῖς· πάντες οἱ ἐσθίοντες αὐτὸν μιανθήσονται. Τοσοῦτον δὲ ἀφέστηκε τοῦ δεῖσθαι θυσιῶν, ἢ ταύταις ὁρίζεσθαι τὴν οἰκείαν τιμὴν, ὥστε κἂν εἰ προσαγάγοιεν θυσίας, οὐ δέξεται ταύτας Θεός· ἀλλ᾽ ὥσπερ ἂν εἴτις τοῖς πενθοῦσι προσαγάγοι τροφὴν, χαλέπην ἡγοῦνται τῶν δοκούντων ἅπασιν ἡδέων τὴν ὄψιν τῇ τοῦ πένθους μνήμῃ νυττόμενοι, καὶ οὐδὲ προσίεσθαι τὴν προκειμένην ἀνεχόμενοι τρυφήν· καὶ πᾶς δὲ ὅστις οὖν ἐν πένθει μεταλαμβάνειν ἀναγκαζόμενος τροφῆς, ὥσπερ τινὰ μίασμα ἢ λύμην ἡγούμενος τὴν τροφὴν, οὐ προσίεται ταύτην· οὕτω τὰς προσαγομένας αὐτῷ θυσίας, εἰ δή τι

vinum quidem libare necessarium duxerunt, vel aliud quidquam facere voluerunt, ex iis, quibus propter mentem, qua ab hominibus fiunt gaudet. Sicut enim beatus David, „Gratus ei sit delectus meus" dicit pro „Gratus ei videatur," ita hic quoque propheta „*laetitia eum non affecerunt,*" dicit pro: nihil eorum facere unquam voluerunt, quae ei placent; non quo numen ipsum ejusmodi rebus delectari queat. — „*Sacrificia eorum perinde ac panis funebris iis erunt*; *omnes qui eo fructi sunt, polluentur.*" Tantum abest ut egeat sacrificiis vel in iis offerendis honorem suum ponat Deus, ut, etiamsi illi ea obtulerint, ea non accepturus sit. Sed perinde ac si quis lugentibus cibum offerre vellet, omnia quae alias grata videntur, dolore grauatos offendunt, ita ut appositum cibum ne cupiant quidem lugentes sed ad cibum sumendum coacti, eum tanquam pollutionem et inquinationem respuant; ita Deus quoque sacrificia sibi oblata, ab iis qui bona mente offerunt, benevole accipit,

[1]) f. l. ἡδύνειν. — [2]) Ps. CIII., 35.

τοιοῦτο ποιεῖν ἐθέλοιεν, ὁρᾷ θεὸς, ἡδέως μὲν αὐτὰς παρὰ τῶν εὐγνωμόνως προσαγόντων δεχόμενος, χαλεπὴν δὲ τῆς προσκομιδῆς τῶν φαυλῶν καὶ τὴν ὄψιν εἶναι νομίζων τῇ μνήμῃ τῆς ἀσεβείας, ᾗ συζῶντες ἐν εἰρωνείᾳ τινὶ προσάγειν δοκοῦσι τὴν θυσίαν. — *Διότι οἱ ἄρτοι αὐτῶν ταῖς ψυχαῖς αὐτῶν, οὐκ εἰσελεύσονται εἰς τὸν οἶκον κυρίου.* Πᾶσα τοίνυν προσκομιδὴ, ἣν ἂν ποιῶνται, εἰς αὐτοὺς ἀποστραφήσεται, δεκτὴ θεῷ κατ᾽ οὐδένα γινομένη τρόπον. Τοῦτο γὰρ λέγει τὸ, οὐκ εἰσελεύσονται εἰς τὸν οἶκον κυρίου, ἀντὶ τοῦ, οὐκ ἔσται δεκτὰ θεῷ, οὐδὲ παρόντα αὐτὰ τῷ κυρίῳ λογιεῖται, πόῤῥωθεν ἀποπεμπόμενος ὡς ἐξ ἀσεβοῦς προσαγόμενα γνώμης. ὥς γὰρ ὁ θεὸς πρὸς τὸν Καῒν κακῶς προσκεκομικότα λέγει [1]), „Πρὸς σὲ ἀποστροφὴ αὐτοῦ καὶ σὺ ἄρξεις αὐτοῦ,“ ἀντὶ τοῦ, σοὶ ἀπέστραπται τὰ προσκομισθέντα, καὶ αὐτὸς αὐτῶν ἔσου [2]) κύριος, ἐγὼ δέδεγμαι καθάπαξ οὐδέν· οὕτως ἐνταῦθα λέγει, „οἱ ἄρτοι αὐτῶν ταῖς ψυχαῖς αὐτῶν,“ ἀντὶ τοῦ, τὰ προσκομιζόμενα αὐτῶν αὐτοῖς ἔσται, οὐκ ὄντα θεῷ δεκτά. Ἄρτους δὲ ὠνόμασε τὰς προσφορὰς, ἐκ μέρους ἁπάσας λέγων τὰς προσ-

pravorum oblationes autem, ne aspicit quidem, impietatis memor, qua sacrificantes polluti, quasi Deum derisuri ei dona sua offerunt. — „*Quia panes eorum animabus eorum, non intrabunt domum domini.*“ Quamcunque faciant oblationem, Deus respuet eam iisque reddat. Hoc enim indicant verba „*non intrabunt in domum domini,*“ quae posita sunt pro his, „accepti non erunt Deo, neque etiamsi dentur, dominus grato animo interpretabitur, sed longe eos abjiciet, tanquam impia mente oblatos. Nam ut Deus Caïno, qui maligna mente sacrificium fecerat „Ad te reditus ejus, tuque ei imperabis,“ dixit, pro eo, ad te redeat quod obtulisti, tuque eo utaris, quum a me nullo modo acceptum sit; ita hic quoque dicit: „Panes eorum animabus eorum“ pro his: quaecunque offerunt, ipsis maneant, quum a Deo non accipiantur. Panes vero appellat oblationes propheta, ex parte omnes eas indicans, quum etiam panes offerre in more esset. Eodem modo in prioribus quoque dixerat:

[1]) Gen. IV., 7. — [2]) In cod. ἔσο.

φορὰς, ἐπειδὴ καὶ ἄρτους προσφέρειν εἰώθεσαν, ὡς καὶ ἀνωτέρω [1]) φησίν· ἠγάπησαν πέμματα μετὰ σταφίδων. —

ε'. Τί ποιήσετε ἐν ἡμέρᾳ πανηγύρεως, καὶ ἐν ἡμέρᾳ ἑορτῆς τοῦ κυρίου; Τοιοῦτοι δὴ περὶ θεὸν γεγονότες, τίνα φυγὴν εὑρήσετε τῶν κακῶν κατὰ τὴν ἡμέραν ἐκείνην, ἐν ἥπερ ἂν [2]) ἡ πανήγυρίς τε καὶ ἑορτή τις ἐπιτελεῖται τῷ θεῷ, ἐπὶ τῇ ἀναιρέσει τῇ ὑμετέρᾳ, ὡσὰν ἐχθρῶν αὐτοῦ καὶ πολεμίων κατασφαττομένων δικαίως;

ς'. Διὰ τοῦτο ἰδοὺ πορεύσονται ἐκ ταλαιπωρίας Αἰγύπτου καὶ ἐκδέξεται αὐτοὺς Μέμφις, καὶ θάψει αὐτοὺς Μαχμάς. τὸ ἀργύριον αὐτῶν, ὄλεθρος κληρονομήσει αὐτὸ, ἄκανθαι ἐν τοῖς σκηνώμασιν αὐτῶν." Ὑμεῖς μὲν γὰρ μετὰ πολλὴν ταλαιπωρίαν, ἣν ὑπομενεῖτε, εἰς τὴν Αἴγυπτον ὡς ἐπί τινα καταφεύγοντες σωτηρίαν, ἐκσπασθήσεσθε ὑπὸ τῶν Ἀσσυρίων εἰς τὴν παρ' ἐκείνοις ἀπαγόμενοι αἰχμαλωσίαν· διελεύσεσθε δὲ τὰς τῆς Αἰγύπτου πόλεις ποικίλων ὑμᾶς διαδεχομένων κινδύνων. Τοῦτο γὰρ λέγει Μέμφις καὶ Μαχμὰς, ἵνα εἴπῃ, διελεύσεσθε τῆς Αἰγύπτου τὰς πόλεις, συν-

„Adamarunt placentas cum uvis."

V. 5. „*Quid facietis die conventus, et die solemnitatis Domini?*" Tali erga Deum imbuti opinione, quomodo poenam effugietis ista die irruentem, qua Deo conventus et festum celebrabitur propter interitum vestrum, quum tanquam hostes adversariique Dei mactabimini?

V. 6. „*Idcirco ecce prodibunt e miseria Aegypti, et excipiet eos Memphis, et Machmas eos sepeliet, argentum eorum pernicies occupabit, spinae in eorum tabernaculis succrescent.*" Post diuturnam quam toleraveritis miseriam, ad Aegyptum confugientes, salutemque ab eo sperantes, ab Assyriis in captivitatem abducemini. Aegypti vero urbes variis impliciti periculis oberrabitis. Hoc enim dicit Memphin et Machman, quo indicet, eos Aegypti urbibus oberratis, et ab Assyriis vexatos interemtosque, praeterea etiam omnes suas possessiones, amissuros fore,

[1]) Hos. III., 1. — [2]) f. l. ἥπερ οὖν.

τριβόμενοί τε καὶ ἀπολλύμενοι ὑπὸ τῶν Ἀσσυρίων· ἀπολεῖτε δὲ καὶ τὰ προσόντα ὑμῖν ἅπαντα, τάς τε πόλεις ὑμῶν καὶ τὰς χώρας τοσαύτη καταλήψεται ἐρημία, ὥστε ἀκάνθας αὐτόθι φύεσθαι, μηδενὸς οἰκοῦντος.

ζ. Ἥκουσιν αἱ ἡμέραι τῆς ἐκδικήσεώς σου, ἥκουσιν αἱ ἡμέραι τῆς ἀνταποδόσεώς σου. ὑπομενεῖς δὲ ταῦτα τότε ἐγγίζοντος τοῦ καιροῦ, καθ' ὃν ἐκδικηθῆναί σε χρὴ τὴν ἀσέβειαν, καὶ ἀποδοθῆναί σοι πρέποντα, ὧν διαπραττόμενος ἠσέβεις. — Καὶ καθίσεται Ἰσραὴλ ὥσπερ ὁ προφήτης ὁ παρεξεστηκὼς, ἄνθρωπος ὁ πνευματοφόρος. Ἐν τούτοις δὴ γενήσῃ τοῖς κακοῖς, ὥστε μηδὲν ἀπεοικέναι ψευδοπροφήτου εἰς ἔκστασιν πολλὴν ἐκ τῆς τοῦ πονηροῦ πνεύματος ἐνεργείας καταστάντος, καὶ οὐδὲ τῶν παρόντων αἴσθησιν ἔχοντος, οὕτως ἔξω τῶν σαυτοῦ φρενῶν ἐκ τοῦ μεγέθους γενήσῃ τῶν κακῶν. Τίνος ἕνεκεν; — ἀπὸ τοῦ πλήθους τῶν ἀδικιῶν σου ἐπληθύνθη μανία. ἐπειδὴ πολλῇ μὲν ἀδικίᾳ συνέζης, πολλῇ δὲ τῇ περὶ τὰ εἴδωλα μανίᾳ σαυτὸν ἐκδέδωκας παντελῶς.

η. Σκοπὸς Ἐφραῖμ μετὰ θεοῦ, προφήτης παγὶς σκολιὰ ἐπὶ πάσας τὰς ὁδοὺς

et urbes agrosque ita devastatos fore, ut nemine eos inhabitante, spinae ibi succrescant.

V. 7. „*Veniunt dies ultionis tuae, veniunt dies vindictae tuae.*" Patieris haec appropinquante tempore, quo impietatem tuam puniri oportet, tibique gratiam referri iis congruam quae commisisti flagitiis. — „*Et sedebit Israel sicut propheta delirans vel homo a spiritu agitatus.*" In tantas incides calamitates, ut nihil differas a propheta qui mali spiritus vi admodum incensus est, neque quae fiunt animadvertit; ita tu quoque miseriarum magnitudine mente tua privatus eris. Et cur? „*Propter flagitiorum tuorum multitudinem insania multiplicata est.*" i. e. quoniam impietate multa usus es, et multae in idolis colendis conspicuae insaniae totum te dedisti.

V. 8. „*Speculator Ephraimi cum Deo, et propheta tanquam laqueus fallax su-*

αὐτοῦ. Ἔχρην μὲν γάρ σε σκοπὸν εἶναι τοῦ καλοῦ ἑτέροις, καὶ μετὰ Θεοῦ διδάσκειν τοὺς λοιποὺς τὸ δέον, ἅτε παρ' αὐτοῦ μεμαθηκότα τοῦτο· γέγονας δὲ τὸ ἐναντίον, ὁδὸς ἅπασι τοῦ χείρονος, ὥστε μηδὲν ἀπεοικέναι χαλεπῆς παγίδος κινδύνῳ περιβαλλούσης τοὺς ἐμπίπτοντας· οὕτως ἅπασιν νόμος ἐγίνου τῆς ἀσεβείας. — Μανίαν ἐν οἴκῳ Θεοῦ αὐτοῦ κατέπηξεν. εἰδωλολατρίαν [1]) γὰρ πᾶσαν τὴν γῆν τῆς ἐπαγγελίας καλεῖ ὡς οἰκουμένην ὑπὸ Θεοῦ.

θ'. Ἐφθάρησαν κατὰ τὰς ἡμέρας τοῦ βουνοῦ. Καὶ μετέστητε πάντες ἐκ τοῦ κρείττονος ἐπὶ τὸ χεῖρον διαφθορὰν ἐννοιῶν ὑπομεμενηκότες, οὐδὲν ἀπεοικυῖαν τῶν ποτὲ κατὰ τὴν ἔρημον ἀσεβησάντων, οἳ μόσχον ποιήσαντες ἔλεγον [2]), „Οὗτοι οἱ θεοί σου Ἰσραὴλ, οἳ ἐξήγαγόν σε ἐκ γῆς Αἰγύπτου. Ἡμέρας γὰρ τοῦ βουνοῦ τὸν καιρὸν ἐκεῖνον καλεῖ, ἀκολούθως οὖν ἐκείνοις διεφάνητε [3]), ἀντὶ τοῦ, τὴν αὐτὴν ἐκείνοις ἐδέξασθε νόσον. — μνησθήσεται τῶν ἀδικιῶν αὐτῶν, ἐκδικήσει ἁμαρτίας αὐτῶν. ἀκολούθως τοίνυν μνήμην τῶν ἀσεβειῶν ὑμῶν ποιησάμενος, λήψεται δίκας παρ' ὑμῶν

per omnes vias ejus." Speculatorem esse te caeteris gentibus oportuit, eosque instituere, quid sit justum, quum tu a Deo hoc edoctus esses; contra vero omnibus ansa fuisti malefaciendi, ut inde laqueo sis simillimus malo, qui periculis implicit omnes in eum incidentes; ita omnibus tu lex quasi impietatis eras. — „*In domo Dei sui insaniam fixit.*" Idolorum enim cultui deditam totam terram promissionis dicit, quasi a Deo habitatam.

V. 9. „*Correpti sunt sicut diebus collis.*" Corruptis vestris cogitationibus a bono ad malum omnes transiistis, similesque estis iis, qui in deserto quondam neglecto Deo vitulum sibi finxerunt dicentes: „Hi sunt Dii tui o Israel, qui ex Aegyptiorum terra te eduxerunt." Dies enim collis illud propheta tempus appellat; pari modo quam isti corrupti estis, inquit pro: eodem morbo laboratis quam illi. — „*Recordabitur iniquitatis eorum, puniet eorum peccata.*" Justam impietatum vestrarum memoriam revocans poenas de vobis re-

[1]) f. l. εἰδωλολατρείαν. — [2]) Exod. XXXII., 4. — [3]) f. l. διεφθάρητε.

ἀναλόγους οἷς ἡμαρτήκατε εἰς αὐτόν.

ι'. Ὡς σταφύλην ἐν ἐρήμῳ εὗρον τὸν Ἰσραὴλ καὶ ὡς σκοπὸν ἐν συκῇ πρώϊμον εἶδον πατέρας αὐτῶν. Ἐγὼ μὲν οὖν τοσαύτην ἐπεδειξάμην περὶ τοὺς πατέρας αὐτῶν διάθεσιν, μεθ' ὅσης ἂν ἢ ἐν ἐρήμῳ σταφύλην ἴδοι τις παρὰ πᾶσαν εὑρὼν ἐλπίδα, ἢ σῦκον ἐπὶ τοῦ δένδρου πρὸ τοῦ εἰωθότος φανὲν καιροῦ. — Αὐτοὶ δὲ εἰσῆλθον πρὸς τὸν Βεελφεγὼρ, καὶ ἀπηλλοτριώθησαν εἰς αἰσχύνην, καὶ ἐγένοντο ὡς οἱ ἐβδελυγμένοι. Οἱ δὲ πρὸς τὴν τοῦ εἰδώλου προσκύνησιν νεύσαντες, τὴν ἀλλοτρίωσιν εἵλοντο τὴν ἀπ' ἐμοῦ, οὐθὲν ἑτέρων [1]) ἢ αἰσχύνης ἑαυτοὺς πάσης δεικνύντες ἀξίους, ὅτι ἀπὸ θεοῦ τοῦ τοσούτων αὐτοῖς ἀγαθῶν αἰτίου γεγονότος ἐπὶ εἴδωλον μετέστησαν, οὗ μηδὲν εἰλήφεσαν ἀγαθὸν, ὅθεν δὴ καὶ βδελυκτοὶ γεγόνασι ὑπὸ τοῖς ἐχθροῖς πεπτωκότες τοῖς οἰκείοις. — Ταῦτα περὶ ἐκείνων εἰπὼν ἐπάγει·

petet, congruas cum flagitiis vestris, quae in eum commisistis.

V. 10. „*Ut uvam in deserto inveni Israelem, et ut custodem ficus praecocem eorum patres vidi.*" Eundem equidem erga patres eorum ostendi sensum, quo aliquis uvam praeter spem in deserto inventam adspiceret sive ficum in arbore ante consuetum tempus repertam. — „*Illi vero ingressi sunt ad Beelphegorem, et abalienati sunt in turpitudinem, et facti sunt ut abominabiles.*" Illi vero ad idolorum cultum conversi a me se abalienarunt, eoque omni contumelia dignos se praebuerunt, quippe qui a Deo, tot bonorum iis auctore, ad idolum defecerint, a quo tantum abest ut boni aliquid acciperent, ut abominabiles sane evaderent in hostium potestatem redacti. Et haec quidem de illis; deinde addit propheta:

ια'. Ἐφραῒμ ὡς ὄρνεον ἐξεπτάσθη. βουλόμενος ἐκεῖνο στῆσαι τὸ ἐφθάρησαν κατὰ τὰς ἡμέρας τοῦ βουνοῦ. ἀκολούθως

V. 11. *Ephraim sicut avis avolavit*, quibus stabilire vult quod antea dixerat: „corrupti sunt diebus collis." Dicit

[1]) Leg. ἕτερον.

γὰρ δή φησι, καὶ οὗτοι τοῖς πατράσι τοῖς ἑαυτῶν μετὰ τοσαύτην κηδεμονίαν, ἧς ἔτυχον παρ᾽ ἐμοῦ, ὀρνέου δίκην ἀπέστησαν τῆς γνώμης τῆς ἐμῆς. — *Αἱ δόξαι αὐτῶν ἐκ τοκετῶν καὶ ὠδίνων καὶ συλλήψεων.* Εἶτα τοιαῦτα ἀσεβοῦντες μακαρίστους ἑαυτοὺς νομίζουσιν εἶναι ἐπὶ τῇ πολυπληθίᾳ· τοῦτο γὰρ λέγει τὸ, ἐκ τοκετῶν καὶ ὠδίνων καὶ συλλήψεων, ἐπειδὴ ἐκ συλλήψεως καὶ ὠδίνου καὶ τοκετῶν πρόεισι τὸ τικτόμενον.

ιβ΄. *Διότι καὶ ἐὰν ἐκθρέψωσι τὰ τέκνα αὐτῶν, ἀτεκνωθήσονται ἐξ ἀνθρώπων.* οὐ συλλογιζόμενοι, ὅτι κἂν εἰς ἄκραν ἀφίκωνται τικτόμενα τελείωσιν, οὐδὲν αὐτοῖς ἐκ τούτου γενήσεται πλέον· περιαχθήσονται γὰρ ταῖς τοῦ πολέμου σφαγαῖς εἰς ἀτεκνίαν. — *Διότι καὶ οὐαὶ αὐτοῖς, διότι ἀφῆκα αὐτούς.* ἐμοῦ γὰρ τῆς κηδεμονίας αὐτοὺς χωρίσαντος τῆς ἐμῆς, ὄλεθρος αὐτοὺς μένει καὶ ἀπώλεια. — *Σάρξ μου ἐξ αὐτῶν.* Καίτοιγε τοσαύτη μοί τις ἦν ἡ σχέσις περὶ αὐτοὺς τὸ πρότερον, ὥστε νομίζειν ἐξ αὐτῶν εἶναί με, τοιαύτην τε περὶ αὐτοὺς ἔχειν τὴν γνώμην, οἵαν εἰκὸς ἔχειν τοὺς ἔκ τινων ὑπειληφότας εἶναι.

ιγ΄. *Ἐφραΐμ, ὃν τρόπον*

enim: vel his patres suos secuti, post tantam a me nactam curam, avis instar a recta circa me sententia defecerunt. — *Gloria eorum in partubus, et puerperiis et conceptibus.* Propter id ipsum, quod tam nefaria committunt, felicissimos se putant ad ingentem numerum adaucti; Quod innuit verbis „in partubus et puerperiis et conceptibus," quum e conceptu et puerperiis et partubus infans in lucem prodeat.

V. 12. *Propterea etiamsi enutriverint liberos suos, iis tamen privabuntur inter homines.* Non memores sunt, etiamsi liberos ad perfectam perducant aetatem, nihil tamen inde sibi fore commodi, namque belli caedibus in orbitatem praecipitabuntur. — *Ideo vae illis, quum eos reliquerim.* Detracta iis cura mea interitus et pernicies eos capiet. — *Caro mea ex iis.* Atqui tanta antea eorum caritate captus eram, ut ex iis me esse crederem, et talem de iis tuitus eram opinionem, qualem de consanguineis suis aliquis tuetur.

V. 13. *Ephraim, ut vidi,*

εἶδον, εἰς θήραν παρέστη τὰ τέκνα αὐτοῦ, καὶ Ἐφραΐμ, τοῦ ἐξαγαγεῖν εἰς ἀποκέντησιν τὰ τέκνα αὐτοῦ. ἀλλὰ τοιαύτην ἔχοντός μου περὶ αὐτοὺς πρότερον τὴν σχέσιν, ἐπειδὴ πρὸς τὸ χεῖρον ἐτράπησαν παντελῶς, τἀναντία αὐτοῖς τῶν πρόσθεν συμβήσεται, καὶ ὥσπερ θήρα ταῖς τῶν πολεμίων χερσὶ παραδοθήσονται, ὑφ' ὧν κεντούμενοί τε ἀναιρεθήσονται καὶ τιτρωσκόμενοι πάντες.

in praedam filios suos praebuit, et Ephraim filios suos enecandos abducere (cogetur.) Licet tali erga eos antea usus sim animo, quum totos se improbitati dederent, contrarium iis continget, et quasi praeda tradentur hostibus, a quibus omnes enecati et trucidati interimentur.

ιδ΄. Δὸς αὐτοῖς κύριε! Τί δώσεις αὐτοῖς; Δὸς αὐτοῖς μήτραν ἀτεκνοῦσαν καὶ μαστοὺς ξηρούς. Δικαίαν δὲ καὶ ἁρμόττουσαν ταύτην ὑπομένουσι τιμωρίαν, τὸ ἀτεκνίᾳ τε αὐτοὺς περιβληθῆναι καὶ τὰ τικτόμενα ἐκτρέφειν μὴ δύνασθαι, ὡς ἂν τοιούτους ὄντας παντελὴς ἀπώλεια λάβοι. Εἶθ' ὡσὰν τὰ παρὰ τοῦ θεοῦ αὐτοῖς ἐπαχθησόμενα δικαίως εἰπὼν, ἐπάγει λοιπὸν τὰ ἑξῆς.

V. 14. *Da iis domine! Quidnam iis dabis? Da iis vulvam sterilem et ubera arida!* Justam et congruam perferent mulctam eam, ut steriles fiant, vel partos liberos enutrire nequeant, et ea ratione pernicie omnino deleantur. — Et deinde ut haec jure iis a Deo infligenda fore, ostendat, sequentia addit propheta.

ιε΄. Πᾶσαι αἱ κακίαι αὐτῶν ἐν Γαλγάλοις, ὅτι ἐκεῖ αὐτοὺς ἐμίσησα διὰ τὰς κακίας τῶν ἐπιτηδευμάτων αὐτῶν. Αὐτόθι πᾶν εἶδος ἀσεβείας μετῄεσαν, ὑπὲρ ὧν δὴ καὶ ἐμίσουν τοιαῦτα πράττοντας δικαίως. — ἐκ τοῦ οἴκου μου ἐκβαλῶ αὐτούς. τῆς γῆς, φησὶ, τῆς ἐπαγγελίας αὐτοὺς ἐκβαλῶ, οἶκον ἑαυτοῦ καλῶν τὴν

V. 15. *Omnes eorum malitiae in Galgalis; ibi enim eos odi ob malitiam negotiorum eorum.* Ibi omne scelerum genus commiserunt qua de causa justum in ita moratos odium cepi. *E domo mea eos ejiciam.* E terra inquit, promissionis eos ejiciam; domum enim suam totam eorum (terram) dicit, quam

πᾶσαν [1]), ὡς ἐν αὐτῇ διάγειν ἑλόμενος. — οὐκέτι μὴ προσθῶ τοῦ ἀγαπῆσαι αὐτούς· πάντες οἱ ἄρχοντες αὐτῶν ἀπειθοῦντες. Μένω δὴ βέβαιον ἔχων περὶ αὐτοὺς τὸ μῖσος, ἐπειδὴ πάντες μὲν νενείκασιν εἰς ἀπείθειαν, ἡγοῦνται δὲ μάλιστα τῶν κακῶν οἱ ἄρχειν ἐν αὐτοῖς δοκοῦντες. —

quasi habitationem suam sibi elegerat Deus. — *Non amplius eos diligam: omnes eorum principes sunt rebelles.* Tenax sane ero hujus in eos odii, quum omnes quidem in rebellionem contra me desciverint, principes eorum vero in nequitia praeeant.

ιϛ΄. Ἐπόνησεν Ἐφραῒμ· τὰς ῥίζας αὐτοῦ ἐξηράνθη, καρπὸν οὐκέτι οὐ μὴ ἐνέγκῃ. Ἐκ μεταφορᾶς τῶν δένδρων εἶπεν, ὅτι ἄρδην ἀπολοῦνται καθ᾽ ὁμοιότητα ἐκείνων, ἃ τῆς ῥίζης διαφθαρείσης ξηραίνεται παντελῶς, καρπὸν οὐκέτι φέρειν οἷά τε ὄντα. — Διότι ἐὰν καὶ τεκνώσωσιν, ἀποκτενῶ τὰ ἐπιθυμήματα τῆς κοιλίας αὐτῶν. ἀφανιῶ γὰρ δὴ καὶ τοὺς ἐξ αὐτῶν ἅπαντάς, φησι. —

V. 16. *Ephraim aegrotavit; radicitus arefactus est, neque fructum unquam feret.* Imagine ab arboribus desumta, illos penitus interemtos fore arboribus similes, qui arefacta radice fructum ferre nequeunt. *Namque etiamsi liberos peperint interficiam delectamenta uteri eorum;* cunctos inquit ab iis natos plane delebo.

ιζ΄. Ἀπώσεται αὐτοὺς ὁ θεός, ὅτι οὐκ εἰσήκουσαν αὐτοῦ, καὶ ἔσονται πλανῆται ἐν τοῖς ἔθνεσιν. Ἀλλοτρίους γὰρ πάντας αὐτοὺς τῆς οἰκείας ἐργάσεται κηδεμονίας, οὐ βουληθέντας ἀκοῦσαί τε αὐτοῦ καὶ πρὸς μεταμέλειαν ἰδεῖν, ὑπὲρ ὧν δὴ ληφθέντες αἰχμάλωτοι παρὰ τοῖς ἀλλοτρίοις ἔσονται, τῇδε κἀκεῖσε περιάγειν τε καὶ πλανᾶσθαι ὑπὸ τῆς ἄγαν ἐνδείας ἠναγκασμένοι. —

V. 17. *Repudiabit eos Deus, quoniam ei obedire noluerunt, et vagi errabunt inter gentes.* Abalienabit eos a providentia sua, quum eum audire et ad poenitentiam se convertere noluerint; qua de causa in captivitatem detrusi penes peregrinos erunt, huc illuc vagabundi circumerrare nimia miseria sua et inopia coacti.

[1]) Fortasse addendum γῆν.

Κεφαλαῖον Ι'.

α'. Ἄμπελος εὐκληματοῦσα Ἰσραήλ. Διήλλαττεν οὐδὲν ὁ Ἰσραὴλ τῷ πλήθει κλήμασι πλείστοις τε καὶ μεγίστοις κομώσης ἀμπέλου. — Ὁ καρπὸς εὐθηνῶν αὐτοῖς. Καὶ ἐπεδίδοσαν καθ' ἑκάστην ἡμέραν εἰς πλῆθος, πολλῶν ὄντων τῶν τικτομένων ἐξ αὐτῶν, διὰ τὴν προσήκουσαν αὐτοῖς εὐπραγίαν. —Κατὰ τὸ πλῆθος τῶν καρπῶν αὐτοῦ ἐπλήθυνε τὰ θυσιαστήρια. Οἱ δὲ τὴν πολυπληθίαν, ἣν ἤπερ διὰ τῆς εὐλογίας καθίσταντο τοῦ θεοῦ, ἠμείβοντο ἀσεβείας ἐπιτάσει πολλῇ· ἀνάλογον γὰρ τοῦ ἀριθμοῦ τοῦ οἰκείου ἐπὶ τιμῇ τῶν εἰδώλων ἀνίστων θυσιαστήρια. — Κατὰ τὰ ἀγαθὰ τῆς γῆς αὐτοῦ ᾠκοδόμησε στήλας. Καὶ πολλῶν ἀπολαύοντες τῶν ἐκ τῆς γῆς ἀγαθῶν, στήλας ἀντ' ἐκείνων ἐπὶ θεραπείᾳ τῶν εἰδώλων ἀνίστων. —

β'. Ἐμέρισαν καρδίας αὐτῶν. Καὶ τοσαύτη τις ἦν αὐτῶν ἡ περὶ τὰ εἴδωλα μανία, ὥστε διαιρεῖσθαι τὴν διάνοιαν αὐτοῖς ἐν τῇ περὶ τὰ εἴδωλα σπουδῇ, τῶν μὲν ταῦτα, τῶν δε ἐκεῖνα θεραπεύειν ἐσπουδακότων. — Νῦν ἀφανισθήσονται. ὑπομενοῦσι δὲ δικαίαν ὑπὲρ τούτων τὴν ἀπώλειαν. — Αὐτὸς κα-

Caput X.

V. 1. *Israel est vitis ramis pulchris gaudens.* Israel multitudine sua par est viti ramis plurimis maximisque ornatae. — *Fructus iis copiosus est.* In dies eorum numerus crescit, multis ab iis liberis procreatis inter rerum suarum copias. — *Pro multitudine fructuum suorum aras multiplicavit.* Divinam autem gratiam, qua ita aucti sunt, impietatis suae incrementis compensarunt; nam quo plures numero facti sunt eo plures in idolorum honorem aras exstruxerunt. — *Pro bonis terrae suae exstruxit columnas.* Multis terrae suae bonis licet fruerentur, pro iis columnas exstruxerunt idolorum cultui destinatas.

V. 2. *Diviserunt cor suum.* Tantaque eos circa idola cepit insania, ut scissione inter ipsos facta alteri haec alteri illa colere vellent. — *Nunc evanescent!* Merito igitur ob haec interitum patientur. — *Ipse eorum aras destruet.* Deus ab iis neglectus, quae in idolorum cul-

τασκάψει τὰ θυσιαστήρια αὐτῶν. Ὁ γὰρ ἀμελούμενος παρ' αὐτῶν θεὸς, αὐτὸς ἀνατροπὴν ἐργάσεται πάντων τούτων, ἃ μετὰ ἀσεβείας ἐπὶ τῇ τῶν εἰδώλων ἀνίστων θεραπείᾳ. — Ταλαιπωρήσουσι αἱ στῆλαι αὐτῶν. ἀσθενήσουσι δὲ κἀκεῖναι καθαιρεθεῖσαι. —

γ'. Διότι νῦν ἐροῦσιν, οὐκ ἔστι βασιλεὺς ἡμῖν, ὅτι οὐκ ἐφοβήθημεν τὸν θεόν. Ὁ δὲ βασιλεὺς τί ποιήσει ἡμῖν; δ'. λαλῶν ῥήματα προφάσεις ψευδεῖς, διαθήσεται διαθήκην. Νῦν γὰρ αἰσθήσονται τῆς ἑαυτῶν ἀβουλίας, μεθ' ἧς εἵλοντο βασιλέα παρὰ τὸ δοκοῦν τῷ θεῷ· καὶ ὅτι ὑπὲρ ὧν οὐ φοβηθέντες τὸν θεὸν βασιλείαν ἀνέδειξαν κενήν τινα καὶ παράνομον ἀπεναντίας τῇ τοῦ Δαυὶδ διαδοχῇ κατ' ἐπαγγελίαν βασιλευούσῃ θείαν, ἀφῄρηται μὲν αὐτῶν ἡ βασιλεία, αἰχμαλωσίᾳ δὲ παραδέδονται πάντες· κέρδος δὲ αὐτοῖς ἐκ τοῦ βασιλέως γέγονεν οὐδέν. τοὐναντίον μὲν οὖν ἀπατηλοῖς χρησάμενος ῥήμασι διαθήκην μοχθηράν τινα μετ' αὐτῶν ἐποιήσατο, ὥστε ἀποστῆναι μὲν τοῦ θεοῦ, προσκυνεῖν δὲ ταῖς ὑπ' αὐτοῦ κατασκευασθεῖσι δαμάλεσι. — Ἀνατελεῖ ὡς ἄγρωστις κρῖμα ἐπὶ χέρσον ἀγροῦ. Κρινεῖ γὰρ ὁ θεὸς τὴν παράνομον αὐτῶν τόλμαν, τοιαύ-

tum exstruxerunt omnia ipse pernicie delebit. — *Columnae eorum affligentur*, et eae confringentur et delebuntur. —

V. 3. *Ideo nunc dicent: non est nobis rex, quoniam Deum non timuimus. At rex quid nobis faciet?* V. 4. *Verba loquens falsasque rationes, foedus iciet.* Nunc ipsi intelligent quam temere praeter Dei voluntatem regem sibi creaverint; et cognoscent, propterea quod Deum non reveriti inane et impium posthabita Davidis prole a Deo sancita sibi constituerint regnum, et imperium iis demtum ipsosque omnes captivitati traditos esse. Et rex iste nil commodi iis attulit, contra vero fallacibus verbis usus et doloso cum iis foedere icto effecit, ut a Deo deficientes vitulos ab isto factos adorarent. — *Orietur judicium tanquam cicuta in agro sicco.* Deus enim impios eorum conatus puniet talem iis infligendo mulctam, ut judicium quod in eos exercebit gravissimum et terribile qua-

τὴν ἐπαγαγὼν αὐτοῖς ἀντὶ τούτου τὴν τιμωρίαν, ὡς ἀνθῆσαί τε καὶ μεγίστην τινὰ καὶ φοβερὰν φανεῖναι τὴν κατ' αὐτῶν κρίσιν τοῦ θεοῦ, οὐχ ἧττον ἢ ἄγρωστις ἀθρόον φυεῖσα πολλὴν ἐν χέρσῳ ποιήσαιτο τὴν ἐπίδοσιν τὴν οἰκείαν.

έ. Τῷ μόσχῳ τοῦ οἴκου Ὢν παροικήσουσιν οἱ κατοικοῦντες Σαμαρείαν. Προσεδρεύσουσι μὲν γὰρ ἅπαντες ταῖς θεραπευομέναις ὑπ' αὐτῶν δαμάλεσι τῶν κακῶν ἐπιλεληθότων ἐλπίδι τοῦ τινὸς τυχεῖν βοηθείας ἐκεῖθεν. — Ὅτι ἐπένθησεν ὁ λαὸς αὐτοῦ ἐπ' αὐτόν. Ὄνησιν δὲ ἐντεῦθεν δέξεται οὐδεμίαν· τοὐναντίον μὲν οὖν καὶ αὐτὰς πενθήσουσι τὰς δαμάλεις, τὴν καθαίρεσιν ὁρῶντες φοβεράν τινα ταῖς τῶν πολεμίων γινομένην χερσί. — Καὶ καθὼς παρεπίκραναν αὐτὸν, ἐπιχαροῦνται ἐπὶ τὴν δόξαν αὐτοῦ. πολλῇ μὲν γὰρ οἱ πολέμιοι χρήσονται κατὰ τῶν εἰδώλων τῇ ἀτιμίᾳ· πολλῆς δέ τινος πλησθήσονται τῆς ἡδονῆς ὁρῶντες αὐτῶν ἀφῃρημένην τὴν δόξαν, ἣν τὸ πρότερον εἶχον ψευδῶς παρὰ τοῖς ἐσπουδακόσιν αὐτὰ θεραπεύειν· ὡς ὁ μακάριος λέγει Δαϋὶδ [1]. „Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθροί μου“ ἀντὶ τοῦ, μὴ ἥσθοιεν τὰ δοκοῦντα αὐτοῖς ἐκβάντα θεασά-

si florere videatur, velut ac si cicuta copiose in agro sicco enata incrementum capiat.

V. 5. *Penes vitulum domus On incolae Samariae habitabunt.* Assidebunt, inquit, omnes vitulis cultis, malorum obliti, et ab illis opem aliquam nacturos se esse sperantes. — *Luxit populus ejus de eo.* Nullum autem inde capiet commodum; lugebunt potius de vitulis suis, eos ab hostium manibus confringi videntes. — *Et sicut irritaverunt eum, gaudebunt de ejus gloria.* Hostes enim idola multa notabunt infamia; et admodum laetabuntur ea privata videntes sua, quam injuria habuerunt, gloria penes eos qui cultum eorum sectati sunt. Ut beatus David dicit: „Ne gaudeant de me hostes mei“ pro eo: ne gaudeant, quod consilia sua in me exsecuti sunt; ita hic dicit: „Gaudebunt de ejus gloria“ pro eo: gaudebunt, quod ista gloria sua privata vident. — *Nam translata est ab eo.* Vi-

[1]) Ps. XXXIV., 19.

μενοι εἰς ἐμέ. οὕτως ἐνταῦθα λέγει τὸ, ἐπιχαροῦνται ἐπὶ τὴν δόξαν αὐτοῦ, ἀντὶ τοῦ, ἡσθήσονται ὁρῶντες αὐτὰ τῆς δόξης ἀφηρημένα τῆς οἰκείας. —Ὅτι μετῳκίσθη ἀπ' αὐτοῦ. πᾶσαν γὰρ αὐτῶν ἀφηρημένην ὁρῶσι τὴν δόξαν, ἣν πρόσθεν εἶχον οὐ δικαίως. —

dent, inquit, omnem quam antea injuria habuerunt gloriam iis demtam esse.

ς'. Καὶ αὐτὸν εἰς Ἀσσυρίους δήσαντες ἀπήνεγκαν ξένια τῷ βασιλεῖ Ἰαρείμ. Οἱ γὰρ δὴ πρότερον αὐτὰ θεραπεύειν δοκοῦντες, ἐπικειμένους τοὺς Ἀσσυρίους ὁρῶντες, ἅτε ἐκ χρυσοῦ κατεσκευασμένας τὰς δαμάλεις, συντρίψαντές τε καὶ συνδήσαντες ὡσανεὶ χρυσὸν κοινὸν ἀποκομίζειν μέλλοντες, ἀποίσουσιν ὥσπερ τι ξένιον τῷ βασιλεῖ τῶν Αἰγυπτίων, βοήθειαν εὑρέσθαι τινὰ προσδοκῶντες ἐκεῖθεν. Τοῦτο γὰρ αὐτοῖς πολλαχοῦ φαίνεται ὀνειδίζων ὁ προφήτης, ὅτι τὴν παρὰ τῶν Αἰγυπτίων βοήθειαν ἀνέμενον ματαίως. Τί δὲ γενήσεται;—Ἐν δόματι Ἐφραῒμ δέξεται αἰσχύνην. ὑπὲρ γὰρ τῆς δόσεως καὶ τῆς τοῦ ξενίου προσκομιδῆς αἰσχυνθήσεται ὁ Ἐφραΐμ, ὡς οὐδὲν ὠφελήσας, ἀλλὰ ματὴν τῇ σπουδῇ χρησάμενος ταύτῃ. —Ἐν τῇ βουλῇ αὐτοῦ αἰσχυνθήσεται Ἰσραήλ. ἀποτεύξεται τῆς προσδοκίας, ὡς εἰκὸς, τῆς οἰκείας. —

V. 6. *Et ligato illo, atque ad Assyrios abducto, munera ferebant regi Jareim.* Qui antea vitulos coluerunt, iidem intelligentes, Assyriorum impetum instare, fractis et colligatis simulacris istorum aureis, ea ut aurum vile ad regem Aegyptiorum tanquam munus deferent, eo sibi ejus auxilium parare sperantes. Nam id saepissime propheta opprobrium facit, quod ab Aegyptiis auxilium sibi ferendum frustra exspectarent. Quid autem fiet? — *E dono Ephraim suscipiet ignominiam.* Donatio ista et munerum oblatio Ephraimo ignominiae causa erit, quippe nihil nacto, sed spe sua frustrato. — *Consilii sui Israëlem pudebit.* Israel, uti justum est exspectatione sua excidet.

ζ'. Ἀπέῤῥιψε Σαμάρεια

V. 7. *Samaria regem su-*

βασιλέα ἑαυτῆς, ὡς φρύγανον ἐπὶ προσώπου ὕδατος. Τῆς μὲν γὰρ μηχανῆς ἐκείνης καὶ τῆς ἐπιχειρήσεως ἀποίσονται κέρδος οὐδὲν, κρατηθήσονται δὲ αἰχμάλωτοι πάντες, ληφθέντος αὐτῶν καὶ τοῦ βασιλέως, ὃς δίκην φρυγάνων ἐν ὕδατι φερομένων ὑπὸ τῶν Ἀσσυρίων ληφθεὶς εἰς τὴν ἀλλοτρίαν ἀπαχθήσεται χώραν, ἀγόμενος ᾗπερ ἂν τοῖς λαβοῦσι δοκῇ.

um abjecit, ut lignum aridum in superficie aquae. Ista negotia et machinationes utilitatem nullam iis praebebunt; sed omnes in captivitatem subigentur, vel ipso rege capto, qui tanquam lignum in aqua natans ab Assyriis in peregrinam abductus terram, ab iis trahetur, quo lubebit.

η'. Καὶ ἐξαρθήσονται βωμοὶ Ὢν, ἁμαρτήματα τοῦ Ἰσραήλ. Παύσεται ἡ περὶ τὰ εἴδωλα θεραπεία δι' ὧν ἡμάρτανεν εἰς θεὸν ὁ Ἰσραήλ. — Ἄκανθαι καὶ τρίβολοι ἐπιβήσονται ἐπὶ τὰ θυσιαστήρια αὐτῶν. Ἐν τοσαύτῃ γενήσεται ἐρημίᾳ, ὡς μηδενὸς ἐπιβαίνοντος (τὸ) ἀκάνθας καὶ τριβόλους ἐν τοῖς τῶν θυσιαστηρίων εἶναι τόποις. — Καὶ ἐροῦσι τοῖς ὄρεσι, καλύψατε ἡμᾶς, καὶ τοῖς βουνοῖς πέσετε ἐφ' ἡμᾶς. Ἐπιθυμήσουσιν ὑπὸ τούτοις γεγονότες, σύντομον ὑπομεῖναι τὴν ἀπώλειαν, ἢ τῶν κατὰ μέρος ἀνέχεσθαι τιμωριῶν. —

V. 8. *Et arae On destruentur et peccata Israelis.* Desinet cultus idolorum, quorum causa peccarunt in Deum Israelitae. — *Crescent in eorum aris spinae et cardui.* Adeo omnia devastata erunt, ut nemine in aras ascendente, spinae ac cardui eorum loco crescant. — *Et dicent montibus, tegite nos, et collibus cadite in nos.* In tantis miseriis constituti repentinum pati interitum malent, quam singulas tolerare plagas.

θ'. Ἀφ' οὗ οἱ βουνοί, ἥμαρτεν Ἰσραήλ. Ἐντεῦθεν δὲ αὐτοῖς καὶ ἡ περὶ τὸ ἁμαρτάνειν γέγονε σπουδὴ, ἐκ τοῦ τὸν θεὸν ἀφέντας περὶ τοὺς βουνοὺς καὶ τὴν τῶν εἰδώλων ἔχειν θεραπείαν. — Ἐκεῖ ἔστησαν. ἀλλὰ γὰρ

V. 9. *Ex quo colles adit, peccat Israel.* Inde eorum peccandi studium principium sumsit, quod derelicto Deo, colles et idola honoribus prosecuti sunt. — *Ibi steterunt illi.* Poena vero improbitati

παύσεται αὐτῶν ἡ παρανομία διὰ τῆς τιμωρίας. — *Οὐ μὴ καταλαβῇ αὐτοὺς ἐν τῷ βουνῷ.* Ἀφελεῖ γὰρ αὐτοὺς ἡ αἰχμαλωσία τῆς περὶ τοὺς βουνοὺς σπουδῆς, ὡς μηκέτι μὲν ἐν τῇ τῶν βουνῶν εὑρίσκεσθαι θεραπείᾳ, ἠσχολῆσθαι δὲ περὶ τὰ ἐκ τῆς αἰχμαλωσίας κακά. — *Πόλεμος ἐπὶ τέκνα ἀδικίας ἦλθε.* Ταῦτα γὰρ ἔσται ὑπὲρ ὧν ἠδίκουν καὶ ἠσέβουν, ἐπενεχθέντος αὐτοῖς τοῦ πολέμου τῶν Ἀσσυρίων.

ι'. *Παιδεύσω αὐτοὺς κατὰ τὴν ἐπιθυμίαν μου.* ἐπάξω τοίνυν αὐτοῖς κακὰ παιδεύειν αὐτοὺς ἀρκούντως δυνάμενα, δι' ὧν παιδευθέντες αἰσθήσονται τῆς ἑαυτῶν κακίας. — *Καὶ συναχθήσονται ἐπ' αὐτοὺς λαοὶ ἐν τῷ παιδεύεσθαι αὐτοὺς, ἐν ταῖς δυσὶν ἀδικίαις αὐτῶν.* Πολὺ γὰρ πολεμίων πλῆθος ἐπ' αὐτοὺς ἀθροίσω, παιδεύων αὐτοὺς ὑπὲρ ὧν ἐμοῦ τε ἠμέλουν καὶ τοῖς εἰδώλοις προσεῖχον.

ια'. *Ἐφραῒμ δάμαλις δεδιδαγμένη ἀγαπᾷν νεῖκος,* δίκην δαμάλεως ἀποσκιρτώσης καὶ κατακρατεῖν τῶν δαμαζόντων ἐθελούσης, οὕτως ἀφιστάμενος τοῦ θεοῦ, καὶ οὐκ εἴκων τῷ συζύγῳ τῆς δουλείας. — *ἐγὼ δὲ ἐπελεύσομαι ἐπὶ τὸ κάλλος τοῦ τραχήλου αὐτῆς.* Πᾶσαν αὐτῆς ἀφελῶ τὴν εὐπρέπειαν, ἐφ' ᾗ μέγα ἐφρόνει. — *ἐπιβιβῶ τῷ*

eorum finem imponet. — *Ne arripiat eos in colle.* Captivitas, inquit, eorum studium erga colles delebit, ut cultui in collibus facto non amplius dediti malis ex captivitate profluentibus occupati sint. — *Bellum in filios eorum venit.* Hanc de impietate et improbitate sua luent poenam bello iis ab Assyriis illato.

V. 10. *Castigabo eos pro desiderio meo.* Mala iis infligam, quibus satis castigari poterunt; castigatique ubi fuerint, nequitiam suam intelligent. — *Et gentes contra eos congregabuntur, ut castigent eos propter duplex eorum peccatum.* Ingentem hostium multitudinem adversus eos cogam, ut eos castigem quia me aspernati idolis adhaeserunt.

V. 11. *Ephraim est vitula edocta deligere contentionem*, i. e. similis est vitulae exsultanti et domatoribus suis renitenti, defecit a Deo et servitii jugum recusavit. *Ego vero pulchritudini ejus collis superveniam.* Omne suum, quo gloriata est, decus ei auferam. — *Ascendam Ephraimo* i. e. ut vitu-

Ἐφραΐμ, ὡσανεὶ δαμάλεως ἐριστικῆς ἐπιβήσομαι κατὰ τὴν δύναμιν τὴν ἐμήν. — παρασιωπήσομαι Ἰούδαν. παραπέμψομαι τὸν Ἰούδαν ἐν κακοῖς ἐξεταζόμενον, οὐδεμίαν αὐτῷ νέμων βοήθειαν. Οἷόν ἐστι παρὰ τῷ μακαρίῳ Δαϋὶδ τὸ [1]) „Μὴ παρασιωπήσῃς ἀπ᾽ ἐμοῦ," ἀντὶ τοῦ, μὴ παραπέμψῃ τὰ κατ᾽ ἐμὲ ἐν χαλεποῖς ἐξεταζόμενον πράγμασιν. — ἐνισχύσει αὐτῷ Ἰακώβ. Ἐπιδείξομαι τὴν ἰσχὺν τὴν ἐμὴν πάντι τῷ Ἰσραήλ. Οὐ γὰρ ἄδηλον, ὅτι καὶ Ἰακὼβ καὶ Ἰσραὴλ τὸ ἔθνος ἅπαν καλεῖται τῶν Ἰουδαίων, ἐκ τοῦ προπάτορος αὐτῶν ἀμφοτέραις ὀνομαζόμενον ταῖς προσηγορίαις, ὃς λεγόμενος πρότερον Ἰακὼβ, μετὰ τὴν ὀπτασίαν Ἰσραὴλ ἐπεκλήθη· ὡς καὶ παρὰ τῷ μακαρίῳ Δαϋὶδ [2]). „Ἐξελέξατο Δαϋὶδ, τὸν δοῦλον αὐτοῦ, καὶ ἀνέλαβεν αὐτὸν ἐκ τῶν ποιμνίων τῶν προβάτων, ἐξόπισθεν τῶν λοχευομένων προσελάβετο αὐτὸν, ποιμαίνειν Ἰακὼβ τὸν δοῦλον αὐτοῦ, καὶ Ἰσραὴλ τὴν κληρονομίαν αὐτοῦ," ἀμφοτέραις ταῖς προσηγορίαις τὸ Ἰουδαϊκὸν ἔθνος εἰρηκότι σαφῶς. —

ιβ΄. Σπείρατε ἑαυτοῖς εἰς δικαιοσύνην, καὶ θερίσατε εἰς καρπὸν ζωῆς. Πράττετε τοίνυν, ἃ πάσης δικαιοσύνης ἐστὶν

lae indomitae pro mea virtute ascendam. — *Reticebo Judam.* Non respiciam Judam malis occupatum, nullum ei auxilium ferens. Similiter beatus David dicit: „Ne reticeas de me" pro eo: „ne obliviscaris mei, duris angustiis pressi." *Vires eo sumet Jacob*, universo, inquit, Israeli vim meam manifestabo. Namque clarum est, nominibus Jacobi et Israelis prophetam universam nationem Judaeorum significare, desumta ab ejus avo appellatione, qui prius quidem Jacob dictus post visionem Israel cognominatus est. Unde beatus quoque David: „Elegit, inquit, Davidem servum suum, eumque de grege ovium sumsit, et ab insidiatoribus ejus defendit ut Jacobum pasceret servum ipsius et Israelem Dei haeriditatem." In his duplici appellatione Judaicum populum procul dubio indicavit.

V. 12. *Serite vobis in justitiam, et metite in fructum vitae.* Agite nunc opera justitiae, e tali enim semine vi-

[1]) Ps. XXVII., 1. — [2]) Ps. LXXVII., 70. 71.

ἔργα· ἐκ γὰρ τοιούτων σπερμάτων ἔνεστι ζωῆς θερίσαι καρπόν. — Φωτίσατε ἑαυτοῖς φῶς γνώσεως. Ὡς ἔστι καιρὸς τῆς ἀληθείας, μετέλθετε τὴν γνῶσιν πρὸ τοῦ καιροῦ τῆς τιμωρίας, ἐν ὅσῳ δυνατὸν μεταμεληθέντας κερδάναι τῶν κακῶν τὴν πεῖραν. — Ἐκζητήσατε τὸν κύριον, ἕως ἐλθεῖν γεννήματα δικαιοσύνης. Φροντίδα πᾶσαν ποιήσασθε τῶν τῷ θεῷ δοκούντων, ὡς ἂν προσγένοιτο ὑμῖν καρπώσασθαι τὴν δικαιοσύνην. —

ιγ΄. Ἱνατὶ παρεσιωπήσατε ἀσέβειαν, καὶ τὸν καρπὸν αὐτῆς ἐτρυγήσατε, ἐφάγετε καρπὸν ψευδῆ; Παύσασθε δὴ τοῦ τοιαῦτα ποιεῖν, ὁποῖα δὴ τὸ πρότερον ἐποιεῖτε, παραπεμπόμενοί τε καὶ ἡσυχάζοντες ἐπὶ ἀσεβείᾳ γινομένῃ τοσαύτῃ, δέον ἀγανακτεῖν ἐπ' αὐτῇ, ἧς τὸν καρπὸν ἐκομίσασθε ἀπάτης καὶ βλάβης μεστόν. — Ὅτι ἤλπισας ἐν ἅρμασί σου ἐν πλήθει δυνάμεώς σου, (ιδ΄.) καὶ ἐξαναστήσεται ἀπώλεια ἐν τῷ λαῷ σου, καὶ πάντα τὰ τετειχισμένα σου ἀφανισθήσεται. Σὺ μὲν γὰρ ᾤου τὴν δύναμιν ἀρκεῖν σοι τὴν οἰκείαν εἰς τὸν κατὰ τῶν ἐναντίων πόλεμον· πρὸς τοὐναντίον δὲ πάντα ἐκβέβηκεν ἀπωλείας κατεχούσης πάν-

tae fructum metere vobis licebit. — *Accendite vobis lumen cognitionis.* Quamdiu veritatis opportunitas vobis data est, sectemini ejus cognitionem prius quam poenae tempus adsit, et quantum fieri potest correcta mente malorum experientiam lucrari studeatis. — *Quaerite dominum donec vobis contingant fructus justitiae.* Omne studium in eo ponite, ut faciatis quae Deo placent, ut inde justitiam quasi fructum acquiratis.

V. 13. *Cur reticuistis impietatem, ejusque fructum vindemiastis, et fructum edistis mendacem?* Desinite talia agere, qualia antea egistis, quum me relicto de ingenti quam ostendistis impietate, plane quieti essetis, quamquam vos vehementer de ea dolere justum erat, quippe fructum ex ea nactos fraude et noxa plenum. — *Quia spem posuisti in curribus tuis* (V. 14.) *et in multitudine copiarum tuarum, orietur in populo tuo pernicies et omnes munitiones tuae delebuntur.* Etsi satis tibi esse virium ad bellum cum adversariis tuis gerendum putaveris, omnia tamen in contrarium

τα τὸν λαὸν, ὡς καὶ τὰς τετειχισμένας καθαιρεθῆναι πόλεις. — Καθὼς ἠρανίσθη ὁ ἄρχων Σαλμανᾶ ἐν τῷ οἴκῳ τοῦ Ἀβεὴλ, ἐν ἡμέραις πολέμου μητέρα ἐπὶ τέκνοις ἠδάφισαν, (ιε΄.) οὕτως ποιήσω ὑμῖν, οἶκος Ἰσραὴλ, ἀπὸ προσώπου τῆς κακίας ὑμῶν. Ὁποῖον δὴ τότε ὑπέμειναν ἀφανισμὸν ἐκεῖνοι, βαρυτάτου μὲν ἐπ᾽ αὐτοὺς ἀφανισμοῦ γεγονότος καὶ τοῦ πολέμου, ἀναιρεθέντων δὲ σὺν τοῖς τέκνοις γεννησάντων, τοιοῦτον ὑπομενεῖτε καὶ νῦν ὑμεῖς, οἱ τοῦ Ἰσραὴλ, ἀνάλογον τῆς κακίας ὑμῶν δεχόμενοι τιμωρίαν. Ἔοικε δέ τι λέγειν μετὰ πολλῆς ὠμότητος παρ᾽ αὐτῶν γεγονὸς κατὰ τὸν καιρὸν ἐκεῖνον, οὗ γνωρίμου τυγχάνοντος αὐτοῖς, ὡς εἰκὸς ἐποιήσατο μνήμην, ὅτι — οἷα δὴ πεποιήκατε τότε δι᾽ ὑπερβάλλουσαν κακίαν, τοιαῦτα πείσεσθε νῦν ὑμεῖς δικαίως. —

evenerunt; nam tanta totum populum cepit pernicies, ut vel munitae urbes everterentur. — *Sicut princeps Salmana in domo Arbeelis extinctus est, et in diebus belli matrem cum filiis solo alliserunt,* (V. 15.) *sic faciam vobis, domus Israel propter nequitiam vestram.* Qualem tunc illi interitum passi sunt, gravissima belli miseria correpti ita ut cum filiis parentes quoque trucidarentur, talem etiam nunc vos patiemini, qui ad domum Israelis pertinetis, poena enim vobis solvenda est nequitiae vestrae consentanea. Videtur autem rem singulari crudelitate ab istis tunc temporis gestam innuere, omnibusque satis cognitam; jure suo igitur mentionem ejus injicit, et qualia tunc, ait, pro nimia crudelitate peregistis, talia tunc ipsi juste perpetiemini.

Κεφάλαιον ΙΑ΄.

α΄. Ὄρθρον ἀπεῤῥίφησαν. μετὰ πολλῆς πεσοῦνται ταχύτητος. — ὡς ὄρθρος ἀπεῤῥίφη βασιλεὺς Ἰσραήλ. δίκην ὄρθρου πρὸς ὀλίγον φανέντος εἶτα παυσομένου, ὁ βασιλεὺς αὐτῶν πεσεῖται. — Διότι νήπιος Ἰσραὴλ, καὶ ἐγὼ ἠγά-

Caput XI.

V. 1. *Mane abjecti sunt.* Magna cum celeritate protrudentur in perniciem. — *Ut diluculum abjectus est rex Israelis.* Quemadmodum diluculum ad breve tantum tempus durat, et deinde evanescit, ita rex eorum interi-

πησα αὐτὸν, καὶ ἐξ Αἰγύπτου μετεκάλεσα τὰ τέκνα αὐτοῦ. β'. Καθὼς μετεκάλεσα αὐτοὺς, οὕτως ᾤχοντο ἀπὸ προσώπου μου. αὐτοὶ τοῖς Βααλὶμ ἔθυον, καὶ τοῖς γλυπτοῖς ἐθυμίων. Νήπιον καλεῖ τὸν Ἰσραὴλ ἀπὸ τοῦ κατὰ τὸν Αἴγυπτον καιροῦ, ὁπηνίκα συνεστάναι τε καὶ τῆς ἐπιμελείας ἤρξατο τυγχάνειν τῆς θείας. Ἐγὼ μὲν γάρ, φησίν, εὐθὺ καὶ κατὰ πρώτους [1]) ἄρτι συνίστασθαι ἀρξαμένων πολλὴν ἐποιησάμην τὴν πρόνοιαν, ὥστε αὐτοὺς καὶ ἐκσπᾶσαι τῆς Αἰγύπτου, οἱ δὲ ἀνάλογον τῇ περὶ αὐτοὺς ἀγάπῃ τε καὶ ἐπιμελείᾳ τὴν ἑαυτῶν ἐπεδείξαντο κακίαν, εὐθὺς ἀποστάντες ἐμοῦ καὶ τραπέντες ἐπὶ τὸ χεῖρον, καὶ δὴ καὶ τοῖς εἰδώλοις ἅπασαν τὴν ἐμοὶ προσήκουσαν νείμαντο σπουδήν.

γ'. Καὶ ἐγὼ συνεπόδισα τὸν Ἐφραΐμ. Καίτοιγε διεσπαρμένους ὑπὸ τῶν κακῶν κατὰ τὴν Αἴγυπτον, ἐγὼ διὰ τῆς ἐπιμελείας τῆς ἐμῆς εἰς ταὐτὸν συνήγαγον καὶ τῆς ἐπιμελείας αὐτὸν κατὰ τὴν δύναμιν ἠξίωσα τὴν ἐμήν. — Καὶ οὐκ ἔγνωσαν, ὅτι ἴαμαι αὐτούς. Οἱ δὲ ἐπιγνῶναί με τὸν τοσούτων αὐτοὺς ἀπαλλάξαντα κακῶν οὐκ ἐβουλήθησαν.

bit. — *Nam quum Israel parvulus esset, dilexi eum, ejusque filios ex Aegypto revocavi.* (V. 2.) *Sicut eos revocavi, ita abierunt a me; Baalibus sacrificarunt et simulacris suffiverunt.* Parvulum propheta Israelem appellat, ab Aegypti tempore, quo exoriri et divinae curae participem fieri coepit. Equidem, inquit statim ab initio, et ab incunabulis eorum multam de ipsis gessi curam, ideoque eos ex Aegypto reduxi; ipsi autem nequitiam ostenderunt caritati et curae meae aequalem, discedentes a me statim, et ad malum se vertentes; omnem enim, quem mihi debuerunt, honorem idolis tribuerunt.

V. 3. *Et ego colligavi Ephraimum.* Licet dispersos in Aegypto, nihilominus cura mea eos congregavi et potenti mea ope dignos habui. — *Neque me esse, qui eos sanaverit, cognoverunt.* Me esse eum, qui e tantis eos calamitatibus liberaverit, cognoscere noluerunt.

[1]) Nonne legendum τὸ πρῶτον?

δ'. Ἐν διαφθορᾷ ἀνθρώπων εἵλκυσα αὐτοὺς ἐν δεσμοῖς ἀγαπήσεώς μου. Οὐδ' ὅτι κατὰ τὸν νόμον ἀνθρώπων διαφθείρεσθαι μέλλοντας ἐξέσπασα πάντας αὐτοὺς ἀποῤῥήτως τῇ ἀγάπῃ συσφίγξας τῇ ἐμῇ. — Καὶ ἔσομαι ὡς ῥαπίζων ἄνθρωπον ἐπὶ τὴν σιαγόνα αὐτοῦ. Οὕτω βαρείας αὐτοῖς ἐποίσω τὰς πλήγας καὶ τὰς τιμωρίας ἀντὶ τῆς ἀφροσύνης ταύτης, ὥσπερ οὖν βαρὺ κατὰ προσώπου δέχεσθαι φερομένας πλήγας. — ἐπιβλέψομαι πρὸς αὐτὸν καὶ δυνήσομαι αὐτῷ. Τρέψω γὰρ ἐμαυτὸν ὅλον εἰς τιμωρίαν αὐτοῦ, ἵνα τούτῳ γοῦν γνοίη τὴν ἰσχὺν τὴν ἐμήν.

V. 4. *Humana pernicie, vinculis amoris mei eos ad me traxi.* Neque me ipsos ex humana lege poenae obnoxios omnes conservasse amore meo eos constringendo (agnoverunt). — *Jam vero homini similem me praebebo, qui alteri alapas ducit.* Tam graves iis insipientiae plagas et poenas infligam, quasi cujus facies verberibus percutiatur. — *Respiciam ad eum et praevalebo ei.* Totum me in eorum poenam convertam, ut inde saltem potentiam meam experiantur.

ε'. Κατῴκησεν Ἐφραῒμ Αἴγυπτον, καὶ Ἀσσοὺρ αὐτὸς βασιλεὺς αὐτοῦ. Αὐτοὶ μὲν γὰρ φυγάδες ἐπὶ τὴν Αἴγυπτον ἀπελεύσονται, οἰόμενοι τῶν Ἀσσυρίων κερδαίνειν τὴν ἔφοδον, ὀνήσουσι δὲ οὐδὲν, ἐπειδὴ κατὰ τὸ ἐμοὶ δοκοῦν ἐπικρατήσουσι πάντων αὐτῶν ἐκεῖνοι. Ταῦτα δὲ πείσονται διὰ τί; Ὅτι οὐκ ἠθέλησαν ἐπιστρέψαι. ἐπειδὴ ἀνένδοτοι μεμενήκασιν ἐν τῇ ἑαυτῶν κακίᾳ μεταβολὴν οὐδεμίαν ἐπιδείξασθαι βουληθέντες. —

V. 5. *Habitavit Ephraim in Aegypto, et Assur ipse rex ejus est.* Fugitivi ad Aegyptum sese recipient, ita se Assyriorum impetum evitaturos esse rati, nihil autem hoc eos juvabit, quum illi ex meo decreto eos plane oppressuri sint. Qua vero de causa haec patientur? *Quoniam noluerunt reverti* i. e. quoniam obstinate in malitia sua perseverarunt, nullamque mentis mutationem ostendere voluerunt.

ϛ'. Καὶ ἠσθένησεν ἐν ῥομφαίᾳ ἐν ταῖς πόλεσιν αὐτοῦ, καὶ κατέπαυσεν ἐν ταῖς

V. 6. *Interemtus est gladio in urbibus suis hostiumque manibus finem assecutus*

πησα αὐτὸν, καὶ ἐξ Αἰγύπτου μετεκάλεσα τὰ τέκνα αὐτοῦ. β΄. Καθὼς μετεκάλεσα αὐτοὺς, οὕτως ᾤχοντο ἀπὸ προσώπου μου. αὐτοὶ τοῖς Βααλὶμ ἔθυον, καὶ τοῖς γλυπτοῖς ἐθυμίων. Νήπιον καλεῖ τὸν Ἰσραὴλ ἀπὸ τοῦ κατὰ τὸν Αἴγυπτον καιροῦ, ὁπηνίκα συνεστάναι τε καὶ τῆς ἐπιμελείας ἤρξατο τυγχάνειν τῆς θείας. Ἐγὼ μὲν γὰρ, φησὶν, εὐθὺ καὶ κατὰ πρώτους [1]) ἄρτι συνίστασθαι ἀρξαμένων πολλὴν ἐποιησάμην τὴν πρόνοιαν, ὥστε αὐτοὺς καὶ ἐκσπᾶσαι τῆς Αἰγύπτου, οἱ δὲ ἀνάλογον τῇ περὶ αὐτοὺς ἀγάπῃ τε καὶ ἐπιμελείᾳ τὴν ἑαυτῶν ἐπεδείξαντο κακίαν, εὐθὺς ἀποστάντες ἐμοῦ καὶ τραπέντες ἐπὶ τὸ χεῖρον, καὶ δὴ καὶ τοῖς εἰδώλοις ἅπασαν τὴν ἐμοὶ προσήκουσαν νείμαντο σπουδήν.

γ΄. Καὶ ἐγὼ συνεπόδισα τὸν Ἐφραΐμ. Καίτοιγε διεσπαρμένους ὑπὸ τῶν κακῶν κατὰ τὴν Αἴγυπτον, ἐγὼ διὰ τῆς ἐπιμελείας τῆς ἐμῆς εἰς ταὐτὸν συνήγαγον καὶ τῆς ἐπιμελείας αὐτὸν κατὰ τὴν δύναμιν ἠξίωσα τὴν ἐμήν. — Καὶ οὐκ ἔγνωσαν, ὅτι ἴαμαι αὐτούς. Οἱ δὲ ἐπιγνῶναί με τὸν τοσούτων αὐτοὺς ἀπαλλάξαντα κακῶν οὐκ ἐβουλήθησαν.

bit. — *Nam quum Israel parvulus esset, dilexi eum, ejusque filios ex Aegypto revocavi.* (V. 2.) *Sicut eos revocavi, ita abierunt a me; Baalibus sacrificarunt et simulacris suffiverunt.* Parvulum propheta Israelem appellat, ab Aegypti tempore, quo exoriri et divinae curae participem fieri coepit. Equidem, inquit statim ab initio, et ab incunabulis eorum multam de ipsis gessi curam, ideoque eos ex Aegypto reduxi; ipsi autem nequitiam ostenderunt caritati et curae meae aequalem, discedentes a me statim, et ad malum se vertentes; omnem enim, quem mihi debuerunt, honorem idolis tribuerunt.

V. 3. *Et ego colligavi Ephraimum.* Licet dispersos in Aegypto, nihilominus cura mea eos congregavi et potenti mea ope dignos habui. — *Neque me esse, qui eos sanaverit, cognoverunt.* Me esse eum, qui e tantis eos calamitatibus liberaverit, cognoscere noluerunt.

[1]) Nonne legendum τὸ πρῶτον?

δ'. Ἐν διαφθορᾷ ἀνθρώπων εἵλκυσα αὐτοὺς ἐν δεσμοῖς ἀγαπήσεώς μου. Οὐδ' ὅτι κατὰ τὸν νόμον ἀνθρώπων διαφθείρεσθαι μέλλοντας ἐξέσπασα πάντας αὐτοὺς ἀποῤῥήτως τῇ ἀγάπῃ συσφίγξας τῇ ἐμῇ. — Καὶ ἔσομαι ὡς ῥαπίζων ἄνθρωπον ἐπὶ τὴν σιαγόνα αὐτοῦ. Οὕτω βαρείας αὐτοῖς ἐποίσω τὰς πλήγας καὶ τὰς τιμωρίας ἀντὶ τῆς ἀφροσύνης ταύτης, ὥσπεροῦν βαρὺ κατὰ προσώπου δέχεσθαι φερομένας πλήγας. — ἐπιβλέψομαι πρὸς αὐτὸν καὶ δυνήσομαι αὐτῷ. Τρέψω γὰρ ἐμαυτὸν ὅλον εἰς τιμωρίαν αὐτοῦ, ἵνα τούτῳ γοῦν γνοίη τὴν ἰσχὺν τὴν ἐμήν.

V. 4. *Humana pernicie, vinculis amoris mei eos ad me traxi.* Neque me ipsos ex humana lege poenae obnoxios omnes conservasse amore meo eos constringendo (agnoverunt). — *Jam vero homini similem me praebebo, qui alteri alapas ducit.* Tam graves iis insipientiae plagas et poenas infligam, quasi cujus facies verberibus percutiatur. — *Respiciam ad eum et praevalebo ei.* Totum me in eorum poenam convertam, ut inde saltem potentiam meam experiantur.

ε'. Κατῴκησεν Ἐφραῒμ Αἴγυπτον, καὶ Ἀσσοὺρ αὐτὸς βασιλεὺς αὐτοῦ. Αὐτοὶ μὲν γὰρ φυγάδες ἐπὶ τὴν Αἴγυπτον ἀπελεύσονται, οἰόμενοι τῶν Ἀσσυρίων κερδαίνειν τὴν ἔφοδον, ὀνήσουσι δὲ οὐδὲν, ἐπειδὴ κατὰ τὸ ἐμοὶ δοκοῦν ἐπικρατήσουσι πάντων αὐτῶν ἐκεῖνοι. Ταῦτα δὲ πείσονται διὰ τί; Ὅτι οὐκ ἠθέλησαν ἐπιστρέψαι. ἐπειδὴ ἀνενδότοι μεμενήκασιν ἐν τῇ ἑαυτῶν κακίᾳ μεταβολὴν οὐδεμίαν ἐπιδεῖξασθαι βουληθέντες. —

V. 5. *Habitavit Ephraim in Aegypto, et Assur ipse rex ejus est.* Fugitivi ad Aegyptum sese recipient, ita se Assyriorum impetum evitaturos esse rati, nihil autem hoc eos juvabit, quum illi ex meo decreto eos plane oppressuri sint. Qua vero de causa haec patientur? *Quoniam noluerunt reverti* i. e. quoniam obstinate in malitia sua perseverarunt, nullamque mentis mutationem ostendere voluerunt.

ϛ'. Καὶ ἠσθένησεν ἐν ῥομφαίᾳ ἐν ταῖς πόλεσιν αὐτοῦ, καὶ κατέπαυσεν ἐν ταῖς

V. 6. *Interemtus est gladio in urbibus suis hostiumque manibus finem assecutus*

χερσὶν αὐτοῦ. Τοιγαροῦν οὐδὲν ἰσχύσουσι μαχόμενοι πρὸς τοὺς πολεμίους, οὐδέ τινα παρέξουσι ταῖς ἑαυτῶν πόλεσι σωτηρίαν ἐπειδὴ πάντα ὅπλα καὶ πᾶσα παρασκεύη πολεμικὴ ἄτονος καὶ περιττὴ φανεῖται, ἀντιπράττοντος μὲν αὐτοῖς ἐμοῦ διὰ τὴν αὐτῶν κακίαν, ἐπάγοντος δὲ αὐτοῖς ἐπὶ τιμωρίᾳ τοὺς Ἀσσυρίους. — *Καὶ φάγονται ἐκ τῶν διαβουλίων αὐτῶν.* τῶν οἰκείων βουλευμάτων ἀπολαύσουσι, τιμωρίαν ὑπομένοντες ἀξίαν.

ζ'. Καὶ ὁ λαὸς αὐτοῦ ἐπικρεμάμενος ἐκ τῆς κατοικίας αὐτοῦ. Οὐ γὰρ μενοῦσιν ἐπὶ τῆς οἰκήσεως τῆς ἰδίας, οὐδὲ ἀσφαλὲς τὸ κατοικητήριον ἕξουσι τὸ αὐτόθι, ἐπειδὴ πάντας αὐτοὺς ὥσπερ ἐκκρεμεῖς ὄντας καὶ οὐδεμίαν ἔχοντας βάσιν ἄθροον συνάρπασας ὁ Ἀσσύριος εἰς αἰχμαλωσίαν ἀπάξει. — *Καὶ ὁ Θεὸς ἐπὶ τὰ τίμια αὐτοῦ θυμωθήσεται, καὶ οὐ μὴ ὑψώσῃ αὐτόν.* Πᾶν γὰρ ὅ, τι. ποτὲ παρ' αὐτῷ τίμιόν τε καὶ σπουδῆς ἄξιον εἶναι δοκεῖ, τοῦτο ὁ Θεὸς ἀφανιεῖ τῷ θυμῷ τῷ οἰκείῳ, ὥστε πρὸς τὴν ἐσχάτην ταπείνωσιν ἅπαντας ἀγαγεῖν.

η'. Τί σε διαθῶ, Ἐφραΐμ; ὑπερασπιῶ σου Ἰσραήλ; Ἀλλὰ γὰρ τί μοι προσῆκεν ἐπὶ τοσούτοις καὶ τηλικούτοις κακοῖς διαπράξασθαι περὶ σέ; βοηθῆσαί

est. Itaque pugnantes licet adversus hostes nihil proficient, neque urbes suas conservare ullo modo poterunt; omnis enim belli apparatus eorum infirmus et superfluus videbitur, me iis propter eorum nequitiam adversante, et Assyrios qui eos puniant, obducente. *Et consiliis suis comeduntur.* Poena quam solvent, justa, fructus erit consiliorum eorum.

V. 7. *Et populus ejus suspensus est ex habitatione sua.* Neque enim in habitatione sua manebunt, neque ibi securum habebunt receptaculum, quum omnes ab Assyriis in captivitatem rapti, quasi suspensi sint neque gradum firmare queant. — *Et Deus pretiosis ejus succensebit, eumque non exaltabit.* Quaecunque iis pretiosa et studio digna videntur, ea Deus ira sua exstinguet eosque in extremam protrudet miseriam.

V. 8. *Quid tibi faciam, Ephraim? Protegam Israël?* Quid me propter tot tantasque malitias de te facere oportet! Num forte auxili-

σοι, ὡς ἐν μεγίστοις ἐξεταζομένῳ κακοῖς; — *Τί σε διαθῶ Ἐφραΐμ; ὡς Ἄδαμα θήσομαί σε καὶ ὡς Σεβοείμ;* Ἀλλ' ἐκείνου γε οὐκ ὄντα σε ἄξιον τυχεῖν εὑρίσκω· τοὐναντίον μὲν οὖν ἐκ τῶν πεπραγμένων δικαίαν ἐπαχθησομένην σοι τιμωρίαν εὑρίσκω, εἰ τὴν καταστροφὴν ὑπομείνειας, ἥνπερ [1]) Σόδομά τε καὶ Γόμοῤῥα, καὶ Ἄδαμα, καὶ Σεβοεὶμ γενέσθαι τότε συνέβη. — *Μετεστράφη ἡ καρδία μου ἐν τούτῳ, συνεταράχθη ἡ μεταμέλειά μου. θ'. οὐ μὴ ποιήσω κατὰ τὴν ὀργὴν τοῦ θυμοῦ μου, οὐ μὴ ἐγκαταλιπῶ τοῦ ἐξαλειφθῆναι τὸν Ἐφραΐμ.* Ἀλλὰ γὰρ καὶ σφόδρα ταύτης ὑμᾶς ὄντας ἀξίους εὑρίσκω [2]) τῆς τιμωρίας μεταβέβλημαι τὴν διάνοιαν ἐφ' ὑμῖν· καὶ συντεταραγμένος πως τῇ ὄψει τῆς ὑμετέρας συμφορᾶς, πρὸς μεταμέλειαν ἕλκομαι, ὥστε με ἀποστῆναι μὲν τοῦ θυμοῦσθαι λοιπὸν, μὴ ἀνέχεσθαι δὲ καταλιπεῖν ὑμᾶς ἀφανισμῷ παντελεῖ παραδιδομένους. — *Διότι θεὸς ἐγώ εἰμι, καὶ οὐκ ἄνθρωπος ἐν σοι.* Θεὸς γάρ εἰμι ὁ πάντα τε πεποιηκὼς καὶ πάντων ὡς οἰκείων κηδόμενος ἔργων, κατ' οὐδὲν παραπλήσιος ἀνθρώποις τοῖς καθ' ὑμᾶς τε καὶ ἐν ὑμῖν

um tibi feram, utpote summis malis tentato? — *Quomodo te tractem Ephraim? sicut Adama et Seboim?* Sed eo te indignum esse, intelligo, contra vero dignissimum poena tibi propter commissa a te scelera infligenda, eversione tali, qualem Sodoma et Gomorra et Adama et Seboim olim passae sunt. — *Sed conversum est cor meum et commiseratione intima permotus sum.* (V. 9.) *Non faciam pro irae meae fervore non derelinquam, ut deleatur, Ephraimum.* Verum enim vero, quamvis dignissimos hac mulcta vos reperiam, animum meum erga vos mutavi, et miseria vestra aspecta commotus ad commiserationem trahor, ut praetermissa in futurum ira, vos interitui totos non tradam. — *Namque Deus sum, neque homo tibi similis.* Deus enim sum, qui omnia creavi, operibusque meis prospicio, hominibus haudquaquam similis, quales inter vos versantur. — *Sanctus sum, neque urbem intrabo.* Omnibus humanis negotiis expeditus et elatus super ea, neque pro homi-

1) f. l. ἣν περί. — 2) Leg. εὑρίσκων.

στρεφομένοις. — ἅγιος, καὶ οὐκ εἰσελεύσομαι εἰς πόλιν. Ἐγὼ γὰρ ἀπήλλαγμαί τε καὶ ὑπέρκειμαι πάντων τῶν ἀνθρωπίνων πραγμάτων, οὐκ ἐν πόλεσι διάγων κατὰ νόμον ἀνθρώπων, οὐδὲ τὰς αὐτόθι διατριβὰς μεθ' ὑμῶν εἰθισμένος ποιεῖσθαι. ὅθεν οὐδὲ κοινωνῶ τῆς γνώμης ὑμῖν καὶ τῇ κακίᾳ[1]) ἣ συζῆν ἐσπουδάκατε· τοὐναντίον γὰρ καὶ δικαίαν ὑπέχειν μέλλοντες[2]) τιμωρίαν ἀπαλλάττειν δι' ὑπερβολὴν ἐλέους τοὺς πάσχοντας προάγομαι ταύτης. —

ι'. Ὀπίσω Κυρίου πορεύσονται. Ὡς ἐπὶ τῇ προκειμένῃ τοῦ θεοῦ φωνῇ τὴν ἐπαγωγὴν ὁ προφήτης πεποίηται ταύτην, τοιοῦτό τι λέγων, ὅτι ἕπεσθαι δὴ λοιπὸν προσήκει τῷ τοιούτῳ, καὶ πάντα πράττειν κατὰ τὸ δοκοῦν τῷ θεῷ, οὕτως ἡμέρῳ τε ὄντι καὶ φιλανθρώπῳ περὶ ὑμᾶς. — Ὡς λέων ἐρεύξεται καὶ ἐκστήσονται τέκνα ὑδάτων. Εἰ γὰρ δὴ τοιούτοις παράσχοι[3])μεν ἑαυτοὺς δίκην λέοντός τινος φοβεροῦ τοῖς κτήνεσιν, ἐξοίσει τὴν οἰκείαν φωνὴν ἐπὶ πάντας ἐκείνους, οὓς δίκην ὑδάτων ὑμῖν κατὰ τὸ πλῆθος τὸ οἰκεῖον ἐπεληλυθότας εἰς ἔκστασιν πάντας καταστήσει τῷ φόβῳ τῷ οἰκείῳ.

ια'. Καὶ ἥξουσιν ὡς ὄρ-

num more in urbibus dego, neque in iis vobiscum commorari solitus sum; ideoque neque animi vestri, neque vestrae malitiae particeps sum; sed contra immensa mea misericordia ductus a justa, quam solvere debebatis poena vos liberabo.

V. 10. *Dominum sequentur.* Propheta sermonem suum ita continuat, quasi Dei afferat verba, et dicit, eos talem dominum in posterum sequi debere, omniaque juxta Dei voluntatem peragere quum tanta in ipsos usus fuerit lenitate ac benignitate. — *Ut leo rugiet, et stupebunt aquarum filii.* Quodsi ita moratos vos praebueritis, ut leo pecoribus terribilis vocem emittet contra istos omnes, qui aquarum instar multitudine sua vos inundarunt, eosque terrore injecto furibundos aget.

V. 11. *Et venient ut avis*

[1]) f. l. τῆς κακίας. — [2]) Leg. μέλλοντας. — [3]) Leg. τοιούτους παράσχοιτε.

νεον ἐξ Αἰγύπτου, καὶ ὡς περιστερὰ ἐκ τῆς Ἀσσυρίας, καὶ ἀποκαταστήσω αὐτοὺς εἰς τοὺς οἴκους αὐτῶν, λέγει κύριος. Πανταχόθεν γὰρ αὐτοὺς ἐπανάξω, τῆς κατεχούσης ἀπαλλάξας αἰχμαλωσίας, καὶ τούς τε παρὰ Ἀσσυρίοις αἰχμαλώτους, τοὺς ἐν Αἰγύπτῳ τε φυγάδας δίκην ὀρνέων ἀποκαταστήσειν πάντας εἰς τὰ οἰκεῖα, ὁ θεὸς ὑπισχνεῖται. —

ιβ'. Ἐκύκλωσέ με ἐν ψεύδει Ἐφραΐμ, καὶ ἐν ἀσεβείᾳ οἶκος Ἰσραὴλ καὶ Ἰούδα, νῦν ἔγνω αὐτοὺς ὁ θεός, καὶ λαὸς ἅγιος κληθήσεται τοῦ θεοῦ. Πρότερον μὲν γὰρ ἐπειδὴ πρὸς τὸ ψεῦδος καὶ τὴν τῶν εἰδώλων ἀποκλίναντες θεραπείαν, ἐν ἀσεβείᾳ διῆγον ἅπαντες, οὐδένα τῶν περὶ ἐμὲ ποιούμενοι λόγον, ἀναγκαίως αὐτοὺς τοῖς κακοῖς περιβέβληκα ἐκείνοις· μεταμελομένους δὲ καὶ πρὸς τὸ κρεῖττον ἰδόντας οἰκειώσομαί γε ἅπαντας (τοῦτο γὰρ λέγει τὸ ἔγνω αὐτοὺς), καὶ ἐξ αὐτῶν μοι φανήσονται τῶν πραγμάτων ὄντες, ἅτε τοσούτων καὶ τηλικούτων ἀγαθῶν διὰ τῆς ἐμῆς ἀξιούμενοι βοηθείας. τὰ μὲν δὴ παρ' ἐμοῦ τοιαῦτα, φησὶ, καὶ τοιαῦτα παρέχειν ἕτοιμος ἐγώ. Τί δέ;

ex Aegypto, et ut columba ex Assyria, eosque in domus suas restituam, inquit dominus. Undique eos se reducturum esse, liberatos e captivitate, et quum eos qui in Assyria sint retenti, tum eos, qui in Aegyptum fugitivi se receperint, omnes quasi aves in sua restitutum iri, promittit Deus.

V. 12. *Mendacio me circumdedit Ephraim, et domus Israelis et Judae impietate; nunc vero cognovit eos Deus, et populus sanctus Dei vocabitur.* Prioribus quidem temporibus, quum ad idolorum cultum inclinantes vitam degerent impiam nullo mei respectu habito, necesse fuit, eos malis obstringi; nunc vero poenitentes et ad justum conversos suscipiam rursus ut meos (id enim indicant verba Cognovit eos), et res ipsae eos mihi cordi esse declarabunt, multis enim magnisque eos bonis dignabor auxilium iis ferendo. — Haec quidem, inquit, accipient a me, et talia iis donare equidem paratus sum. At quid isti?

Κεφάλαιον ΙΒ'.

α'. Ὁ δὲ Ἐφραΐμ πονηρὸν

Caput XII.

V. 1. *Ephraim vero spi-*

πνεῦμα. ἵνα εἴπῃ προαίρεσις μοχθηρά· πνεῦμα γὰρ πολλαχοῦ καλεῖ τὴν προαίρεσιν, ὡς τὸ [1]), „Πνεύματι πορνείας ἐπλανήθησαν," καὶ [2]), „Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου," καὶ [3]) „Χαλὲβ ὁ τοῦ Ἰεφονὶ καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ ὅτι ἐγενήθη πνεῦμα ἕτερον ἐν αὐτῷ.".— *ἐδίωξε καύσωνα ὅλην τὴν ἡμέραν.* διηνεκὲς γὰρ ἐπετέλει τοιαῦτα, ἃ καύσωνος δίκην λυμαινομένου τοῖς καρποῖς ἐπάγειν αὐτοῖς ἦν αὐτάρκη τὴν φθοράν. — *Κενὰ καὶ μάταια ἐπλήθυναν.* Καὶ πλῆθος εἰδώλων κατεστήσατο, ἀνωφελῶν παντελῶς καὶ βλάβης μεγίστης αἰτίων. — *Καὶ διαθήκην μετὰ Ἀσσυρίων διέθετο, καὶ ἔλεον* [4]) *εἰς Αἴγυπτον ἐνεπορεύετο.* Εἶτα κακοῖς ὑπὲρ τούτων περιπεπτωκώς, ποτὲ μὲν δι' Ἀσσυρίων, ποτὲ δὲ δι' Αἰγυπτίων ἤλπιζε ἀγαθοῦ τινὸς τεύξεσθαι, καὶ πρὸς ἐκεῖνον μὲν φιλίας συνθήκας ἐβούλετο ποιεῖσθαι, παρὰ δὲ τούτου συμμαχίαν ᾔτει, ὠφελεῖτο δὲ ἐξ ἁπάντων τούτων οὐδέν.

ritus pravus est. Quibus propheta pravam indicat mentem; namque spiritum saepius appellat mentem, veluti: „Spiritu adulterii decepti sunt." Et alibi: „Spiritum rectum innova in visceribus meis;" et rursus: „Chaleb Jephonii filius et Jesus Naves filius, quoniam spiritus alius in eo exstitit." — *Persecutus est aestum toto die.* Perpetuo ejusmodi facinora commisit, quae aestus fructus cremantis instar, ad perniciem iis parandam suffecerunt. — *Inania et vana adauxerunt.* Permultas idolorum statuas erexerunt, quae non modo inutiles sed etiam summae noxae auctores iis factae sunt. — *Et foedus cum Assyriis pepigit, et oleum in Aegyptum detulit.* Deinde variis calamitatibus vexati, modo ab Assyriis, modo ab Aegyptiis aliquid boni nancisci sperantes, cum illis amicitiae foedus inire voluerunt ab his vero belli societatem petierunt, nullum tamen ab utrisque assecuti commodum.

β'. *Καὶ κρίσις τῷ Κυρίῳ πρὸς Ἰούδαν τοῦ ἐκδικῆσαι τὸν Ἰακώβ.* Ὁ γὰρ θεὸς αὐ-

V. 2. *Est enim quod dominus judicet Judam, ut vindictam sumat de Jacobo.*

[1]) Hos. IV., 12. — [2]) Ps. L., 14. — [3]) Num. XIV., 24. — [4]) f. l. ἔλαιον.

τὸς ἥκει διὰ τῶν πραγμάτων κριθησόμενος πρὸς αὐτοὺς, ἐκδικῶν τὰ μὴ δεόντως αὐτοῖς πεπραγμένα. Τὸν γὰρ Ἰακὼβ ἐνταῦθα λέγει τὸ ἔθνος τῶν Ἰουδαίων, ὅπερ οὖν καὶ Ἰακὼβ καὶ Ἰσραὴλ ἐκαλεῖτο κατὰ τὴν τοῦ προπάτορος αὐτῶν ὀνομασίαν, ὡς ἐν τοῖς ἀνωτέροις ἐδείξαμεν. Ὅθεν ἐπάγει· κατὰ τὰς ὁδοὺς αὐτοῦ, καὶ κατὰ τὰ ἐπιτηδεύματα αὐτοῦ ἀνταποδώσει αὐτῷ. ἵνα εἴπῃ, ὅτι ἀνάλογον ὧν πταίουσιν, ἐπάξει αὐτοῖς τὴν τιμωρίαν. Εἶτα καὶ κατὰ τὴν παράθεσιν τοῦ προπάτορος τὴν τούτων ἐλέγχει κακίαν.

γ'. Ἐν τῇ κοιλίᾳ ἐπτέρνισε τὸν ἀδελφὸν αὐτοῦ. Ὁ μὲν γὰρ καὶ πρὸ τῆς γεννήσεως ἐνεδείκνυτο τῷ σχήματι τὴν ἀπάτην μεθ' ἧς ἤμελλεν ἀντιποιηθήσεσθαι τῶν πρωτοτοκιῶν. — Καὶ ἐν κόποις αὐτοῦ ἴσχυσε πρὸς θεόν. Καὶ πολλοὺς ὑπομεμενηκὼς πόνους τε καὶ πλάνας τῆς πρὸς θεὸν οὐκ ἤνεσχον[1]) εὐνοίας ἐκστῆναι. —

δ'. Καὶ ἐνίσχυσε μετὰ ἀγγέλου καὶ ἠδυνήθη. Καὶ δὴ καὶ τοῦ ἀδελφοῦ τὴν ἐπιβουλὴν ὑφορώμενος ὀπτασίας ἠξιώθη ἀγγέλου, πρὸς ὃν παλαίειν δοκῶν ὤφθη δυνατός. Ἀλλὰ τὰ μὲν ἐκείνου τοιαῦτα, τὰ δὲ τού-

Deus enim, inquit, ipse apparebit rebus gerendis in eos animadversurus et de impiis facinoribus vindictam sumturus. Jacobum autem hic populum appellat Judaeorum, qui etiam Jacob et Israel nuncupatus est ex avi sui nominibus, quod supra a nobis ostensum est. Ideo addit propheta: *Pro viis eorum et pro negotiis iis rependet*, quibus indicat, poenam iis immissam peccatis ab iis commissis consentaneam fore. Deinde eos cum avo comparans, malitiam eorum reprehendit.

V. 3. *In utero supplantavit fratrem suum.* Ille, inquit, vel antequam natus esset, fraudem praesignificavit, qua primogenituram sibi comparare conaturus foret. — *Et laboribus suis superavit Deum.* Et licet multis laboribus et fraudibus tentatus bonam erga Deum mentem non exuit.

V. 4. *Et confortatus est (in lucta) cum angelo et praevaluit.* Imo fratris insidias quum fugeret, qui angelum conspiceret, et eum in lucta vinceret, dignus habitus est. — Sed de eo haec hacte-

[1]) f. l. ἠνέσχεν.

των τῶν ἀπογόνων τῶν ἐκείνου ὁποῖα; Ἔκλαυσαν καὶ ἐδεή-θησάν μου. ἐν δάκρυσιν ἅπαντές εἰσι καὶ δεήσεσιν ἀπαλλαγὴν αἰτοῦντες τῶν κακῶν, ἐν οἷς ὑπὲρ τῆς ἀσεβείας ἐξετάζονται τῆς οἰκείας. Ποίας ταύτης; — Ἐν τῷ οἴκῳ Ὢν εὗρόν με. περὶ γὰρ τὴν τῶν εἰδώλων ἠσχολοῦντο θεραπείαν, ἐν ὀνομασίᾳ μὲν τιμῶντες ἐμῇ τοὺς οὐθὲν αὐτῇ προσήκειν οἵους τε ὄντας· ὡς αὐτόθι δὲ παρόντα τιμῶντες ἐμὲ τὸν οὐ παρόντα. Τὸ οὖν, ἐν τῷ οἴκῳ Ὢν εὗρόν με, ἀντὶ τοῦ, ὡς ἐκεῖ με πάροντα εὑρίσκοντες, ὃν τιμᾶσθαι παρ' αὐτῶν ὡς θεὸν ἔχρην, οὕτω τῷ εἰδώλῳ προσῆγον τήν τε ὀνομασίαν καὶ τὴν τιμὴν τοῦ θεοῦ. — Καὶ ἐκεῖ ἐλαλήθη πρὸς αὐτούς. αὐτόθι δὴ τὴν ἀπόφασιν ὑπὲρ ὧν ἠσέβουν ἐδέξαντο δικαίαν. —

nus; quomodo autem res posterorum ejus sese habent? — *Cum fletu me implorarunt.* In lacrimas profusi omnes sunt et supplices a me finem expetunt laborum, quibus propter impietates suas torquentur. Et quaenam sunt hae impietates? *In domo On me inuenerunt.* i. e. Idolorum in cultu operam posuerunt, sub meo nomine eos venerantes, qui cum eo nil commune habent; et quasi illic praesentem reapse vero absentem me adorarunt. In domo On me invenerunt, dicit propheta pro eo: quasi ibidem me invenirent, quem solum Deum venerari fas erat, idolis et appellationem et honorem tribuerunt divinam. *Et ibi sermo ad eos factus est.* Ibidem, ait, propter impietatem suam, justam tulerunt recusam.

ε'. Ὁ δὲ κύριος ὁ θεὸς ὁ παντοκράτωρ ἔσται μνημόσυνον αὐτοῦ. Ἀλλὰ γὰρ περιπεσεῖται τοιούτοις, ἀφ' ὧν ἐπιγνώσεται τὸν ὄντως θεὸν, μεγίστην τε αὐτοῦ διαπαντὸς ἕξει τὴν μνήμην, ὃς πεποίηκέ τε αὐτοὺς καὶ εὐηργέτηκε πάντοτε, καὶ δὴ καὶ νῦν ἀσεβήσαντας παιδεύσας ἐπὶ τὸ κρεῖττον μεταμελεῖ κατὰ τὴν δύναμιν τὴν οἰκείαν. —

V. 5. *Dominus autem Deus omnipotens ejus rei memor erit.* Talia iis evenient, unde verum Deum cognoscere poterunt; et perpetuam eorum memoriam habebit, qui eos creavit iisque semper benefecit, qui idem et nunc impios correxit, iisque mutato pro natura sua sensu misericordiam exhibet.

ς'. *Καὶ σὺ ἐν Θεῷ σου ἐπίστρεψον, ἔλεον καὶ κρῖμα φυλάσσου, καὶ ἔγγιζε πρὸς τὸν Θεὸν σου διαπαντός.* Γνησίαν τοίνυν ἐπιδεῖξαι τὴν ἐπὶ Θεὸν μεταβολὴν, καὶ ἐπιμελοῦ μὲν φιλανθρωπίας καὶ τοῦ δικαίου, σπούδαζε δὲ ἀεὶ τῷ Θεῷ συνεῖναι, καὶ τῆς μὲν περὶ τοῦτον ἀντεχόμενος θεραπείας, ὅπερ [1]) ὀφείλεσθαι ταύτην συμβέβηκε δικαίως, τῆς δὲ περὶ τὰ εἴδωλα σπουδῆς ἀπεχόμενος παντελῶς.

V. 6. *Et tu ad Deum tuum te converte; misericordiam et judicium custodi Deoque tuo semper appropinqua.* Veram igitur nunc ostende ad Deum tuam conversionem, et humanitati justitiaeque exercendae operam da, semper cum Deo vivere ejusque venerationi deditum esse, quoniam id justum est, idolorum vero cultu omnino abstinere stude.

ζ'. *Χαναὰν ἐν τῇ χειρὶ αὐτοῦ ζυγὸς ἀδικίας, καταδυναστεύειν ἠγάπησεν.* Εἰς ἐπιστρέφειαν αὐτοὺς δι' ἐκείνων ἐκκαλεσάμενος ὀνειδίζει πάλιν αὐτοῖς τὴν κακίαν ἐνταῦθα. ἀπεδείχθητε γὰρ, φησὶ, οὐδὲν ἐλαττούμενοι τῶν Καναναίων, (καὶ) οὓς ἐκβαλὼν τῆς χώρας ὁ Θεὸς διὰ τὴν περιοῦσαν αὐτοῖς ἀσέβειάν τε καὶ κακίαν, ὑμᾶς ἀντεισήγαγεν, οὕτω πρὸς ἀδικίαν τε βλέποντες καὶ μετὰ πολλῆς τῆς ἐπιμελείας τοὺς ἀσθενεστέρους καὶ τὴν προσοῦσαν ὑμῖν ἐκθλίβοντες δυναστείαν. —

V. 7. *Chanaan in manu sua fallacem tenens trutinam opprimere amavit.* Hic propheta illorum exemplo eos ad sollertiam excitat, eorumque malitiam rursus objurgat. Chananaeis prorsus similes vos exhibetis ait, quos Deus propter impietatem et malitiam eorum e terra ejecit, vos in eorum loco ponens; ut illi, ita vos quoque ad improbitatem proni et multo cum studio infirmiores pro ea quae vobis est potestate opprimitis et vexatis.

η'. *Καὶ εἶπεν Ἐφραΐμ· πλὴν πεπλούτηκα, εὕρηκα ἀναψυχὴν ἐμαυτῷ.* Εἶτα ἐξ ἀδικίας συλλέγων χρήματα ἥδεται ἐπὶ τῷ πλουτεῖν, καὶ δὴ καὶ τὴν ἐξ αὐτῶν ἀπόλαυσιν ἡδεῖαν ἡγεῖ-

V. 8. *Et Ephraim dixit: divitias mihi comparavi multas, et requiem mihi inveni.* Thesauris injuste collectis gaudet de opulentia sua, voluptatemque inde sibi proflu-

[1]) Leg. ᾧπερ.

ται. — *Πάντες οἱ πόνοι αὐτοῦ οὐχ εὑρεθήσονται αὐτῷ, διὰ ἀδικίας, ἃς ἥμαρτεν.* Δέον ἀναλογίσασθαι, ὅτι πάντα δὴ ταῦτα, ἃ μετὰ παρανόμων συνήγαγε πόνων, ἀπολεῖται πάντα ὑπὲρ τῆς ἀδικίας μεθ' ἧς αὐτὰ συνήγαγεν, ἐπειδὰν Θεὸς τῶν παρανομημάτων, ἐν οἷς ἐξεταζόμενοι διετέλουν, δίκας αὐτοὺς εἰσπράττεσθαι βούληται.

entem jucundam existimat. — *Omnes labores ejus non praesto erunt ei propter flagitia, quae commisit.* Reputare eum decet, omnia, quaecunque sibi injusto ac impio labore paraverit, propter improbitatem, qua collecta sunt, deleta fore tunc, quando Deo poenas iis de sceleribus, quibus diu usi sunt, imponere videbitur.

θ'. *Ἐγὼ δὲ κύριος ὁ Θεός σου ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου.* Ἔδει δέ σε πάσης ἀπέχεσθαι ἀδικίας τῆς κατὰ τῶν πενήτων, ἀναλογιζόμενον, ὅτι σε ἐν δουλείᾳ καθεστῶτα πικρᾷ ἐξέβαλον τῆς Αἰγύπτου. — *Ἔτι κατοικιῶ σε ἐν σκηναῖς καθὼς ἐν ἡμέρᾳ ἑορτῆς.* Καὶ δὴ καὶ οἴκησίν σοι πάρεσχον, ἵνα εἴπῃ, τῆς γῆς τῆς ἐπαγγελίας τὴν ἀπόλαυσιν ἑορτάζειν σοι παρασχὼν ἐν τῇ τῶν προσγεγονότων ἀπολαύσει. Τὸ γὰρ, κατοικιῶ ἀντὶ τοῦ, κατῴκισα, λέγει, τῇ ἐναλλαγῇ τοῦ χρόνου συνήθως χρησάμενος· σύνηθες δὲ τοῦτο καὶ ἐπὶ τῶν ψαλμῶν ἐδείξαμεν αὐτάρκως· οἷόν ἐστι τὸ [1]), „Ἐγὼ δὲ πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ ὁ κύριος εἰσήκουσέ μου," οἷς ἐπάγει· „Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας διηγήσομαι καὶ ἐπαγ-

V. 9. *Ego vero Deus tunc ex terra Aegypti te eduxi.* Te decebat omni injustitia abstinere, reputantem, me gravi servitio in Aegypto te pressum liberasse. — *Habitare rursus te faciam in tabernaculis ut solemnitatis die.* Vel habitationem tibi dedi, i. e. terrae repromissae jucunditatem, et festum diem celebrare tibi permisi, et beneficiis tibi porrectis gaudere potuisti. „Habitare faciam" enim si propheta futuro tempore usus dicit, mutatis pro more suo temporibus, perfectum tempus indicare vult. Id quod etiam in psalmis saepius legitur, uti supra monuimus sufficienter e. g. „Ego ad Deum clamavi, et dominus me exaudivit," quibus addi-

[1]) Ps. LIV., 17. 18.

γελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου," καίτοιγε τὸ εἰσήκουσε τῷ εἰσακούσεται οὐκ ἀκόλουθον· εἰ γὰρ γέγονε, τί δὴ γενέσθαι καὶ αἰτεῖ, ἀλλὰ καὶ τὸ πρότερον τὸ, Ὁ κύριος εἰσήκουσέ μου, λέγει ἀντὶ τοῦ εἰσακούσεται· καὶ ὅλως πολὺ καὶ κεχυμένον ἐν τοῖς ψαλμοῖς ἐκ τοῦ ἰδιώματος εὑρίσκεται τοῦ ἑβραϊκοῦ· ὅθεν δὴ καὶ παρὰ τοῖς προφήταις, ὡς εἰκὸς, τὸ αὐτὸ δὴ τοῦτο εὕροι τις ἂν, ὡς ὅταν λέγῃ [1]), „Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη," ἀντὶ τοῦ εἰπεῖν ἀχθήσεται.

tum est: mane et vespera et meridie enarrabo et proclamabo, et exaudiet vocem meam." Ubi voci „exaudivit" plane non respondet vox exaudiet. Nam si illud jam factum erat, cur tandem ut fieret orat? At etiam antecedens Exaudivit me Deus, pro Exaudiet, dixit David. Saepissime et ubivis hoc invenitur in psalmis pro natura hebraicae linguae; unde nemo mirabitur, etiam apud prophetas eundem morem occurrere, velut si dicit: „Ut ovis ad caedem ductus est." pro: ducetur.

ι'. *Καὶ ἐλάλησα πρὸς τοὺς προφήτας, καὶ ἐγὼ ὁράσεις ἐπλήθυνα καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην.* Ἐγὼ δὴ τότε καὶ προφήτας ἀνέδειξα καὶ ὀπτασιῶν ἠξίωσα τοὺς τότε πλείστων, πολυτρόπως τε ἐπιφαινόμενος τοῖς τότε δικαίοις, Μωσῇ τε λέγω, καὶ Ἰησοῦ τῷ Ναυῆ, καὶ τοῖς κατ' ἐκείνους· ἅπαντα δὲ ταῦτα πράττειν αἱρούμενος προθύμως ὧν ἐχρῆν μεμνημένους ἀρκεῖσθαι τοῖς δοθεῖσι, μὴ μετὰ ἀδικίας ἀφαιρουμένους τὰ ἑτέρων.

V. 10. *Et locutus sum ad prophetas, visionesque multiplicavi, et manibus prophetarum assimilatus sum.* Prophetas tunc excitavi et plurimos ejus aetatis homines visionibus dignatus sum, multifariam quippe justis tunc temporis viris, Mosi et Josuae videlicet Naves filio, eorumque comitibus apparens. Et ea quidem omnia lubenter feci eorum in utilitatem, qui donis meis contenti quae aliorum erant injuste possidere noluerunt.

ια'. *Εἰ μὴ Γαλαὰδ ἐστιν, ἄρα ψευδεῖς ἦσαν ἐν Γαλ-*

V. 11. *Si Galaad non est, sane mendaces erant in Gal-*

[1]) Jes. LIII., 7.

γάλοις [1]). Ταῦτα δὴ, φησὶ, εἰ μὲν ἐκ Γαλαὰδ ὑμῖν ὑπῆρξε καὶ Γαλγάλων, ἵνα εἴπῃ ἐκ τῶν εἰδώλων, εἶχεν ἄν τινα ἀπολογίαν ὑμῖν τὰ νῦν πραττόμενα. εἰ δὲ μήτε ἐκ Γαλαὰδ ὑμῖν προσγέγονε, πῶς οὐ πρόδηλον, ὅτι τῷ ψευδεῖ προστετήκατε νῦν τὴν ἀλήθειαν ἀφέντες, καὶ ἀποστάντες μὲν τοῦ εὐεργέτου, νεύσαντες δὲ πρὸς τοὺς ὠφεληκότας οὐδὲν, εἶτα τούτοις μετὰ τῶν παρ' ὑμῖν ἀρχόντων τὰς θυσίας ἐπιτελοῦντες. Ἀπὸ γὰρ Γαλαὰδ καὶ Γαλγάλων τὰ εἴδωλα λέγει ὥς καὶ ἀνωτέρω φησὶ [2]), „Μὴ εἰσπορεύεσθε εἰς Γάλγαλα," ἵνα εἴπῃ, μὴ περὶ τὰ εἴδωλα ἔχετε, ἀπὸ τοῦ τόπου τὰ ἐν αὐτοῖς θεραπευόμενα λέγων· οὕτω καὶ ἐνταῦθα Γαλαὰδ μέμνηται καὶ Γαλγάλων, ἐν οἷς πολλή τις ἡ περὶ τὰ εἴδωλα θεραπεία ἐγίνετο. Ἀπὸ οὖν τῶν τόπων τὴν τῶν εἰδώλων σημαίνει θεραπείαν, τοῦτο λέγων, ὅτι τοσούτων ὑμῖν ὑπαρξάντων παρ' ἐμοῦ, ἐκ δὲ τῶν δαιμόνων καὶ εἰδώλων οὐδενός, ἐξ ἀπάτης ἄρα καὶ τῆς περὶ τὸ ψεῦδος ῥοπῆς ἐμοῦ μὲν ἀφεστήκατε, περὶ δὲ τὰς ἐκείνων ἔχετε θυσίας. — Καὶ τὰ θυσιαστήρια αὐτῶν ὡς χελῶναι ἐπὶ χέρσον ἀγροῦ. Ἔσται γὰρ

galis. Talia, inquit, si e Gileaditica terra et Gilgale i. e. ab idolis accepissetis, fortasse defendi possent, quae nunc agitis; quum vero nullum inde commodum retuleritis, inde apparet, vos mendacio adhaesisse, relicta veritate, et rejecto eo, qui beneficiis vos ornavit ad eos conversos fuisse qui vobis nil profuerunt, iisque cum principibus vestris sacra fecisse. Galaadi enim et Galgalorum nomine idola appellat propheta, uti in prioribus quoque: „Ne intretis Galgala" i. e. ne idolis istis adhaereatis, inquit, loci nomine in res ibi cultas translato. Ita hic quoque Galaadi et Galgalorum mentionem facit, ubi idola studiose venerari solebant. Ergo locorum nuncupatione idolorum venerationem significat hoc dicens: quum a me tot acceperitis beneficia, ab idolis vero plane nulla, fraudulenter igitur, et mendacii studio ducti a me defecistis, et istorum sacrificiis operam navastis. — *Et arae eorum quasi testudines in agro sicco*. Studium erga illa nihil vobis proderit, ait,

[1]) Verba versionis Alex. haec: *ἄρχοντες θυσιάζοντες qui sacrificarunt principes*, h. l. addenda sunt, ut interpretatio sequens docet.

[2]) Cap. IV., 16.

ὑμῖν οὐδὲν ὄφελος τῆς περὶ ἐκεῖνα, φησὶ, σπουδῆς, ἐπειδὴ ἅπαντα ταῦτα παντελῶς ἀφανίζει διὰ τῶν πολεμίων ὁ Θεός. Ἐπειδὴ γὰρ ἡ χελώνη ἐν ὕδατι εἴωθε διαιτᾶσθαι, ἐν χέρσῳ δὲ ληφθεῖσα διαφθείρεται πάντως, τῶν θυσιαστηρίων ἠβουλήθη τῷ ὑποδείγματι τὴν διαφθορὰν ὑποδεῖξαι, καὶ πάλιν τῇ τῶν προγόνων παραθέσει δεικνὺς αὐτοὺς ἀσεβοῦντας.

quoniam omnia Deus per adversarios delebit vestros. Nam quum testudo in aqua degere soleat, in terra vero vivere nequeat, hoc exemplo altarium voluit vastationem significare. — Et in sequentibus e comparatione majorum, eos impie egisse propheta declarat.

ιβ΄. Καὶ ἀνεχώρησεν Ἰακὼβ εἰς πεδίαν Συρίας, καὶ ἐδούλευσεν Ἰσραὴλ ἐν γυναικὶ, καὶ ἐν γυναικὶ ἐφυλάξατο. Εἵλετο μὲν γὰρ ἐκεῖνος δι' ἀρέτην καὶ τὴν τῶν πρωτοτοκιῶν εὐλογίαν, τῶν οἰκείων φυγὰς γεγονὼς περὶ τὴν Συρίαν εἰλεῖσθαι καὶ ὑπομεῖναι μὲν τὴν παρὰ τῷ Λαβὰν δουλείαν, μετὰ ταλαιπωρίας δὲ πολλῆς καὶ πρὸς γάμον ἐλθεῖν γυναικὸς, ἵνα μὴ Χαναναίαν ἀγάγοιτο παρὰ τὸ τῷ πατρὶ δοκοῦν. Καὶ τοσαύτην ὑπέμεινε ταλαιπωρίαν καὶ φυλαττόμενος [1]) τὸ παρὰ τὰ νόμιμα τῶν προγόνων καὶ τὸ δοκοῦν τῷ θεῷ γυναῖκα ἀγαγέσθαι· ὅπερ οὖν πεποίηκεν ὁ ἀδελφὸς ὁ ἐκείνου, Χαναναίαν ἀγαγόμενος παρὰ τὸ θεῷ τε δοκοῦν καὶ τοῖς γονεῦσι.

V. 12. *Et recepit se Jacob in Syriae regionem, et serviit Israel ob uxorem, et ob uxorem custodem egit.* Ob virtutem et primogeniturae benedictionem patriá domo fugitivus Syriam petiit et penes Labanum servitium pertulit durissimum, ut uxorem sibi pararet, neque praeter patris voluntatem Chananaeam in matrimonium ducere coactus esset. Tantam dico tulit miseriam cavens, ne contra majorum praecepta et Dei legem uxorem duceret, id quod frater illius omnino fecit, Cananaeam invito Deo invitisque parentibus suis, in matrimonium sumens.

ιγ΄. Καὶ ἐν προφήτῃ ἀνήγαγεν ὁ Κύριος τὸν Ἰσραὴλ

V. 13. *Et per prophetam dominus Israelem ex Aegy-*

[1]) f. l. ἐφυλάττετο.

ἐκ γῆς Αἰγύπτου, καὶ ἐν προφήτῃ διεφυλάχθη. Ἐπειδὴ δὲ μετ' ἐκεῖνα πάντα κατελήλυθεν εἰς τὴν Αἴγυπτον, τοσαύτην τῶν ἐξ ἐκείνου κηδεμονίαν ἐποιήσατο, ὥστε τῇ τοῦ προφήτου Μωσέως ὑπουργίᾳ ἀναγαγεῖν τε ἅπαντας ἐκ τῆς Αἰγύπτου, καὶ κατὰ τὴν ἔρημον αὐτοὺς διὰ τῆς ἐπιμελείας φυλάξαι τῆς οἰκείας, ἄχρι τοῦ καὶ εἰς τὴν γῆν εἰσαγαγεῖν τῆς ἐπαγγελίας.

ιδ'. *Ἐθύμωσέ με Ἐφραΐμ καὶ παρώργισεν.* Τοιούτων δὲ γεγονότες προγόνων καὶ τοσούτων δι' ἐκείνους παρ' ἐμοῦ τετυχηκότες ἀγαθῶν, εἰς ὀργήν με κατέστησαν πλείστην, ἀγνώμονες μὲν περὶ ἐμὲ γεγονότες τὸν τοσαῦτα αὐτοὺς εὖ πεποιηκότα, περὶ δὲ τὴν τῶν εἰδώλων τραπέντες θεραπείαν, ὧν οὐδὲν εἰλήφασι κέρδος. — *Καὶ τὸ αἷμα αὐτοῦ ἐπ' αὐτὸν ἐκχυθήσεται.* τοίγαρουν ἐπ' αὐτῶν ἡ ὑπὲρ τῶν παρανομημάτων τραπήσεται τιμωρία. *Καὶ τὸν ὀνειδισμὸν αὐτοῦ ἀνταποδώσει αὐτῷ κύριος κατὰ τὸν λόγον Ἐφραΐμ.* Τῆς διαβολῆς, ἧς διὰ τῆς οἰκείας ἀσεβείας προσετρίψατο τῷ θεῷ, δίκας αὐτὸν εἰσπράξεται δικαίας ἀνάλογον οἷς ἐφθέγξατο κατ' αὐτοῦ.

pti terra eduxit, et per prophetam est servatus. Quum vero post haec in Aegyptum venisset, tantam de illius posteris curam habuit Deus, ut Mosis prophetae ope omnes inde educeret, et in itinere per desertum providentia sua servaret, donec eos etiam in terram promissionis duceret.

V. 14. *Irritavit me Ephraim iramque meam excitavit.* Etsi a talibus majoribus oriundi, et eorum causa tanta a me beneficia nacti, summam tamen meam iracundiam provocarunt eo, quod, me tot bonorum iis auctorem aspernati idolorum cultui, unde nihil capiunt utilitatis, se dederint. — *Et sanguis ejus super ipsum effundetur.* Convertetur igitur in eos mulcta de improbitate sua. — *Et injuriam ejus rependet ei Dominus juxta sermonem Ephraimi.* De calumnia, qua pro impietate sua petierunt Deum, poenas iis infliget justas et dicteriis consentaneas, quae in ipsum locuti sunt.

Κεφαλαῖον ΙΓ'.

α'. *Δικαιώματα ἔλαβε καὶ*

Caput XIII.

V. 1. *Leges a me et ipse*

αὐτὸς ἐν τῷ Ἰσραὴλ, καὶ ἔθετο αὐτὰ τῷ Βαὰλ, καὶ ἀπέθανε. Δεξάμενος γὰρ καὶ αὐτὸς ἐκ τοῦ νόμου Μωσέως τὰς διατάξεις ὧν πράττειν προσῆκον ἦν αὐτὸν, εἰς τὸν Βαὰλ περιέστησεν ἁπάσας, τὴν ἐμοὶ προσήκουσαν κατὰ νόμον θεραπείαν ἐπ᾽ ἐκεῖνα μεταγαγών· ὑπὲρ ὧν δὴ θανάτου πρόξενος γέγονεν ἑαυτῷ.

β΄. Καὶ νῦν προσέθεντο τοῦ ἁμαρτάνειν, καὶ ἐποίησαν ἑαυτοῖς χωνευτὰ ἐκ χρυσίου καὶ τοῦ ἀργυρίου αὐτῶν κατ᾽ εἰκόνα εἰδώλων, ἔργα τεκτόνων συντετελεσμένα αὐτοῖς. Ἐπιμεμενήκασι τῇ ἀσεβείᾳ, τὰ μὲν ἐκ χρυσοῦ τὰ δὲ ἐξ ἀργύρου εἴδωλα κατασκευάσαντες ἀνθρωπίναις γεγονότα χερσίν· εἶτα τοσαύτην περὶ ταῦτα ἐπεδείκνυντο τὴν σπουδὴν, ὥστε τί; Αὐτοὶ λέγουσι· θύσατε ἀνθρώπους, μόσχοι γὰρ ἐκλελοίπασιν. ὥστε μετὰ πολλὰς θυσίας, ἃς διὰ τῶν ἀλόγων προσήγαγον, οὐκ ἀρκεσθέντας τῷ πλήθει τῶν θυμάτων ἐκείνων, ἔτι καὶ εἰς ἀνθρώπους μεταστῆσαι τῆς θυσίας τὴν ἐπιχείρησιν. Οὕτω καὶ ὁ μακάριος λέγει Δαυὶδ [1]), „Καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις."

γ΄. Διὰ τοῦτο ἔσονται ὡς

accepit, ut Baali eas vovit, ideoque mortuus est. Quamvis et ipse legis Mosaicae praecepta accepisset, quae sequi ei fas erat, in contrarium tamen ea ad Baalem retulit, honorem ex lege mihi debitum in illum transferens. Propterea ipse sibi mortis auctor factus est.

V. 2. *Et nunc gravius etiam peccarunt, feceruntque sibi fusa simulacra ex auro argentoque suo secundum idolorum statuas facta fabrili arte.* Perseverarunt in impietate, et ex argento et ex auro idolà sibi parantes humanis manibus facta. Tantumque de iis manifestarunt studium, ut quidnam inde factum sit? *Dicunt ipsi: homines immolate quum vituli defecerint nos.* Multis quae de brutis sumserunt sacrificiis non contenti, vel ad homines immolandos sese accingunt. Ita beatus quoque David „Et immolarunt, inquit, filios suos et filias suas daemonibus."

V. 3. *Quamobrem erunt*

[1]) Ps. CV, 35.

νεφέλη πρωϊνὴ καὶ ὡς δρόσος ὀρθρινὴ πορευομένη, καὶ ὡς ἀράχνη ἀποφυσωμένη λαίλαπι ἀπὸ ἅλωνος, καὶ ὡς ἀτμὶς ἀπὸ ἀκρίδων. ὥσπερ γὰρ νεφέλη τις ἢ δρόσος ἑωθινὴ διαλυθεῖσα παντελῶς ἀφανίζεται, ἀράχνη τε ἐν ἅλωνι καθεστῶσα ὑπὸ συστροφῆς ἀνέμου, καὶ μὴν καὶ ἀτμὶς βραχεῖα πρὸς ὀλίγον φανεῖσα ἀπὸ πτήσεως ἀκρίδων· οὕτως ἀθρόον ἀφανισθήσεσθε πάντες ὑπὸ τῆς ὀργῆς τῆς ἐμῆς.

quasi nubes matutina, et ut ros mature abiens, et ut aranea ab area vento sublata, et sicut vapor de locustis. Sicut nubes vel ros matutinus diffluens plane evanescit, et aranea in area suspensa a venti turbine aufertur, vel etiam vapor a locustis advolantibus paulisper excitatus mox transit, ita et vos ira mea repente delebimini.

δ΄. Ἐγὼ δὲ κύριος ὁ θεός σου, στερεῶν οὐρανὸν, καὶ κτίζων γῆν, οὗ αἱ χεῖρες ἔκτισαν πάσας τὰς στρατιὰς τοῦ οὐρανοῦ· καὶ οὐ παρέδειξά σοι τοῦ πορεύεσθαί σε ὀπίσω αὐτῶν· καὶ ἐγὼ ἀνήγαγόν σε ἐκ τῆς Αἰγύπτου, καὶ θεὸν πλὴν ἐμοῦ οὐ γνώσῃ, καὶ σώζων οὐκ ἔστι παρὲξ ἐμοῦ. Μάλιστα δέ σοι τὴν τιμωρίαν ἐποίσει τὴν προκειμένην δικαίως, ὅτι πρὸς τὰ εἴδωλα νένευκας ἀποστὰς ἐμοῦ, ὃς ποιήτης τῶν ἁπάντων ὢν τῶν τε κατ᾽ οὐρανὸν καὶ τῶν κατὰ γῆν, ὁπηνίκα σε ἐξήγαγον τῆς Αἰγύπτου τῷ πλήθει καὶ τῷ μεγέθει τῶν θαυμάτων ἐκείνων, τῆς τε κατεχούσης ἀπαλλάττων δουλείας, καὶ τὴν ἐμὴν εἰδέναι διδάσκων δύναμιν, παρενεγγύησα σαφῶς, ἑτέρῳ μὲν μη-

V. 4. *Ego vero dominus sum Deus tuus, coeli fundamentum qui jecit, terramque creavit, cujus manus omnia agmina coelorum finxerunt. Neque te eos sectari jussi; sed ego te ex Aegypto eduxi, neque alius praeter me venerandus tibi est Deus, neque alius quis te servare potest, nisi ego.* Omni jure hanc tibi immittam poenam, quia ad idola defecisti a me, qui creavi omnia quae sunt in coelo et in terra, et quum multis magnisque cum miraculis ex Aegypto te educerem, liberatum a servitio isto, teque meam potentiam cognoscere facerem; manifesto tibi mandavi, ne cuiquam eorum, quae sunt in terra, vel luminarium coelestium, Dei appella-

δενὶ μὴ τῶν κατὰ γῆν, μὴ τῶν κατ' οὐρανὸν φωστήρων νέμειν τὴν θεοῦ προσηγορίαν, ἐμὲ δὲ μόνον ὁμολογεῖν τε καὶ εἰδέναι θεὸν, ὃς καὶ σώζειν καὶ ἀπαλλάττειν τῶν ἐπικειμένων κακῶν δύναμαι μόνος, ἅτε τῶν ἁπάντων κύριος ὑπάρχων· τούτων γάρ σοι καὶ τὴν ἀπόδειξιν ἀκριβῆ πάρεσχον, ὡς ἂν μὴ λόγους εἶναι καὶ ῥήματα νομίζῃς τοὺς νόμους τοὺς ἐμοὺς, ἐκ δὲ τῆς ἀληθείας καὶ τῶν πραγμάτων συγκειμένους δικαίως.

ε'. *Ἐγὼ ἐποίμανόν σε ἐν τῇ ἐρήμῳ, ἐν γῇ ἀοικήτῳ κατὰ τὰς νομὰς αὐτῶν. Ἐξαγαγὼν δέ σε τῆς Αἰγύπτου καὶ κατὰ τὴν ἔρημον τῇ ἐμαυτοῦ κηδεμονίᾳ διήγαγον ἐν ἀοικήτῳ γῇ, καὶ ἐν ᾗ δὴ νομαὶ θηρίων τε ἦσαν καὶ ἑρπετῶν, οὐδενὸς ὑστερηθῆναι τῶν ἀναγκαίων ἐάσας.*

ς'. *Καὶ ἐνεπλήσθησαν εἰς πλησμονὴν καὶ ὑψώθησαν αἱ καρδίαι αὐτῶν, ἕνεκεν τούτου ἐπελάθοντό μου. Εἶτα εἰσεληλυθότες εἰς τὴν γῆν τῆς ἐπαγγελίας, καὶ τοσούτων παρὰ πᾶσαν ἀνθρωπίνην ἐλπίδα ἀπολελαυκότες ἀγαθῶν, μεγάλοι τε παρὰ πᾶσι τοῖς κατὰ τὴν οἰκουμένην λαχθέντες ἀνθρώποις διὰ τῶν περὶ αὐτοὺς ἐξ ἐμοῦ γεγονότων, οὐκέτι μνήμην εἶχον ἐμοῦ τοῦ δεδωκότος αὐτοῖς τῶν τοσούτων ἀγαθῶν τὴν ἀφθονίαν.*

tionem tribueres, sed potius me solum scires et profitereris Deum, qui solus etiam malis te possum eripere tibi illatis, dominus quippe omnium rerum. Ejusque rei etiam documenta tibi exhibui manifestissima, ne forte verba inania esse leges meas, sed e veritate profectas et sedulo observandas intelligeres.

V. 5. *Ego in solitudine te pavi in terra deserta, in pascuis eorum.* Eductum te vero ex Aegypto per desertum quoque cura mea singulari et in terra non habitata, in qua bestiarum et reptilium latibula erant, te circumduxi nulla necessariorum inopia pressum.

V. 6. *Et ad saturitatem expleti sunt, cordaque eorum elata sunt, eamque ob causam mei obliti sunt.* Deinde terram promissionis ingressi, totque praeter omnem spem humanam fausta nacti, et prae omnibus qui orbem incolunt terrarum ad magnitudinem me efficiente evecti, nullam mei, qui hanc tot bonorum abundantiam iis paraveram, memoriam retinuerunt.

ζ'. Καὶ ἔσομαι αὐτοῖς ὡς πάνθηρ καὶ ὡς πάρδαλις κατὰ τὴν ὁδὸν Ἀσσυρίων. Τοιγαροῦν δίκην πάνθηρος αὐτοὺς καὶ παρδάλεως μετὰ πολλῆς τῆς ὀξύτητος συντρίβων καὶ ἀπολὺς ὑπὲρ τὴν τῶν Ἀσσυρίων αἰχμαλωσίαν ἐλάσω ἅπαντας.

η'. Ἀπαντήσομαι αὐτοῖς ὡς ἄρκτος ἀπορουμένη. Καὶ δίκην ἄρκτου τῶν γεννημάτων στερηθείσης τῶν οἰκείων καὶ ἐπὶ πολλῆς τῆς ἐπ' ἐκείνοις ἀπορίας τοῖς ἀπαντῶσι λυμαινομένης πλεῖστον ὅσον αὐτῶν ἐργάσομαι τὸν φόνον. — Καὶ διαῤῥήξω συγκλεισμὸν καρδίας αὐτῶν. καὶ πάντας δὲ τοὺς διαλογισμοὺς αὐτῶν, οὓς παρ' ἑαυτοῖς συνέχοντες μετὰ πολλῆς ἠσέβουν τῆς ἐπιμελείας, περιττοὺς ὄντας καὶ ματαίους διὰ τῆς ἐπαγομένης αὐτοῖς ἐλέγξω τιμωρίας. — Καὶ φάγονται αὐτοὺς ἐκεῖ σκυμνοὶ δρυμοῦ, καὶ θηρία ἀγροῦ διασπάσει αὐτούς. Οὕτω γὰρ αὐτοὺς τῇ τῆς σφαγῆς ποικιλίᾳ καταναλώσουσιν οἱ πολέμιοι, ὡσανεὶ λέοντες τινὲς ἐκ δρυμοῦ, ἤ τινα ἕτερα παραπλήσια τούτοις θηρία ἀθρόα τοῖς ὀδοῦσιν ἐπιπεσόντα, διασπάσει ἅπαντας.

θ'. Τῇ διαφθορᾷ σου, Ἰσραὴλ, τίς βοηθήσει σοι; Ἀλλὰ γὰρ ὑπὸ τοσούτων διαφθειρόμενός τε καὶ ἀπολλύμε-

V. 7. *Ideo iis ut panther ero et ut pardus in via Assyriorum.* Ut panther et pardus velocissime eos dilaniabo et interimam, eosque in Assyriorum captivitatem abigam.

V. 8. *Occurram iis ursae orbatae instar.* Ursae pullis orbatae instar suis, et propter hanc orbitatem furibundae in occurrentes, caede maxima eos trucidabo. — *Et dilacerabo clausuram cordis eorum.* Omnes eorum cogitationes, quibus usi studiose in me peccarunt, inanes et superfluas fuisse mulcta mea iis inflicta declarabo. — *Ibique leones sylvae eos devorabunt et ferae agri eos dilaniabunt.* Hostes variis caedium modis eos trucidabunt, velut ac si leones vel aliae iis similes, ferae e sylva prorumpentes omnes dilaniarunt.

V. 9. *Perniciei tuae, Israel, quis opem feret?* Tot vexatus et absumtus malis quidnam invenies auxilium?

νος κακῶν τίνα ἂν εὕροις βοήθειαν;

ι'. Ποῦ ὁ βασιλεύς σου οὗτος; καὶ διασωσάτω σε ἐν πάσαις ταῖς πόλεσί σου· καὶ κρινάτω σε, ὃν εἶπας, δός μοι βασιλέα καὶ ἄρχοντα. ια'. Καὶ ἔδωκά σοι βασιλέα ἐν ὀργῇ μου. Οὐδὲ γὰρ ἐκ βασιλικῆς ἐπιμελείας ἢ στρατηγίας ἀποίσει τι κέρδος· ἔσται γὰρ καὶ οὗτος ἄτονος εἰς βοήθειαν, ἀντιπράττοντος ἐμοῦ· καίτοίγε [1]) ἐμοὶ δοκοῦν ἡγούμενόν σου Σαμουὴλ, ἄνδρα δίκαιον καὶ μετὰ πάσης ἀρετῆς τὴν ἱερωσύνην καὶ τὴν ἡγεμονίαν διέποντα τοῦ λαοῦ, παρεγράψασθε παντελῶς, παραπλησίως τοῖς λοιποῖς ἔθνεσι, φήσαντες, δεῖν ἔχειν βασιλέα, ὃς ἀρκέσει πρὸς τοὺς ὑπὲρ ἡμῶν πολέμους τοῖς ἀλλοτρίοις. Ἀλλὰ γὰρ ἥκει καιρὸς, ἐν ᾧ τῆς ἀβουλίας αἰσθήσεσθε τῆς οἰκείας. οὐ γάρ τι ὄφελος παρέξουσιν ὑμῖν οἱ βασιλεύειν ἐν ὑμῖν δοκοῦντες· ἅτε πασῶν τῶν ἐν ὑμῖν πόλεων ὑπὸ μίαν ἀπώλειαν πεσουμένων. Οὐ τοίνυν οὐδέ τις αὐτῶν κρίνει σοι ὡς ματαίαν παρὰ τῶν πολεμίων ἐπανάστασιν ὑπομένοντι, καί τινα παρέξει βοήθειαν ἐπὶ τούτοις· ἐπειδὴ τοῦτο πρὸς τοὺς οἰκείους τοῖς βασιλεῦσιν ἔθος ποιεῖν εἰς τὴν

V. 10. *Ubi iste tuus rex est, qui servabit te in omnibus urbibus tuis, et judicabit te, de quo dixisti: Da mihi regem et principem. V.* 11. *Et dedi tibi regem in ira mea.* Et ne a regis quidem cura, neque a militari munere ullum faciet lucrum; namque et iste ad auxilium ferendum potentia carebit, quum equidem vobis adverser. Qui enim ex meo decreto vobis imperabat, Samuelem justum et omni cum virtute sacerdotio et principatu de populo fungentem virum plane recusastis, pariter ac caeteras gentes oportet nos regem habere, dicentes, qui ad bella cum adversariis nostris gerenda sufficiat. Veniet enim tempus, quo consilio carere vos intelligetis; nam qui vobis imperant reges nihil vobis proderunt, omnibus, quotquot habetis, urbibus ad unum plane deletis. Nemo ergo tibi, quasi inanem hostium seditionem expertus sis, judicium feret, vel auxilium tunc exhibebit, quum id maxime regum intersit, ut suos ab in-

[1]) Legendum κατά γε.

τῶν ἀδικουμένων βοήθειαν. πολέμιοι δὲ νῦν πλεῖστον ὅσον τῶν βασιλευόντων ἐν ὑμῖν ὄντες δυνατώτεροι. ὁπηνίκα δὲ ᾐτεῖτε, ὡς ἐπ᾽ ἀγαθῷ ληψόμενοι τοῦ βασιλέως τὴν ἀρχὴν, θυμούμενος ἐπὶ τῇ μοχθηρίᾳ τῆς γνώμης τῆς ὑμετέρας, ὅπως[1]) ἐπέστρεψα λαβεῖν τὸν βασιλέα, ὡς ἂν μὴ ἀντιπράττειν ὑμῖν τὰ κάλλιστα ὑπὲρ ὑμῶν διαπραττομένοις δοκοίην. — Καὶ ἄνεσχον ἐν τῷ θυμῷ μου. Θυμούμενος δὲ καὶ νῦν ἐπί τε ἐκείνῃ καὶ ταῖς καθεξῆς παρανομίαις ὑμῶν, ἀφεῖλον μὲν ὑμῶν, τὴν ἐμὴν συμμαχίαν, εἴασα δὲ ὑμᾶς μαθεῖν ἐξ αὐτῶν τῶν πραγμάτων, πόσῳ δὴ ἄμεινον ὑμῖν ἦν ὑπὸ τοῖς παρ᾽ ἐμοῦ προχειριζομένοις ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ἄγεσθαι πάντα, ἢ βασιλικῇ πιστεύειν ἑαυτοὺς δυναστείᾳ.

ιβ΄. „Συστροφὴ ἀδικίας Ἐφραῒμ, ἐγκεκρυμμένη ἁμαρτία αὐτοῦ· ὠδῖνες ὡς τικτούσης ἥξουσιν αὐτῷ. Καὶ ἐπειδὴ διὰ πάντων ἐπεδείχθητε (ἀπὸ γὰρ τοῦ Ἐφραῒμ εἰωθότως ὡς ἀπὸ μέρους λέγει τὸ πᾶν) πολλήν τινα τὴν συστροφὴν καὶ τὴν ἐπιμέλειαν ἔχοντες τοῦ ποικίλως ἀσεβεῖν τε καὶ ἁμαρτάνειν εἰς ἐμὲ, ἐν μελέτῃ τε τῇ κατὰ διάνοιάν ἐστιν ὑμῖν τὸ ἁμαρτάνειν (τοῦτο γὰρ ἐγκεκρυμμένην

juriis defendant, sed hostes potentia sua reges vestros longe nunc antecellunt. Quum vero rogaretis tanquam bonum aliquid, ut regem acciperetis, licet iratus pravitati mentis vestrae, nihilominus annui vobis regem postulantibus, ne faustissima quaeuis vobis revera meditando, adversari vobis viderer. — *Et sustinui in ira mea.* Iratus vestrae, quam tunc et deinceps ostendistis, improbitati, opem meam vobis subtraxi, et vos e rebus ipsis cognoscere sivi, melius res vestras cessuras fuisse, me omnia ex meo consilio in salutem vestram ordinante, quam vobis ipsis regio muneri vos committentibus.

V. 12. *Ephraim conglobatio est improbitatis et absconditum est ejus peccatum; at dolores parturientis ei venient.* Quum omnes (universum enim populum ex parte ut solet Ephraimi nominatione indicat) coacervetis peccata, et variis erga me impietatibus quasi studeatis, et quum animae vestrae in peccando bene versatae sint (hoc enim dicit absconditum esse

[1]) f. l. ὅμως.

ἁμαρτίαν λέγει, τὸ τὰ τῆς ψυχῆς βουλεύματα ἄδηλα τοῖς ἐκτὸς ὑπάρχειν) — ὑπὲρ δὴ τούτων, φησὶ, τοιαύταις περιπεσεῖσθε τιμωρίαις, ὥστε δίκην γυναικὸς ὠδινούσης ἐν τῷ τίκτειν συνέχεσθαι ταῖς τῶν ἐπιλελοιθότων [1]) ὑμῖν κακῶν ὀδύναις.

ιγ'. Οὗτος ὁ υἱός σου ὁ φρόνιμος. Ταῦτα τῆς συνήσεως ὑμῶν τὰ ἔργα, οἳ οὐκ ἠδυνήθητε διακρῖναι πόσον ἐστὶ τὸ διάφορόν ἐμοί τε ἀρέσκειν καὶ ὑπὸ τὴν ἐπιμέλειαν εἶναι τὴν ἐμὴν, ἢ πρὸς τὰ εἴδωλα νεύειν καὶ τἀναντία τοῖς ἐμοὶ δοκοῦσιν. — Διότι νῦν οὐ μὴ ὑποστῇ ἐν συντριβῇ τέκνων αὐτοῦ. Τοιγαροῦν τοιαῦτα βουλευσάμενοι, ἐνεγκεῖν οὐ δυνήσεσθε τὴν ἀπώλειαν τὴν οἰκείαν. Εἶτα τῶν κακῶν ὑπισχνούμενος, καθὼς εἴωθε, τὴν λύσιν ἐπάγει.

ιδ'. Ἐκ χειρὸς ᾅδου ῥύσομαι αὐτοὺς, καὶ ἐκ θανάτου λυτρώσομαι αὐτούς. Ἀλλὰ γὰρ καὶ μετὰ πάντα ταῦτα, παιδεύσας αὐτοὺς τῇ τιμωρίᾳ, ἐξ αὐτοῦ μικροῦ τοῦ θανάτου πάντας ὑμᾶς ἐξέλωμαι παρὰ πᾶσαν ἀνθρωπίνην ἐλπίδα. — Ποῦ ἡ δίκη σου, θάνατε; ποῦ τὸ κέντρον σου, ᾅδη; — ὥστε σοι τότε λέγειν ἐξεῖναι ταυτὶ τὰ ῥήματα, ὁρῶντι τὸν ποικίλον ἐκεῖ-

peccatum, i. e. animi cogitationes aliis non esse perspicuas) eam ob causam in tales incidetis mulctas, ut obveniente vos calamitate mulieris parturientis instar summas dolores passuri sitis.

V. 13. *Hic est filius tuus sapiens.* Haec prudentiae vestrae opera sunt, qui discernere non potuistis, quantum differant ii, qui mihi placent meaque providentia fruuntur, ab iis, qui idola colunt et meis praeceptis repugnantia moliuntur. — *Ideo non sustinebunt contritionem filiorum suorum.* Talia quum volveritis consilia, perniciem vestram tolerare nequibitis. — Deinde vero malorum finem promittens ita pergit propheta.

V. 14. *E manu inferni eos liberabo et e morte eos redimam.* Post haec vero poena vos castigatos et in mortis potestatem paene redactos praeter omnem spem humanam liberabo. — *Ubi est poena tua o mors, et aculeus tuus, inferne?* Tunc haecce verba loqui licebit tibi, quando interemtos videbis eos, qui hanc tibi poenam inflixerunt; As-

[1]) Leg. ἐπεληλυθότων.

νον θάνατον ἐπαγαγόντων σοί τὴν τιμωρίαν, λέγει δὲ τῶν Ἀσσυρίων. — Παράκλησις κέκρυπται ἀπὸ τῶν ὀφθαλμῶν σου. Τεύξῃ γὰρ παρακλήσεως ἐπὶ τοῖς τοσούτοις κακοῖς, ἣ νῦν μὲν ἄδηλός ἐστί σοι τέως, ὄψει δὲ αὐτὴν ἐξ αὐτῶν τότε τῶν πραγμάτων.

ιε'. Διότι οὗτος ἀνὰ μέσον ἀδελφῶν διαστελεῖ. Τινὲς οὕτως ἐνόησαν, ὅτι τῶν Ἰσραηλίτων κατήγαγε μὲν εἰς αἰχμαλωσίαν τὰς δέκα φυλὰς, τοὺς δὲ τῆς Ἰουδαίας ἀφῆκε, τοῦτο δὲ οὐ κατὰ γνώμην γέγονε τῷ Ἀσσυρίῳ, ὅς γε ἠβουλήθη τήν τε Ἱερουσαλὴμ καὶ τοὺς τῆς Ἰουδαίας τὰ ὅμοια διαθεῖναι, ἐκωλύθη δὲ τῇ δυνάμει τῇ θείᾳ καὶ τῇ τοῦ ἀγγέλου πληγῇ. ὥστε οὐκ αὐτὸς διέστειλεν, ἀλλ' ἠβουλήθη τὸ μέγεθος τῶν κακῶν εἰπεῖν ὁ προφήτης, ἐν οἷς ἐξετασθήσονται ὑπὸ τοῦ Ἀσσυρίου ληφθέντες, εἰς ἀπόδειξιν ὧν αὐτὸς ὁ θεὸς παρέξει, τιμωρεῖσθαι μέλλων ὕστερον ἐκείνους [1]), ἐπειδὴ τοίνυν αἰχμαλώτους αὐτοὺς λαβὼν ὁ Ἀσσύριος διέσπειρεν αὐτοὺς τῇδε κἀκεῖσε ἐνοικίσας διαφόροις τόποις, ὡς ἂν μηδὲ ἀλλήλοις παρέχειν δύναιντό τινα συμμαχίαν, μηδὲ ἐκ συμφωνίας περὶ τῆς ἐκεῖ-

syrios dico. — *Solamen oculis tuis absconditum est.* Inter tantas has miserias consolationis particeps eris, hucusque quidem tibi ignotae, tunc vero ipsis e rebus eam experieris.

V. 15. *Namque iste inter fratres dividet.* Haec nonnulli inde illustrari putarunt, quod decem quidem Israelitarum tribus Deus in captivitatem deduxerit, Judaeos vero servaverit invito Assyrio, qui in Hierosolymam et Judaeae incolas eadem molitus a divina potentia prohiberetur et angeli poena. Itaque non ipse divisit, sed propheta magnitudinem indicare voluit calamitatum, quibus ab Assyriis vexati forent, ut inde clarum fieret, quanam ratione deinceps et illos (Judaeos) puniturus foret, vel ipsos ab Assyrio dissipatos et in varios locos huc illuc abductos, ne sibi invicem opem ferre, vel ne communia quidem de reditu suo consilia capere possent. Ita etiam beatus David, Dispersionem, ait,

[1]) Recte nos hunc locum interpretatos esse non pro certo dixerimus, verborum enim structuram ejusmodi esse apparet, ut excidisse quaedam videantur; unde obscuritas et ambiguitas loci nata est haud exigua.

θεν ἀπαλλαγῆς βουλεύοιντο ἔτι. Οὕτω δὲ λέγει καὶ ὁ μακάριος Δαϋὶδ [1]), „Τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπισυνάξει," ἵνα εἴπῃ, ὅτι διεσπαρμένους αὐτοὺς τῇδε κἀκεῖσε ἐπανάξει παρὰ πᾶσαν ἐλπίδα· καὶ ἑτέρωθι δέ [2]), „Εἰπάτωσαν δὴ οἱ λελυτρώμενοι ὑπὸ κυρίου, οὓς ἐλύτρωσεν ἐκ χειρὸς ἐχθροῦ καὶ ἐκ τῶν χωρῶν συνήγαγεν αὐτοὺς ἀπὸ ἀνατολῶν, καὶ δυσμῶν, καὶ βορρᾶ καὶ θαλάσσης," — δηλῶν ὅπως ἦσαν πολλαχοῦ διεσπαρμένοι. Τοῦτο δὴ λέγει κἀνταῦθα, ὅτι οὗτος, ὃς λαβὼν ὑμᾶς αἰχμαλώτους, καὶ εἰς ἀλλοτρίαν χῶραν ἀπαγαγὼν, εἰς πολλοὺς ποικίλους διέσπειρε τόπους, ὡς ἂν μὴ ἐπὶ ταὐτὸν ἠθροισμένοι παράκλησιν ἔχειν τινὰ δοκοίητε, ἐπιτείνοιτο δὲ μᾶλλον ὑμῖν τὰ κακὰ κατὰ διαφόρους διῃρημένους [3]) τόπους. Ταῦτα εἰρηκὼς εἰς ἀπόδειξιν τῆς τε δυνάμεως καὶ τῆς ὠμότητος, ἧπερ ἐχρήσατο κατ' αὐτῶν ὁ Ἀσσύριος, ἐπάγει. — Ἐπάξει κύριος ἄνεμον καύσωνα ἐκ τῆς ἐρήμου ἐπ' αὐτὸν, καὶ ἀναξηρανεῖ τὰς φλέβας αὐτοῦ, καὶ ἐξερημώσει τὰς πηγὰς αὐτοῦ, καὶ πάντα αὐτοῦ τὰ σκεύη τὰ ἐπιθυμητά. Ἐπάξει γὰρ αὐτῷ πολέμιον, (λέγει δὲ τὸν Βαβυλωνίων βασιλέα) ὅς ὥσπερ

Israelis reducet," quibus indicat, Deum huc illuc dispersos praeter omnem spem reducturum fore; et alio loco idem, Dicant, inquit, qui redemti sunt a Domino, „quos e manu hostis redemit, et e regionibus orientis et occidentis, et septentrionis et maris coegit;" — quibus significat, ubique eos fuisse dispersos. Eodem modo hic quoque dicit: Qui vos captivos in peregrinam terram abduxit, idem et per varios locos dispersit, ne in unum congregati solamen haberetis, sed per varios locos dispersis calamitas vobis adaugeretur. His ad declarandam vim et crudelitatem, qua Assyrii in eos usuri fuerint, dictis haec addit propheta. *Adducit dominus ventum urentem e deserto super eum, qui arefaciet venas ejus et fontes ejus exsiccabit,omniaque ejus vasa delectabilia.* Obducet iis hostem (Babyloniorum regem dicit) qui venti urentis e regione remota flantis instar, repente in eos prorumpens eum penitus delebit, et felicitatem bonorumque abundantiam, qua gaudet devastabit et in

[1]) Ps. CXLVI, 2. — [2]) Ps. CVI, 2. — [3]) f. l. διῃρημένοις.

ἔκ τινος πόῤῥωθεν κειμένης χώρας δίκην ἀνέμου καύσωνος ἀθρόον ἐπελθὼν, ὅλον αὐτὸν ἀφανιεῖ δι᾽ ὅλου, τήν τε εὐπραγίαν αὐτοῦ καὶ τὴν τῶν προσόντων ἀγαθῶν ἀφθονίαν εἰς ἐρημίαν μεταστήσας· καὶ πάντα δὴ τὰ προσόντα αὐτῷ καὶ πολλῆς ἠξιωμένα τῆς σπουδῆς ἀφανιεῖ καθάπαξ. Πρὸς γὰρ τὸ [1]) „Ποῦ ἡ δίκη σου, θάνατε, ποῦ τὸ κέντρον σου ᾅδη," ἐπῆκται, „διότι οὗτος ἀνὰ μέσον ἀδελφῶν διαστελεῖ," καὶ τὰ ἑξῆς· ὥστε εἶναι διὰ μέσου τὸ „Παράκλησις κέκρυπται ἀπὸ ὀφθαλμῶν σου," δηλοῦντος, ὅτι γενήσεται τοῦτο, ὃ νῦν αὐτοῖς ἄδηλόν ἐστι τέως. Εἶτα τὴν ἐπὶ τὸ κρεῖττον αὐτῶν μεταβολὴν εἰρηκὼς, λέγει πάλιν τὴν νῦν καθέξουσαν αὐτοὺς τιμωρίαν.

solitudinem mutabit, et pretiosa quae ei cordi sunt ad unum omnia confringet. Prioribus igitur verbis: „Ubi est poena tua o mors et aculeus tuus inferne," annectit propheta haec: „quia hic inter fratres suos dividet et quae sequuntur," interjectis illis: solamen absconditum est oculis tuis," ut eo indicet, fore quaedam, quae adhuc iis ignota sint. Jam vero postquam rerum in melius mutationem dixit, rursus mulctam futuram minatur in sequentibus.

ιϛ'. Ἀφανισθήσεται Σαμαρεία, ὅτι ἀντέστη πρὸς τὸν θεὸν αὐτῆς. ἐν ῥομφαίᾳ πεσοῦνται, καὶ τὸ ὑποτίτθια αὐτῶν ἐδαφισθήσονται, καὶ ἐν γαστρὶ ἔχουσαι αὐτῶν διαῤῥαγήσονται. Τότε μὲν οὖν, φησὶν, ἐκεῖνα παρέξει παρὰ πᾶσαν ἐλπίδα τοῖς γεγονόσιν αἰχμαλώτοις· πρὸ δέ γε ἐκείνων καταλήψεται νῦν αὐτοὺς ἀπώλεια βαρυτάτη, ὑπὲρ ὧν ἐνάντια εἵλοντο τῷ θεῷ. Πολέμου γὰρ ἐν

V. 16. *Delebitur Samaria, quoniam restitit Deo suo. gladio peribunt, et parvuli eorum collidentur, et gravidae eorum discindentur.* Tunc igitur, inquit, talia captivis evenient praeter omnem spem; priusquam autem ea fiant nunc gravissima pernicies eos arripiet, propterea quod in Deum rebellarunt. Acerrimum bellum iis immittetur, ita ut ne infantibus la-

[1]) Vide Vs. 14. 15.

πείρᾳ καταστήσονται πικροτάτου, ὡς μήτε τῶν ἔτι γαλακτοτροφουμένων παιδίων ἔλεον εἶναι τοῖς πολεμίοις, μήτε μὴν τῶν γυναικῶν τῶν ἐγκύων. Καὶ ἐπειδήπερ αὐτοὺς τῇ μνήμῃ τῶν καταληψομένων αὐτοὺς κακῶν ἐσωφρόνησεν αὐτάρκως, ἀκολουθῶν τῇ ἐπαγγελίᾳ, ἣν ἐν τοῖς ἀνωτέροις ἐποιήσατο, τὴν ἐσομένην αὐτοῖς λύσιν τῶν λυπηρῶν μηνύων ἐπάγει.

ctentibus quidem vel mulieribus gravidis parcant hostes. — Et nunc mentione eorum, quibus afficiendi essent malorum, satis iis edoctis, promissionem supra datam secutus, finem tristium indicat.

Κεφάλαιον ΙΔ΄.

α΄. Ἐπιστράφηθι, Ἰσραήλ, πρὸς κύριον τὸν θεόν σου, διότι ἠσθένησας ἐν ταῖς ἀδικίαις σου. *Ἀλλὰ γὰρ νῦν δὴ νεῦσον πρὸς τὸν θεὸν, καὶ τὰ αὐτῷ δοκοῦντα, ἀναλογισάμενος ὑπὲρ ὧν ἠσέβεις, εἰς ὅσην κατηνέχθης ἀσθένειαν· καὶ λαβὼν παρ' ἐλπίδα τῶν προσπεπτωκότων κακῶν τὴν λύσιν, ἐπιμελεῖσθαι λοιπὸν σπούδαζε τοῦ προσήκοντος.*

β΄. Ἀναλάβετε μεθ' ἑαυτῶν λόγους, καὶ ἐπιστράφητε πρὸς κύριον τὸν θεὸν ὑμῶν, εἴπατε αὐτῷ· δύνασαι πᾶσαν ἀφαιρεῖν ἁμαρτίαν, ἵνα μὴ λάβητε ἀδικίαν, καὶ ἵνα λάβητε ἀγαθά. *Τοιούτοις δὴ τισι πρὸς ἀλλήλους χρήσασθε τοῖς λόγοις, δι' ὧν πείσετε μὲν ὅλοι δι' ὅλων πρὸς θεόν. ἀναμφίβολον δὲ ἕξετε*

Caput XIV.

V. 1. *Convertere Israel ad dominum Deum tuum, quoniam in iniquitatibus tuis infirmatus es.* Nunc saltem inclina ad Deum ejusque voluntatem, reputans in quantas te immerserit impietas tua miserias. Et praeter spem finem malorum nactus in futurum jam justo operam dare stude.

V. 2. *Adhibete vobis in vicem verba et revertimini ad dominum Deum vestrum; dicito ei; „Omne peccatum condonare potes," ne in improbitatem incidatis sed bona reportetis.* Ejusmodi inter vos utamini sermonibus, qui ad Deum vos totos reducere idonei sunt; fidemque exserite dubio vacuam, Deum sa-

τὴν πίστιν, τοῦ πάσας ἀφαιρεῖν ὑμῶν τὰς ἁμαρτίας αὐτάρκως ἔχειν τὸν θεὸν, εἴπερ οὖν ὑμᾶς μεταμελομένους ἐπὶ τοῖς συμβαίνουσιν ἴδοι κακοῖς, ὡς ἂν μηκέτι πρὸς ἀσέβειαν νεύοντες, ἄφθονον ἔχοιτε τῶν ἀγαθῶν παρὰ θεοῦ τὴν χορηγίαν. — *Καὶ ἀνταποδώσομεν καρπὸν χειλέων ἡμῶν.* Καὶ προστρέψασθε πάντες ἀλλήλους, διηνεκεῖς αὐτῷ τοὺς ὕμνους καὶ τὰς εὐχαριστίας, ὑπὲρ τῶν ὑπαρξάντων ὑμῖν ἀποδοῦναι καλῶν.

tis potentem esse, qui peccata vobis condonet, dummodo malis vobis inflictis correctos vos esse neque amplius e bonis quae largitur impietatis materiam vos trahere velle videat. — *Tunc reddemus fructum labiorum nostrorum.* Perpetuoque vos invicem exhortemini, ad hymnos gratiasque deo ob beneficia vovendas.

γ'. Ἀσσοὺρ οὐ μὴ σώσῃ ἡμᾶς, ἐφ' ἵππων οὐκ ἀναβησόμεθα οὐκέτι. οὐ μὴ εἴπωμεν, θεοὶ ἡμῶν, τοῖς ἔργοις τῶν χειρῶν ἡμῶν. Οὔτε γὰρ τῆς Ἀσσυρίου λοιπὸν δεησόμεθα βοηθείας, ἀνώτεροι καθεστῶτες αὐτοῦ διὰ τὴν θείαν κηδεμονίαν, οὔτε ἵπποις χρησάμενοι νεύσομεν πρὸς φυγὴν, πάρεστι γὰρ ὁ βοηθῶν θεός. πόῤῥωθεν δεησόμεθα[1] καὶ τῆς πλάνης ἐκείνης λοιπὸν, ὥστέ τὰ παρ' ἡμῶν γινόμενα θεοὺς ὀνομάζειν. — *Ὅτι ἐν σοὶ ἐλεήσει ὀρφανόν.* ἐπιμελεῖσθε δὲ μετὰ τῆς εἰς τοὺς δεομένους συμπαθείας.

V. 3. *Assur nos non servabit; non amplius equis vehamur; neque dicemus amplius deos nostros opera manuum nostrarum.* Neque Assyriorum in posterum auxilio nobis opus erit, quippe victoriam de istis divina ope nactis, neque equis usi in fugam nos vertemus; adest enim qui nobis subsidio est, Deus. Tunc etiam ab eo errore remoti erimus, ut quae ipsi manibus nostris finximus, ea Deos nominemus. — *Nam in te miserebitur pupilli.* Cum reverentia erga Deum etiam misericordiam erga egenos sectabimini.

δ'. Ἰάσομαι τὰς κατοικίας αὐτῶν, ἀγαπήσω αὐτοὺς ὁμολόγως, ὅτι ἀπέ-

V. 4. *Sanabo habitationes eorum, eosque aperte amabo, nam ira mea ab iis discessit.*

1) f. l. δὲ ἐσόμεθα.

στρεψεν ἡ ὀργή μου ἀπ' αὐτῶν. Εἰ γὰρ δὴ τοιαῦτα, φησί, ποιεῖς, ἀκούσῃ τοῦ Θεοῦ ταῦτα ἐπαγγελλομένου τε περὶ σοῦ καὶ ποιοῦντος, καὶ ὅτι ἀποδώσει μέν σοι τὴν παλαιὰν οἴκησιν ἐπὶ τῆς αὐτῆς ἐξουσίας, ἴσην δὲ καὶ ὁμοίαν περὶ πάντας ἐπιδείξεσθαι τὴν ἀγάπην, ἅτε πᾶσαν ὀργὴν ἀφελὼν ἀφ' ὑμῶν.

ε'. Ἔσομαι ὡς δρόσος τῷ Ἰσραήλ. οὕτως αὐτὸν ἐκτρέφων τῇ παρ' ἐμοῦ κηδεμονίᾳ ὥσπερ ἡ δρόσος ἐκτρέφειν εἴωθε τοὺς καρπούς. — ἀνθήσει ὡς κρῖνον. ἐπίδοξος ἔσται παρὰ πᾶσι. — Καὶ βαλεῖ τὰς ῥίζας αὐτοῦ ὡς ὁ Λίβανος. εἰς πολυπληθίαν ἐπιδώσει δίκην ἐκείνου ταῖς κέδροις στενοχωρουμένου.

ϛ'. Πορεύσονται οἱ κλάδοι αὐτοῦ. ἐκταθήσονται ἐπὶ πλεῖστον εὐπραγίας οἱ ἐξ αὐτοῦ. Καὶ ἔσται ὡς ἐλαία κατάκαρπος, καὶ ἡ ὀσφρασία αὐτοῦ ὡς Λιβάνου. αὐτός τε διὰ τῆς ἐμῆς κηδεμονίας ἀεὶ θάλλων ἔσται τοῖς καρποῖς, καὶ λιβανώτου δίκην ἡδὺ τοῖς ἀκούουσι τὰ περὶ αὐτοῦ ἀγαθά.

ζ. Ἐπιστρέψουσι, καὶ καθιοῦνται ὑπὸ τὴν σκέπην αὐτοῦ, καὶ ζήσονται καὶ στεριχθήσονται σίτῳ. Ἐπανελθόντες ἀπολαύσουσι τῶν οἰκείων, καὶ διαμενοῦσιν ἄφθονον τῶν καρπῶν ἔχοντες τῇ ἐμῇ

Quod si ita, ait, facis, Deumque talia tibi mandantem et facientem audis, et reddet tibi veterem tuam habitationem eandemque potentiam, et aequalem eandemque erga omnes manifestabit caritatem omni in vos ira abjecta.

V. 5. *Ut ros ero Israeli* i. e. sicut ros fructus alere solet, mea cura eum alam. *Florebit ut lilium.* omnibus erit conspicuus et ab iis admiratus. *Et radices suas aget quasi Libanus* i. e. in tantam multitudinem adaugebitur, quantas in isto est cedrorum numerus.

V. 6. *Rami ejus procedent.* Posteri ejus summa gaudebunt felicitate. *Et similis erit oleaè fructiferae odoremque habebit qualis est Libani.* Ipse etiam me prospiciente fructibus semper abundabit; et rumor de eo eos, qui audiunt, thuris instar delectabit.

V. 7. *Redibunt et sub umbra ejus sedebunt; et vivent et firmabuntur frumento.* Reversi bonis suis fruentur, semperque abundantem fructuum copiam me curante habebunt. — *Et efflorebit ut vi-*

κηδεμονίᾳ τὴν χορηγίαν. — Καὶ ἐξανθήσει ὡς ἄμπελος τὸ μνημόσυνον αὐτοῦ, ὡς οἶνος Λιβάνου. οὕτως ἡδὺς ὢν καὶ προσηνὴς τοῖς ὁρῶσιν, ὡς ἄμπελός τε ἀνθοῦσα καὶ οἶνος ὁ κατὰ τὸ ὄρος τοῦ Λιβάνου γίνεσθαι εἰωθώς.

tes, memoria ejus et ut vinum Libani. Omnibus qui eum vident, ut vitis florens vinumque in Libano lectum, jucundus et delectabilis videbitur.

η'. Τῷ Ἐφραΐμ, τί αὐτῷ ἔτι καὶ εἰδώλοις; ἐγὼ ἐταπείνωσα αὐτὸν, καὶ ἐγὼ κατίσχυσα αὐτόν. Οὐκέτι δή σοι κοινωνίαν οὐδεμίαν προσῆκεν εἶναι πρὸς τὰ εἴδωλα, ἐπειδὴ μηδὲ δεηθήσῃ τι ἐκείνων· ἐγὼ γὰρ ὑπὲρ τῆς περὶ ἐκεῖνα σπουδῆς σε ταπεινώσει περιβαλὼν, μεταμεληθέντα ἐπὶ τῆς παλαιᾶς ἀνέδειξα εὐπραγίας. — Ὡς ἄρκευθος πυκάζουσα ἐξ ἐμοῦ ὁ καρπός σου εὑρήσεται. Ἐπειδὴ ἀειθαλές ἐστι τὸ δένδρον τοῦτο, λέγει, ὅτι ὡς ἐκεῖνο διαπαντὸς τὴν ἐκ τῶν φύλλων ἔχει κόμην, οὕτως ἔσονται καὶ οὗτοι, διηνεκῆ τῶν ἀγαθῶν ἔχοντες τὴν ἀφθονίαν, ὧν αὐτοῖς διὰ τῆς ἐμῆς κηδεμονίας ἀπόλαυσις προσέσται. Ἀκολούθως δὲ πᾶσι τούτοις ἐπήγαγεν ὁ προφήτης·

V. 8. *Ephraimo, quid ei amplius rei est cum idolis? Ego eum quidem afflixi, sed eundem iterum erexi.* Non amplius communionem habere cum idolis te decet, quum iis non egeas. Nam postquam antea iis studium tuum voveras afflixi te, et poenitentem te deinceps in veterem felicitatem restitui. — *Fructus tuus quasi juniperus virens me auctore invenietur.* Quum haec arbor semper viridis sit, propheta dicit, pariter ut ea semper habeat foliorum decus, ita et hos bonorum a Deo ipsis provide paratorum abundantia nunquam carere. — Post ea omnia propheta addit:

θ'. Τίς σοφὸς καὶ συνήσει ταῦτα; ἢ συνετὸς καὶ γνώσεται αὐτά; ὅτι εὐθεῖαι αἱ ὁδοὶ τοῦ κυρίου, καὶ δίκαιοι πορεύσονται ἐν αὐταῖς, οἱ δὲ ἀσεβεῖς ἀσθενήσουσιν ἐν αὐταῖς. Ἀλλὰ

V. 9. *Quis sapiens est, qui haec intelligat, vel, prudens qui cognoscat ea? Nam rectae sunt viae domini, justique iis incedunt, impii vero in iis infirmabuntur.* reapse prudentem sapientem-

γὰρ ὄντως ἄν τις ἀποφαίνοιτο· σοφὸν καὶ συνετὸν εἶναι, τὸν τῶν εἰρημένων ἔχοντα τὴν γνῶσιν, καὶ περὶ ταῦτα ἐσπουδακότα, ἀφ' ὧν ἐξέσται κεχωρισμένους τε αὐτοὺς τοῦ κακοῦ καὶ σπουδῇ μετιόντας τὸ καλὸν ἐν ἀπαλλαγῇ μὲν τῶν χειρόνων, ἐν ἀπολαύσει δὲ καθιστάναι τῶν κρειττόνων. Ἐπειδήπερ ἅπαντα τὰ παρὰ τοῦ θεοῦ πραττόμενα ὀρθότητος γέμει πολλῆς, μεθ' ἧς καὶ πταίουσιν ἐπάγει τιμωρίαν, καὶ μεταμελομένους περισώζειν ἐπίσταται· δικαίους τε ἀποφήναιτο ἄν τις τοὺς ἐν τούτοις ὄντας καὶ ἐξ ἑκατέρου τούτων ὠφελεῖσθαι ἐπισταμένους, καὶ σωφρονεστέρους μὲν ἐν ταῖς τιμωρίαις γινομένους, εἰς προτροπὴν δὲ ἀρετῆς λαμβάνοντας τῶν ἐκ τῆς μεταμελείας προσγινομένων ἀγαθῶν τὴν ἀπόλαυσιν, ἀσεβεῖς δ' ἂν ἀποφήναιτο κατὰ πάντα καὶ παντοίων ἀξίους κακῶν ἐκείνους, οἳ μηδὲν ἰσχύουσιν ἐπιγνῶναι τούτων, τῇ πρὸς τὸ χεῖρον προστετηκότες ῥοπῇ, καὶ συνιέναι διὰ τούτων τῶν δεόντων οὐδὲν οἷοι τε ὄντες.

que quisque eum habebit qui dicta intelligit eaque pro viribus sequitur. Nam iis, qui malo abalienati pulchrum sectari volunt, liberatis a calamitate felicitate frui licebit. quum quae a Deo peraguntur justitia plena sint, namque et peccantes mulctare et correctos conservare scit. Jam qui utrumque experti ex iis lucrum sibi parare sciverunt, e poenis sapientiam discentes, bonorum vero largitionem ex poenitentia perceptam ad virtutem suam perficiendam usi, eos justos merito nominabimus; impios vero et omni miseria dignos eos, qui nil horum intelligere valent et quid deceat prae nimio improbitatis amore cognoscere nequeunt.

ἙΡΜΗΝΕΙΑ ἸΩΗΛ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

COMMENTARIUS IN JOËLEM PROPHETAM.

ΠΡΟΟΙΜΙΟΝ.

Πρόκειται μὲν ἡμῖν τοῦ μακαρίου Ἰωὴλ τοῦ προφήτου τῆς σαφηνείας ἀπάρξασθαι νῦν. Ἔστι δὲ ὑπόθεσις αὐτοῦ τῶν λόγων κοινῶς εἰπεῖν, ἣ καὶ πάντων τῶν προφητῶν τὰ περὶ τὸν λαὸν ἐσόμενα μηνύειν ἐσπουδακότων, κατὰ τὴν ἐγγενομένην αὐτοῖς περὶ τοῦτο τοῦ ἁγίου πνεύματος χάριν. Ὧν ἀρχὴ μὲν γέγονε, καθὰ καὶ προέφην [1]) ὁ μακάριος Δαυΐδ, πάλαι καὶ πρόπαλαι καὶ πολὺ πρὸ τῆς τῶν πραγμάτων ἐκβάσεως ἅπαντα τὰ περὶ τὸν λαὸν ἐσόμενα κατὰ διαφόρους καιροὺς εἰρηκώς. Τὸ αὐτὸ δὴ τοῦτο καὶ παρὰ τῶν λοιπῶν ἐγίνετο προφητῶν, τὰ παρ᾽ ἐκείνου πρὸ πολλῶν ῥηθέντα τῶν χρόνων ὕστερον λεγόντων καὶ πρὸς αὐτῇ γε τῇ τῶν πραγμάτων ἐκβάσει μι-

[1]) Vid. praef. in Hos. § 1

PRAEFATIO.

Accingimur nunc ad interpretandum beat. Joëlem prophetam. Cujus sermones, in universum ut dicam, ejusdem fere sunt argumenti, quam omnium prophetarum, quippe qui pro innata sibi Spiritus sancti gratia, quae in posterum populo eventura forent, indicare jussi essent. Eorumque, ut supra dixi, princeps beatus est David, qui diu ante ipsum rerum eventum omnia quae diversis temporibus populo eventura essent, vaticinatus est. Id quod a reliquis quoque prophetis factum est, qui quae ille multis ante annis praesagiverat, serius haud diu ante ipsum rerum eventum rursus annuntiarunt,

χροῦ, ὡς ἂν ὁμοῦ τε τῶν προειρημένων ὑπομιμνήσκοιεν ἅπαντας, καὶ δὴ πλησίον ἐσόμενα λέγοντες τῶν προειρημένων μηνύοιεν τὴν ἀλήθειαν. Διαφόρων δὲ ὄντων καὶ κατὰ διαφόρους συμβάντων καιροὺς ἐκείνων, ἃ τῷ μακαρίῳ πρόσθεν ἔφαμεν εἰρῆσθαι Δαυῒδ, ἀναγκαίως τῶν προφητῶν ἕκαστος κατὰ μὲν τὸ πλεῖστον ἐκεῖνα φαίνεται λέγων, ὧν ἔγγυθεν ἐπ᾽ αὐτῶν ἡ ἔκβασις ἐδηλοῦτο τῶν πραγμάτων. συνῆπτον δὲ ἔκ τινος ἀκολουθίας ἐπὶ τοῦτο προαγόμενοι καί τινα τῶν μετὰ τούτων ἐσόμενα [1]), εἰρημένα δηλονότι καὶ αὐτὰ τῷ μακαρίῳ Δαυῒδ. Ὁ γοῦν μακάριος Ὡσηὲ τὰ παρά τε τῶν Ἀσσυρίων καὶ Βαβυλωνίων ὕστερον περὶ τὸν λαὸν ἐσόμενα λέγων, σωφρονίζειν αὐτοὺς τῇ μνήμῃ πειρώμενος ἐκείνων· ὁ δὲ Ἰωὴλ μέμνηται μὲν καὶ αὐτὸς αὐτῶν, ἅτε καὶ κατὰ τὸν αὐτὸν καιρὸν τῷ Ὡσηὲ γεγονώς, καὶ περὶ τῶν αὐτῶν εἰπεῖν κατὰ τὴν ἀποκάλυψιν τὴν πνευματικὴν ἐπιτετραμμένος, προστίθησι δὲ καὶ τὰ μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον εὐθὺς αὐτοῖς γεγονότα, ὁπηνίκα Σκυθικὸν μὲν ἔθνος αὐτοῖς ἐπελήλυθεν, οὐπεροῦν οἱ περὶ τὸν Γὼγ ἐξῆρχον ἄρδην ἅπαντας ἀπολέσαι βουλόμενον, ὤφθησαν δὲ Ἰουδαῖοι τῇ θείᾳ συμμα-

quum ut omnibus antea praedicta in memoriam revocarent, tum ut instare ea indicantes praedictorum veritatem declararent. Quum vero diversae essent res, diversisque temporibus gestae, quas a beat. Davide praedictas fuisse significavimus, quemque prophetarum ea praecipue praedicere necesse fuit, quorum eventum prope instare res ipsae docuerunt; quibus etiam alia quaedam postea futura eaque non minus a beato Davide praesagita ulterius progressi annexerunt. Beatus quidem Hoseas ea praedicendo, quae ab Assyriis et Babyloniis populo essent exspectanda, eos erudire sapientesque reddere conatus erat, Joël autem non alia commemorat, eodem cum Hosea tempore locutus, et eadem annuntiare spiritali revelatione actus. Sed addit etiam ea, quae post populi e Babylone reditum acciderunt, eo tempore, quum Scytharum gens et inter eos Gogi imprimis agmina incursionem facerent, omnia funditus eversuri, Judaei vero divino auxilio adjuti illas devincerent.

[1]) F. l. καί τινα τῶν μετὰ τοῦτο ἐσομένων.

χίᾳ κρείττους ἐκείνων. Εἴρηται δὲ καὶ περὶ τούτων τῷ μακαρίῳ Δαυὶδ ἐν ψαλμοῖς.

De quo et ipse beat. David in psalmis locutus est.

Κεφάλαιον Α΄.

Caput I.

α΄. Λόγος κυρίου, ὃς ἐγενήθη πρὸς Ἰωὴλ τὸν τοῦ Βαθουήλ. Προγραφή τις ἐστὶ καὶ αὕτη παραπλησίως τῷ Ὠσηὲ, δηλοῦσα, ὅτι ἐξ ἀποκαλύψεώς τινος ἐγγεγονυίας αὐτῷ θεόθεν κινούμενος λέγει τὰ ἑξῆς, εἰς ὠφέλειαν συντείνοντα τοῦ λαοῦ.

V. 1. *Sermo domini, factus ad Joëlem Bathuelis filium.* Et haec inscriptio quaedam est ut apud Hoseam, quae indicet, revelatione sibi divinitus data actum quae deinceps sequuntur et populi commoda spectant prophetam loqui.

β΄. Ἀκούσατε ταῦτα οἱ πρεσβύτεροι, καὶ ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν γῆν, εἰ γέγονε τοιαῦτα ἐν ταῖς ἡμέραις ὑμῶν, ἢ ἐν ταῖς ἡμέραις τῶν πατέρων ὑμῶν. Ὡς ἂν ῥαθυμότερον διακειμένους περὶ τὰ λεγόμενα διαγείρειν τῷ φόβῳ τῶν μηνυομένων πειρᾶται, ὥστε καὶ προοίμιον αὐτῷ τῶν λόγων εἶναι τὴν ἀπειλήν. Πρὸς ἅπαντας δὴ, φησὶ, τοὺς τὴν γῆν οἰκοῦντας τῆς ἐπαγγελίας ποιοῦμαι τὸν λόγον, καὶ πρό γε τῶν ἄλλων πρὸς τοὺς ἐν ὑμῖν πρεσβυτέρους καί τι καὶ πλέον εἰδέναι διὰ τὸν μακρὸν ὀφείλοντας χρόνον, εἰ δέ τι τοιοῦτο γεγονὸς ἢ κατὰ τὸν ὑμέτερον καιρὸν ἢ κατὰ τὸν τῶν ὑμετέρων πατέρων ἐπίστασθε, ὁποῖα δὴ νῦν ὑμῖν ἐποίσει θεὸς, ἐπὶ μακρῷ μὲν ὑμῶν ἀνασχόμενος τῷ

V. 2. *Audite haec senes, et auscultate quicunque terram incolitis, num acciderit tale quid vestris vel majorum vestrorum temporibus.* Tanquam languidiores et ad audiendum tardos timore eorum quae indicanda erant animos percellere studet propheta, et a minis sermonis initium sumit. Ad omnes, quicunque terram promissionis habitant, et prae caeteris ad senes, qui propter aetatem plus aliis sapere debent, dirigo sermonem meum, num forte sciatis talia vel vestris vel majorum vestrorum temporibus accidisse, qualia nunc vobis immittet Deus, quos satis diu patientia toleratos, non amplius tolerabit, quum vos malis quae passi estis,

χρόνῳ, ἀνεχόμενος δὲ μηκέτι, ἐπεὶ μηδὲν ὑμᾶς ἐκ τῆς ἀνεξικακίας ὠφελουμένους ὁρᾷ, τοὐναντίον μὲν οὖν καὶ προκόπτοντας ἐπὶ τὸ χεῖρον.

γ'. Περὶ αὐτῶν τοῖς τέκνοις ὑμῶν διηγήσασθε, καὶ τὰ τέκνα ὑμῶν τοῖς τέκνοις αὐτῶν, καὶ τὰ τέκνα αὐτῶν εἰς γενεὰν ἑτέραν. Τοιοῦτο γὰρ δὴ τῶν νῦν ἐπελευσομένων ὑμῖν τὸ μέγεθος τῶν κακῶν, ὥστε δεῖν ὑμᾶς διὰ τῶν διαδόχων τῶν οἰκείων εἰς τοὺς μετέπειτα παραπέμψαι τὴν γνῶσιν, ἵνα ἡ τῶν πραγμάτων καινότης τῇ ἀκοῇ σωφρονίζειν δύναιτο κἀκείνους.

δ'. Τὰ κατάλοιπα τῆς κάμπης κατέφαγεν ἡ ἀκρίς, καὶ τὰ κατάλοιπα τῆς ἀκρίδος κατέφαγεν ὁ βροῦχος, καὶ τὰ κατάλοιπα τοῦ βρούχου κατέφαγεν ἡ ἐρυσίβη. Τροπικῶς βούλεται τὰ ἐπεληλυθότα αὐτοῖς εἰπεῖν κακά, καὶ ὡς ἀεὶ τοῖς μετὰ ταῦτα τὰ πρότερα ἐπετείνετο. Ἐλήλυθε μὲν γάρ, φησί, Θεγλαφαλασάρ, ὁ τῶν Ἀσσυρίων βασιλεύς, ὃς δίκην κάμπης οὐκ ὀλίγα μέρη τῶν προσηκόντων ὑμῖν ἐδήωσεν· μετ' ἐκεῖνον Σαλμανασσὰρ ὡς ἀκρίς τις πλέον ἐπινενέμηθεν¹) τὰ ὑμέτερα· ἐπ' ἐκείνοις Σεναχηρεὶμ βροῦ-

non eruditos, sed contra potius improbitatis studiosos videam.

V. 3. *Narrate haec filiis vestris et filii vestri natis suis et horum nati sequenti generationi.* Tantae sunt calamitates vobis instantes, ut earum notitiam per posteros vestros sequentibus generationibus prodere debeatis, quo et ii novitate rerum auditarum ad sapientiam ducantur.

V. 4. *Quod eruca reliquit consumsit locusta, et quod locusta reliquit, consumsit scarabaeus, et quod scarabaeus reliquit, consumsit rubigo.* Tropice propheta futura significat mala, quorum alterum semper excepturum sit alterum. Venit, inquit, Theglaphalasar, Assyriorum rex, qui erucae instar rerum vestrarum haud exiguam partem igne vastavit; eumque excepit Salmanassar locustae instar bona vestra depopulatus; secutus est hos Sennacherim scarabaei instar de-

¹) F. l. πλέον ἔτι νενέμηθεν.

χου δίκην κοινὸν ἀφανισμὸν ἐπάγων ταῖς δέκα φυλαῖς τοῦ Ἰσραήλ. ἐπελήλυθεν ὥσπερ τις ἐρυσίβη πρὸς τοῖς λοιποῖς ὁ Βαβυλώνιος, ὃς καὶ τοὺς τῆς Ἰουδαίας λαβὼν κοινὸν ἁπάντων τῆς αἰχμαλωσίας πεποίηκε τὸ κακόν. Εἶτα τί βούλεται τούτων ἡ μήνυσις;

ε΄. Ἐκνήψατε οἱ μεθύοντες ἐξ οἴνου αὐτῶν καὶ κλαύσατε, θρηνεῖτε πάντες οἱ πίνοντες οἶνον εἰς μέθην, ὅτι ἐξῆρται ἐκ τοῦ στόματος ὑμῶν εὐφροσύνη καὶ χαρά. Ἀπόθεσθε δὴ τὴν μέθην, ὑφ' ἧς κατεχόμενοι νῦν διὰ τὴν πρὸς τὸ χεῖρον ῥοπὴν, οὐδὲ συνορᾶν ἐθέλετε τὸ δέον, καὶ μετάστητε εἰς δάκρυα καὶ θρήνους, εἴ πως τῇ μεταμελείᾳ τὴν παλαιὰν ἀποσμήξετε μέθην. ἐπειδὴ γὰρ οὐκέτι χαίρειν καὶ εὐφραίνεσθαι τὰ συμβησόμενα ἐᾷ, ἄμεινον εἰς μεταμέλειαν τῷ τε θρήνῳ χρήσασθαι καὶ τοῖς δάκρυσιν, ὡς ἂν ἐντεῦθεν κουφισμός τις ὑμῖν γένοιτο τῶν κακῶν. εἶτα μηνύων ὑπὲρ ὅτου ταῦτά φησι.

ς΄. Ὅτι ἔθνος ἀνέβη ἐπὶ τὴν γῆν μου ἰσχυρὸν καὶ ἀναρίθμητον, οἱ ὀδόντες αὐτοῦ ὀδόντες λέοντος, καὶ αἱ μύλαι αὐτοῦ ὡς σκύμνου (αὐτοῦ). Ἐπεληλύθασι γὰρ τῇ χώρᾳ τῇ ἐμῇ πολέμιοι πολλοί τε καὶ δυνατοὶ, οἱ λεόντων οὐδὲν

cem Israelis tribus pernicie plane evertens, et denique post hos Babylonius, ut rubigo, etiam Judae incolas victos omnes ad unum captivitatis miseriae tradidit. Sed quidnam sibi vult horum significatio?

V. 5. *Expergiscimini inebriati vino et plorate, ejulate omnes qui vinum bibitis ad ebrietatem, nam laetitia et gaudium ori vestro erepta sunt.* Rejicite ebrietatem qua nunc capti nullum justi rationem habetis; lacrymis potius fletibusque indulgete, num forte poenitentia veterem ebrietatem abstergatis. Nam quae vobis accident, laetari vos et exsultare non patientur: melius igitur est fletui et lacrimis vos dare, ut inde fortasse levamen quiddam malorum nanciscamini. Deinde quam ob rem haec dicat propheta significat.

V. 6. *Gens adscendit in terram meam valida et innumera, cujus dentes ut leonis dentes et dentes molares ut catuli leonis.* Irruperunt in terram meam hostes multi potentesque, qui quasi leones peudes dentibus suis in-

ἀφεστήκασι τοῖς ὀδοῦσι καὶ ταῖς μύλαις ταῖς οἰκείαις κατασφαττόντων τε καὶ καταναλισκόντων τῶν κτηνῶν τὰ ἐμπίπτοντα, οὕτως ἅπαντας ἀφανίζοντες τε καὶ χειρουμένοι τοῖς ὅπλοις.

ζ. Ἔθετο τὸν ἄμπελόν μου εἰς ἀφανισμὸν καὶ τὰς συκάς μου εἰς συγκλασμόν. Πάντα τὸν Ἰσραὴλ, ὃν ἀμπέλου δίκην περιεῖπον καὶ διὰ τῆς ἐπιμελείας ἐγκαλλωπίζων [1]) τῆς ἐμῆς, ἠφάνισέ τε καὶ ἀπώλεσε παντελῶς σὺν ταῖς ἐν μέσῳ συκαῖς, ἃς συνέτριψεν ἁπάσας. Αἰνίττεσθαι δὲ βούλεται τοὺς ἐν αὐτοῖς ὑπερέχοντας πλούτῳ τε καὶ δυνάμει, ἐκ τοῦ τὰ τοιαῦτα δένδρα ὑπερφέρειν τῶν φυτῶν τῆς ἀμπέλου δοκεῖν. — Ἐρευνῶν ἐξηρεύνησεν αὐτὴν καὶ ἔῤῥιψεν, ἐλεύκανε τὰ κλήματα αὐτῆς. Πᾶσαν αὐτὴν ἐκπεριελθὼν οὕτως ἀνέσπασέ τε καὶ εἰς αἰχμαλωσίαν ἀπήγαγεν, ὡς μηδὲν ἀπεοικέναι πάντας κλημάτων λευκανθέντων τε καὶ ξηρανθέντων παντελῶς, μετὰ τὸ τὴν ἄμπελον ἐκσπασθῆναι.

η΄. Θρηνήσει πρός με ὑπὲρ νύμφην περιεζωσμένην σάκκον ἐπὶ τὸν ἄνδρα αὐτῆς παρθενικόν. Τότε τῆς παρανομίας αἰσθήσονται τῆς οἰκείας, καὶ μετὰ μεγάλων νεύσουσι

ferficientes et dilacerantes, armis suis omnes interimunt delentque.

V. 7. *Vitem meam vastavit et ficus meas confregit.* Totum Israelem, quem vitis instar curabam et providentia mea ornabam, plane delevit et vastavit una cum ficubus, quas omnes confregit. Quibus homines inter illos, divitiis et potentia insignes indicat propheta, quum arbores istae inter vites magnitudine emineant. *Perscrutatus est eam ramosque ejus dealbatos abjecit.* Totam peragravit terram, incolasque evulsit et in captivitatem abduxit, ita ut ramis aridis et dealbatis similis sit, vite prorsus e terra evulsa.

V. 8. *Planget ad me magis quam sponsa accincta cilicio propter maritum juventutis suae.* Tunc improbitatem suam cognoscent, multumque lacrimantes ad me

[1]) Leg. ἐκαλλώπιζον.

πρὸς μὲ τῶν θρήνων ἀνακλάσμενοι [1]) τὰ συμβεβηκότα αὐτοῖς κακά, οὐχ ἧττον ἢ γυνὴ νεωστὶ συναφθεῖσα πρὸς γάμον, εἶτα ἀθρόον ἀποβαλοῦσα τὸν ἄνδρα, ἢ [2]) βαρύτερον τὸ πάθος τῆς ἀφαιρέσεως ἐργάζεται ἡ ὀξύτης.

θ'. Ἐξῆρται θυσία καὶ σπονδὴ ἐξ οἴκου κυρίου. Ἐνταῦθα προδήλως τὰ ὑπὸ τῶν Βαβυλωνίων προσεσόμενα αὐτοῖς μηνύει κακά. τότε γὰρ ἐπαύσατο ἡ ἐν τῷ ναῷ τοῦ θεοῦ ἐκτελουμένη λειτουργία, ὁπηνίκα τόν τε οἶκον ἐνέπρησεν ὁ Βαβυλώνιος, καὶ τοὺς ἐπὶ τῆς πόλεως αἰχμαλώτους ἔλαβεν ἅπαντας. — Πενθεῖτε οἱ ἱερεῖς οἱ λειτουργοῦντες τῷ θυσιαστηρίῳ (ι'.) ὅτι τεταλαιπώρηκε πεδία· πενθείτω ἡ γῆ, ὅτι τεταλαιπώρηκε σῖτος, ἐξηράνθη οἶνος, ὠλιγώθη ἔλαιον. (ια'.) Κατῃσχύνθησαν γεωργοί, θρηνεῖτε κτήματα ὑπὲρ πυροῦ καὶ κριθῆς, ὅτι ἀπόλωλε τρυγητὸς ἐξ ἀγροῦ. (ιβ'.) ἡ ἄμπελος ἐξηράνθη, καὶ αἱ συκαὶ ὠλιγώθησαν, ῥοιὰ καὶ φοῖνιξ καὶ μῆλον καὶ πάντα τὰ ξύλα τοῦ ἀγροῦ ἐξηράνθησαν. Ἁρμόττων μὲν οὖν τοῖς ἱερατεύουσί τε καὶ προσεδρεύουσι τῷ θυσιαστηρίῳ ὁ θρῆνος, ὅτι παν-

se convertent, mala quibus percussi sunt deflentes haud secus ac si mulier marito nuper juncta eum amiserit repente, ita ut damni celeritas gravitatem doloris adaugeat.

V. 9. *Ablatum est sacrificium et libamen de domo domini.* Hic prophetam mala a Babyloniis iis inferenda indicare apparet. Tunc enim temporis sacra in templo Dei facere desierunt, aede a Babyloniis concremata urbisque incolis in captivitatem cunctis abductis. — *Lugete sacerdotes arae ministeria facientes,* V. 10. *nam agri vastati sunt; luge terra, frumentum enim corruptum est, vinum arefactum est, et periit oleum.* V. 11. *Pudet agricolas; lugete possessiones de tritico et hordeo, nam vindemia in agro perdita est;* V. 12. *vitis arefacta est ficusque perierunt, punica palma etiam et malus et omnes agri arbores exaruerunt.* Sacrificantes araeque ministerium tenentes luctus decet, quum infecunditas ceperit agros a quibus primitias et decimas accipientes, necessariis abun-

[1]) F. l. ἀνακλαιόμενοι. — [2]) F. l. ᾗ.

τελὴς ἀφορία κατέχει τὰς πεδιάδας, ἀφ' ὧν τάς τε ἀπαρχὰς καὶ τὰς δεκατιὰς κομιζόμενοι τῶν ἀναγκαίων εἶχον τὴν ἀφθονίαν· ἁρμόττων δὲ οὐχ ἧττον θρῆνος καὶ τῇ γῇ πάντων ἀφῃρημένῃ τῶν καρπῶν, ὡς καὶ τοῖς γεωργοῦσι τὴν γῆν αἰσχύνην ἐντεῦθεν περιγίνεσθαι, ὅτε δὴ πεπονήκασι μάτην, καὶ πᾶσι δὲ τοῖς ἐπὶ τῆς χώρας κτήμασιν ὁμοίως, ὅτι μήτε τῶν ἀπὸ γῆς γινομένων μήτε τῶν ἐν δένδρεσι τικτομένων εἰσκομιζόμενόν τι κατὰ τὸ εἰωθὸς δυνατὸν ἰδεῖν. — ὅτι ᾔσχυναν χαρὰν οἱ υἱοὶ τῶν ἀνθρώπων. ἵνα εἴπῃ, ὅτι μηδενὶ πρόσεστιν ἀφορμὴ τοῦ χαίρειν αἰσχυνομένοις εἰ μὴ πενθοῖεν ἐπὶ τοσούτοις καὶ τηλικούτοις κακοῖς. δι' ἁπάντων δὲ τούτων ἀκαρπίᾳ βαρυτάτῃ κατειλῆφθαι δείκνυσι τῶν Ἰσραηλιτῶν τὴν χώραν, ὡς εἶναι διπλοῦν τὸ κακὸν, πολεμίων τε αὐτοὺς διατιθέντων τὰ χείριστα, καὶ τῆς γῆς πᾶσαν ἀρνησαμένης τῶν καρπῶν τὴν φοράν. Τί οὖν ἐπὶ τούτοις;

ιγ'. Περιζώσασθε καὶ κόπτεσθε οἱ ἱερεῖς, θρηνεῖτε οἱ λειτουργοῦντες τῷ θυσιαστηρίῳ, εἰσέλθετε, ὑπνώσατε ἐν σάκκοις λειτουργοῦντες θεῷ, ὅτι ἀπέσχηκεν ἐξ οἴκου θεοῦ ὑμῶν θυσία καὶ σπονδή. Ἐφ' ἅπασι δὲ μάλιστα πρέπον ὑμῖν τοῖς

darunt; fletus non minus quoque decet terram ipsam omnibus frugibus ita privatam, ut inde vel ipsis agricolis pudendi causa existat, quippe qui frustra laboraverint, fletuique se dent etiam omnia quae terra gignit, quum neque agri neque arbores fructus ferant, qui alioquin de iis colligi solent. — *Quoniam foedarunt gaudium hominum filii.* Nemini gaudendi occasionem esse dicit propheta, sed potius pudendi et de tot tantisque malis vehementer lugendi. His enim omnibus, summa sterilitate Israelitarum terram esse correptam, duplicemque esse ejus calamitatem, et hostibus eos gravissime vexantibus, et agris fruges ferendi vi sua nativa privatis, ostendit propheta. — Et quid porro?

V. 13. *Circumcingimini et plangite sacerdotes, ejulate, qui arae munere fungimini, intrate et pernoctate in centonibus Deo ministrantes, nam sacrificium et libamen ex aede Dei vestri ablatum est.* Prae omnibus vos, qui sacerdotio fungimini, cen-

εἰς τὴν ἱερωσύνην προβεβλημένοις, περιθέσθαι μὲν σάκκον, οὐκ ἀφαιροῦντας αὐτὸν, οὔτε εἰ καθεύδοιτε, οὔτε μὴν εἰ τὴν λειτουργίαν ἐκτελοίητε τὴν θείαν, θρήνῳ δὲ προσανέχειν καὶ κοπετῷ, ὑπὲρ ὧν πᾶσα πέπαυται ἡ καθηκόντως ἀπονεμομένη τῷ θεῷ θεραπεία.

ιδʹ. Ἁγιάσατε νηστείαν. ἐπειδὴ ἅγιον λέγεται τὸ ἐξαίρετον καὶ πολλῶν κεχωρισμένον, Ἁγιάσατε νηστείαν λέγει, ἀντὶ τοῦ, πρὸς ταύτην ἑαυτοὺς ἐκτάξατε, καὶ πάντων ἀφέμενοί τε καὶ χωρισθέντες παντελῶς, ἀφορίσατε καὶ τάξατε πρὸς τὴν ταύτης πλήρωσιν ἑαυτούς. — Κηρύξατε θεραπείαν. καὶ μηνύσατε πᾶσιν ὅπως ἂν τῶν ἀνθρωπείων ἀφέμενοι πραγμάτων τῇ τοῦ θείου προσανέχοιεν θεραπείᾳ. — Συνάγετε πρεσβυτέρους πάντας τοὺς κατοικοῦντας τὴν γῆν εἰς οἶκον θεοῦ ὑμῶν καὶ κεκράξατε πρὸς κύριον ἐκτενῶς· (ιεʹ.) οἴμοι, οἴμοι, οἴμοι εἰς ἡμέραν, ὅτι ἐγγὺς ἡμέρα κυρίου. Καὶ πάντας δὴ τοὺς ἐπὶ γῆς ὑμετέρας χώρας ἡγεῖσθαι τῶν λοιπῶν διὰ τὸν χρόνον ὀφείλοντας ἐπὶ ταὐτὸν ἀθροίσαντες, ἑπομένων καὶ τῶν λοιπῶν ὡς εἰκὸς, κοινῇ μὲν εἰσελθεῖν εἰς τὸν οἶκον ἐπείχθητε τοῦ θεοῦ, ἐν ὅσῳπερ ὑμῖν ἐστὶν ἄδεια τοῦ εἰσιέ-

tones induere eosque neque inter somnum neque res divinas ministrantes deponere, sed in luctu et fletu perdurare fas est, quum omnis ex lege debita Deo veneratio desierit.

V. 14. *Sanctificate jejunium.* Quum omne, quod est insigne et a rebus vulgaribus secretum, dicatur sanctum, sanctificate jejunium propheta dicit, pro eo: Parate vos ad jejunium, et ab omnibus vilibus rebus soluti et plane remoti, ad jejunia facienda vos segregate et idoneos vos reddite. — *Proclamate dei cultum* i. e. omnes, missis negotiis humanis deo venerando totos se dare jubete. — *Convocate senes, quicunque terram incolunt, in Dei vestri aedem, et ad Deum assidue clamate:* V. 15. *Heu mihi, heu mihi, heu mihi, diem illum! Namque instat dies domini.* Omnes quicunque ob aetatem in terra vestra prae reliquis auctoritatem habent, convocantes, sequentibus eos, ut par est, caeteris, una domum Dei ingredi properate, quamdiu id vos licet, multisque gemitibus

καὶ, μετὰ πολλῶν δὲ ἀναβοήσατε τῶν στεναγμῶν (τοῦτο γὰρ λέγει, οἴμοι, οἴμοι, οἴμοι), εὐχόμενοι, μὴ εἰς πεῖραν ἐλθεῖν τῆς ἡμέρας ἐκείνης, ἣν οὐ πόῤῥω συμβέβηκεν εἶναι κατὰ τὴν ἀπειλὴν τὴν θείαν. — *Καὶ ὡς ταλαιπωρία ἐκ ταλαιπωρίας ἥξει.* πῶς ἂν μὴ ἐπαλλήλοις ὑμῖν περιπεσεῖν ἐγγένηται τοῖς κακοῖς.

ιϛ'. *Ὅτι κατέναντι τῶν ὀφθαλμῶν ὑμῶν βρώματα ἐξηράνθη, καὶ ἐξ οἴκου θεοῦ ἡμῶν εὐφροσύνη καὶ χαρά.* ἵνα μὴ αὐτόπται γένησθε τῶν κακῶν ἐκείνων, ὅτε πολλὴ μέν τις ἔσται καὶ μεγίστη τῶν καρπῶν ἡ ἀφορία. προστεθήσεται δὲ τὸ χείριστον ἁπάντων, τὸ πᾶσαν καθῃρῆσθαι τοῦ οἴκου τοῦ θεοῦ τὴν καθήκουσάν τε καὶ ὀφειλομένην τῷ θεῷ θεραπείαν, ἣ πλείστης ὅσης εὐφροσύνης τε καὶ χαρᾶς πληροῦν ἐδύνατο τοὺς πρὸς τὸ δέον δρῶντας.

ιζ'. *Ἐσκίρτησαν δαμάλεις ἐπὶ ταῖς φάτναις αὐτῶν.* Αὗται μὲν γὰρ ὑπὸ τῆς κατεχούσης ἀδείας συνελαυνόμεναι πρὸς τὸ σκιρτᾶν τε νεύσουσι καὶ ταράττεσθαι, ὑπὸ μὲν τῆς φύσεως τὴν τροφὴν ἐπιζητοῦσαι, ὑπὸ δὲ τοῦ μὴ παρεῖναι τὸ τρέφον πρὸς ἄτακτον κινούμεναι σκίρτησιν. — *εὐρωτίασε σιτοδοχεῖα ἀπὸ τῶν χρισμάτων αὐτῶν.* ἐπειδὴ ἔθος, περιχρίεσθαι τοῦ σίτου

(quos propheta triplici verborum Heu mihi repetitione significat) clamate precantes, ne ista dies vos corripiat, quam non procul abesse e Dei minationibus haud ignoratis. — *Et quasi miseria e miseria veniet.* i. e. Ne id vobis accidat, ut invicem vos perdatis.

V. 16. *Ante oculos enim vestros alimenta perierunt, et e domo Dei nostri laetitia et gaudium (ablata sunt).* Ne ipsi, inquit, oculis vestris calamitates istas adspiciatis quando deficiet plane fructuum copia; accedit id quod miserrimum est, cultum tunc Deo debitum justumque, qui justi studiosos summa laetitia et hilaritate replere potuit, plane cessavisse in aede Dei.

V. 17. *Exsultaverunt vitulae apud praesepia sua.* Vitulae nullo custode moderatae exsultabunt effrenatae et perterritae; nativa enim vi ad cibum quaerendum commotae, et nihil invenientes ferocitate exsultabunt. — *Mucorem duxerunt horrea ab unguentis eorum.* Quum granaria securitatis causa oblinere solitum sit, nihilque

τὰς ἀποθήκας ἀσφαλείας ἕνεκεν, οὐκ ἐνόντων, φησὶ, τῶν ἐμβαλλομένων εὐρῶτα ὁ ἐπιχριόμενος ἕξει πηλὸς· ἐκ τοῦ μηδὲν ἀποτίθεσθαι καθάπαξ. — ἠφανίσθησαν θησαυροί. Πᾶς τόπος ὅντινα δήποτε εἰσδέχεσθαι καρπὸν εἰωθὼς περιττός ἔσται οὐκ ὄντων τῶν ἐμβάλλεσθαι ὀφειλόντων. — Κατεσκάφησαν ληνοί. περιτταὶ καὶ αὗται φαίνονται, οὐδενὸς εἰσκομιζομένου.

adsit, quod in iis conservetur, lutum oblitum mucescet propterea quod nihil deponatur in iis. — *Perierunt thesauri.* Non amplius opus erit locis quo recipiantur fruges, quum nihil sit, quod in iis recondatur. — *Torcularia diruta sunt;* et ea plane superflua sunt, quum nihil sit quod iis injiciatur.

ιη'. Ὅτι ἐξηράνθη σῖτος, τί ἀποθήσομεν ἑαυτοῖς. Ἀπὸ μέρους τοῦ σίτου τοὺς πάντας εἰπεῖν ἠβουλήθη καρπούς· εἰς γὰρ βεβαίωσιν τῶν προειρημένων τοῦτο βούλεται λέγειν, ὅτι τῶν καρπῶν παντελῶς ἀφῃρημένων περιττὸς πᾶς ἔσται τόπος δέχεσθαι τοὺς καρποὺς εἰωθὼς, οὐκ ὄντων τῶν ἀποτίθεσθαι μελλόντων. — Ἔκλαυσεν βουκόλια βοῶν, ὅτι οὐχ ὑπῆρχε νομὴ αὐτῶν, καὶ τὰ ποίμνια τῶν προβάτων ἠφανίσθησαν. ἀφῄρηται τῶν κτηνῶν ἡ συνήθης κατὰ χώραν τροφή.

V. 18. *Periit enim frumentum; quid nobis reservemus?* Frumentum dicit propheta, ex parte qualescunque fruges significans; his enim ad confirmanda prius dicta additis innuere vult, omnibus frugibus prorsus deletis omnem ad eas recipiendas paratum locum superfluum esse, quum nihil sit, quod recondatur. — *Ingemuerunt armenta boum, quod cibo suo non fruerentur; gregesque ovium perierunt.* Necessaria pecudibus alimenta in agris devastata sunt.

ιθ'. Πρὸς σὲ κύριε βοήσομαι, ὅτι πῦρ ἀνήλωσεν τὰ ὡραῖα τῆς ἐρήμου, καὶ φλὸξ ἀνῆψεν πάντα τὰ ξύλα τοῦ ἀγροῦ. Κοινῇ δὲ πάντες ἐπὶ τοῖς κατέχουσι κακοῖς παρά σου τῶν τηλικούτων κακῶν αἰτήσομεν τὴν λύσιν, ὅτι δίκην

V. 19. *Ad te Domine clamabo quoniam ignis consumsit decus deserti, et flamma succendit omnes arbores agri.* Tantis malis obstricti ad unum omnes abs te solutionem ex iis expetemus, quoniam tota terra cum ar-

πυρὸς ἅπασα ἡ χώρα σὺν τοῖς ἐνοῦσι δένδροις ἠφάνισται. ὡραῖα γὰρ τῆς ἐρήμου λέγει τοὺς ἐν τοῖς ὄρεσι τόπους πρὸς σπερμάτων καταβολὴν ἐπιτηδείους ὄντας, οὓς εἰώθασι κοινῷ λόγῳ ὀροπέδια καλεῖν, ἵνα οὖν εἴπῃ, ὅτι πᾶς τόπος καὶ πᾶν ξύλον ἠφάνισται, ὡς ὑπὸ πυρός τινος καταπεφλεγμένα.

κ'. Καὶ τὰ κτήνη τοῦ πεδίου ἐνέβλεψε πρὸς σὲ, ὅτι ἐξηράνθησαν ἀφέσεις ὑδάτων. Ἀπολεῖται, φησὶν, τῷ δίψει καὶ τὰ κτήνη, τῶν πηγῶν ἐκ τῆς ἄγαν ἀνομβρίας ὕδωρ οὐ δυναμένων ἐκπέμπειν. Εἶτα τῇ πλατύτητι δηλώσας τῶν κακῶν τὸ πλῆθος, ἐπάγει τὰ ὅμοια τοῖς προκειμένοις.

Κεφάλαιον Β'.

α'. Σαλπίσατε σάλπιγγι ἐν Σιὼν, κηρύξατε ἐν ὄρει ἁγίῳ μου, καὶ συναχθήτωσαν πάντες οἱ οἰκοῦντες τὴν γῆν, διότι πάρεστιν ἡ ἡμέρα τοῦ κυρίου, ὅτι ἔγγυς (β'.) ἡ ἡμέρα σκότους καὶ γνόφου, ἡμέρα νεφέλης καὶ ὀμίχλης. Τῇ τοίνυν σημασίᾳ τῆς σάλπιγγος κατὰ τὸ νόμιμον ἔθος χρησάμενοι, πάντας ἐπὶ τὸ Σιὼν συναγάγετε ὄρος, ἔνθα μοι τὴν θρησκείαν ἀποδίδοσθαι ἔθος, αὐτόθι τὸν ἔλεον αἰ-

boribus ab ea genitis tanquam ab igne vastata est. Decus enim deserti loca in montibus ad serendum apta appellat propheta, quae vulgari nomine colliculi nuncupari solent. Sensus igitur verborum est, quemque locum et quamvis arborem velut igne esse concrematam.

V. 20. *Ipsaeque agri pecudes ad te suspiciunt, quia aquarum fontes exsiccati sunt.* Siti peribunt ipsae quoque pecudes, fontibus prae nimia pluviae penuria aquam non exhibentibus. — Postquam ita propheta multitudinem calamitatum fusius huc usque indicavit, similia in sequentibus quoque annectit.

Caput II.

V. 1. *Tuba clangite in Sione, annuntiate in monte meo sacro, ut conveniant omnes terrae incolae, nam adest dies domini,* V. 2. *nam prope accessit dies tenebrarum et caliginis, dies nebulosus et ater.* Signo, ut lege sancitum est, tuba dato convenite omnes in montem Sionem, ubi honorem mihi tribui fas est, ibi exorate numen. Nam non admodum remotus est dies, quem Deus

τοῦντες τὸν θεῖον· ἐπεὶ οὐ πόῤῥω συμβέβηκεν εἶναι τὴν ἠπειλημένην ὑμῖν ἡμέραν παρὰ τοῦ θεοῦ, ἢ σκότους αὐτάρκης καὶ γνόφου πάντας πληροῦν; ὡς ἐν νεφέλῃ τινὶ καὶ ὁμίχλῃ πάντα καθεστῶτα ὁρᾷν οὐχ οἵους τε ὄντας. Καλῶς δὲ ἐπὶ Σιὼν ὄρος ἅπαντας καλεῖ, ἐν ᾧπερ κατὰ τὸ Μωσαϊκὸν ἔθος θεραπεύεσθαι ἐτέτακτο τὸ θεῖον, ὡς ἂν καὶ τοὺς τῶν δέκα φυλῶν ἀπολελοιπότας μὲν τὴν αὐτόθι τοῦ θείου θεραπείαν, ταῖς δαμάλεσι δὲ κατὰ τὴν τοῦ Ἱερωβοὰμ προσανέχοντας συμβουλὴν, ἐντρέψῃ, νῦν γοῦν τῆς μανίας ἀποστάντας ἐκείνης πρὸς τὸ Σιὼν ὄρος ἰδεῖν, καὶ τὸν τοῦ παντὸς κύριον αὐτόθι θεραπεύεσθαι τεταγμένον· ἵνα οὕτω τῶν προσδοκωμένων αὐτοῖς κακῶν λάβοιεν τὴν λύσιν. Τοῦτο γὰρ δὴ καὶ προσγεγονὸς ἐπὶ τοῦ Σεναχηρεὶμ, Ἐζεκίου βασιλεύοντος τῆς Ἰουδαίας τοῖς περὶ τὸν τόπον ἐκεῖνον οἰκοῦσιν, εὕροι τις ἂν προδήλως. — Ὡς ὄρθρος χυθήσεται ἐπὶ τὰ ὄρη λαὸς πολὺς καὶ ἰσχυρός· ὅμοιος αὐτῷ οὐ γέγονεν ἀπὸ τοῦ αἰῶνος, καὶ μετ᾽ αὐτὸν οὐ προστεθήσεται ἕως τῶν εἰς γενεὰς γενεῶν. Δίκην γὰρ ὄρθρου κατὰ τὸν οἰκεῖον καιρὸν ἅπασαν πληρώσαντος τὴν γῆν, ἀναρίθμητός τις ἐπελεύσεται λαὸς τῶν πολεμίων, ἅπαντα πληρῶν

vobis comminatus est, omnes vos caligine et tenebris involuturus, ut tanquam nebulis et nubibus tecti nihil cernere queatis. Egregie vero omnes in Sionem montem vocat, in quo secundum Mosaica praecepta Deum colere jussi erant; hac enim ratione etiam decem tribuum cives, qui istum Dei cultum relinquentes, Jeroboamo suadente vitulis sacra fecerunt, hortatur propheta, ut nunc saltem abjecta vesania illa, ad Sionem montem et verum omnium dominum, quem illic venerari jussi erant, se converterent, et ita eorum, quae iis exspectanda erant, malorum finem et solutionem impetrarent. Et hoc Senacherimi temporibus, Ezechia istius loci incolis imperitante factum esse, quilibet facile cognoscere potest. — *Aurorae instar multus potensque populus super montes se diffundet, qualis nec antea unquam fuit, nec postea per omnes generationes erit.* Aurorae suo tempore universam terram replentis instar innumerabile hostium agmen apparebit omnes montes repleturum, cui neque antea si-

τὰ ὄρη, ᾧ μήτε γέγονε παραπλήσιος πρότερον, ἀλλ' οὐδὲ ἔσται ῥᾳδίως.

γ'. Τὰ ἔμπροσθεν αὐτοῦ πῦρ ἀνάλισκον, καὶ τὰ ὄπισθεν αὐτοῦ ἀναπτομένη φλόξ. ἅπαντα κύκλοθεν διὰ τῆς οἰκείας ἐπιβάσεως ἀφανιεῖ δίκην πυρός. — Ὡς παράδεισος τρυφῆς ἡ γῆ ἔμπροσθεν αὐτοῦ, καὶ τὰ ὀπίσω αὐτοῦ πεδίον ἀφανισμοῦ. οὓς μὲν γὰρ οὔπω τόπους ἐπελήλυθεν ἴδοι τις ἂν παραδείσου μηδὲν ἀπεοικότας, τῷ τε πλήθει τῶν οἰκούντων καὶ τῷ τῶν οἰκοδομήτων κάλλει, παραγεγονότος δὲ ἀθρόον ἅπασαν ἐκείνην ἀφανιζομένην ἐστὶν ἰδεῖν τὴν εὐπρέπειαν. — Καὶ ἀνασωζόμενος οὐκ ἔστιν ἐπ' αὐτοῦ. Χαλεπὸν γοῦν τινὶ διαφυγεῖν τὴν ὁρμὴν τὴν ἐκείνου.

δ'. Ὡς ὅρασις ἵππων ἡ ὅρασις αὐτῶν, καὶ ὡς ἵππος οὕτω καταδιώξονται. (ε'.) ὡς φωνὴ ἁρμάτων ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων ἐξαλοῦνται, καὶ ὡς φωνὴ φλογὸς πυρὸς κατεσθιούσης καλάμην, καὶ ὡς λαὸς πολὺς καὶ ἰσχυρὸς, παρατασσόμενος εἰς πόλεμον. Τὸ ὡς, οὐ κατὰ ὁμοίωσιν λέγει, ἀλλά κατὰ ἀφήγησιν, οἷόν ἐστι τὸ [1])

mile exstitit neque erit facile unquam.

V. 3. *Praecedit eum ignis consumens omnia, et flamma eum sequitur cuncta cremans.* Ignis instar incursione sua omnia undique delebit. — *Terra ante eum paradiso amoenissimo similis erat, post eum vero desertum vastatum erit.* Regiones nondum ab eo tactas et incolarum multitudine et aedificiorum pulchritudine paradiso simillimas, dicit propheta, eam vero gloriam, isto adveniente repente fore deletam. — *Nec quisquam est, qui ex eo evadat:* difficillimum erit impetum ejus effugere.

V. 4. *Sicut adspectus equorum (est) adspectus eorum et sicut equites sic persequentur.* V. 5. *Sicut vox curruum in verticibus montium exsilient et sicut vox flammae ignis devorantis stipulam, et sicut ingens potensque populus praeparatus ad proelium.* Vocula ὡς non ad similitudinem indicandam utitur h. l. pro-

[1]) Ps. LXXII., 1.

„Ὡς ἀγαθὸς τῷ Ἰσραὴλ ὁ Θεὸς," ἀντὶ τοῦ, ἀγαθός. τοῦτο γὰρ δὴ κἀνταῦθα λέγει, ὅτι πολλὴν μέν ἐστιν ἰδεῖν αὐτῷ προσοῦσαν τὴν ἵππον· φοβεροὶ δέ τινες οἱ ἐπὶ τῶν ἵππων ἐλαύνοντες κατὰ τῶν ἐναντίων, ἅρματά τε αὐτῷ πλεῖστα ἄχρι τῶν ὑψηλοτάτων χρώμενα ταῖς ἐφόδοις, ἀπεοίκασί τε οὐδὲν πυρὸς ἀπονεμομένου καλάμην, οὕτως ἅπαντας ἐπιόντες οὓς βούλονται τόπους· εἰσὶ γὰρ πολλοί τινες καὶ ἄγαν ἀνδρεῖοι, παντὸς μᾶλλον εἰς πόλεμον παρεσκευασμένοι.

pheta, sed ad rem simpliciter narrandam, ut in verbis illis: „Quam bonus est Deus Israëli, hoc est, bonus est. Ita hic quoque nil aliud significat quam, ingentem equorum hosti esse numerum, terribilesque esse eos, qui equis vehentes in adversarios irruant, plurimosque currus qui vel summos montes ingredi possint, nihilque differre hostes ab igne spinas consumente, quoscunque enim velint locos eos adire, potentes quippe numero validosque et prae omnibus ad bellum paratos.

ϛ΄. Ἀπὸ προσώπου αὐτοῦ συντριβήσονται λαοὶ, πᾶν πρόσωπον ὡς πρόσκαυμα χύτρας. Πλείστους γοῦν ὡς εἰκὸς διὰ τῆς οἰκείας ὁρμῆς ἀφανιοῦσιν, ὥστε δοκεῖν ἅπαντας τοὺς ὑποπεπτωκότας αὐτῷ ἐοικέναι χύτρᾳ ὑπὸ πυρὸς κατακεκαυμένῃ. Καὶ ἐπιμένων τῷ διηγεῖσθαι τὰ κατ' αὐτὸν, ὡς ἂν μείζονα τοῖς ἀκούουσιν ἐνθείη τὸν φόβον.

V. 6. *A facie ejus populi conterentur; et omnis vultus erit sicut olla adusta.* Hic igitur, pergit propheta, impetu suo plurimos delebunt, ita ut omnes, in quos incidunt, ollae pares sint igne adustae. — Perdurat propheta in enarrandis eorum factis, ut etiam majorem audientibus injiciat metum.

ζ΄. Ὡς μαχηταὶ δραμοῦνται καὶ ὡς ἄνδρες πολεμισταὶ ἀναβήσονται ἐπὶ τὰ τείχη. Μετὰ πολλῆς μὲν ὀξύτητος ἐπὶ ταῖς μάχαις ὁρμῶσι, μετὰ πολλοῦ δὲ τοῦ θράσους καὶ τοῖς τείχεσιν ἐπελεύσονται τῶν πόλεων, οὐδὲ τὴν ἐκεῖθεν ὑφο-

V. 7. *Sicut milites current, et sicut bellatores muros ascendent.* Magna, ait, cum velocitate in aciem ruunt multaque cum audacia muros quoque urbium ascendunt interitum inde minitantem non veriti. — *Sua quis-*

ρώμενοι βλάβην. — Ἕκαστος ἐν τῇ ὁδῷ αὐτοῦ πορεύσεται, καὶ οὐ μὴ ἐκκλινῶσι τὰς τρίβους αὐτοῦ, καὶ ἕκαστος ἀπὸ τοῦ ἀδελφοῦ αὐτοῦ οὐκ ἀφέξεται. Συντεταγμένοι κέχρηνται τῷ πολέμῳ, οὐδενὸς δεξιᾷ οὐδὲ ἀριστερᾷ ἐκκλίνοντος πώποτε, ἀλλ' ἑκάστου μὲν τὴν ὡρισμένην τε καὶ τεταγμένην ἀνύοντος ὁδὸν, πάντων δὴ μετὰ πολλῆς τῆς συμφωνίας ἐπὶ τὸν πόλεμον τὴν ὁρμὴν ποιουμένων.

que via incedunt, neque deflectunt de semitis suis, neque quisquam a fratre suo recedet. Justo ordine in aciem progrediuntur nemine ad dextram aut sinistram unquam deflectente, sed suum quovis praescriptum et constitutum iter tenente, et omnibus uno animo communiter belli impetum facientibus.

η'. Καταβαρυνόμενοι ἐν τοῖς ὅπλοις αὐτῶν πορεύσονται, καὶ ἐν τοῖς βέλεσιν αὐτῶν πεσοῦνται, καὶ οὐ μὴ συντελεσθῶσι. Μέγιστον καὶ τοῦτο πρὸς ἀπόδειξιν τοῦ πρὸς πόλεμον παρεσκευάσθαι τὸ μηδὲ πώποτε τῶν ὅπλων ἔξω γίνεσθαι τῶν οἰκείων· τοῦτο γὰρ λέγει τὸ οὔτε ὁδοιποροῦντες ἀποτίθενται τὰ ὅπλα, ἥδιον αὐτῶν ἀνεχόμενοι τὸ βάρος ἢ ἄοπλοι δεικνύμενοι τοῖς ὁρῶσιν. Οὔτε εἰ πρὸς ἀνάπαυσιν νεύοιέν ποτε ἔξω τῶν ὅπλων γίνονται τῶν οἰκείων. Τὸ γὰρ πεσοῦνται ἀντὶ τοῦ ἀναπεσοῦνται καὶ ἀνακλιθήσονται λέγει, βουλόμενος εἰπεῖν, ὅτι μετὰ τῶν ὅπλων πορεύονται καὶ ἀνακλίνονται· διὸ καλῶς ἐπήγαγε, Καὶ οὐ μὴ συντελεσθῶσιν, ἀντὶ τοῦ, πέρας οὐκ ἴσασι τοῦ πολέμου, πάντοτε δὲ ἐν ὅπλοις τε εἰσὶ καὶ πολέμοις.

V. 8. *Armis suis onerati incedent, et cum jaculis suis cadent, neque desinent.* Gravissimum hoc argumentum, quam acriter bello gerendo sint intenti, quod nunquam arma exuunt sua, hoc enim indicat verbis, Neque in itinere arma deponunt, onus enim ferre quam inermes adspicientibus se exhibere malunt. Neque si quietem capiunt arma deponunt. Nam cadent dicit propheta pro: recumbent et corpus prosternent, ut indicet eos cum armis et iter facere et recumbere. Ideoque bene addidit verba: Neque desinent, hoc est, finem belli ignorant, sed semper in armis et bellis versantur.

θ'. Τῆς πόλεως ἐπιλήψονται καὶ ἐπὶ τῶν τειχέων αὐτῶν δραμοῦνται, ἐπὶ τὰς οἰκίας ἀναβήσονται καὶ διὰ θυρίδων εἰσελεύσονται ὡς κλέπται. Μετὰ πολλῆς μὲν τῆς δυνάμεως χειροῦνται τὰς πόλεις, οὐδὲ ἀνατρέχειν ὀκνοῦντες μετὰ τῶν ὅπλων ἐπὶ τὰ τείχη, εἰσεληλυθότες δὲ ἅπασαν ἐπινέμονται τὴν πόλιν, ὥστε καθ' ἑκάστην οἰκίαν καὶ διὰ θυρίδων εἰσιέναι ἐπὶ τῷ πάντα ἀφελεῖν τὰ ἐνόντα· τὸ γὰρ Ὡς κλέπται τοῦτο λέγει, ἀντὶ τοῦ, ἐπὶ τῷ πάντα ἀφελεῖν καὶ κλέψαι.

V. 9. *Urbem capient et in muris current, in domus descendent, et per fenestras intrabunt velut fures.* Magna cum vi urbes expugnant, armis muros ascendentes, urbemque ingressi totam eam pervadunt, et in singulas aedes per fenestras intrant, ut omnia quae in iis sunt praedentur. Hoc in animo habuit propheta dicendo: ut fures i. e. ut omnia furentur et praedentur.

ι'. Πρὸ προσώπου αὐτοῦ συγχυθήσεται ἡ γῆ καὶ σεισθήσεται ὁ οὐρανὸς, ὁ ἥλιος καὶ ἡ σελήνη συσκοτάσουσι, καὶ τὰ ἄστρα δύσουσι τὸ φέγγος αὐτῶν. Ἔοικε μὲν ὁ προφήτης ὑπερβολικῶς τὰ πολλὰ λέγειν εἰς μείζονα ἔκπληξιν τῶν ἀκουόντων, ἐπειδὴ ὁποῖα ποτ' ἂν ᾖ τὰ λεγόμενα, λείπεται τῶν ἔργων· δῆλος δ' ἔσται κἀνταῦθα οὐ τὰ στοιχεῖα λέγων συγχεῖσθαι καὶ μετατίθεσθαι, ἀλλ' ἐπειδὴ τοῖς ἐν κακοῖς ἐξεταζομένοις ἴδιόν ἐστι, τὰς ὑπολήψεις πρὸς τὴν κατέχουσαν μεθίστασθαι πολλάκις ἀνάγκην· τοῦτο οὖν λέγει, ὅτι συγχύσεως πληροῦται ἐπιόντος αὐτοῦ τὰ κατὰ γῆν, δοκεῖ δὲ τοῖς ἐν τῇ γῇ τοιαῦτα πάσχουσι παρ' αὐτοῦ καὶ ὁ

V. 10. *Coram iis confundetur terra coelumque commovebitur, sol et luna deficient, et sidera splendorem amittent.* Hyperbolice propheta loqui videtur, ut majorem audientibus excitet metum, quum quaecunque his dicat, cum rerum natura non consonent. Apparet autem, eum non dicere, elementa fore confusa et mutata, sed ex more eorum loqui qui calamitate impliciti, suspiciones suas pro ipsis necessitatibus habere solent. Propheta igitur dicit, appropinquante isto omnia in terra confusa fore, imo iis qui talia patiantur ab eo, etiam coelum quassatum moveri so-

οὐρανὸς σαλεύεσθαι, καὶ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ τὰ ἄστρα μηκέτι φαίνειν, τῆς τῶν κακῶν βαρύτητος ἀφαιρουμένης τῶν παθόντων τοῦ φωτὸς τὴν αἴσθησιν.

ια'. Καὶ κύριος δώσει φωνὴν αὐτοῦ πρὸ προσώπου δυνάμεως αὐτοῦ, ὅτι πολλή ἐστι σφόδρα ἡ παρεμβολὴ αὐτοῦ, ὅτι ἰσχυρὰ ἔργα λόγων αὐτοῦ· διότι μεγάλη ἡ ἡμέρα τοῦ κυρίου, μεγάλη καὶ ἐπιφανὴς σφόδρα· καὶ τίς ἐστιν ἱκανὸς αὐτῇ; Ἐπιφθέγξεται δὲ τοῖς γινομένοις καὶ ὁ θεὸς, οὗπερ οὖν γνώμῃ ταῦτα διὰ τὴν οἰκείαν πείθεσθαι κακίαν, ὥστε τότε μὲν ὑμᾶς γνῶναι τὴν παράταξιν ταύτην οὖσαν [1]), οὗπερ οὖν κεκίνηται γνώμῃ, γνῶναι δὲ καὶ ὅση ἐστι τῶν λόγων αὐτοῦ ἡ ἰσχὺς, πάλαι μὲν εἰρηκότος, ὅτεπερ ἠπιστεῖτο τοῖς λεγομένοις, ὕστερον δὲ αὐτὰ ἐξάξοντος εἰς ἔργον, καὶ δείξοντος ὅτι πᾶς λόγος αὐτοῦ ἔργον ἐστὶν ἰσχυρὸν, ὅτι τε οὕτω μεγάλη καὶ ἐπιφανὴς ἡ τῶν ἐπιόντων ὑμῖν κακῶν ἡμέρα τότε ἔσται κατὰ τὴν γνώμην τὴν θείαν, ὡς μηδὲ εἶναί τινα δυνατὸν τῶν τότε γινομένων κακῶν ὑποφέρειν τὸ μέγεθος. — Διηγησάμενος δὲ τῶν πολεμίων τὴν βαρύτητα ἐν τούτοις ἐπάγει.

lemque lunamque et stellas lucem non amplius edere visum iri, ademto quippe afflictis ob necessitatis gravitatem visus sensu.

V. 11. *Et Deus vocem edet coram exercitu suo, nam magna sunt castra ejus, et potentia operà sermonis sui; quoniam magna est dies domini, magna admodum et illustris; et quis est, qui eam sustineat?* Rebus gestis acclamabit Deus, quo auctore haec patiemini propter improbitatem vestram. Unde fiet, ut tunc cognoscatis ** ut intelligatis etiam, quanta sit sermonum ejus vis, ut qui, quae antea iis locutus est fidem denegantibus tunc temporis hominibus, ea postea exsecuturus sit, et quemcunque sermonum suorum firmum opus esse, et diem malorum vobis instantium ex Dei decreto tam terribilem et insignem esse, manifestaturus, ut gravitatem calamitatum istarum tolerare nemo queat. — Jam vero hostium crudelitate descripta ita pergit propheta:

[1]) Hoc loco quaedam excidisse, eoque sensum turbatum esse in aprico est. Pro πείθεσθαι leg. πείσεσθε; sed quid de caeteris verbis faciam me ignorare libenter profiteor.

ιβ'. Καὶ νῦν λέγει κύριος ὁ θεὸς ὑμῶν· ἐπιστράφητε πρὸς μὲ ἐξ ὅλης τῆς καρδίας ὑμῶν ἐν νηστείᾳ, καὶ ἐν κλαυθμῷ, καὶ ἐν κοπετῷ, (ιγ'.) καὶ διαῤῥήξατε τὰς καρδίας ὑμῶν καὶ ἐπιστράφητε πρὸς κύριον τὸν θεὸν ὑμῶν· ὅτι ἐλεήμων καὶ οἰκτίρμων ἐστὶ, μακρόθυμος καὶ πολυέλεος, καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις. Ἀλλὰ γὰρ καὶ τούτων οὕτως ἐχόντων, φέρε δὴ, πάντες μεταβαλώμεθα τὸν λογισμὸν ἐκ τοῦ χείρονος ἐπὶ τὸ κρεῖττον, καὶ νεύσωμεν ἅπαντες ὁλοκλήρῳ τῇ διανοίᾳ πρὸς τὸν θεὸν, νηστείαις, καὶ κλαυθμῷ, καὶ κοπετῷ κεχρημένοι, καὶ μὴ τὰ ἱμάτια ἑαυτῶν διαῤῥηγνῦντες, διόπερ ἔθος ὑμῖν οὐκ ἐκ διαθέσεως πολλάκις ποιεῖν, τὰς καρδίας δὲ ἑαυτῶν διανοίγοντές τε καὶ γυμνὰς προσάγοντες τῷ θεῷ, ὡς ἂν τὴν παλαιὰν ἀποθέμενοι κακίαν, δῆλοι γένησθε τῆς περὶ αὐτὸν ἀντεχόμενοι γνώμης· οὐ γὰρ ἀπεικὸς ἄγαν ὄντα φιλάνθρωπον καὶ πολλῇ τῇ ἀνεξικακίᾳ περὶ τοὺς ἁμαρτάνοντας κεχρημένον, μεταγνῶναι ἐπὶ τοῖς κακοῖς οἷς ἐπαγαγεῖν ὑμῖν ἐβουλεύσατο.

V. 12. *Et nunc dicit dominus Deus vester: redite ad me toto corde vestro cum jejunio, lacrimis et planctu;* V. 13. *et scindite corda vestra, rediteque ad dominum Deum vestrum. Nam benignus est et misericors, tardus ad iram, clementia plenus, et poenitet eum malorum.* At quamvis ea ita sint, mutata in meliorem partem mente, toto animo ad Deum nos vertamus, jejuniis et lacrimis et planctu usi, non tam vestes scindentes vestras, quod etiam mala mente facere vobis mos erat, sed corda vestra aperientes nudaque Deo offerentes, ut deposita vetere improbitate, ejus voluntati vos obedire velle perspicuum sit. Non enim absonum est, Deum, ut qui admodum homines amet, multaeque sit erga peccantes patientiae, sententiam mutare suam quoad mala vobis inferenda.

ιδ'. Τίς οἶδεν εἰ ἐπιστρέψει καὶ μετανοήσει, καὶ ὑπολείψεται ὀπίσω αὐτοῦ εὐλογίαν καὶ θυσίαν καὶ

V. 14. *Quis novit, an reconcilietur et poeniteat eum et relinquat post se benedictionem et sacrificium et*

σπονδὴν κυρίῳ τῷ θεῷ ὑμῶν; Εἰ γὰρ καὶ μὴ πᾶσιν ἡμῖν δῆλον εἶναι τοῦτο συμβέβηκεν ὑπὸ τῆς συνειδήσεως πληττομένοις τῆς οἰκείας, ἀλλὰ σφόδρα γε εἰδέναι προσῆκεν ἡμᾶς, ὡς εἰ μεταβαλοίμεθά τε καὶ νεῦσαι βουληθείημεν πρὸς αὐτὸν, μεταμεληθήσεται μὲν καὶ αὐτὸς ἐφ' οἷς καθ' ἡμῶν ἀπεφήνατο, χαριεῖται δὲ ἡμῖν ἐν τῷ μετὰ ταῦτα χρόνῳ τῶν οἰκείων ἀγαθῶν τὴν χορηγίαν (τοῦτο γὰρ εὐλογίαν φησὶν), ὧν πρῶτον ἡμῖν ἔσται γνώρισμα τὸ μεταλαβεῖν τῆς ἐξουσίας τοῦ θυσίας τε καὶ σπονδὰς αὐτῷ κατὰ τὸ εἰωθὸς προσάγειν. Εὔδηλον γὰρ, ὅτι εὐλογεῖν λέγεται ὁ θεὸς τῷ ταῖς οἰκείαις εὐεργετεῖν δωρεαῖς, ὅθεν καὶ εὐλογίαν τὴν τοιαύτην κέκληκε δωρεάν. εἶτα ἐπάγει.

ιε'. Σαλπίσατε σάλπιγγι ἐν Σιὼν, ἁγιάσατε νηστείαν κηρύξατε θεραπείαν, (ιϛ'.) συναγάγετε λαὸν, ἁγιάσατε ἐκκλησίαν, ἐκλέξασθε πρεσβυτέρους, συναγάγετε νήπια θηλάζοντα μαστούς. ἐξελθέτω νύμφιος ἐκ τοῦ κοιτῶνος αὐτοῦ, καὶ νύμφη ἐκ τοῦ παστοῦ αὐτῆς. Τῇ αὐτῇ γὰρ, φησὶ, καὶ οὕτω φιλανθρώπῳ γνώμῃ τοῦ θεοῦ κεχρημένου, τοῦτο ποιητέον ὑμῖν τὸ πάντας μὲν ἐπὶ τὸ Σιὼν ὄρος ταῖς

libamen domino Deo vestro. Etiamsi forte haec non omnibus nobis utpote a conscientia mali territis perspicuum sit, haud ignorare tamen nos oportet, dummodo conversi ad eum inclinare voluerimus, et ipsum ira sua in nos, quam antea declaraverat, deposita, posteriori tempore bonorum suorum (quae propheta benedictionem appellat) abundantiam nobis largiturum esse, eamque ob causam primum nos sacrorum pro solito more faciendorum libaminumque offerendorum recuperaturos esse libertatem Benedicere enim Deus dicitur dona sua largiendo, ideoque benedictionem talem hic quoque significavit propheta. Deinde addit.

V. 15. *Tuba clangite in Sione, sanctificate jejunium, proclamate Dei cultum.* V. 16. *Convocate populum, sanctificate concionem, eligite senes, convocate parvulos subrumos; sponsus prodeat e conclavi suo et sponsa e suo penetrali.* Deo tam clementem humanumque se erga nos gerente, nostrum est, omnes in Sionem montem convocare tubarum signo, jejunium vero segregare et pro-

τῶν σαλπίγγων συναγαγεῖν σημασίαις, ἀφορίσαι δὲ καὶ κηρύξαι νηστείαν ἐπὶ θεραπείαν τοῦ θεοῦ, συναγαγεῖν δὲ ἅπαντα τὸν λαὸν, ὡς ἂν ἀθροισθέντες εἰς ἐκκλησίαν ἐκτάξειαν ἑαυτοὺς ἐπὶ τῇ μεταμελείᾳ τῆς γνώμης· παρόντων μὲν τῶν παλαιοτέρων καθ' ἡλικίαν, παρόντων δὲ καὶ τῶν νηπίων ἄχρι τῶν θηλαζόντων, καὶ μὴν καὶ τῶν νεωστὶ γεγαμηκότων ἀφισταμένων τῆς γαμικῆς εὐφροσύνης, διὰ τὴν τῆς μετανοίας ἐπιμέλειαν· ὥστε συντόμως εἰπεῖν ἅπασαν ἡλικίαν καὶ πάντα ὀντιναοῦν ἐν ὅτῳ δήποτε καθεστῶτα παρεῖναι τῇ μεταμελείᾳ, τῶν λοιπῶν ἀφεμένους ἁπάντων.

clamare, ad Deum venerandum, itemque omnem populum congregare, ut in unum coacti in concionem se componant mutatamque suam mentem declarent. Adsint et aetate provectiores et juniores non exceptis subrumis; et qui nuper matrimonia inierunt, a laetitia nuptiali sibi temperantes, poenitentiae operam dent; breviter ut dicam, homines cujusvis aetatis, qualescunque sint, qualicunque vitae utantur ratione, relictis reliquis poenitentiae agendae causa adsint.

ιζ'. Ἀναμέσον τῆς κρηπῖδος καὶ τοῦ θυσιαστηρίου κλαύσονται οἱ ἱερεῖς οἱ λειτουργοῦντες κυρίῳ, καὶ ἐροῦσι· φεῖσαι κύριε τοῦ λαοῦ σου, καὶ μὴ δῷς τὴν κληρονομίαν σου εἰς ὄνειδος, τοῦ μὴ κατάρξαι αὐτῶν ἔθνη, ὅπως μὴ εἴπωσιν ἐν τοῖς ἔθνεσι· ποῦ ἐστὶν ὁ θεὸς αὐτῶν; Πάντες δὲ πρὸ τοῦ θυσιαστηρίου στάντες οἱ πρὸς τὸ τῆς ἱερωσύνης ἔργον προβεβλημένοι καὶ εἰς τὴν λειτουργίαν ἐκτεταγμένοι τὴν θείαν, μετὰ κλαυθμῶν αἰτείτωσαν παρὰ τοῦ θεοῦ τὴν καταλλαγὴν, ὡς ἂν φείσαιτό τε τοῦ λαοῦ τοῦ οἰκείου καὶ μὴ παντελῶς αὐτοὺς ἐκδοίη

V. 17. *Inter altare ejusque fundamentum sacerdotes Domino ministrantes lacrimabundi dicent: Parce, domine, populo tuo, neque haereditatem tuam opprobrio exponas, ne gentes eis imperent, neque dicant inter gentes: Ubi est eorum Deus?* Qui sacerdotii negotiis fungentes penes aram stant, et quibus ministerium divini cultus commissum est, omnes cum fletu a Deo redemtionem expetant, ut populo suo parcat neque totum in potestatem hostium tradat, eosque gentium ludibrio relinquat, propterea quod frustra Dei sin-

τῇ τῶν ἐθνῶν ἐξουσίᾳ, μηδὲ καταλίποι παρὰ τοῖς ἔθνεσιν ὀνειδιζομένους, ὅτι δὴ μάτην ἐπὶ τῇ πρὸς Θεὸν σεμνυνόμεθα οἰκειώσει. Τούτοις ἐπάγει.

ιη'. Καὶ ἐζήλωσε κύριος τὴν γῆν αὐτοῦ, καὶ ἐφείσατο τοῦ λαοῦ αὐτοῦ. οὐχ ὡς ἤδη γεγονὸς μηνύων, ἀλλὰ τὸ ἐσόμενον λέγων· ζηλώσει γὰρ καὶ φείσεται ὑμῶν, φησὶν, εἰ μεταμελομένους τε ἴδοι καὶ τὰ προκείμενα ποιοῦντας. Ἐνήλλακται δὲ ὁ χρόνος κατὰ τὸ ἑβραϊκὸν ἰδίωμα, ἀντὶ τοῦ φείσεται τὸ ἐφείσατο εἰπόντος, ὅπερ οὖν καὶ ἀπὸ τῶν ψαλμῶν ἐν ἑτέροις ἐδείξαμεν· πρόδηλον γὰρ ὅτι οὐ γεγονότα λέγει, ἐξ ὧν μετὰ τὴν μήνυσιν ταύτην αὐτοῖς ἐπελήλυθε τὰ κακά.

ιθ'. κ'. Καὶ ἀπεκρίθη κύριος καὶ εἶπε τῷ λαῷ αὐτοῦ. Ἰδοὺ ἐγὼ ἐξαποστελῶ ὑμῖν τὸν σῖτον καὶ τὸν οἶνον καὶ τὸ ἔλαιον καὶ ἐμπλησθήσεσθε αὐτῶν, καὶ οὐ δώσω ὑμᾶς οὐκέτι εἰς ὀνειδισμὸν ἐν τοῖς ἔθνεσιν, καὶ τὸν ἀπὸ βοῤῥᾶ ἐκδιώξω ἀφ' ὑμῶν, καὶ ἐκδιώξω εἰς γῆν ἄνυδρον, καὶ ἀφανιῶ τὸ πρόσωπον αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώτην, καὶ τὰ ὀπίσω αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην, καὶ ἀναβήσεται ἡ σαπρία αὐ-

gulari providentia gloriati fuerint. — His addit:

V. 18. *Et tuitus est dominus terram suam, pepercitque populo suo.* Non rem jam praeteritam sed futuram hic indicat propheta; nam Tuebitur vos, vobisque parcet, inquit, si poenitentiam vos agere et quae decent facere vos viderit. Mutato tempore secundum Hebraicae linguae morem, pro Parcet, propheta dicit Pepercit; id quod alibi jam de psalmis exposuimus. Nam rem factam significare nequivit, quum hoc vaticinium mala sint secuta.

V. 19. 20. *Et responsum dominus populo suo hoc dedit: En equidem vobis frumentum vinum et oleum mittam, ut eis impleamini, neque gentium ludibrio vos amplius addicam; sed eum, qui e septentrione venit persequar et in terram aqua carentem fugabo, primum ejus agmen in mare primum detrudam, et postremam ejus partem in mare novissimum; et ascendet putredo ejus et ascendet foetor ejus.* Mutato et hic rursus tempore Responsum

τοῦ, καὶ ἀναβήσεται ὁ βρόμος [1]) αὐτοῦ. Τὸ ἀπεκρίθη κύριος καὶ εἶπεν, ἀντὶ τοῦ, ἀποκριθήσεται καὶ ἐρεῖ, ἐνηλλαγμένου κἀνταῦθα τοῦ χρόνου· βούλεται γὰρ εἰπεῖν, ὅτι τήν τε τῶν καρπῶν ἀφθονίαν ὑμῖν μεταμεληθεῖσιν ἀποδώσει, πάντως τοὺς πολεμίους τε τεροπώσεται [2]) τοὺς ὑμετέρους. Ὅπερουν καὶ πεποίηκε μετὰ τὴν ἐπάνοδον ὁ Θεός. καθὰ καὶ ὁ μακάριος Δαυὶδ τὴν ἐπάνοδον τοῦ λαοῦ προλέγων, πρῶτον μὲν εἶπε [3]) „Σοὶ πρέπει ὕμνος, ὁ Θεός, ἐν Σιών, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ," καὶ [4]) „Ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ σου," δεικνὺς ὅτι τε ἐπανελεύσονται εἰς τὰ οἰκεῖα, καὶ ὅτι τὴν συνήθη θεραπείαν ἐν τῷ ναῷ πάλιν ἀποδώσουσι τῷ Θεῷ· μετὰ δὲ τοῦτο ἐπάγει [5]) „Ἐπεσκέψω τὴν γῆν καὶ ἐμέθυσας αὐτήν, ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν," καὶ τὰ ἑξῆς, τὴν ἀφθονίαν λέγων τὴν τότε προσεσομένην αὐτοῖς. Τὸν αὐτὸν δὴ τρόπον κἀνταῦθα εἰπὼν τῆς εὐθηνίας τὴν ἀπόδοσιν λέγει ὅτι οὐκ ἐάσω ὑμᾶς ὑπὸ τοῖς ἔθνεσιν εἶναι οὐκέτι· (τὸ γὰρ οὐ δώσω ὑμᾶς ἐν τοῖς ἔθνεσιν οὐκέτι εἰς ὀνειδισμόν, τοῦτο λέγει.) ἀλλὰ γὰρ καὶ δίκας λήψομαι, φησί, παρὰ τῶν ἐπελη-

dedit dominus, inquit propheta pro eo, responsum dabit; Vult enim dicere: Poenitentibus fructuum abundantiam vobis largietur, hostesque vestros plane in fugam vertet. Id quod etiam post eorum reditum fecit Deus. Et David quoque populi reditum praevidens primum dixit: „Te decet hymnus in Sione, Deus, tibique solvetur votum Hierosolymae; sanctum est templum tuum et ob justitiam tuam admirandum;" quibus indicat, reversos eos in patriam, consuetum in templo rursus Dei cultum peracturos fore. Et deinde addit David: „Terram respexisti, eamque inebriasti divitiis etc." etiam hic copiam bonorum iis largiendorum significans. Eadem ratione etiam propheta noster ad futuram felicitatem indicandam, Non amplius, inquit, sub gentium potestate vos relinquam (hanc enim innuit verbis: Gentium ludibrio vos non amplius addicam) sed vindictam sumam de iis qui vos aggressi sunt, eosque prorsus interimam et delebo. Primum enim Assyrios per Babylonios mulctabo, et

[1]) Sine dubio leg. βρῶμος. — [2]) F. l. τροπώσεται. — [3]) Ps. LXIV., 1. — [4]) Ibid. v. 5. — [5]) Ibid. v. 9.

λυθότων. ὑμῖν, ἐρημίᾳ τε αὐτοὺς καὶ [1]) ἀφανισμῷ παντελεῖ παραδιδούς· πρῶτον μὲν γὰρ διὰ Βαβυλωνίων τιμωρήσομαι Ἀσσυρίους, μετ᾽ ἐκεῖνο δὲ Βαβυλωνίους διὰ Περσῶν παντελῶς ἀπολέσω· τοσαύτην δὲ αὐτῶν ἐργάσομαι τὴν ἀπώλειαν, ὥστε δίκην τε τῶν ἀποθνησκόντων καὶ παντελῶς νεκρουμένων τὴν τε σῆψιν αὐτῶν καὶ τὴν δυσωδίαν μηδένα διαλαθεῖν· τὴν γὰρ σαπρίαν καὶ τὸν βρόμον [2]) τοῦτο λέγει, ὡς ἐπιτεθνηκότων ἤδη καὶ νεκρῶν κειμένων· τὸ δὲ ἀναβήσεται, ὅτι πᾶσιν ἐξάκουστος ἔσται, φησί. Τούτων δὲ πάλιν αἴτιον τί; — ὅτι ἐμεγαλύνθη τὰ ἔργα αὐτοῦ. δείξει γὰρ τῶν οἰκείων ἔργων τὸ μέγεθος ὁ θεὸς ἐν τῇ περὶ αὐτοὺς τιμωρίᾳ. Εἶτα ἀκολούθως ἐπάγει.

deinde Babylonios ipsos per Persas plane exscindam. Tantamque eorum perniciem faciam, ut tanquam mortuorum et internecatorum putredo et foetor eorum neminem latere queat.. Putredinem et foetorem dicens propheta eos mortuos et enecatos fore significat. *Ascendet* hoc est, neminem fugiet. Et quaenam hujus rei est causa? *Quia magnificavit opera sua.* i. e. Operum suarum magnitudinem poena de illis sumenda, manifestabit. Et postea ita pergit propheta.

κα΄. κβ΄. Θάρσει γῆ, χαῖρε καὶ εὐφραίνου, ὅτι ἐμεγάλυνε κύριος τοῦ ποιῆσαι. Θαρσεῖτε κτήνη τοῦ πεδίου, ὅτι βεβλάστηκε τὰ πεδία τῆς ἐρήμου, ὅτι ξύλον ἤνεγκε τὸν καρπὸν αὐτοῦ, ἄμπελος καὶ συκῆ ἔδωκαν τὴν ἰσχὺν αὐτῶν. Ἐν εὐφροσύνῃ μὲν οὖν ἔσται ἡ γῆ ἐπὶ τῷ μεγέθει τῶν παρὰ τοῦ θεοῦ γινομένων ἀπειληφυῖα τῶν καρπῶν τῶν οἰκείων τὴν φοράν, οὐδὲν δὲ

V. 21. 22. *Bono esto animo terra, laetare et exsulta, nam magna fecit dominus. Bono estote animo pecudes agri; namque agri germinarunt, et arbores fructus suos tulerunt, vitis et ficus robur suum exseruerunt.* Gaudebit terra de magnitudine rerum a Deo gestarum, fructus suas abundanter ferens; neque minus pecudes agrestes laetabuntur copiosum pabuli fru-

[1]) Καὶ deest in cod. — [2]) Leg. βρῶμον.

ἧττον καὶ τὰ τοῦ πεδίου κτήνη δαψιλῆ τῆς νομῆς ἔχοντα τὴν ἀπόλαυσιν, καὶ πρὸς ἅπασί γε ὅτι καὶ ὁ ἐκ τῶν ξύλων καρπὸς δαψιλὴς παρέχεται τοῖς δεομένοις.

κγ΄. κδ΄. Καὶ τέκνα Σιὼν χαίρετε καὶ εὐφραίνεσθε ἐπὶ τῷ οἴκῳ Θεοῦ ὑμῶν, ὅτι ἔδωκεν ὑμῖν βρώματα εἰς δικαιοσύνην καὶ βρέξει ὑμῖν ὑετὸν πρωϊμὸν καὶ ὄψιμον καθὼς ἔμπροσθεν· καὶ πλησθήσονται αἱ ἅλωνες σίτου, καὶ ὑπερεκχυθήσονται αἱ ληνοὶ οἴνου καὶ ἐλαίου. Ἃ γὰρ ἐν τοῖς ἀνωτέροις εἶπεν ἀφῃρῆσθαι, ταῦτα νῦν ἀποδίδοσθαι λέγει. Πάντες γάρ, φησίν, οἱ περὶ τὸ Σιὼν ὄρος συλλεγόμενοί τε καὶ τὴν προσήκουσαν τῷ Θεῷ πληροῦντες θεραπείαν, δίκαιοι εἶεν ἂν εὐφραίνεσθαι, τὴν ἀφθονίαν τε καρπῶν ἀπολαβόντες, ἣν δικαίως αὐτοῖς μεταμεληθεῖσιν ὑπὲρ ὧν ἥμαρτον παρέσχηκεν ὁ Θεός, καὶ ὅτι τῶν ὑετῶν αὐτοῖς εὔκαιρον καὶ αὐτάρκη παρέξεται τὴν χρείαν, ὥστε καὶ τὰ ἐκ γῆς φυόμενα τῶν σπερμάτων καὶ τοὺς ἐκ ξύλων καρποὺς μετὰ πολλῆς αὐτοῖς προσγίνεσθαι τῆς περισσείας.

κε΄—κζ΄. Καὶ ἀνταποδῶ ὑμῖν ἀντὶ τῶν ὑετῶν, ὧν κατέφαγεν ἡ ἀκρὶς καὶ ὁ βροῦχος, καὶ ἡ ἐρυσίβη, καὶ ἡ κάμπη, ἡ δύναμίς μου ἡ με-

ctum percipientes, et praeterea arborum fruges copiose egenis exhibebuntur.

V. 23. 24. *Et filii Sionis gaudete et laetamini de domo Dei vestri, nam dedit vobis cibos ad justitiam, pluviamque vobis misit matutinam et serotinam sicut antea; plenae erunt areae frumento, et torcularia vino et oleo redundabunt.* Reddi iis nunc dicit propheta, quae ademta iis esse antea dixerat. Omnes ad Sionem montem coactos et justum Dei cultum peragentes laetari decet de accepta frugum abundantia, quam Deus ob justam peccatorum poenitentiam actam iis largitus est, et gaudere quod pluviam opportuno tempore mittet et sufficientem, ut et semina e terra genita et arbores fructus suos copiosissime ferant.

V. 25—27. *Et reficiam pro pluvias, quas comedit locusta et scarabaeus et eruca et rubigo, exercitus meus ingens, quem misi con-*

γάλη, ἣν ἐξαπέστειλα εἰς ὑμᾶς· καὶ φάγεσθε ἐσθίοντες καὶ ἐμπλησθήσεσθε, καὶ αἰνέσετε τὸ ὄνομα κυρίου τοῦ θεοῦ ὑμῶν, ὡς ἐποίησε μεθ᾽ ἡμῶν θαυμάσια. Καὶ οὐ μὴ καταισχυνθῇ ὁ λαός μου εἰς τὸν αἰῶνα· καὶ ἐπιγνώσεσθε ὅτι ἐν μέσῳ τοῦ Ἰσραὴλ ἐγώ εἰμι, καὶ ἐγὼ κύριος ὁ θεὸς ὑμῶν καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ· καὶ οὐ μὴ καταισχυνθῇ ὁ λαός μου ἔτι εἰς τὸν αἰῶνα. Ὅποσα τοίνυν ἐπεληλυθότες οἱ πολέμιοι τῶν προσηκόντων ὑμῖν κατενάλωσαν διαφόρως τε καὶ ποικίλως (εὔδηλον γὰρ ὅτι ἀκρίδα καὶ βροῦχον καὶ ἐρυσίβην καὶ κάμπην ταῦτα καλεῖ), ταῦτα ὑμῖν ἀποκαταστήσω, ὥστε ὑμᾶς πλουσίαν ἔχοντας τῶν δεδομένων τὴν ἀπόλαυσιν, ὀφειλομένους ἀποδιδόναι τῷ θεῷ τοὺς ὕμνους, ὑπὲρ ὧν δὴ μεγάλων καὶ θαυμαστῶν πεποίηκεν εἰς ὑμᾶς, ὡς μηκέτι μὲν αἰσχύνεσθαι ὑμᾶς, ἐφ᾽ οἷς ἀβοήθητα παρ᾽ ἐμοῦ μεμενήκατε, τοσούτοις περιπεπτωκότες κακοῖς, ἀκριβῆ δὲ δύνασθαι ὑμᾶς ἐξ αὐτῶν τῶν πραγμάτων λαβεῖν τὴν ἐπίγνωσιν, ὅτι ἐν ὑμῖν εἰμὶ, ἅτε καὶ δεσπότης ὑμῶν καὶ κηδεμὼν μόνος ὑπάρχων.

κη′—λβ′. Καὶ ἔσται μετὰ ταῦτα, ἐκχεῶ ἀπὸ τοῦ πνευ-

tra vos. Et vescemini comedentes, et satiabimini, nomenque domini Dei vestri laudabitis, quod admirabilia vobis fecerit. Nec confundatur populus meus unquam. Tunc cognoscetis me in medio Israelis esse, et me esse dominum Deum, nec ullum alium praeter me; neque unquam confundatur amplius populus meus. Quaecunque igitur adversarii impetu suo varia et multifaria ratione (hoc appellat propheta locustam, scarabaeum et erucam rubiginemque) vobis abstulerunt et perdiderunt, ea vobis reddam, ut copiosum e donis percipiatis fructum, hymnosque Deo voveatis, quod tantis tamque miris beneficiis vos ornaverit. Neque unquam vos pudebit, ut qui ope mea tantis malis obruti carueritis, sed ex ipso rerum eventu perspicue cognoscere poteritis, me penes vos esse, utpote dominum vestrum unicumque tutorem.

V. 28—32. *Et posthaec futurum est, ut effundam de*

ματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται. Καίγε ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου· ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, καὶ προφητεύσουσι. Καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, αἷμα, καὶ πῦρ, καὶ ἀτμίδα καπνοῦ. Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἐλθεῖν τὴν ἡμέραν κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ. Καὶ ἔσται πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου, σωθήσεται· ὅτι ἐν τῷ ὄρει Σιὼν καὶ ἐν Ἱερουσαλὴμ ἔσται ὁ ἀνασωζόμενος, καθότι εἶπε κύριος, καὶ εὐαγγελιζόμενοι, οὓς κύριος προσκέκληται. — Παρέξω δὴ πᾶσι, φησὶ, πλουσίαν τὴν κηδεμονίαν τὴν ἐμήν· τοῦτο γὰρ λέγει τὸ ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, τῶν ἐπὶ τῆς παλαιᾶς διαθήκης πνεῦμα μὲν ἅγιον μοναδικὸν ἐν ὑποστάσει κεχωρισμένως τῶν λοιπῶν θεοῦ τε ὂν καὶ ἐκ θεοῦ οὐκ ἐπισταμένων, πνεῦμα δὲ θεοῦ καὶ πνεῦμα ἅγιον καὶ

spiritu meo super omnem carnem; et prophetabunt filii vestri filiaeque vestrae, et senes vestri somnia somniabunt, juvenesque vestri visiones videbunt. Quin et in servos meos measque ancillas, istis diebus effundam de spiritu meo, et prophetabunt. Et prodigia in coelo et in terra edam, sanguinem, ignem et fumi exhalationem. Sol in tenebras convertetur, et luna in sanguinem, antequam veniat dies illa domini magna et insignis. Et futurum est, ut quicunque nomen domini invocaverit, servetur. Namque in Sione monte et Hierosolymae erunt qui evadent, ut locutus est dominus, et laetum nunciantes, quos Dominus advocavit. Omnibus clementissime prospiciam. Haec indicat propheta verbis Effundam de spiritu meo. Nam sancti veteris testamenti auctores, spiritum sanctum naturam esse per se hypostatice exsistentem et a caeteris Numinis (personis) segregatam et e Deo profectam, nondum noverant, sed Spiritus sancti, vel Spiritus Dei vel qualicunque ejusmodi appellatione Dei gratiam et providentiam et dispositio-

πᾶν ὅ τι δήποτε τοιοῦτο τὴν χάριν αὐτοῦ καὶ τὴν κηδεμονίαν καὶ τὴν διάθεσιν καλούντων, ὡς καὶ ψυχήν· ὅταν ἐπὶ Θεοῦ λέγῃ [1]) „Τὰς νεομηνίας ὑμῶν καὶ τὰ σάββατα ὑμῶν μισεῖ ἡ ψυχή μου.“ τὴν διάθεσιν γὰρ λέγει, καθ' ἣν ἐμίσει τὰς ἑορτάς. Τοιοῦτόν ἐστι τὸ [2]) „Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν εὐθείᾳ“ κηδόμενος γάρ μου, φησὶ, διὰ πολλὴν ἀγαθότητα παρέξεις ταῦτα. τοιοῦτόν ἐστι τὸ [3]) „Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ,“ ἵνα εἴπῃ, τὴν περὶ ἐμὲ κηδεμονίαν μὴ ἀφελῇς· καὶ ὅσα τοιαῦτα, ἵνα μὴ μηκύνωμεν εἰς οὐδὲν δέον τὴν γραφήν. Τοιοῦτο δή τι κἀνταῦθά φησιν, ὅτι οὕτω πλουσίαν τότε τὴν κηδεμονίαν ὑμῖν παρέξω τὴν ἐμὴν, ὥστε ἅπαντας ἀξιουμένους ὀπτασιῶν δύνασθαί τι καὶ περὶ τῶν ἐσομένων μηνύειν· ἐφ' ἅπασι δὲ [4]) οὐρανῷ τε καὶ ἐπὶ γῆς ἐργάσομαι θαυμαστὰ, φόνον πολὺν τῶν ἐναντίων, τήν τε κατ' αὐτῶν τιμωρίαν καὶ δὴ καὶ ἀτμίδα καπνοῦ, τὴν θείαν ὑπεμφαίνουσαν ὀργήν· μεταβληθήσονται δὲ καὶ ἥλιος εἰς σκότος καὶ σελήνη εἰς αἷμα κατὰ τὴν τῶν ὁρώντων ὑπόνοιαν, ἣν διὰ τὸ μέγεθος τῶν ἐπιγινομένων αὐτοῖς ὑπομενοῦσι κακῶν·

nem quandam significarunt; velut si de anima Dei loquitur „Novilunia vestra et sabbata vestra odit anima mea,“ eam Dei dispositionem intelligit qua festos dies oderat. Huc pertinet etiam illud: „Spiritus tuus bonus ducet me in recta via;“ hoc est, pro magna tua benignitate mihi prospiciens haec largitus es. Vel illud: „Spiritum tuum sanctum ne auferas a me;“ hoc est curam tuam erga me ne retrahas. Et quae sunt reliqua his similia, quae singillatim hic percurrere longum et inutile foret. Tale aliquid hic quoque propheta intelligi vult, id nimirum: Tam sedulo ac diligenter tunc vobis prospiciam ut omnes visionum participes facti vel futurorum quaedam indicare valeatis; praeterea in coelo quoque et in terra miracula edam, caedem adversariorum eorumque mulctam, et fumum, divinam qui declaret iram. Sol quoque in tenebras et luna in sanguinem convertentur secundum adspicientium opinionem quae e magnitudine malorum tunc inferendorum

[1]) Jes. I, 14. — [2]) Ps. CXLII, 12. — [3]) Ps. L, 12. — [4]) Addendum videtur: ἐν.

καὶ ταῦτα δὴ γενήσεται πρὸ τῆς ἡμέρας ἐκείνης, ἣν ἐπιφανῆ διὰ τῆς τῶν ἐναντίων ἐργάσεται τιμωρίας· ἐν οἷς ἅπασιν τεύξονται τῆς σωτηρίας οἱ τὴν ὀνομασίαν ἐπικαλούμενοι τὴν θείαν, οἳ καὶ ἐπὶ τὸ ὄρος Σιὼν καὶ ἐπὶ τὴν Ἱερουσαλὴμ ἀναβήσονται σεσωσμένοι· ἐπειδὴ ταῦτα ἐπηγγείλατο τε θεὸς καὶ εὐαγγελίσασθαι δέδωκεν ἐκείνοις, ὁπόσους ἂν εἰς τὴν ἐπάνοδον προσκέκληται ταύτην. — Ἡ μὲν δὴ πρόχειρος τῆς λέξεως ἔννοια αὕτη· ὁ δέ γε μακάριος αὐτῇ Πέτρος ἐχρήσατο πρὸς Ἰουδαίους διαλεγόμενος ἐπὶ τῇ τοῦ ἁγίου πνεύματος καθόδῳ μάλα εἰκότως, ἐπειδὴ σκίαν μὲν ἁπάντων τῶν μελλόντων εἶχεν ὁ νόμος, κηδεμονίας δὲ ὁ λαὸς ἠξιοῦτο διὰ τὴν τῶν φανησομένων προσδοκίαν ἐν τῇ τοῦ δεσπότου Χριστοῦ παρουσίᾳ. Καὶ ἦν τὰ μὲν ἐπ' ἐκείνων μικρὰ πάντα, καὶ ὡς ἐν σκιᾷ γινόμενα, ὥστε καὶ ὑπερβολικῶς εἰρῆσθαι μᾶλλον, ἢ τὰ πράγματα εἶχεν· ἡ δὲ τῶν εἰρημένων ἀλήθεια τὴν ἔκβασιν ἐφαίνετο ἐπὶ τοῦ δεσπότου λαμβάνουσα Χριστοῦ, ὁπηνίκα πάντα ἦν μεγάλα καὶ φόβου μεστὰ, καινά τε ὄντως καὶ παράδοξα καὶ πλεῖστον ὅσον ὑπερβαίνοντα τὰ ἐν νόμῳ γινόμενα. ὡς αἰνίγματος μὲν τὰ ἐπὶ τῆς παλαιᾶς διαθήκης τάξιν ἐπέχειν, ἀλήθεια [1]) δὲ

[1]) F. l. ἀλήθειαν.

in iis nascetur. Eaque omnia futura sunt ante diem istum, quem hostibus graviter punitis insignem reddet Deus; omnes tunc salutem sibi conciliabunt qui divinum nomen invocabunt et saluati in Sionem montem et Hierosolymam adscendent; ipse enim Deus haec promisit iisque annuntiari jussit, quoscunque ad hunc reditum destinavit. — Is quidem simplex est et cuivis statim obvius verborum sensus at beatus Petrus hoc loco quum ad Judaeos loqueretur usus est de effusione spiritus sancti; et hoc quidem suo jure, quum lex umbram rerum futurarum exhiberet, populus vero divina cura dignus haberetur non nisi propter ea, quae in adventu domini Christi appariratura exspectabantur. Et quae prisco illo tempore fiebant levioris tantum momenti et quasi umbra tecta erant, unde prophetarum effata hyperbolica magis quam rebus consentanea videntur. Verum autem vaticinia eventum suum domini Christi demum tempore habuisse in promtu est, quo omnia gravissimi momenti et timore plena ac re-

εἶναι τῶν ἐπὶ τοῦ δεσπότου Χριστοῦ γινόμενα[1]) τὸ μέγεθος. Οὕτως ὁ μακάριος λέγει Δαυὶδ περὶ τοῦ λαοῦ[2])· „Ὅτι οὐκ ἐγκατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδην οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν·“ ὅπερ οὐκ ἐπὶ τῶν πραγμάτων νοεῖσθαι δύναται, μεταφορικῶς δὲ ἤτοι ὑπερβολικῶς λέγει, ὅτι ἐξῃρέθη κινδύνου καὶ διαφθορᾶς· ἡ δὲ τοῦ πράγματος ἀλήθεια τῶν εἰρημένων ἐπὶ τοῦ δεσπότου δείκνυται Χριστοῦ, ὅτε οὔτε τὴν ψυχὴν αὐτοῦ ἐγκαταλειφθῆναι γέγονεν εἰς ᾅδην, ἀποκατάστησαν τῷ σώματι διὰ τῆς ἀναστάσεως, οὔτε τὸ σῶμα διαφθοράν τινα ὑπομεμένηκεν, ὡς μὴ μόνον ἐπὶ τοῦ οἰκείου μένειν σχήματος, ἐν ᾧ δὴ τετελεύτηκεν, ἀλλὰ γὰρ καὶ εἰς ἀθάνατον καὶ ἄφθαρτον μεταστῆναι φύσιν· ὡς εἶναι ἐκεῖνο μὲν αἴνιγμα, τουτὶ δὲ ἀλήθειαν. Διόπερ ἐχρήσατο τῇ φωνῇ καὶ ὁ μακάριος Πέτρος, ὡσὰν τότε μὲν κατά τινα αἰτίαν μεταφορικῶς εἰρημένῃ, νῦν δὲ ἀληθῆ τὴν ἔκβασιν ἐπ' αὐτῶν λαβοῦσα[3]) τῶν πραγμάτων· ὥστε καὶ πολλῷ πλέον δεῖν τοῖς νῦν πιστεύειν ἢ τότε ἐθαύμαζον ἐκεῖνο. Πολλῷ[4]) δὲ τοιούτων ὄντων ἐπὶ τῆς θείας γραφῆς παρόμοιον προδήλως ἐστὶ καὶ τὸ παρόν· ὁ μὲν γὰρ δεσπότης Χριστὸς κατὰ

apse nova miraque erant, et res sub lege gestas longe superabant. Itaque omnia ad vetus testamentum pertinentia quasi aegnimata sunt consideranda, pro rebus veris autem habenda ea, quae in domino Christo mirabilia acciderunt. Ita beatus quoque David dicit de populo: „Non relicta est anima ejus in inferno, nec caro ejus corruptionem vidit.“ Haec non ut proprie dicta intelligi queunt, sed metaphorice vel hyperbolice loquitur David, se esse per Deum e periculo et pernicie liberatum. Rerum vero hoc dicto expressarum veritas in Christo domino apparuit, cujus anima non relinquebatur in inferno, sed corpori per resurrectionem reddebatur; nec corpus corruptionem ullam expertum est, sed non solum propriam suam formam retinuit in qua mortuum erat, sed in immortalem et immutabilem transiit naturam. Unde intelligi potest, illud fuisse aenigma, hoc vero veritatem. Ideo beatus Petrus isto sermone usus est, prius quidem secundum rationem quandam metaphorice dicto, nunc vero

[1]) F. l. γινομένων. — [2]) Ps. XV, 10. — [3]) F. l. λαβούσῃ. — [4]) Leg. πολλῶν.

τὴν τότε συνήθειαν Ἰουδαίοις διαλεγόμενος διὰ τοῦ προφήτου τὴν οἰκείαν αὐτοῖς παρέχεσθαι δαψιλῶς ἔλεγε κηδεμονίαν, καὶ τὰ ἑξῆς καθ' ὃν ἡρμηνεύκαμεν τρόπον. ἐκβέβηκε δὲ ἅπαντα μετὰ τῆς ἀληθείας ἐπὶ τοῦ δεσπότου Χριστοῦ, ὅτι καὶ ἥλιος ὄντως ἐσκοτίσθη, καὶ σελήνη δὲ σὺν ἐκείνῳ, καὶ μεγάλα μὲν [1]) οὐρανῷ, πολλὰ δὲ ἐν τῇ γῇ γέγονε τέρατα· αἷμά τε ἀνεφάνη τοῦ δεσπότου τὸ σωτήριον, καὶ πῦρ κατὰ τὴν ἰδέαν τοῦ φοιτήσαντος πνεύματος τὴν ἐνέργειαν μηνῦον, οὗπερ οὖν καὶ ἀτμὶς προηγεῖτο καπνοῦ, εἰς ἔλεγχον τῆς καταληψομένης τοὺς τὸν σωτῆρα τετολμηκότας [2]) τιμωρίας. Τότε δὴ καὶ μετέσχον ἅπαντες τῆς τοῦ ἁγίου πνεύματος χάριτος, ποικίλων τε καὶ πολλῶν χαρισμάτων ἀξιωθέντες, ὧν οἱ μὲν προηγόρευον τὸ μέλλον, οἱ δὲ πλεῖστα ὅσα κατηργάζοντο [3]) εἰς πίστωσίν τε τοῦ μεγέθους τῶν γινομένων καὶ εἰς ἔλεγχον τῆς δόξης τῆς περὶ τὸν δεσπότην Χριστόν, ὡς τοῦτο δὴ τὸ πάλαι διὰ τοῦ προφήτου μεταφορικῶς ἢ καὶ ὑπερβολικῶς εἰρημένον νῦν φανερὰν ἔχειν τῶν μηνυομένων πραγμάτων

in rebus gestis certissimum eventum habente, unde nunc nos fidem habere magis oportet, quam illi admirati sunt. Multa ejusmodi exempla in scripturis divinis invenire licet, et simile etiam id quod nos tractamus. Christus enim dominus secundum illorum temporum morem cum Judaeis interlocutus per prophetam indicavit, diligentem iis curam dari a Deo, et quae reliqua sunt, uti supra ea explicavimus. Verum autem exitum habuere omnia in Domino Christo ejusque tempore; tunc enim reapse sol defecit et cum eo luna, multaque et varia prodigia cum in coelo tum in terra edita sunt; sanguis quoque domini salutaris apparuit, nec non ignis, qui symbolice spiritus ventitantis efficaciam indicavit, cui et fumi exhalationes praecesserunt, ad declarandam mulctam iis paratam, qui Salvatorem cruce trucidaverant. Tunc omnes etiam participes facti sunt, spiritus sancti gratiae et multis variisque charismatibus ornati, quorum alii futura vaticinati sunt, alii miracula

[1]) Nonne inserendum ἐν? — [2]) F. l. τὸν σωτῆρα σταυροῦν τετολμηκότας. — [3]) Ita scriptum est, non κατειργάζοντο.

τὴν δεῖξιν μετὰ τοῦ καὶ ἐλαττοῦσθαι τῶν πραγμάτων τὸν λόγον. Ἡ μὲν οὖν αἰτία εἴτε ταύτης τῆς φωνῆς, εἴτε καὶ τῶν λοιπῶν ὁπόσας ἐφ᾽ ἑτέρων εἰρημένας παρὰ τοῖς προφήταις εἰς τὴν κατὰ τὸν δεσπότην Χριστὸν ἐξέλαβον οἰκονομίαν οἱ μακάριοι ἀπόστολοι, τοιαύτη τις ἂν ὑπολειφθείη[1]) δικαίως, ὡς καὶ ἡ τῶν τότε πραγμάτων ἱστορία φαίνοιτο μὴ πεπλασμένη καὶ τῶν νῦν τὸ μέγεθος ἐκ παραθέσεως ἐκείνων ἐλέγχοιτο μᾶλλον, δεικνύοιτό τε ἀκριβῶς διὰ πάντων, ὅτι ἐστὶ μὲν τις ἐκείνων οἰκειότης πρὸς ταῦτα, λείπεται δὲ ὅμως τοσοῦτον τῶν παρόντων τὰ προειληφότα, ὅσον σκίαν λείπεσθαι σώματος ἀνάγκη, κἂν εἰ προσήκειν αὐτῷ τι δοκοίη. —

Ὁ δέ γε προφήτης ἐπειδὴ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον διὰ τῶν προῤῥηθέντων ἐμήνυσε, τά τε προσεσωσμένα[2]) αὐτοῖς κατ᾽ ἐκεῖνον τὸν καιρὸν, ἀγαθὰ ποικίλως, ἀκολουθότα[3]) τὰ ἑξῆς ἐπάγει.

plurima effecerunt, ut inde et majestas rerum credendarum perciperetur, et Christi domini gloria manifesta et perspicua fieret ex eo, quod quaecunque propheta metaphorice vel etiam hyperbolice significaverat, nunc ad certissimum in rebus gestis exitum venerint, ita ut propheticus sermo a rebus ipsis longe superatus sit. Rationem autem, ex qua vel hoc dictum, vel alios quospiam e caeterorum prophetarum sermonibus ad domini Christi oeconomiam beati apostoli retulerunt, eam esse recte dixeris, ut et illa historia non fictitia videretur, et rerum praesentium magnitudo collatis illis melius cognosci posset, simulque perspicuum redderetur, cognationem quandam intercedere inter illas priscas et praesentes res, praeterita vero praesentibus tantum antecelli, quantum umbram corpus praestet, licet illud ad hoc pertineat.

Propheta hucusque Israelitarum e Babylone reditum vaticinatus, in sequentibus futura iis isto tempore varia bona enumerat.

[1]) Leg. ὑποληφθείη. — [2]) Leg. προσεσόμενα. — [3]) F. l. ἀκολουθότατα. cf. Comm. in Abd. v. 1.

Κεφάλαιον Γ'.

α—γ'. Ὅτι ἰδοὺ ἐγὼ ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἐν τῷ καιρῷ ἐκείνῳ, ὡς ἂν ἐπιστρέψω τὴν αἰχμαλωσίαν Ἰούδα καὶ Ἱερουσαλὴμ, Συνάξω πάντα τὰ ἔθνη, καὶ κατάξω αὐτὰ εἰς τὴν κοιλάδα Ἰωσαφάτ· καὶ διακριθήσομαι πρὸς αὐτοὺς ἐκεῖ ὑπὲρ τοῦ λαοῦ μου καὶ τῆς κληρονομίας μου Ἰσραὴλ, οἳ διεσπάρησαν ἐν τοῖς ἔθνεσι καὶ τὴν γῆν μου κατεδιείλοντο. Καὶ ἐπὶ τὸν λαόν μου ἔβαλον κλήρους, καὶ ἔδωκαν τὰ παιδάρια πόρναις, καὶ τὰ κοράσια ἐπώλουν ἀντὶ οἴνου καὶ ἔπινον. Λέγει δὲ τὰ μετὰ τὴν ἐπάνοδον, ἐν τούτοις μηνύων τῶν τε περὶ τοῦ Γὼγ τὴν ἄνοδον, ἣν ποιήσονται μετὰ πολλοῦ πλήθους ὁρμήσαντες κατὰ τῆς Ἱερουσαλὴμ, καὶ τὴν ἀπώλειαν, ἣν ὑπὲρ τοῦ τολμήματος ὑπομενοῦσι τούτου. Ἐπειδὰν γὰρ, φησὶ, ἐπαναγάγω ὑμᾶς ἐπὶ τὴν Ἱερουσαλὴμ, συνελεύσεται μὲν πολλὰ πολλαχόθεν ἔθνη ἐφ' ὑμᾶς. Λέγει δὲ ὅτι συνάξω πάντα τὰ ἔθνη, οὐχ ὅτι αὐτοὺς ἄγειν μέλλει, ἀλλ' ἐπειδὴ εἴασε μὲν αὐτοὺς τὴν πρόθεσιν εἰς ἔργον ἐκβαλεῖν τὴν οἰκείαν, ἐτιμωρήσατο δὲ ἐπικεχειρηκότας τῇ κατὰ τῶν Ἰσραηλιτῶν ἀνόδῳ,

Caput III.

V. 1—3. *Ecce enim istis diebus istoque tempore quando convertero captivitatem Judae et Hierosolymae congregabo omnes gentes easque in vallum Josaphati deducam, ibique de iis judicium habebo propter populum meum haereditatemque meam Israelis, qui dissipati sunt inter gentes; terramque meam partiti sunt et forte de populo meo jacta, pueros dederunt meretricibus et puelles vendiderunt pro vino biberuntque.* Loquitur de iis quae post reditum futura sunt. Gogi incursionem praedicens, quam ingenti cum agmine Hierosolymam aggredientes facient. Simulque poenam indicat propter id facinus de istis sumendam. Namque, inquit, reductis vobis Hierosolymam, undique gentes convenient contra vos. Congregabo autem, inquit, gentes, non quo ipse eas ducturus sit, sed quum eos consilium suum exsequi siverit, eos vero, qui incursionem in Hierosolymam fecerant puniverit, ita ut non solum frustra contra Judaeos impetum fecerint, sed terribilem quoque et miram quan-

καὶ πεπονήκασι μὲν οὐδὲν ὧν ἐβούλοντο εἰς τοὺς Ἰουδαίους, φοβερὰν δέ τινα καὶ παράδοξον ὑπομεμενήκασι τῇ τοῦ θεοῦ ῥοπῇ τὴν τιμωρίαν. διὰ τοῦτο αὐτὸς συναγαγεῖν πάντα τὰ ἔθνη λέγει, τοῦτο βουλόμενος εἰπεῖν, ὅτι εἴασα αὐτοὺς τῇ μοχθηρᾷ ἑαυτῶν χρήσασθαι γνώμῃ, καὶ ὁρμῆσαι κατὰ τῆς Ἱερουσαλὴμ, ὡς ἂν αὐτόθι δίκας αὐτοὺς εἰσπραξάμενος, τῆς τε περὶ τὸν λαὸν κηδεμονίας καὶ τῆς ἑαυτοῦ δυνάμεως ἀπόδειξιν παράσχωμαι πᾶσιν. Εἰπὼν γοῦν, συνάξω πάντα τὰ ἔθνη, ἐπήγαγε, καὶ κατάξω αὐτὰ εἰς τὴν κοιλάδα Ἰωσαφάτ· τουτέστιν, ἐκεῖ αὐτοὺς ἄξω εἰς τὴν Ἱερουσαλὴμ, καὶ αὐτόθι ὥσπερ τινὰ δίκην πρὸς αὐτοὺς ὑπὲρ τοῦ λαοῦ τοῦ ἐμοῦ συγκροτήσας τιμωρήσομαι δικαίως ὑπὲρ ὧν κατ᾽ αὐτῶν διεπράξαντο, ἁπανταχοῦ τε διασπεῖραι βουληθέντες, καὶ διελέσθαι μὲν τὴν γῆν, ἐν ἧπερ κατὰ γνώμην ᾤκουν τὴν ἐμὴν, ἐμοὶ προσήκουσαν, διελέσθαι δὲ κλήρῳ καὶ αὐτοὺς ἐκείνους, τετολμήκασι δὲ πρὸς ἅπασι καὶ τοὺς ἐξ αὐτῶν εἴτε παῖδας εἴτε κόρας ἀποδίδοσθαι, ὡς ἂν δὴ ἐκείνων εἰς πόρνας τε τὴν οἰκείαν ἀκολασίαν ἐκπληροῖεν καὶ πολλὴν ἔχοιεν τῆς μέθης τὴν ἀφθονίαν. Ταῦτα τῶν περὶ τὸν Γὼγ ἕνεκεν εἰρηκὼς ἐπάγει.

δ᾽ — η᾽. Καὶ τί ἐμοὶ καὶ

dam poenam dederint. Ideo ipsum Deum gentes obducturum esse dicit, quibus indicat, eum istos pravum suum consilium exsequi, et Hierosolymam aggredi sivisse, nimirum ut poena de iis ibidem sumta, curae suae de populo propriaeque potentiae omnibus exhibeat argumentum. Postquam igitur dixit: Congregabo omnes gentes, addit: „et deducam eos in vallum Josaphati,“ hoc est, Hierosolymam eos ducam ibique quasi judicium in eos propter populum meum edicens juste eos mulctabo propter flagitia in istos commissa. Nam ubique dissipare eos voluerunt, terramque quam ex mea voluntate inhabitarunt meam dividere, dividere etiam sorte jacta illos ipsos, quibus omnibus accedit, quod vel pueros et virgines eorum vendere ausi sunt, ut tanquam meretricibus iis usi libidinem suam explerent et temulentiae suae multae indulgerent. His de Gogo ejusque agmine dictis, addit propheta.

V. 4—8. *Et mihi quid vo-*

ὑμῖν, Τύρος καὶ Σίδων, καὶ πᾶσα Γαλιλαία ἀλλοφύλων; μὴ ἀνταπόδομα ὑμεῖς ἀνταποδίδοτέ μοι, ἢ μνησικακεῖτε ὑμεῖς ἐπ' ἐμοί; Ὀξέως καὶ ταχέως ἀνταποδώσω τὸ ἀνταπόδομα ὑμῶν εἰς κεφαλὰς ὑμῶν· ἀνθ' ὧν τὸ ἀργύριόν μου καὶ τὸ χρυσίον μου ἐλάβετε, καὶ τὰ ἐπίλεκτα καὶ τὰ καλὰ εἰσηνέγκατε εἰς τοὺς ναοὺς ὑμῶν· καὶ τοὺς υἱοὺς Ἰούδα καὶ τοὺς υἱοὺς Ἱερουσαλὴμ ἀπέδοσθε τοῖς υἱοῖς τῶν Ἑλλήνων, ὅπως ἐξώσητε αὐτοὺς ἐκ τῶν ὁρίων αὐτῶν. Ἰδοὺ ἐγὼ ἐξεγερῶ αὐτοὺς ἐκ τοῦ τόπου οὗ ἀπέδοσθε αὐτοὺς ἐκεῖ, καὶ ἀνταποδώσω τὸ ἀνταπόδομα ὑμῶν καὶ τὰς θυγατέρας ὑμῶν εἰς χεῖρας υἱῶν Ἰούδα· καὶ ἀποδώσονται αὐτοὺς εἰς αἰχμαλωσίαν, εἰς ἔθνος μακρὰν ἀπέχον, ὅτι κύριος ἐλάλησεν. Ἐπειδὴ γὰρ τοὺς περὶ τὸν Γὼγ ἐπιόντας ἑωρακότες τῇ Ἱερουσαλὴμ Τύριοί τε καὶ Σιδώνιοι πάντες τε οἱ περίοικοι τῶν ἀλλοφύλων καιρὸν ἔχειν ᾠήθησαν τοῦ παντελῶς ἀπολέσαι τοὺς Ἰσραηλιτὰς μνησικακοῦντες αὐτοῖς ὑπὲρ ὧν πεπολεμήκασί τε πολλάκις καὶ κεκρατήκασιν αὐτῶν διὰ τῆς θείας ῥοπῆς, τοῦτο λέγει· ὑμεῖς δὲ τίνος ἕνεκα μνη-

biscum, Tyre et Sidon omnisque Galilaea peregrinis obsessa, rei est? An forte retributionem vos mihi redditis aut injuriam mihi facere vultis? Cito revertam retributionem vestram in capita vestra; siquidem vos argentum et aurum meum abstulistis et carissima mihi pretiosaque in templa vestra portastis. Et filios Judae Hierosolymaeque filios tradidistis filiis Graecorum, ut eos e finibus vestris expelleretis. En vero excitabo eos inde, quo eos vendidistis, et rependam vobis retributionem vestram, et filias vestras in manus filiorum Judae tradam; tradentque eos in captivitatem populo longe remoto. Dominus enim edixit. Quum enim, inquit, Tyrii et Sidonii et quotquot e peregrinis vicine habitarunt, Gogum cum suis Hierosolymam aggredientem viderent, hoc opportunum Israelitas delendi esse tempus rati sunt; succensuerunt enim iis propterea quod saepius bellum ipsis ab his inductum esset ipsique ab eis Deo adjuvante devicti essent. Propheta igitur haec dicit: Cur succensetis et opportuno electo tempore, ta-

σικακοῦντες, καὶ καιρὸν εὑρόντες τοῦ τὰ δοκοῦντα διαπράξασθαι τοιαῦτα κατὰ τῶν ἐμοὶ προσηκόντων τετολμήκατε; ἴστε γὰρ ὅτι ὀξέως ὑμῖν ἐπάξω τὴν ὑπὲρ τῆς γνώμης ταύτης τιμωρίαν, ἀνθ' ὧν ἅπαντα τὰ προσόντα τούτοις λαβόντες, εἰς τοὺς ναοὺς εἰσηνέγκατε τοὺς ὑμετέρους, ἔτι καὶ τοὺς υἱοὺς αὐτῶν ἀπολέσαντες ἐλπίδι τοῦ πάντας αὐτοὺς τῶν ὁρίων ἐκβαλεῖν τῶν οἰκείων· ὧνπερ οὖν ὑμᾶς εἰσπράξομαι δίκας· ἀπαλλάξω γὰρ τούτους τῆς κατεχούσης αὐτοὺς ἀνάγκης νῦν, καὶ κρείττους ἐργάσομαι τῶν πολεμίων, ὥστε καὶ ὑμῖν ἀποδοῦναι ἀνθ' ὧν εἰς αὐτοὺς τετολμήκατε, λαβεῖν τούς τε υἱοὺς ὑμῶν καὶ τὰς θυγατέρας αἰχμαλώτους, καὶ δὴ καὶ ἀποδόσθαι αὐτοὺς μακράν που, ὅθεν οὐδὲ δυνατὸν ὑμῖν· αὐτοὺς ἀνασώσασθαι ἔτι. Ταῦτα πρὸς τοὺς Τυρίους τε καὶ Σιδωνίους καὶ τοὺς περιοικοῦντας ἅπαντας παρενθεὶς, ὡσὰν κατ' ἐκεῖνον τὸν καιρὸν ἐπικεχειρηκότας συμπρᾶξαι τοῖς ἀμφὶ τὸν Γὼγ, ἐπὶ τὸ κατὰ τῶν Ἰουδαίων ἀπώλειαν, ἔχεται τῆς οἰκείας ἀκολουθίας καὶ φησι·

θ'—ια'. Κηρύξατε ταῦτα ἐν τοῖς ἔθνεσιν, ἁγιάσατε πόλεμον, ἐξεγείρατε τοὺς μαχητὰς, προσαγάγετε καὶ ἀναβαίνετε πάντες ἄνδρες πολεμισταί. Συγκόψατε τὰ

lia in eos qui mihi proprii sunt ausi estis? Scitote enim, mox mulctam me vobis inflicturum esse, quod omnia illis bona ablata in vestra delubra deportastis, eorumque filios interemistis, sperantes fore ut eos omnino e finibus propriis ejicere possitis. Ea de re poenas a vobis repetam. Liberabo enim illos e necessitate qua premuntur, iisque victoriam de hostibus suis dabo, ut etiam vobis rependant, quae iis intulistis mala, filiosque vestros et filias vestras captivas procul abductas vendant, unde eas redimere non poteritis. — Haec Tyriis et Sidoniis omnibusque iis vicinis gentibus, ut qui isto tempore cum Gogo et suis ad Judaeos perdendos consilia sua junxissent, minatus propheta, his convenienter ita pergit:

V. 9. *Proclamate hoc inter gentes: Sanctificate bellum, milites excitate, advocate eos et adscendite omnes bellatores.* V. 10. *Cudite aratra vestra in gladium, et fal-*

ἄροτρα ὑμῶν εἰς ῥομφαίαν, καὶ τὰ δρέπανα ὑμῶν εἰς σειρομάστας, ὁ ἀδύνατος λεγέτω, ὅτι ἰσχύω ἐγώ. Συναθροίζεσθε καὶ εἰσπορεύεσθε πάντα τὰ ἔθνη κυκλόθεν, καὶ συνάχθητε ἐκεῖ· ὁ πραῢς ἔστω πολεμιστής. Ὡς γὰρ εἶπε ἀνωτέρω, ὅτι συνάξω αὐτοὺς διὰ τὴν προῤῥηθεῖσαν αἰτίαν, οὕτω κἀνταῦθα ὡσὰν αὐτὸς αὐτοῖς ἐγκελευόμενος· ἅπαντες δὴ, φησὶν, ὁπόσοι ταύτην ἔχετε τὴν γνώμην κατὰ τῶν ἐμοὶ προσηκόντων, μετὰ πολλῆς μὲν συνάχθητε τῆς σπουδῆς, συγκροτήσατε δὲ τὸν πρὸς αὐτοὺς πόλεμον· καὶ δὴ καὶ τὰ τῆς γεωργίας ὄργανα εἰς ὅπλων μετάθετε χρῆσιν, ὡς ἂν ἀρκοῦντα μὲν ἔχοιτε τὰ ὅπλα τῷ πλήθει τῶν ἐπιόντων, διὰ [1]) πλειόνων εὔκολον ὑμῖν εἴη καθὰ προῄρησθε πάντων ἐργάσασθαι τῶν Ἰσραηλιτῶν τὴν ἀπώλειαν. Εἶτα τοῦ διεγεῖραι πρὸς τὸν πόλεμον αὐτοὺς τὴν αἰτίαν λέγων.

ces vestras in jacula, infirmus dicat: fortis sum. V. 11. *Congregamini et ingredimini omnes gentes undique et convenite ibi; qui mansuetus est, miles esto.* Ut supra dixerat Deus Congregabo eos antea dictam ob causam, ita hic quoque tanquam mandatum iis imponens, omnes, inquit, qui tali utimini sententia in populum meum, studiosissime convenite bellumque in eum parate; imo et agriculturae instrumenta in armorum usum mutate, ut satis habeatis armorum multitudini militum vestrorum quo facilius ingenti numero Israelitarum, quam molimini, perniciem efficere queatis. Et post haec ejus belli parandi causam indicat.

ιβ΄. Ἐξεγειρέσθω καὶ ἀναβαινέτω πάντα τὰ ἔθνη εἰς τὴν κοιλάδα Ἰωσαφὰτ, ὅτι ἐκεῖ καθιῶ τοῦ διακρῖναι πάντα τὰ ἔθνη κυκλόθεν. Πᾶσι γὰρ ὑμῖν κατὰ ταὐτὸν συνελθεῖν βουλομένοις κατὰ τῶν τὴν Ἱερουσαλὴμ οἰκούντων ἐπιτρέπω

V. 12. *Concieantur et proficiscantur omnes gentes in vallum Josaphati; quia ibi sedebo judex omnium gentium undique.* Permitto, vos pro voluntate vestra contra Hierosolyma, habitantes conjungi et convenire, ut ibi vo-

[1]) Fort. adjiciendum δὲ.

τοῦτο ποιεῖν, ὡς ἂν αὐτόθι δίκας ὑμᾶς εἰσπραξαίμην τοῦ τε τολμήματος καὶ τῆς ἐπιχειρήσεως ταύτης, ἅπαντες πανταχόθεν ποικίλοις ἀνελὼν θανάτοις. Τί οὖν;

ιγ'· Ἐξαποστείλατε δρέπανα, ὅτι παρέστηκεν ὁ τρυγητὸς, εἰσπορεύεσθε, πατεῖτε, διότι πλήρης ἡ ληνὸς, ὑπερχεῖται τὰ ὑπολήνια, ὅτι ἐπληθύνθη τὰ κακὰ αὐτῶν. Τοσοῦτος γὰρ ἔσται φόνος αὐτῶν καὶ τοσαύτη πτῶσις πάντων αὐτῶν κατ' ἀλλήλων ὁπλιζομένων, ὥστε τοῖς τὴν Ἰουδαίαν οἰκοῦσιν ὑμῖν μὴ πολέμου δεῖν, ἀλλὰ γὰρ οἴεσθαι τρυγητόν τινα παρεῖναι, ἐν ᾧπερ δρεπάνων χρεία εἰς τὸ τὸν καρπὸν ἐκτέμνειν, χρεία δὲ καὶ τῶν πατούντων τὴν ληνὸν, ὡς ἂν ἐκθλιβόμενος ὁ οἶνος ἐκρέῃ. Τοιοῦτο γὰρ δή τι καὶ νῦν γίνεται· ἐπειδὴ γὰρ ὁ πόλεμος τῇ δυνάμει κατορθοῦται τῇ ἐμῇ, καὶ πάντες ἐκκεῖνται ταῖς σφαγαῖς, ὑμᾶς χρῆ παρόντας ὁρᾶν τρυγητοῦ μὲν δίκην ὥσπερ τινὰς βότρυας τεμνομένους τε καὶ ἐπ' ἀλλήλοις πίπτοντας ταῖς σφαγαῖς, καθ' ὁμοιότητα δὲ ληνοῦ πατουμένης ὑπερχεόμενον τὸ τῶν ἀναιρουμένων αἷμα. Οὕτως αὐτῶν τὰ κακὰ πληθυνθήσεται καὶ τοσοῦτος αὐτῶν ὁ φόνος γενήσεται, οὐχ ὑμῶν πολεμούντων ἀλλ' ἐκείνων εἰς ἀλλήλους τὰς οἰκείας τρε-

bis poenas imponam de hac audacia et incursione, vosque omnes quotquot estis ubique, variis modis leto dem. Et quid porro?

V. 13. *Immittite falces, imminet enim vindemia; ingredimini, calcate, nam refertum est prelum, exundant torcularia, nam completa sunt mala eorum.* Tanta eorum erit caedes, adeoque invicem armis se conficient, ut Judaeae incolis vobis bello opus non sit, sed vindemiam quandam adesse putetis, in qua falcibus opus est ad desecandos fructus, opus etiam est iis qui prelum calcant, ut vinum expressum profluat. Tale quid nunc etiam futurum est; quum enim bellum mea potentia conficiatur, omnesque caede consumantur, vos adesse oportet ut videatis eos tanquam uvas in vindemia decisos et mutua caede necatos, sanguinemque trucidatorum quasi e prelo calcato exundantem. Tanta eorum calamitas eorumque caedes tanta erit; neque vos pugnabitis, sed ipsi illi manus suas in se invicem me auctore vertent. — Jam quae sequuntur prioribus conveniunt.

πόντων δεξιᾶς κατὰ τὸ δοκοῦν ἐμοί. Εἶτα καὶ τὰ ἑξῆς ἀκολούθως λέγει.

ιδʹ. Ἦχοι ἐξήχησαν ἐν τῇ κοιλάδι τῆς δίκης, ὅτι ἐγγὺς ἡ ἡμέρα κυρίου ἐν τῇ κοιλάδι τῆς δίκης. Φοβεροὶ γὰρ ἦχοί τινες ἐκ τοῦ πλήθους τῶν ἀναιρουμένων ἐπὶ τῆς κοιλάδος γενήσονται ταύτης ἐν ᾗ δὴ τὰς δίκας αὐτοὺς εἰσπράξομαι τοῦ καθ' ὑμᾶς τολμήματος. Κοιλάδα γὰρ δίκης τὴν τοῦ Ἰωσαφὰτ ἐκάλεσεν, ἀπὸ τῆς τιμωριας τῆς αὐτόθι μελλούσης ἐπάγεσθαι ἐκείνοις παρὰ τοῦ θεοῦ.

V. 14. *Clangores sonuere in valle judicii, namque propinquus est dies domini in valle judicii.* Clangores terribiles a tot interfectis in ista valle exaudientur, in qua eorum in vos audaciam puniam. Vallem judicii, Josaphati vallem appellat propter poenam in ea illis a Deo infligendam.

ιεʹ. Ὁ ἥλιος καὶ ἡ σελήνη συσκοτάσουσιν τὸ φέγγος αὐτῶν. ἀκολούθως εἶπεν, ὅτι τοῖς ἀναιρουμένοις οὐκ ἔσται φῶς. ὅπως δὴ ταῦτα γενήσεται δηλῶν ἐπάγει.

V. 15. *Sol et luna obscurabunt lucem suam.* Convenienter, interfectis lucem non esse dicit. Quomodo autem ea fient indicaturus addit.

ιςʹ—ιηʹ. Ὁ δὲ κύριος ἀνακράξεται ἐκ Σιὼν, καὶ ἐξ Ἱερουσαλὴμ δώσει φωνὴν αὐτοῦ, καὶ σεισθήσεται ὁ οὐρανὸς καὶ ἡ γῆ· ὁ δὲ κύριος φείσεται τοῦ λαοῦ αὐτοῦ, καὶ ἐνισχύσει κύριος τοὺς υἱοὺς Ἰσραήλ. Καὶ γνώσεσθε ὅτι ἐγὼ κύριος ὁ θεὸς ὑμῶν, κατασκηνῶν ἐν Σιὼν, ἐν ὄρει ἁγίῳ μου. Αὐτὸς γὰρ, φησὶν, ὁ θεὸς ὁ ἐν Σιὼν, προσάγεσθαι τὴν νόμιμον θεραπείαν τάξας ἑαυτῷ, μεγάλην κατ' αὐτῶν ἀφήσει τὴν φωνὴν,

V. 16—18. *Dominus autem de Sione clamabit et ex Hierosolyma vocem emittet suam; et movebitur coelum ac terra. Dominus autem populo suo parcet, et corroborabit dominus filios Israelis. Et tunc intelligetis me esse dominum Deum vestrum habitantem in Sione monte meo sancto.* Idem, inquit, Deus, qui in Sione legitimam sibi tribui honorem jussit, magnam in eos edet vocem, qua paene coelum quoque et ter-

ἀφ' ἧς δὴ μικροῦ καὶ ὁ οὐρανὸς δόξει συσσείεσθαι καὶ γῆ, ἐκ παραδόξου τῶν γινομένων καὶ τῆς τοιαύτης σφαγῆς οὕτω παραδόξως ἐκτελουμένης, ἣν ποιήσεται θεὸς τῶν οἰκείων φειδόμενος, καὶ ἰσχυροὺς αὐτοὺς κατὰ τῶν ἐναντίων ἀποδεικνὺς, ὡς ἂν πᾶσι γένοιτο δῆλον, ὅτι ὄντως οὗτος δὴ θεὸς τῶν ἁπάντων καὶ κύριος, ὁ ἐν τῷ ὄρει τῷ Σιὼν θεραπεύεσθαι εἰωθώς. — Καὶ ἔσται ἡ Ἱερουσαλὴμ ἁγία, καὶ ἀλλογενεῖς οὐ διελεύσονται δι' αὐτῆς οὐκέτι. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀποσταλάξει τὰ ὄρη γλυκασμὸν καὶ αἱ βουνοὶ ῥυήσονται γάλα, καὶ πᾶσαι αἱ ἀφέσεις Ἰούδα ῥυήσονται ὕδατα· καὶ πηγὴ ἐξ οἴκου κυρίου ἐξελεύσεται, καὶ ποτιεῖ τὸν χειμάῤῥουν τῶν σχοίνων. Ἡ μὲν γὰρ Ἱερουσαλὴμ ἁγία ἐξ αὐτῶν ὄντως φανήσεται τῶν πραγμάτων, οὐδενὸς ἐπιβαίνειν αὐτῇ ἀλλοτρίου τολμῶντος ἔτι· ἅπασι δὲ Ἰουδαίοις ἐπὶ τῆς γῆς οἰκοῦσι τῆς ἐπαγγελίας πολλή τις ἀφθονία τῶν ἀγαθῶν ἔσται, ὡς καὶ τὰ ὄρη καὶ τοὺς βουνοὺς καρποὺς δὴ πολλούς τινας καὶ ποικίλους παρέχειν αὐτοῖς τὰς πήγας τε συνήθως τῶν οἰκείων ὑδάτων παρέχειν τὸν πλοῦτον (αἱ εἰωθυῖαι ἐκ τοῦ ναοῦ τοῦ θείου χορηγεῖσθαι

ra quassari videbuntur, propter miracula quae fient et propter miram istam caedem, quam dominus efficiet, idque suis parcens iisque vires contra adversarios suppeditans, ut inde cognoscatur, eum re vera esse Deum, omniumque Dominum eum, quem in Sione colere mos sit. — *Tunc sancta erit Hierosolyma, nec peregrini amplius eam pervadent. Et futurum est, ut isto die montes destillent mustum et colles lacte fluant, omnesque Judae fontes aquis scateant. Et fons ex aede domini orietur et irrigabit torrentem funiculorum.* Rebus ipsis tunc sancta erit Hierosolyma, nec quisquam peregrinorum iii eam prodire amplius audebit. Omnibusque terram promissionis inhabitantibus Judaeis bonorum tanta erit copia, ut vel montes et colles multos variosque fructus iis porrigant, nec non fontes aquarum suarum consuetam dent abundantiam, tanquam dona e divino templo profluentia, et iis qui ibi intrant Deoque justum tribuunt cultum, bonorum abundantes parantia divitias. Eum enim appellat fontem, qui prodibit ex aede

δωρεαί), καὶ πηγάζειν ἄφθονον τῶν ἀγαθῶν τὸν πλοῦτον τοῖς αὐτόθι τε εἰσιοῦσι καὶ τὰ καθήκοντα τῷ θεῷ πληροῦν ἐσπουδακόσι. Ταύτην γὰρ λέγει πηγὴν ἐξ οἴκου κυρίου ἐξελεύσεσθαι· τοσαύτη τις ἔσται, ὥστε ἄχρι καὶ τῶν πόῤῥωθεν τὴν φιλοτιμίαν ἐκτείνειν [1]). — (ιθ' — κ'.) Εἶτα εἰπὼν, ὅτι καὶ Αἴγυπτος ἀφανισθήσεται καὶ ἡ Ἰδουμαία δὲ σὺν ἐκείνῃ, ὑπὲρ ὧν πεπράχασί τε καθ' ὑμῶν καὶ πολλοὺς ὑμῶν ἀδίκως ἀνεῖλον, ἐπάγει· ἡ δὲ Ἰουδαία ἐν βεβαίῳ τῆς οἰκείας εὐπραγίας ἔσται οἰκουμένη σὺν τῇ Ἱερουσαλὴμ ὑπὸ τῶν οἰκείων οἷς προστίθησι.

Domini, eumque tam longum fore, ut vel cum longe remotis beneficia sua communicet. V. 19. 20. Postquam ita Aegyptum quoque et cum ea Idumaeam propter ea quae in vos commiserint flagitia, et propterea quod multos vestrum interemerint, deletas fore, dixit, addit, Judaeam vero firma gavisuram esse felicitate secureque cum Hierosolyma ab incolis suis habitatam fore. Et tum pergit ita:

κα'. Καὶ ἐκζητήσω τὸ αἷμα αὐτῶν, καὶ οὐ μὴ ἀθωώσω. Καὶ κύριος κατασκηνώσει ἐν Σιών. ἵνα εἴπῃ, τούς τε ἐπιχειροῦντάς τι κατ' αὐτῶν ἔτι τιμωρίαις περιβαλῶ ταῖς ἐσχάταις, διαμενῶ τε ἐν αὐτοῖς δεικνὺς ἐμαυτὸν τοῦ λοιποῦ διὰ τῆς ἀποῤῥήτου κηδεμονίας, ἣν πολλήν τινα παρέχων αὐτοῖς εἰς τὸν ἔπειτα διατελέσω χρόνον.

V. 21. *Eorum sanguinem requiram, eumque inultum esse non patiar. Et dominus habitabit in Sione.* hoc est: Summis afficiam poenis omnes, qui eos aggressuri erunt; et perpetuo in iis me manifestabo per ineffabilem curam, quam per totum deinceps tempus iis non detraham.

Τέλος ἑρμηνείας Ἰωὴλ τοῦ προφήτου.

Finis interpretationis Joëlis prophetae.

[1]) Hic locus, etsi sensus, posita ea, quam indicavimus, parenthesi, tolerabilis sane efficitur, propter verborum structuram non pari modo tolerabilem, non integer esse videtur. Omni tamen restituendi eum periculo abstinemus.

ʽΕΡΜΗΝΕΙΑ ʼΑΜΩΣ ΤΟΥ ΠΡΟΦΗΤΟΥ [1]).

ΠΡΟΟΙΜΙΟΝ.

αʹ. Πρόδηλον μὲν οὖν, ὅτι καὶ μακάριος ʼΑμὼς ὁ προφήτης, ὃν ἑρμηνεύειν Θεοῦ χάριτι πρόκειται νῦν ἡμῖν, περὶ τῶν τῷ λαῷ συμβησομένων διὰ πάσης μικροῦ τῆς προφητείας λέγει, ἅ τε παρὰ τῶν ʼΑσσυρίων πείσονται πρότερον αἱ δέκα φυλαὶ μηνύων, καὶ ἃ περὶ τὴν ʽΙερουσαλὴμ καὶ τὴν ʼΙούδα φυλὴν, εἶτ' οὖν τοὺς λοιποὺς τοὺς τῆς βασιλείας ἐκείνης ὑπὸ τῶν Βαβυλωνίων γίνεσθαι ἤμελλεν. Τούτου δὲ λόγος ἦν τοῖς προφήταις οὐχ ἁπλῶς, ἀλλ' ἐπειδὴ πᾶσαν τὴν περὶ τὸν λαὸν ἐπιμέλειαν ὑπὲρ τῆς τοῦ δεσπότου Χριστοῦ δείξεως ὁ Θεὸς ἐποιεῖτο, ἐπὶ κοινῇ τῇ πάντων ἀνθρώπων σωτηρίᾳ κατὰ τὸν οἰκεῖον γενησομένης καιρόν. τούτου γὰρ ἕνεκεν αὐτοὺς καὶ ἀφώρισε τῶν ἐθνῶν καὶ περιτομῇ διέκρινε, καὶ οἰκείαν ἔχειν παρεσκεύασε χώραν,

COMMENTARIUS IN AMOSUM PROPHETAM.

PRAEFATIO.

1. Perspicuum est, beatum quoque Amosum prophetam, ad quem interpretandum Deo favente nunc aggredimur, de futuris populi casibus per totum fere suum vaticinium loqui. Ea enim indicat, quae ab Assyriis primum decem tribus passurae erant, tum etiam ea, quae Hierosolymae et Judae tribui caeterisque regni ejus partibus a Babyloniis eventura erant. De his autem rebus non sine causa verba faciebant prophetae, sed quia Deus curam populi eximiam gerebat, propterea quod Christus dominus ad communem omnium hominum salutem peragendam suo tempore appariturus erat. Eam ob causam Hebraeos Deus a gentibus separavit et

[1]) Cf. *Maji* coll. nov. l. c. p. 41—49. ubi fragmentum hujus commentarii paerfationem integram cum interpretatione cap. I, 1—8, exhibens invenies.

καὶ ἀφωρισμένως ἐν τῷ ὄρει τῷ Σιὼν διὰ τῆς νομικῆς διατάξεως τὴν περὶ αὐτὸν προσέταξε ποιεῖσθαι θεραπείαν, ἵν' ἐκ τοιούτων κατὰ τὰς προφητικὰς μηνύσεις, καὶ τὴν ἄνωθεν ἐπὶ τούτοις περὶ τὸν λαὸν γεγενημένην διάταξιν, φανεὶς ὁ δεσπότης Χριστὸς δῆλον ἅπασιν ἐργάσηται τοῖς ἀνθρώποις, ὅτι οὐχ ὕστερον ἐκαινοτόμησεν ὁ θεὸς τὴν ἁπάντων ἀνθρώπων σωτηρίαν, ἀλλ' ἄνωθεν καὶ πρὸ μακρῶν τῶν χρόνων τοῦτο προωρισμένον κατὰ τὸν μακάριον Παῦλον ἔχων παρ' ἑαυτῷ, ἐξελέξατο μὲν τὸν Ἀβραὰμ, συνέστησε δὲ τὸ ἐξ ἐκείνου γένος, ἐπιμέλειαν δὲ αὐτοῦ καθ' ὃν εἰρήκαμεν πεποίηται τρόπον, ἵν' ἐξ αὐτῶν ὕστερον ὁ δεσπότης Χριστὸς τὸ κατὰ σάρκα ἐπὶ τῇ πάντων ἀνθρώπων φανεὶς σωτηρίᾳ, δῆλος ὑπάρχῃ κατὰ τὸν ἄνωθεν ὁρισμὸν ἐπὶ τὴν οἰκονομίαν παρεληλυθώς.

circumcisione distinxit, propriamque habere regionem voluit, et seorsim in Sione monte cultum sibi exhiberi legum constitutionibus jussit. Sic enim futurum erat, ut secundum propheticas promissiones atque olim ordinatam congruenter his constitutionibus populi administrationem, Christus dominus in orbem veniens homines certiores faceret, haud nuper demum Deum omnium hominum saluti prospexisse, sed quum antiquitus longisque ante temporibus id apud se teste beato Paulo habuisset decretum, segregavisse sibi Abrahamum et ex eo gentem conflasse, curamque posterorum, sicuti dictum est, gessisse, ut ex iis postea Christus dominus secundum carnem in omnium hominum salutem natus, manifeste secundum vetus decretum ad opus redemtionis peragendum venisse, cognosceretur.

β'. Ὑπὲρ δὴ τούτων καὶ μετοικισθῆναι τὸν λαὸν διὰ τῆς αἰχμαλωσίας παρεσκεύασεν ὅλον, καὶ ἐπανήγαγεν ἐξ αὐτῶν οὓς ἐβούλετο· ὧνπερ οὖν ἡγεῖτο ἡ Ἰούδα φυλὴ μόνη ἡ πᾶσα τὴν ἐπάνοδον δεξαμένη, ἐπειδήπερ ἐξ αὐτῆς ἤμελλεν ἀναφαίνεσθαι τὸ

2. Hanc ob causam quoque populum universum in captivitatem abducendum curavit Deus, et quos voluit ex iis reduxit; inter quos principatum obtinuit Judae tribus, ut quae sola reditus beneficium accepit, quoniam

κατὰ σάρκα ὁ δεσπότης Χριστός· τῶν λοιπῶν γάρ τοι φυλῶν ἀφ᾽ ἑκάστης ἑπόμενοι ταύτῃ συνανῆλθον ὀλίγοι· ἵνα διὰ μὲν τῆς γεγενημένης αἰχμαλωσίας καὶ τῆς ἐπανόδου τοῦτον ἀποτελεσθείσης τὸν τρόπον δῆλος γένηται τῆς περὶ τὸν λαὸν ἐπιμελείας ὁ σκοπὸς τοῦ θεοῦ ὑπὲρ τοῦ φανησομένου γε ἐξ αὐτῶν ἐπὶ τῇ πάντων ἀνθρώπων σωτηρίᾳ πάντα ποιοῦντος· ὥστε δὲ μὴ εἰς ἀπόγνωσιν παντελῆ καταστάντας ἐπιμιγῆναι τοῖς ἔθνεσι τὴν αἰχμαλωσίαν ὑπομεμενηκότας ἐκείνην, χώραν δὲ μηκέτι μήτε τὴν ἐπάνοδον ἔχειν μήτε τὸν ἀπὸ τῶν λοιπῶν ἐθνῶν χωρισμὸν, ἄνωθεν διὰ τῶν προφητῶν καὶ τὴν αἰχμαλωσίαν ἐσομένην ἐμήνυε καὶ τὴν ἐπάνοδον ἐπ᾽ ἐκείνῃ, ἵνα ταῖς ἐλπίσι κρατούμενοι ταύταις καὶ μετὰ τὴν συμβᾶσαν αἰχμαλωσίαν τὴν ἐπάνοδον ἀναμένωσιν· ἥπερ οὖν καὶ γέγονε καθ᾽ ὃν ἔφαμέν τε τρόπον καὶ ὑπὲρ ἧς εἰρήκαμεν αἰτίας.

γ΄. Διὰ τοῦτο πάλαι μὲν καὶ πρόπαλαι τῷ μακαρίῳ Δαυὶδ εἴρητο ταῦτα διὰ πολλῶν τῶν ψαλμῶν· ἐγγίζοντος δὲ τοῦ καιροῦ τῶν πραγμάτων τοὺς προφήτας ἀνέδειξεν ἡ θεία χάρις, νῦν μὲν ἐφεστῶτα τῶν Ἀσσυρίων μηνύοντας[1]) τὰ κακὰ, αὖθις δὲ ἐπ᾽

[1]) Ed. Maji μηνύοντα.

ex ea orturus erat secundum carnem Christus dominus. Namque de caeteris tribubus istam secuti pauci tantum e singulis redierunt. Quod factum est, ut et ex captivitate et e reditu hac ratione ordinato divinae circa populum providentiae finis intelligeretur, haec omnia peragentis propter inde venturum omnium hominum salutis auctorem. Ne vero Judaei captivitatem illam perpessi spe omni deposita, confunderentur gentibus, sibique patriam aut reditum ad illam superesse, neve suae ab caeteris gentibus secretionis obliviscerentur, antiquitus per prophetas et futuram captivitatem et ex ea reditum indicavit Deus, ut hac spe retenti etiam ubi accidisset captivitas reditum exspectarent; qui eo quo supra diximus modo et ob significatam a nobis causam contigit reapse.

3. Quamobrem olim et jam diu haec a beato Davide pluribus in psalmis dicta erant; appropinquante autem rerum gerendarum tempore prophetas misit Dei gratia, nunc quidem imminentia ab Assyriis praecinentes mala,

ἐκείνους τὰ παρὰ Βαβυλωνίων ἐσόμενα δηλοῦντας, ἐφ' ἅπασί τε λέγοντας τὴν ἐπάνοδον, ἕτερά τε ὁπόσα τῶν κατὰ τὸν καιρὸν ἐκεῖνον γεγονότων μηνύεσθαι προσῆκον ἦν. Ἐπεί δὲ ἡ τῶν προτέρων ἔκβασις ἀκολούθως ταῖς προῤῥήσεσι γινομένη πίστις ἦν τῶν μετὰ ταῦτα προειρημένων τε κατὰ τὴν πρόῤῥησιν ὡς εἰκὸς ἐσομένων, ἐντεῦθεν ἅπαντες τὰ τε παρὰ τῶν Ἀσσυρίων καὶ τὰ μετ' ἐκεῖνα παρὰ τῶν Βαβυλωνίων γεγονότα φασίν· ἐπειδὴ κἂν εἰ διῃρημένας τὰς ἐφόδους ταύτας γεγενῆσθαι συνέβη, πρότερον μὲν Ἀσσυρίων ἐπεληλυθότων, Βαβυλωνίων δὲ ὕστερον, τῶν τε πραγμάτων καιρός τις γέγονεν ἐν μέσῳ, ἀλλὰ μία γε ἦν ἡ παντελὴς αἰχμαλωσία ἀρξαμένη μὲν ἀπὸ τῶν Ἀσσυρίων περὶ τὰς δέκα φυλὰς, περαιωθεῖσα δὲ περὶ τὰς ὑπολοίπους, αἳ τῆς Ἰούδα βασιλείας ἐτύγχανον, ἐπὶ τῆς Βαβυλωνίων πολιορκίας. Τούτου μὲν οὖν ἕνεκεν οἵ τε λοιποὶ τοῦτο μηνύουσι καὶ περὶ ταῦτα τὴν πᾶσαν εἶχον τοῦ λόγου σχολὴν, πλὴν ὅσα βραχέα οὐ πολύγε τούτων ἀπεσπασμένα προσετίθεσαν τοῖς λεγομένοις.

rursus autem Babylonicam illis (Judaeis) superventuram calamitatem significantes, post haec omnia tamen spondentes reditum et quaecunque per id tempus scire commodum erat indicantes. Quum vero rerum superiorum exitus vaticiniis consentaneus fidem conciliaret, fore ut postea praedicta sine dubio ad vaticinii normam evaderent; hinc prophetae omnes et res ab Assyriis et deinceps a Babyloniis gerendas loquuntur. Nam etsi hae diversae fuerunt incursiones, Assyriis primo, deinde Babyloniis expeditionem facientibus, hisque eventibus aliquantum temporis spatium interpositum fuit, nihilominus una fuit eaque continua captivitas, orsa ab Assyriis contra decem tribus, absoluta vero contra reliquas, quae regnum Judae constituebant, eo, quo Babylonii urbem ceperunt tempore. Idcirco caeteri etiam prophetae hoc portendunt atque haec omnis eorum sermo spectat, si paucas aliquot res excipias, neque a praedictis valde discrepantes, quas obiter attigerunt.

δ'. Πεποίηκε δέ τι τοιοῦτο

4. Fecit tale aliquid etiam

καὶ ὁ παρὼν προφήτης, τὴν μὲν προφητείαν ἅπασαν ἐν τοῖς περί τε τὸν Ἰσραὴλ καὶ τὸν Ἰούδαν ἐσομένοις παρά τε Ἀσσυρίων καὶ Βαβυλωνίων πεποιημένος προδήλως, ἐν βραχέσι δὲ κατὰ τὸ προοίμιον ἐπιμνησθεὶς καὶ τῶν ὅσα περὶ τοὺς περιοίκους πολλὴν τοῖς Ἰσραηλίταις ἐπάγοντας τὴν ἐπήρειαν κατὰ τὸν αὐτὸν ἤμελλεν γίνεσθαι καιρόν. ὡς ἂν δῆλον ποιήσειεν, ὅτι οὐκ ἀφειδίᾳ τινὶ καὶ ἀμελείᾳ καὶ μεταβολῇ γνώμης ταῖς τε τῶν Ἀσσυρίων καὶ ταῖς τῶν Βαβυλωνίων ἐκδέδωκεν συμφοραῖς τὸν λαόν, ἐπανορθώσασθαι δὲ αὐτῶν τὰς ἀσεβείας βουλόμενος· ὅς γε καὶ τῶν περιοίκων τοὺς ἡμαρτηκότας εἰς αὐτοὺς κατὰ τὸν αὐτὸν ἐτιμωρήσατο χρόνον, οὐκ ἄν ποτε δίκας ὑπὲρ τούτων εἰσπραξάμενος ἐκείνους εἰ μὴ πλεῖστόν τινα τούτων ἐποιεῖτο λόγον, ἀλλ' ἐν μὲν τῇ τῶν ἠδικηκότων τιμωρίᾳ τὴν περὶ τούτους αὐτοὺς κακὰ δῆλος γέγονεν ἐπάγων οὐκ ἀφειδίᾳ τε καὶ ὑπεροψίᾳ καὶ μίσει, ἀλλ' ἐπιμελείᾳ τε καὶ σωφρονισμῷ καὶ διορθώσει καὶ τῇ ἐπὶ τὸ κρεῖττον ἐπαναγωγῇ.

hic noster propheta, qui suum omne vaticinium ad mala ab Assyriis et Babyloniis Israeli Judaeque inferenda manifeste convertit, ita tamen ut breviter in praefatione quaedam etiam damna commemoret, quae a finitimis populis sub idem tempus passuri erant Israelitae. Quibus perspicuum reddere voluit Deus, haud se crudelitate aliqua vel incuria vel consilii volubilitate populum Assyriaca ac Babylonica calamitate implicuisse, sed quia eum ab improbitate revocare voluerit; quandoquidem etiam finitimos, qui huic populo injuriam fecerant, eodem tempore poenae subjecit; in quos haudquaquam animadvertisset, nisi populum suum plurimi faceret. Sed in peccantium supplicio declaravit suam erga Israelitas curam, quibus plagas imposuit haud saevitia vel contemtu vel odio exstimulatus, sed providentiae causa et erudiendi emendandique studio, atque ut ad frugem meliorem revocaret.

ε'. Ἡ μὲν οὖν ὑπόθεσις αὕτη τοῦ βιβλίου οὕτω μὲν ἅπαντα τὰ περὶ τὸν λαὸν εἰρηκότος τοῦ προφήτου, ἐν ὀλίγοις δὲ μηνύοντος ἃ κατὰ τὸν καιρὸν καὶ μάλιστα

5. Hoc est igitur libri argumentum, in quo omnia circa populum eventura narrat propheta, paucis etiam significans, quidnam adversi pro-

παρὰ τῶν Βαβυλωνίων περὶ τοὺς ἀστυγείτονας ἤμελλε γίνεσθαι, ὑπὲρ ὧν εἰς αὐτοὺς πεπλημελήκεσαν, δι' ἣν ἔφην αἰτίαν. Ποιεῖται δὲ καὶ τὴν προφητείαν οὐκ ἐν Ἱερουσαλὴμ, ἀλλ' ἐν τοῖς τῶν ἐθνῶν τόποις πλησίον τοῦ Ἰσραὴλ ἐν Βαιθὴλ τε τῷ ἱερῷ, ἔνθα δὴ τοῖς εἰδώλοις ἐπετέλουν οἱ τοῦ Ἰσραὴλ τὰς θυσίας· ἐν μὲν γὰρ τῇ Ἱερουσαλὴμ προφητεύων οὐκ ἂν ἐγένετο δῆλος οὔτε τῷ Ἰσραὴλ οὔτε τοῖς λοιποῖς ἔθνεσιν, ἐφ' οἷς ἤμελλε λέγειν περὶ αὐτῶν, ἐπεὶ μηδὲ ἐπιβαίνειν τῆς Ἱερουσαλὴμ ἠνείχετό τις ἐκείνων· ἐν δὲ τοῖς προῤῥηθεῖσι τόποις τήν τε προφητείαν ποιούμενος ἀναγκαίως καὶ τῷ Ἰσραὴλ καταφανὴς ἦν καὶ τοῖς ἔθνεσιν, οἵ γε πλησίον ἦσαν, καὶ πολλάκις ἐκ τῆς περὶ τὰ εἴδωλα θεραπείας ἐπεμίγνυντο ἀλλήλοις· ὡς ἂν ἅπαντες περὶ ὧν τοὺς λόγους ἐποιεῖτο εἴδειέν τε τὰ περὶ αὐτῶν λεγόμενα καὶ πρὸ τῶν πραγμάτων δεξάμενοι τὴν προφητείαν, ἐγγύθέν τε ἰδόντες τὴν ἔκβασιν, μείζονα τὴν πίστιν ἔχοιεν τῆς ἐνεργούσης ἐν τοῖς προφήταις χάριτος θείας.

ϛ'. Τὸ μέντοιγε παρά τινων λεγόμενον ὅτι Ὀζίαν τὸν βασιλέα οὐκ ἤλεγξαν οἱ προφῆται τοῖς τῆς ἱερωσύνης ἔργοις ἐπιχειροῦντα καὶ διὰ ταύτην τὴν αἰτίαν ἐπαύθησαν ἅπαντες τοῦ προ-

ximis urbi populis isto tempore et inprimis a Babyloniis futurum esset, propter illorum in Israelitas injurias; cujus rei jam causam diximus. Edit autem vaticinium non Hierosolymae, sed gentium in locis Israeli finitimis prope Baithelis fanum, ubi Israelitae hostias idolis immolabant. Nam si Hierosolymae vaticinatus esset, res neque Israeli neque reliquis gentibus, de quibus erat verba facturus, innotuisset, quum nemo eorum Hierosolymam adire auderet: praedictis contra in locis vaticinans necessario cum Israeli innotescebat, tum gentibus finitimis, qui saepe ob idolorum cultum se invicem frequentabant. Sic omnes, de quibus sermones serebat, et ea quae de se dicebantur resciebant, et cognito ante res gerendas vaticinio moxque viso exitu, firmiorem fidem divinae gratiae in prophetis efficaci adhibituri erant.

6. Quod vero nonnulli ajunt, Oziam regem a prophetis reprehensum non fuisse, quum sacerdotii munus obire ausus esset, atque eam ob causam propheticum Spi-

φητεύειν, σφόδρα μοι μυθῶδες εἶναι φαίνεται μᾶλλον· ἥ τε γὰρ τοῦ Ὡσηὲ βίβλος οὕτως ἔχει [1]) „Λόγος κυρίου ὃς ἐγενήθη πρὸς Ὡσηὲ τὸν τοῦ Βεηρὶ ἐν ἡμέραις Ὀζίου,“ καὶ τὰ ἑξῆς· παρὰ Ἡσαΐᾳ τε τῷ προφήτῃ οὕτως φησὶν [2]) „ὅρασις ἣν εἶδεν Ἡσαΐας υἱὸς Ἀμὼς, ἣν εἶδε κατὰ τῆς Ἰουδαίας καὶ κατὰ Ἱερουσαλὴμ ἐν βασιλείᾳ Ὀζίου,“ καὶ τὰ ἑξῆς. Καὶ παρὰ τῷ παρόντι δὲ προφήτῃ οὕτω φησίν· „Λόγοι Ἀμὼς, οἳ ἐγένοντο ἐν Καριαθαρὶμ ἐκ Θεκουὲ, οὓς εἶδεν ἐπὶ Ἱερουσαλὴμ ἐν ἡμέραις Ὀζίου βασιλέως Ἰούδα.“ Πῶς οὖν οἷόν τε ἦν ἐν ταῖς ἡμέραις Ὀζίου πεπαῦσθαι τῆς προφητείας τοὺς προφήτας κατ᾽ ἐκείνων λόγον, ὁπότε καὶ Ὡσηὲ καὶ Ἡσαΐας καὶ Ἀμὼς ἐν ταῖς ἐπιγραφαῖς τῶν οἰκείων βίβλων δηλοῦνται ἐν ἡμέραις Ὀζίου πεποιημένοι [3]) προφητείαν· πρὸς τῷ κἀκεῖνο δῆλον εἶναι, ὅτι οὔτε κατὰ τὴν πνευματικὴν ἀποκάλυψιν ἐλέγξαι κελευόμενοι τὸν Ὀζίαν ἀνεβάλλοντο ἄν ποτε οἱ προφῆται, ταῖς θείαις ἀποκαλύψεσι πειθόμενοι μᾶλλον ἢ τὸν πλημμελοῦντα αἰδούμεναι βασιλέα, μὴ τετυχηκόσι τε πρὸς τοῦτο ἀποκαλύψεως οὐδεὶς ἂν μέμψαιτο δικαίως οὐκ ἐπικεχειρηκόσι πράγματι μὴ ἐξ ἀποκαλύψεως θείας

ritum cunctis esse subtractum, id mihi potius fabulosum esse videtur: Namque etiam Hoseae liber sic habet: „Verbum Domini, quod factum est ad Hoseam, Beeri filium, diebus Oziae etc.“ Apud Jesajam prophetam ita dicitur: „Visio, quam habuit Jesajas, Amosi filius et quam vidit contra Judaeam et contra Hierosolymam regnante Ozia etc.“ Et nostro in libro ita loquitur; „Sermones Amosi, qui facti sunt in Cariatharim de Thecue, quosque vidit contra Hierosolymam diebus Oziae Judae imperantis.“ Qui igitur fieri poterit, ut Oziae diebus divinandi vis prophetis erepta fuerit, quemadmodum istorum interpretum opinio fert, siquidem et Hoseas et Jesajas et Amosus in suorum librorum titulis, se Oziae diebus prophetasse declarant? Praeterea etiam exploratum est, si divina forte revelatione prophetae jussi fuissent Oziam castigare, nequaquam id fuisse recusaturos, divino potius lumini obtemperantes, quam peccatorem regem reverentes. Sin autem de objurgando rege

[1]) Hos. I, 1. — [2]) Jes. I, 1. — [3]) Ed. Maji addit τήν.

αὐτοῖς δειχθέντι, οἵ γε διὰ πάντων εἰώθεισαν ταῖς πνευματικαῖς ἀποκαλύψεσιν ἑπόμενοι κατ᾽ ἐκείνας μὲν καὶ λέγειν τι καὶ μὴ λέγειν, παρ᾽ ἐκείνας δὲ μήτε λέγειν μήτε σιγᾶν οὐκ ἄν ποτέ τι (οὔτε μήτε εἰπεῖν ἑλόμενοι παρ᾽ ἐκείνας). Τοῦτο μὲν οὖν παρὰ πολλοῖς οὐκ οἶδ᾽ ὅπως φερόμενον, καὶ σφόδρα μοι δόξαν ἐναντίως ἔχειν ταῖς τῶν βίβλων γραφαῖς σιωπῇ παραδραμεῖν οὐ καλῶς ἔχειν ἡγησάμην. Τοῦ δὲ βιβλίου τῆς προφητείας παντὸς περί τε τὸν Ἰσραὴλ καὶ τὸν Ἰούδαν ἠσχολημένου καὶ τὰ τούτοις τε κἀκείνοις συμβάντα πρότερον μὲν ὑπὸ τῶν Ἀσσυρίων, ὑπὸ Βαβυλωνίων ὕστερον, ἐν ὀλίγοις δὲ κατὰ τὸ προοίμιον μνήμην ἔχοντος τῶν εἰς τοὺς περιοίκους συμβησομένων κακῶν, τῶν μὲν περὶ τὸν λαὸν αἰτίαν εἶναί φαμεν, ἣν καὶ πρότερον εἰρήκαμεν, ὑπὲρ ἧς δὲ πᾶσαν ἔνειμεν αὐτῷ τὴν οἰκείαν κηδεμονίαν ὁ θεὸς διὰ τὸν ἐξ αὐτῶν ἀναδείκνυσθαι μέλλοντα τὸ κατὰ σάρκα δεσπότην Χριστὸν ἐπὶ τῇ πάντων φανούμενον σωτηρίᾳ, προτεθεῖσθαι δὲ τῶν λοιπῶν τὰ περὶ τοὺς περιοίκους ἐσόμενα εἰς ἔλεγχον τοῦ μηδὲ τὰ κατὰ τὸν λαὸν ἀφειδίᾳ τὸν θεὸν πεποιῆσθαι, ὅπου γε καὶ ὑπὲρ τῆς εἰς αὐτοὺς παρανομίας δίκας εἰσπράττεται ἑτέρους[1]). Ἀρ-

[1]) F. l. ἑτέρας.

haud divinitus fuerunt admoniti, nemo eos merito vituperet, qui rem non attigerint, quam eis divina revelatio non demonstraverat. Nam in omnibus prophetae spiritalibus revelationibus obsequi solent, sive ex earum instinctu loquendum sit, sive tacendum; ita ut praeter illas neque dicant aliquid neque reticeant, atque ab iis ne latum quidem unguem discedere soleant. Hanc igitur opinionem, quae, nescio cur, multorum animos pervasit, mihique sacris litteris magnopere adversari videtur, silentio praeterire haud aequum existimavi. Jam universi hujus vaticinii liber circa Israelem et Judam vertitur eorumque adversitates, quae primo a Babyloniis, deinde ab Assyriis contigerunt. Brevem etiam in praefatione mentionem injicit malorum, quae finitimos correptura erant. Et quidem cur Hebraeorum populo haec evenerint, causam diximus in praecedentibus, Deo curam suam illi impendente, propter eum, qui inde in omnium salutem exorturus erat secundum carnem Christum dominum. Praeponun-

τιὸν δὲ τοῦ βιβλίου λοιπὸν ἔχοντος οὕτως.

tur autem reliquis res finitimis populis eventurae, ut palam fieret, nihil Deum contra suum populum fecisse saevitia commotum; quandoquidem de iis, qui hunc adflixerant, poenas repoposcit. Sed jam initium faciendum est libri, qui ita se habet.

Κεφάλαιον Α'.

α'. *Λόγοι Ἀμὼς, οἳ ἐγένοντο ἐν Καριαθαρὶμ ἐκ Θεκουὲ, οὓς εἶδεν ἐπὶ Ἱερουσαλὴμ ἐν ἡμέραις Ὀζίου τοῦ βασιλέως Ἰούδα, καὶ ἐν ἡμέραις Ἱεροβοὰμ τοῦ Ἰωὰς βασιλέως Ἰσραὴλ, πρὸ δύο ἐτῶν τοῦ σεισμοῦ.* Τοῦτο μὲν οὖν καθὰ κἀν τοῖς λοιποῖς εἰρήκαμεν προφήταις προγραφῆς τινὸς τάξιν ἐπέχει δηλούσης τί ποτε βούλεται ἡ βίβλος, παρ' ὅτου τε καὶ περὶ τίνων εἴρηται καὶ πόθεν. Θαυμαστὸν δὲ οὐδὲν, εἰ λόγοι εἶπεν, οὓς εἶδεν ἐπὶ Ἱερουσαλὴμ, καίτοιγε μέλλων κἀκεῖνα λέγειν, ὁπόσα περὶ τὸν Ἰσραὴλ τουτέστι τὰς δέκα γέγονε φυλὰς, καὶ μὴν καὶ περὶ τοὺς περιοίκους οὐχ ἧττον, ἀλλ' ὡσὰν κυριώτατον μὲν ἁπάντων ἡγούμενος εἶναι τὰ κατὰ τὴν Ἱερουσαλὴμ, εἴτ' οὖν τὸν περὶ αὐτὸν λαόν· ἦν δὲ οὗτος ἡ τοῦ Ἰούδα φυλὴ, καθὼς ἐν τοῖς πρόσθεν

Caput I.

V. 1. *Sermones Amosi, qui facti sunt in Cariatharim de Thecua, quos vidit de Hierosolyma diebus Oziae regis Judae, et diebus Jerobeami, Joasi filii, regis Israelis, biennio ante terrae motum.* Haec verba, sicuti in caeteris diximus prophetis, tituli cujusdam vice funguntur, qui quidnam velit liber, a quo profectus sit, et quemnam spectet finem, quandoque ortus sit indicat. Non autem mirum est, quod dixerit Sermones quos vidit de Hierosolyma, etsi ea dicturus erat, quae Israeli, id est decem tribubus, nec non finitimis eventura essent. Potissimas enim omnium res urbis Hierosolymae existimabat, ejusque populi, qui ex Judae tribu constabat, sicuti jam in prioribus diximus. Quum caete-

εἰρήκαμεν, τῶν λοιπῶν δὲ ἐξ ἀκολουθίας λεγομένων τε καὶ γινομένων δι' ἐκεῖνον· οὕτως ἀπὸ τοῦ κυριωτάτου ἐδήλωσεν τὴν αἰτίαν· ἀρχόμενος μέντοι τῆς προφητείας οὕτω φησίν.

β΄. Κύριος ἐκ Σιὼν ἐφθέγξατο καὶ ἐξ Ἱερουσαλὴμ ἔδωκε φωνὴν αὐτοῦ· καὶ ἐπένθησαν αἱ νομαὶ τῶν ποιμένων, καὶ ἐξηράνθη ἡ κορυφὴ τοῦ Καρμήλου. Θαυμασιώτατα ἐντεῦθεν ἤρξατο τοῦ λόγου· ἐπειδὴ γὰρ οὐκ ἐν τῇ Ἱερουσαλὴμ, ἀλλ' ἐν ἐκείνοις ἐφθέγξατο τοῖς τόποις, οἳ τῶν τε ἐθνῶν καὶ τῆς βασιλείας τοῦ Ἰσραὴλ ἐτύγχανον ὄντες πλησίον, εἰκότως προστέθεικε τὸ Ἐκ Σιὼν ἐφθέγξατο καὶ ἐξ Ἱερουσαλὴμ ἔδωκε φωνὴν αὐτοῦ, ὡς ἂν μὴ τοῖς περὶ τὸν τόπον ἐκεῖνον θρησκευομένοις δαίμοσιν ἐπιγράφειν μέλλοιεν οἱ ἀκούοντες τῶν λεγομένων τὴν αἰτίαν, εἰδεῖεν δὲ ἅπαντες ὅτι γνώμῃ θεοῦ ταῦτα φθέγγεται, ὃς τῶν ἁπάντων ποιητής τε καὶ κύριος ὢν ἐν τῷ Σιὼν ὄρει τὴν καθήκουσαν αὐτῷ θρησκείαν κατὰ τὴν νομικὴν διάταξιν πληροῦσθαι προσέταξε, τῷ τε προφήτῃ νῦν εἰπεῖν ταῦτα διδοὺς καὶ κατὰ καιρὸν τῶν μηνυομένων τὴν ἔκβασιν εἰς ἔργον ἐκφέρων· τὸ δὲ ἐπένθησαν αἱ νομαὶ τῶν ποιμένων καὶ ἐξηράνθη ἡ κορυφὴ τοῦ Καρμήλου, ἵνα εἴπῃ ὅτι ἐκ

ra autem eorum causa tantum convenienter et fierent et dicerentur, a principali re causam vaticinii ostendit, quod ita orditur.

V. 2. *Dominus e Sione locutus est, et ex Hierosolyma vocem suam edidit; et luxerunt pascua pastorum, et exaruit Carmeli cacumen.* Mire admodum his verbis loqui coepit; nam quum non Hierosolymae, sed in illis loqueretur locis, quos gentes et regnum Israelis occupabant, statim prudenter addidit E Sione locutus est, et ex Hierosolymis vocem suam edidit ne forte auditores rerum a propheta dicendarum causam cultis per ea loca daemonibus imputarent, sed potius cuncti agnoscerent, eum Dei voluntate verba facere illa; qui quum omnium creator ac dominus sit, congruam sibi religionem in Sione monte exhiberi legitimis ritibus jusserat; idemque prophetam ad haec dicenda nunc excitaverat, suoque tempore vaticinia in rem collaturus erat. Jam verba Luxerunt pascua pastorum et exaruit cacumen Carmeli, significant, fore ut cum praedictis

τῆς ἀποφάσεως τῆς ἐκείνου πάντες τε οἱ περίοικοι σὺν τοῖς ἡγουμένοις μεταστήσονται εἰς πένθος, καὶ μὴν καὶ τοῦ Ἰσραὴλ σὺν ἐκείνοις, οὓς κορυφὴν ὠνόμασε τοῦ Καρμήλου, ὡς περὶ ἐκεῖνον οἰκοῦντες τὸν τόπον, καὶ εἰς οὐδὲν δέον τῇ ὑπεροχῇ κεχρημένους. Εἶτα μερίζων τὸν λόγον ἀναμέρος περὶ ἑκάστου τῶν περιοίκων λέγει.

finitimi omnes cum ducibus suis ad luctum vertantur, et quidem etiam Israelem cum illis, quos Carmeli eacumen appellavit, quia circum locum illum habitabant, et superbia temere elati erant. Deinde diviso sermone de singulis finitimis singillatim loquitur.

γ'—ε'. Καὶ εἶπε Κύριος, ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Δαμασκοῦ καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτήν· ἀνθ' ὧν ἔπριζον ἐν πρίοσι σιδηροῖς τὰς ἐν γαστρὶ ἐχούσας τῶν Γαλααδιτῶν. καὶ ἀποστελῶ πῦρ εἰς τὸν οἶκον Ἀζαὴλ καὶ καταφάγεται θεμέλια υἱοῦ Ἀδέρ. καὶ συντρίψω μοχλοὺς Δαμασκοῦ, καὶ ἐξολοθρεύσω κατοικοῦντας ἐκ πεδίου Ὢν, καὶ κατακόψω φυλὴν ἐξ ἀνδρῶν Χαῤῥάν· καὶ αἰχμαλωτευθήσεται λαὸς Συρίας ἐπίκλητος, λέγει Κύριος. Τὸ Ἐπὶ ταῖς τρισὶ καὶ τέσσαρσι λέγει ἀντὶ τοῦ ταῖς ἄγαν πολλαῖς· ἐπειδὴ γὰρ ὁ μετὰ τὸν ἕνα καὶ δύο ἀριθμὸς πληθυντικὸς καλεῖται, τρισὶ μὲν λέγει ταῖς πολλαῖς, τέσσαρσι δὲ τὴν ἐπίτασιν τοῦ πλήθους· βούλεται δὲ εἰπεῖν ὅτι πολλὰς ἀσεβείας τῆς Δαμασκοῦ

V. 3—5. *Et dixit dominus ob tres Damasci impietates vel quatuor non aversabor eos. propterea quod ferreis serris Galaaditarum gravidas dissecuerunt.* V. 4. *Et mittam ignem in domum Azaëlis, qui consumet fundamenta filii Aderi.* V. 5. *Et Damasci vectes confringam, et excidam habitatores ex agro On, et conteram tribum de viris Charran; et captivus abducetur populus Syriae nominatus, inquit Dominus.* Tribus et quatuor dicit pro: admodum multis. Nam quum numerus post unum et duo pluralis dicatur, verbo *tribus* multos denotat, verbo autem *quatuor* multitudinem exaggerat. Dicere autem vult, se multa Damasci scelera praetervidisse, verumtamen quum ejus cives in impietate perstarent eamque

παρεῖδεν, ἐπιμένοντας δὲ καὶ ἐπὶ πλεῖστον ἐκτείνοντας τὴν ἀσέβειαν μὴ ἀποστρέφεσθαι καὶ μισεῖν οὐκέτι δυνατόν. Εἶτα καταλιπὼν τὰς λοιπὰς αὐτῶν παρανομίας τὴν εἰς τοὺς Ἰσραηλίτας παρ' αὐτῶν γεγενημένην λέγει, ὡς ἂν δείξειεν, ὅτι κἂν πολλὰ ἠσεβήκασιν, ἀλλ'. ὑπὲρ τούτων μάλιστα αὐτοὺς τιμωρήσεται, ὧν πολλὴν ποιεῖσθαι ἐσπούδακε τὴν κηδεμονίαν· τὸ οὖν [1]). Τῶν Γαλααδιτῶν ἐκ μέρους βούλεται τῶν Ἰσραηλιτῶν εἰπεῖν, ἐπειδὴ τοῦ Ἰσραὴλ μέρος ἦν ἡ Γαλαάδ. ἐπειδὴ τοίνυν, φησὶ, τοσαύτην ἐξέτειναν κατ' αὐτῶν τὴν παρανομίαν, ὡς καὶ τὰς ἐγκύους αὐτῶν σιδηροῖς πρίοσι διατέμνειν (ἔοικε δε τοῦτο λέγειν εἰς ἀπόδειξιν τῆς ὠμότητος αὐτῶν, δι' ἣν οὐδὲ τῶν ἐγκύων ἐφείδοντο, ἤτοι πρίοσιν ὄντως αὐτὰς ἢ ξίφεσιν ἀνατέμνοντες πολέμου νόμῳ, ὁπεροῦν εἶπεν Ἐν πρίοσιν σιδηροῖς εἰς μείζονα ἔμφασιν τοῦ γινομένου) ὑπὲρ δὴ τούτων φησὶν, αὐτοῖς ἐπάξω τοὺς πολεμίους, οὓς δίκην πυρὸς ἅπαντας αὐτοὺς [2]) ἀφανίζοντας, ὡς καὶ τὰ βασίλεια αὐτῶν καθαιρεθῆναι (τοῦτο γὰρ λέγει Θεμέλια υἱοῦ Ἀδέρ) πᾶσάν τε τῆς μετροπόλεως αὐτῶν τὴν ἰσχὺν ἀφαιρεθῆναι· ὅπερ δηλοῖ τὸ Συντρίψω μοχλοὺς Δα-

cumularent, jam se non posse quin eos a se repellat atque persequatur. Exin caeteris eorum sceleribus omissis, illud commemorat, quod adversus Israelitas commiserunt, ut eo ostendat, etiamsi multa peccaverint, eos tamen propter illos se puniturum fore, quorum maximam gessit curam. Galaaditidas feminas igitur dicens partem pro toto appellat et Israelitas significat, Galaad enim pars erat Israelis. Quoniam ergo, inquit, adeo impie contra eos egerunt, ut vel gravidas inter eos, ferreis serris dissecarent, (hoc vero ad declarandam eorum crudelitatem, qui ne gravidis quidem feminis pepercissent, dicit, sive eos reapse serris, sive gladiis belli more conciderint, ita ut ista locutione, serris ferreis, propheta usus fuisset ad praegravandam facinoris emphasin); eam ob causam, inquit, immittam eis hostes, a quibus cuncti ceu igne absumentur, et quidem regia quoque ipsorum sedes evertetur (hoc enim innuit dictio fundamenta filii Aderi); atque omne metropolis eorum robur delebi-

[1]) Ita ex edit. Maji restituimus; cod. Vindob. male τὸ οὖν τό.

[2]) Verba πολεμίους — αὐτούς in edit. Maji non leguntur.

μασκοῦ. καὶ δὴ καὶ πάντας τοὺς ἐξ αὐτῶν ἀφανιῶ, ὥστε καὶ τοὺς ἐκ τῆς Χαῤῥὰν παροικοῦντας αὐτοῖς ἀφανίσαι, πολλὴν αὐτοῖς ἐκ τῆς οἰκείας δυνάμεως ὑποπτευομένην παρέχειν βοήθειαν, καὶ συντόμως εἰπεῖν ἅπαντας τοὺς τῆς βασιλείας ἐκείνης, οἷς ἐπίκλην ὄνομα Συρία, αἰχμαλωσίᾳ παντελεῖ παραδώσω.

tur (id enim significat dictio: *Vectes Damasci confringam.*) Ita demum eos omnes funditus destruam; ut finitimos quoque Charranae incolas simul deleam, quorum scilicet vires Damasco videbantur validum praesidium exhibere. Ut breviter dicam, cunctos regni ejus incolas, qui Syriae cognomine indigitantur, servitio addicendos curabo.

ς'. Τάδε λέγει κύριος, ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Γάζης καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτούς, ἕνεκεν τοῦ αἰχμαλωτεῦσαι αὐτοὺς αἰχμαλωσίαν Σαλομῶν τοῦ συγκλεῖσαι εἰς τὴν Ἰδουμαίαν. Τὸ αὐτὸ λέγει κἀνταῦθα, ὅτι πολλὰς ἀσεβείας ἐργασαμένων καὶ ἐπιμενόντων τῇ μοχθηρίᾳ τῆς γνώμης οὐκ ἀνέξομαι ἔτι, μάλιστα δὲ αὐτοὺς τιμωρήσομαι ὑπὲρ ὧν τοῦ Σαλομῶντος αἰχμαλώτους λαβόντος τοὺς τῆς Ἰδουμαίας, καὶ ὑπὸ τὴν τῶν Ἰσραηλιτῶν πεποιηκότος ἐξουσίαν, ὡς καὶ ἐπὶ πλεῖστον αὐτοὺς ἐπὶ τούτου διαμεῖναι του σχήματος, ἐπεληλυθότες οὗτοι ἀφεῖλόν τε τὴν αἰχμαλωσίαν ἐκείνην πολέμου νόμῳ, καὶ συνηνάγκασαν ἐπὶ τὴν Ἰδουμαίαν ἀπελθεῖν πάλιν. Καὶ γὰρ κἀνταῦθα πλημμέλειαν αὐτῶν λέγει,

V. 6. *Haec ait dominus: ob tres impietates Gazae et ob quatuor eos non aversabor; propterea quod ipsi captivam duxerunt captivitatem Salomonis, ut eam concluderent in Idumaeam.* Idem hic quoque dicit, nempe quod illos sceleribus cumulandis deditos atque in animi pravitate perseverantes, jam non feret, imo gravissime puniet, quia quum Salomon in captivitatem Idumaeos redegisset, atque Israelis ditioni adjecisset, ita ut Idumaei diu in hac conditione permanserint, illi supervenientes captivitatem illam jure belli dissolverint, hosque in Idumaeam rursus secedere coëgerint. Itaque hic quoque id eorum scelus esse dicit,

ἣν περὶ τοὺς Ἰσραηλίτας εἰργάσαντο. Τί οὖν;

ζ'. η'. Καὶ ἐξαποστελῶ πῦρ ἐπὶ τὰ τείχη Γάζης, καὶ καταφάγεται τὰ θεμέλια αὐτῆς, καὶ ἐξολοθρεύσω κατοικοῦντας ἐξ Ἀζώτου, καὶ ἐξαρθήσεται φυλὴ ἐξ Ἀσκάλωνος, καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ Ἀκκαρῶν, καὶ ἀπολοῦνται οἱ κατάλοιποι τῶν ἀλλοφύλων, λέγει κύριος. Τὴν αὐτὴν ἐπάξω καὶ τούτοις τιμωρίαν φησί. πῦρ γὰρ κἀνταῦθα πόλεμον λέγει, ὡσὰν οὕτως αὐτοὺς ἐπινεμόμενον, ὃς περιελεῖ μὲν τῆς Γάζης τὰ τείχη, ἐκ βάθρων δὲ ἅπασαν ἀνασπάσει τὴν πόλιν, ἀφανιεῖ τε τοὺς κατοικοῦντας αὐτὴν μετὰ τῶν τήν τε Ἄζωτον καὶ τὴν Ἀσκάλωνα οἰκούντων. Οὐκ ἀφέξομαι δὲ οὐδὲ τῶν ἐν Ἀκκάροις. μνημονεύσας [1]) γὰρ τῆς Γάζης ὡς ἐξαρχούσης τῶν ἐν τοῖς ἀλλοφύλοις σατραπειῶν, κατὰ κοινοῦ λέγει τὴν τιμωρίαν ἅπασιν ἐπελεύσεσθαι τοῖς ἀλλοφύλοις. Ὅθεν ἐπάγει, Καὶ ἀπολοῦνται οἱ κατάλοιποι τῶν ἀλλοφύλων, λέγει κύριος. ἵνα εἴπῃ ὅτι συντόμως ἅπαντας ἀφανιῶ τοὺς ἀλλοφύλους, ὥσπερ ἐν τοῖς ἀνωτέροις [2]) αἰχμαλωτευθήσεσθαι ἔφη πάντα τὸν λαὸν τὸν ἐπίκλητον Συρίας.

quod adversus Israelitas egerint. Quid ergo?

V. 7. 8. *Et immittam ignem in Gazae muros qui ejus consumat fundamenta; et excidam incolas ex Azoto, civesque ex Ascalone auferentur, manumque meam Accaroni injiciam, et reliquiae peregrinorum peribunt, inquit dominus.* Easdem his quoque, inquit, poenas imponam. Nam et hic ignem pro bello dicit, quod scilicet hostes ceu flamma vorabit, Gazae moenibus exitium inferet, cunctamque urbem a fundamentis subruet ejusque incolas perdet cum Azoti Ascalonisque civibus. Neque ipsi Accaroni, inquit, parcam. Memorata enim Gaza, quae satrapiarum exterarum princeps erat, generaliter praedicit eventuram cunctis peregrinis cladem. Quamobrem subdit: *Et reliquiae peregrinorum peribunt, inquit Dominus;* hoc est: breviter omnes exteros interimam. Sicuti in prioribus, gentem universam Syriae nomine nuncupatam in servitutem redactum iri praedixit.

[1]) Edit. Maji μνημονεύεται. — [2]) Vide sup. v. 5.

θ'. ι'. Τάδε λέγει κύριος· ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Τύρου καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτὴν, ἀνθ' ὧν συνέκλεισαν αἰχμαλωσίαν τοῦ Σαλομῶν εἰς τὴν Ἰδουμαίαν καὶ οὐκ ἐμνήσθησαν διαθήκης ἀδελφῶν. Καὶ ἐξαποστελῶ πῦρ ἐπὶ τὰ τείχη Τύρου, καὶ καταφάγεται θεμέλια αὐτῆς. Καὶ γὰρ καὶ τούτων ἐπὶ πολὺ, φησὶν, ἀνασχόμενος ἐπὶ πλεῖστον ἐκτεινόντων τὴν ἀσέβειαν οὐκ ἀνέξομαι τὴν οἰκείαν. Καὶ μάλιστά γε πάντων, ὅτι τὴν τοῦ Σαλομῶντος αἰχμαλωσίαν εἰς τὴν Ἰδουμαίαν μεταχθῆναι παρεσκεύασαν, κεκοινωνηκότες τῆς παρανομίας ταύτης τοῖς ἀλλοφύλοις, οὓς ἐχρῆν μάλιστα ἀποσχέσθαι τουτὶ τοιοῦτο διαπράξασθαι, εἰς μνήμην ἐληλυθότας τῶν συνθηκῶν, ἃς ὅ τε Σαλομῶν καὶ ὁ αὐτῶν βασιλεὺς ὑπὲρ φιλίας ἐποιήσαντο πρὸς ἀλλήλους· ὧν οὐδένα ποιησάμενοι λόγον, τοιαῦτα πεπράχασι νῦν, ὑπὲρ ὧν δὴ κατὰ γνώμην ἐμὴν ἐπελθὼν ὁ πολέμιος τὰ τείχη τε αὐτῶν περιελεῖ καὶ πᾶσαν ἀφανιεῖ τὴν πόλιν.

ια'. Τάδε λέγει κύριος· ἐπὶ ταῖς τρισὶν ἀσεβείαις τῆς Ἰδουμαίας καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτὴν, ἕνεκεν τοῦ

V. 9. 10. *Haec dicit Dominus: Ob tres impietates Tyri et ob quatuor non aversabor eos, (sed) propterea quod concluderunt captivitatem Salomonis in Idumaeam, neque recordati sunt foederis fratrum.* V. 10. *Ideo immittam ignem in Tyri muros, qui ejus consumat fundamenta.* Hos quoque, inquit, sustinui admodum impietatem suam exaggerantes, non tamen amplius eos sustinebo. Idque eam potissimum ob causam, quod Salomonis captivitatem in Idumaeam reduci curarunt, ejusque impietatis simul cum exteris rei facti sunt, quum tamen, ne id facinus committerent, eos prohibere foederumque memores esse deberent, quae regem suum inter et Salomonem de mutua amicitia icta erant. Eorum vero quum nullam habuerint rationem et talia fecerint, ex meo decreto hostis in eorum moenia incurrens, cunctam circumdabit et destruet urbem.

V. 11. *Haec dicit Dominus: ob tres impietates Idumaeae et ob quatuor non aversabor eam, (sed) propterea quod gladio fratrem su-*

διῶξαι αὐτὸν ἐν ῥομφαίᾳ τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἐλυμήνατο μήτραν ἐπὶ τὴν γῆν, καὶ ἥρπασεν εἰς μαρτύριον φρίκην ἑαυτοῦ, καὶ τὸ ὅρμημα αὐτοῦ ἐφύλαξεν εἰς νῖκος. Πλεῖστα ὅσα ἠσεβηκότας ἐνεγκὼν, ἐπὶ πλεῖστον ἀσεβούντων οὐκ ἀνέξομαι, καὶ μάλιστά γε ὑπὲρ ὧν πόλεμον κατὰ τῶν Ἰσραηλιτῶν ἐκίνησαν, οὐδὲ τὴν συγγένειαν αἰσχυνθέντες τὴν πρὸς αὐτοὺς, καὶ ὅτι ἐξ ἀδελφῶν ἦσαν αὐτοί τε καὶ οὗτοι, οἱ μὲν ἐκ τοῦ Ἠσαῦ, οἱ δὲ ἐκ τοῦ Ἰακὼβ καταγόμενοι· τοῦτο γὰρ εἶπε τὸν ἀδελφὸν αὐτοῦ· τὸ δὲ Ἐλυμήνατο τὴν μήτραν ἐπὶ τὴν γῆν λέγει ἀντὶ τοῦ, κατέσφαξαν ἅπαντας καὶ εἰς γῆν κατήνεγκαν, ὅπερ ἦν εἰς τὴν τεκοῦσαν αὐτοὺς μήτραν πλημμελούντων· ἐπειδὴ γὰρ ἀδελφοὺς ὠνόμασεν ὡς ἐξ ἀδελφῶν τεταγμένους, λύμην μήτρας ὠνόμασε τὴν τῶν ἀδελφῶν ἀναίρεσιν ὡσὰν εἰς τὴν κοινὴν μητέρα τούτῳ λυμηναμένων τῷ τρόπῳ· πεποιήκασί τε, φησὶν, εἰς αὐτοὺς φρίκης μεστὰ, ἵνα μείζονα τὴν μαρτυρίαν τῆς ἑαυτῶν ὠμότητος παράσχωνται τοῖς ὁρῶσι. Καὶ δὴ καὶ ὁρμῇ πολλῇ τινὶ καὶ σφοδρᾷ κατ' αὐτῶν ἐχρήσαντο, ἄχρι τέλους τὴν αὐτὴν τοῦ μίσους περὶ αὐτοὺς ἐπιδειξάμενοι γνώμην· τὸ γὰρ

um persecutus est, et violavit uterum in terra, et rapuit in testimonium horrorem suum, et impetum suum retinuit in perpetuum. Etiamsi multa eorum flagitia toleravi, ulterius peccantes eos non tolerabo, et eam inprimis ob causam, quod Israelitis bellum intulerunt, nihil cognationem cum iis veriti, quum de fratribus utrique, alteri de Esavo, de Jacobo alteri genus suum ducant. Hoc enim innuit dictione *Fratrem suum.* Verba autem *Violavit uterum in terra* indicant, eos omnes mactasse et sub terram demisisse, iis similes, qui uterum, qui ipsos genuit, foedarunt. Quum enim e fratribus ortos appellet fratres, uteri violationem fratrum trucidationem convenienter appellat, velut acsi eo modo communem violaverint uterum. Pergit vero ita: multa horrore plena contra eos commiserunt facinora, ut adspicientibus etiam majus crudelitatis suae exhiberent testimonium. Magna quoque et vehementi in eos usque ad finem usi sunt atrocitate, idem in eos retinentes odium. Hoc enim dicunt verba: *Retinuit in perpetuum,*

Ἐφύλαξεν εἰς νῖκος, τοῦτο λέγει. Ὑπὲρ δὲ τούτων τί;

ιβ'. Ἐξαποστελῶ πῦρ εἰς Θαιμὰν, καὶ καταφάγεται θεμέλια τειχέων αὐτῆς. Θαιμὰν τῶν Ἰδουμαίων ἦν ἡ περίβλεπτος πόλις. Ἐπάξω τοίνυν αὐτοῖς, φησὶ, τὸν πόλεμον, ὃς τὴν μεγίστην αὐτῶν καὶ βασιλικωτάτην πόλιν παντελῶς ἀφανιεῖ ἐκ βάθρων αὐτὴν μετὰ τῶν τειχέων ἀνασπάσας.

ιγ'—ιε'. Τάδε λέγει κύριος· ἐπὶ τρισὶν ἀσεβείαις υἱῶν Ἀμμὼν, καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτοὺς, ἀνθ' ὧν ἀνέσχιζον τὰς ἐν γαστρὶ ἐχούσας τῶν Γαλααδιτῶν, ὅπως ἂν πλατύνωσι τὰ ὅρια αὐτῶν, καὶ ἀνάψω πῦρ ἐπὶ τὰ τείχη Ῥαββὰ καὶ καταφάγεται τὰ θεμέλια αὐτῆς μετὰ κραυγῆς ἐν ἡμέρᾳ πολέμου, καὶ σεισθήσεται ἐν ἡμέρᾳ συντελείας αὐτῆς. Καὶ πορεύσεται Μελχὼν ἐν αἰχμαλωσίᾳ, οἱ ἱερεῖς αὐτῶν καὶ οἱ ἄρχοντες ἐπὶ τὸ αὐτὸ, λέγει κύριος. Τὰ ὅμοια δὴ καὶ περὶ τούτων εἰπὼν, ὑπὲρ τούτου μάλιστα ἀγανακτεῖν λέγει κατ' αὐτῶν, ὅτι τῶν Ἰσραηλιτῶν τὰς ἐγκύους ἀνέσχιζον, τὴν Δαμασκηνῶν ὠμότητα μιμούμενοι, ἐλπίδι τοῦ ἀπολλύειν μὲν ἅπαν τὸ ἔθνος διὰ τῆς εἰς τὰς ἐγκύους

Eam vero ob causam quid porro?

V. 12. *Immittam ignem in Thaemanem, qui consumat ejus fundamenta.* Thaeman Idumaeorum insignis erat urbs. Bellum igitur inquit, iis obducam, quo maxima et praecipua eorum urbs delebitur, cum moenibus solo aequata.

V. 13—15. *Haec dicit Dominus: ob tres impietates Ammonitarum et ob quatuor eos non aversabor, (sed) propterea quod gravidas Galaaditarum mulieres dissecuerunt, ut suos fines dilatarent. Et incendam muros Rabbae igne, qui consumat ejus fundamenta cum clamore die belli, et commovebitur die consummationis suae. Et ibit Melchon in captivitatem, simulque ejus sacerdotes et proceres, inquit Dominus.* Similia etiam de his locutus, eam inprimis ob causam iis se irasci dicit Deus, quod gravidas Israelitarum mulieres dissecuerint, Damascenorum crudelitatem imitati hoc in praegnantes flagitio, et totum populum eversuros se esse, eorumque terram occupaturos, sperantes, ut majorem

παρανομίας, κτᾶσθαι δὲ τὴν ἐκείνων χώραν, ὡς ἂν μείζονα τὴν οἴκησιν ἐργάσαιντο τὴν οἰκείαν. Ἐπελεύσεται δὴ, φησὶν, ὑπὲρ τούτων ὁ πολέμιος, πάντα μὲν ἀφελὼν τῆς Ῥαββὰ τὰ τείχη, ἣ μητρόπολις αὐτῶν ὑπάρχει, ἐκ βάθρων δὲ ἀνασπῶν τὴν πόλιν, καὶ τοσοῦτον ἐξάπτων κατ᾽ αὐτῶν τὸν πόλεμον, ὡς ἀφορήτους ἐπὶ τοῖς γινομένοις τὰς τῶν παθόντων ὀλολυγὰς ἀποτελεῖσθαι. αὐτὴ μὲν οὖν ἀπώλειαν ὑπομενεῖ παντελῆ, τὸ δὲ εἴδωλον αὐτῶν Μελχὼν, οὕτω προσαγορευόμενον, ἀπαχθήσεται αἰχμάλωτον, κἀκεῖνο σὺν ἅπασι τοῖς τε ἱερατεύουσι καὶ ἄρχουσι τοῦ λαοῦ.

sibi compararent habitationem. Propter haec, inquit, hostis irrumpet Rabbae quae urbs eorum primaria erat, moenia diruens eamque radicitus destruens tantumque bellum commovens, ut multus inde vexatorum exsistat luctus. Ipsa urbs quidem prorsus delebitur, idolum eorum vero, quod Melchon nominatur, captivum abducetur cum omnibus sacerdotibus populique proceribus.

Κεφάλαιον Β΄.

α΄. Τάδε λέγει κύριος· ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Μωὰβ καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτῶν, ἀνθ᾽ ὧν κατέκαυσαν τὰ ὀστᾶ βασιλέως Ἰδουμαίων εἰς κονίαν. Ὅτι μὲν οὖν διὰ πάντων τῶν λοιπῶν παρανομίας λέγει τῶν ἐθνῶν, ἃς κατὰ τοῦ Ἰσραὴλ ἐμηχανήσαντο, δῆλον. οὐ μὴν οὐδὲ ἐνταῦθα τῶν προκειμένων ἐναλλάξας τὴν ἀκολουθίαν, ἐπ᾽ ἐκδικίᾳ τοῦ βασιλέως Ἰδουμαίων ἐπάγειν ταῦτά φησιν, ὅς γε καὶ Ἰδουμαίοις τὰ ὅμοια ἐν τοῖς ἀνωτέροις ἠπειληκὼς ὦπται ἀλλ᾽ ἐπειδὴ ὁ μὲν τῶν

Caput II.

V. 1. *Haec dicit Dominus: ob tres impietates Moabi et ob quatuor eos non aversabor; (sed) propterea quod regis Idumaeorum ossa in cineres combusserunt.* Hucusque prophetam ubique impietates eas gentium enumerasse, quas in Israelitas commiserunt perspicuum est. Neque tamen hoc loco, mutato priore ordine, se haec ad ulciscendum Idumaeorum regem facturum esse dicit (Deus), quum idem in prioribus etiam Idumaeis minatus fuisset, sed quoniam, Idumaeo-

Ἰουδαίων βασιλεὺς ἠκολούθη [1]) ποτὲ πρὸς εἰρήνην καὶ φιλίαν νεῦσαι τῶν Ἰσραηλιτῶν, ἀγανακτήσαντες δὲ ἐπὶ τούτοις οἱ Μωαβῖται ἐπεστράτευσάν τε κατὰ τῆς Ἰδουμαίας ἀπεχθείᾳ τῶν Ἰσραηλιτῶν, καὶ νενικηκότες ὥσπερ τινὰ θυσίαν ἐπινίκιον τοῖς εἰδώλοις τοῖς οἰκείοις τοῦ βασιλέως προσήγαγον τὴν σφαγὴν, ἔτι καὶ ὁλοκαυτώσαντες αὐτὸν ἐπὶ τῇ θυσίᾳ. Τοῦτο νῦν λέγει τὸ, Κατέκαυσαν ὀστᾶ βασιλέως Ἰδουμαίων εἰς κονίαν, τὴν προσαγωγὴν λέγων καὶ τὴν σφαγὴν, ἐφ' ἧπερ ὥσπερ ὁλοκαυτοῦντες αὐτὸν, εἰς κονίαν αὐτοῦ τὰ ὀστᾶ μεταβεβλήκασιν. Ὀργίζεσθαι μὲν οὖν κατὰ τῶν Μωαβίτων λέγει ὑπὲρ τῆς αἰτίας, δι' ἣν ἀπεχθείᾳ τῇ πρὸς τοὺς Ἰσραηλίτας τοσαύτην ἐπεδείξαντο κατὰ τοῦ βασιλέως τῆς Ἰδουμαίας τὴν ὀργήν. Ὑπὲρ δὲ τούτων τί;

rum rege pacem et amicitiam cum Israelitis inire volente, Moabitae id aegre ferentes, Idumaeis propter odium suum in Israelitas bellum intulerunt, et impetrata victoria, regem, quasi sacrificium victoriale, idolis suis mactarunt et concremarunt. Nam si *Regis Idumaeorum*, inquit, *ossa in cineres combusserunt*, eum oblatum et mactatum, et cremando ossa ejus in cineres mutata esse dicit. Ideo Deum Moabitis irasci, pergit, quoniam odio suo in Israelitas ducti, tantam in Idumaeorum regem saevitiam ostenderint. Quid ergo?

β΄. γ΄. Καὶ ἐξαποστελῶ πῦρ ἐπὶ Μωὰβ, καὶ καταφάγεται θεμέλια τῶν πόλεων αὐτοῦ, καὶ ἐναποθανεῖται ἐν ἀδυναμίᾳ Μωὰβ μετὰ φωνῆς καὶ μετὰ κραυγῆς σάλπιγγος. Καὶ ἐξολοθρεύσω κριτὰς ἐξ αὐτοῦ καὶ πάντας ἄρχοντας αὐτοῦ ἀποκτενῶ μετ' αὐτοῦ, λέγει κύριος. Ἐπελεύσεται γὰρ, φη-

V. 2. 3. *Et immittam ignem in Moabum, qui consumat fundamenta urbium ejus, et morietur in impotentia Moab cum clamore et clangore tubae. Et delebo judices ejus, omnèsque ejus proceres interneeabo cum ipso, inquit Dominus.* Obveniet iis, inquit, hostis, qui omnes eorum urbes delebit. Et omni po-

[1]) Leg. ἠβουλήθη.

σιν, ὁ πολέμιος πάσας αὐτῶν ἀφανίζων τὰς πόλεις, ὡς εἰς ἐσχάτην κατενεχθέντας ἀσθένειαν, καὶ μηδὲ ἀρκοῦντας πρὸς τὸ μέγεθος τῶν ἐπαγομένων αὐτοῖς κακῶν, μετὰ μεγίστης τινὸς φωνῆς τε καὶ κραυγῆς τῶν πολεμικῶν σαλπίγγων θάνατον ὑπομεῖναι. συντόμως τὸ [1]) εἰπεῖν, τοσοῦτος ὄλεθρος αὐτῶν ἔσται, ὡς μὴ κριτὴν αὐτῶν μηδὲ ἄρχοντα περιλειφθῆναι μηδένα, πάντων αὐτῶν ἀπολωλότων καθάπαξ. — Οὕτω δὴ τὰ τοῖς περιοίκοις συμβησόμενα ὑπὲρ τῆς εἰς Ἰσραηλίτας παρανομίας εἰρηκὼς ὁ προφήτης, τρέπεται λοιπὸν ἐπὶ τὰ τῷ λαῷ συμβησόμενα, δεικνὺς, ὅτι ἐκεῖνοί τε ὑπὲρ τῆς εἰς τούτους ἀδικίας ἤμελλον τιμωρεῖσθαι, ὡσὰν εἰς θεὸν, ᾧπερ προσήκειν αὐτοὺς συνέβαινε, τούτῳ πλημμελοῦντες τῷ τρόπῳ, οὗτοί τε οὐ διαφεύξονται τὴν τιμωρίαν, ἀγνώμονες περὶ θεὸν γεγονότες. Μέμνηται μέντοι πρότερον τῆς τοῦ Ἰούδα φυλῆς, ὡσὰν μάλιστα τιμωρίας ἀξίων, ὑπὲρ ὧν περὶ τὸν ναὸν τυγχάνοντες τὸν θεῖον οὐθενὸς ἧττον ἠσέβουν. Λέγει δὲ οὕτως.

tentia destituti et viribus ad subeunda mala iis infligenda non sufficientibus, cum magno clamore bellicarumque tubarum clangore leto tradentur. Breviter ut dicam, tanta eorum erit pernicies, ut neque judicum eorum neque procerum quisquam superstes maneat, omnibus plane interemtis. — Postquam sic ea, quae finitimis propter suas in Israelitas impietates eventura erant, dixit propheta, in sequentibus ad ea transit, quae populo eventura essent (Judaeorum), et ostendit, illos quidem propter flagitia in eos quasi in Deum, qui eorum praecipuam gessit curam, commissa poenas soluturos esse, neque tamen ipsos poenam evitaturos fore, ut qui Dei essent obliti. Et primum quidem Judae tribum commemorat, tanquam maxime dignam mulctis, quia templo divino quod apud se habuerunt, spreto impietati indulserint. Incipit ita.

δ'. Τάδε λέγει κύριος· ἐπὶ τρισὶν ἀσεβείαις υἱῶν Ἰούδα καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι

V. 4. *Haec dicit Dominus: ob tres impietates filiorum Judae et ob quatuor eos non aversabor.* Etiam hos se odis-

[1]) Nonne leg. τε?

αὐτούς. ἠσεβηκότας καὶ τούτους πολλάκις μισεῖν λέγων, ἐπειδήπερ ἐπιμεμενήκασι τῇ ἑαυτῶν ἀσεβείᾳ. εἶτα καὶ τὴν αἰτίαν λέγων τῆς τιμωρίας· ἕνεκεν τοῦ ἀπώσασθαι αὐτοὺς τὸν νόμον κυρίου, καὶ τὰ προστάγματα αὐτοῦ οὐκ ἐφυλάξαντο, καὶ ἐπλάνησεν αὐτοὺς τὰ μάταια αὐτῶν, ἃ ἐποίησαν, οἷς ἐξηκολούθησαν οἱ πατέρες αὐτῶν ὀπίσω αὐτῶν. Καὶ γὰρ καὶ οὗτοι τῶν μὲν νόμων καὶ τῶν προσταγμάτων τῶν ἐμῶν οὐθένα λόγον ποιεῖσθαι ἠβούλοντο, τῇ δὲ τῶν εἰδώλων προσανεῖχον θεραπείᾳ, ἀκόλουθα τοῖς ἑαυτῶν ἐργαζόμενοι πατράσι. Τί οὖν;

se dicit, propterea quod saepe peccaverint et in impietate sua perduraverint. Exin etiam causam subdit vindictae. *Propterea quod legem Domini repudiarunt, et praecepta ejus non observarunt, et decepti sunt vanitatibus a se factis, quas patres eorum sequebantur.* Etiam hi et legum et praeceptorum meorum nullam habere voluerunt rationem, sed ad idolorum se converterunt cultum, patrum suorum morem imitati. Quid ergo?

ε'. Καὶ ἐξαποστελῶ πῦρ ἐπὶ Ἰούδαν, καὶ καταφάγεται θεμέλια Ἱερουσαλήμ. Ἀφανιῶ, φησὶ, διὰ τῶν πολεμίων τούς τε τῆς βασιλείας ἅπαντας ἐκείνης καὶ τὴν Ἱερουσαλὴμ σὺν αὐτοῖς. Εὔδηλον δὲ, ὅτι περὶ τῶν Βαβυλωνίων ταῦτα φησίν· ἐκεῖνοι γὰρ τήν τε Ἱερουσαλὴμ κατήγαγον καὶ τοὺς τῆς Ἰούδα φυλῆς ἔλαβον αἰχμαλώτους. Καίτοιγε ἐν τοῖς μετὰ ταῦτα τὰ εἰς τὸν Ἰσραὴλ εἴτ' οὖν τὰς δέκα φυλὰς μηνύων κακά, τῶν Ἀσσυρίων, ὡς εἰκὸς, ἐπιμέμνηται, οἵπερ οὖν αὐτοὺς καὶ αἰχμαλώτους λαβόντες ἀπῆλθον· ὡς δῆλον εἶναι, ὅτι μίαν τινὰ αἰχμα-

V. 5. *Et immittam ignem in Judam, qui consumat fundamenta Hierosolymae.* Per hostes, inquit, et omnes regni istiu sdelebo cives, cumque iis ipsam Hierosolymam. De Babyloniis eum hic loqui apparet; ii enim et Hierosolymam destruxerunt et Judae tribus cives captivos fecerunt. In sequentibus autem, quae Israeli vel decem tribubus eventura essent ab Assyriis convenienter commemorat, qui eos captivos abduxerunt. Unde apparet, unam prophetam dicere captivitatem, et eam in quam Assyrii et in

λωσίαν ἡγεῖται τὴν περὶ τὸν λαὸν ὑπό τε Ἀσσυρίων γεγενημένην, καὶ τῶν Βαβυλωνίων, εἰ καὶ ἕτεροι μὲν ἦσαν οἱ τὰς δέκα λαβόντες φυλὰς, οἱ Ἀσσύριοι λέγω, Βαβυλώνιοι δὲ οἱ τοὺς τῆς Ἰούδα λαβόντες φυλῆς καί τις καὶ χρόνος ἐν μέσῳ γέγονεν, ἐπειδὴ τοῦ παντὸς λαοῦ τὴν αἰχμαλωσίαν τοῦτον συνέβη πληρωθῆναι τὸν τρόπον, ἀρξαμένην μὲν ἀπὸ τῶν δέκα, περαιωθεῖσαν δὲ εἰς τοὺς τῆς Ἰούδα φυλῆς. διόπερ καὶ οἱ προφῆται τὰ περὶ τὸν λαὸν ἐσόμενα ἐξαγγέλλοντες ποτὲ μὲν ἐκείνων, ποτὲ δὲ μέμνηνται τούτων, ὡς ἀμφοτέρων εἰς τὸν λαὸν συντελούντων πρὸς μίαν τε τινὰ τοῦ καινοῦ τὴν αἰχμαλωσίαν ἀναφερομένων, κἂν εἰ διῃρημένος [1]) πῶς γεγόνει [2]) τοῖς καιροῖς.

ϛʹ—ηʹ. Τάδε λέγει κύριος· ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Ἰσραὴλ καὶ ἐπὶ ταῖς τέσσαρσιν, οὐκ ἀποστραφήσομαι αὐτόν. εἶτα εἰρηκὼς, ὅτι ὑπὲρ ὧν ἐπιτεταμένως ἠσέβουν, ἀποστρέφεται δικαίως, λέγει καθεξῆς καὶ τὰ τούτων πλημμελήματα πλεῖστά γε ὄντα. ἀνθ᾽ ὧν ἀπέδοντο δίκαιον ἀργυρίου. Δίκαιον οὐ τὸν κατ᾽ ἀρετὴν λέγει νῦν, ἀλλὰ τὸν ᾧπερ ἐπὶ τῆς κινουμένης ἀμφισβητήσεως δίδοσαν τοὺς τοῖς δικαίοις ὠχυ-

quam Babylonii populum rapuerunt, quamvis ii, qui decem tribus ceperunt, Assyrii, diversi essent ab iis, qui Judae tribus cives abduxerunt, et etiamsi tempus aliquod interpositum esset. Nam universi populi captivitas eo modo accidit, ut a decem tribubus initium sumeret, et in Judae tribum excurreret. Hinc etiam fit, ut prophetae, futuros populi casus annunciantes, modo illorum, modo horum mentionem injiciant, quum utrique contra populum agerent, unamque efficerent captivitatem, etsi diverso haec fierent tempore.

V. 6—8. *Haec dicit Dominus: ob tres impietates Israelis et ob quatuor eum non aversabor.* Et cumulasse eos impietates suas dicit, eamque ob causam se eos abominari, simulque plurima eorum flagitia esse, addit. — *Propterea quod argento vendiderint justum.* Justum hic non eum dicit, qui virtute insignis est, sed eum, cui facta disceptatione. *

Sed exaggerat, quae mo-

[1]) F. l. διῃρημένως. — [2]) Leg. ἐγεγόνει cf. Hos. I, 1.

ρωμένους [1]). Καὶ ἐπιτείνων τὸ λεγόμενον· Καὶ πενήτα ἕνεκεν ὑποδημάτων τῶν πατούντων ἐπὶ τὸν χοῦν τῆς γῆς. Ἄχρι γὰρ τοσοῦτον, φησὶ, τὴν αἰσχροκερδίαν ἐξέτειναν τὴν ἑαυτῶν, ὥστε πενήτων προδιδόναι τὸ δίκαιον ὑπὲρ εὐτελεστάτων λημμάτων· τοῦτο γὰρ δηλοῖ τὸ, Ὑποδημάτων τῶν πατούντων ἐπὶ τὸν χοῦν τῆς γῆς, ὅπερ ἦν ἔλεγχος σαφὴς τοῦ μηδένα λόγον ποιεῖσθαι τοῦ δικαίου, εἴγε καὶ ἐπ' εὐτελέσιν αὐτὰ λήμμασι διεπράττοντο εὐκόλως. — Καὶ ἐκονδύλιζον εἰς κεφαλὰς πτωχῶν. Τῶν αὐτῶν λέγει, ὅτι οὐ μόνον οὐκ ἐπήκουον αὐτοῖς δίκαια αἰτοῦσιν, ἀλλὰ καὶ προσέπληττον ἀδέως· ὅθεν ἐπάγει· Καὶ ὁδὸν ταπεινῶν ἐξέκλιναν. Καὶ τῶν πεπραγμένων αὐτοῖς, φησὶν, ὀρθῶς ἐχόντων μετέτρεπον εἰς τοὐναντίον, τὴν κρίσιν ἀμελοῦντες αὐτῶν διὰ τὴν ταπεινότητα. — Καὶ υἱὸς καὶ πατὴρ αὐτοῦ εἰσπορεύονται πρὸς τὴν αὐτῶν παιδίσκην, ὅπως βεβηλώσωσι τὸ ὄνομα τοῦ θεοῦ αὐτῶν, καὶ τὰ ἱμάτια αὐτῶν δεσμεύοντες σχοινίοις, παραπετάσματα ἐποίουν ἐχόμενα τοῦ θυσιαστηρίου, καὶ οἶνον ἐκ συκοφαντιῶν ἔπινον

do dixerat: *Et pauperem pro calceamentis eorum qui calcant pulverem terrae.* Usque adeo, inquit, avaritiam suam extenderunt, ut pauperum jus vilissimo lucro venditent. Hoc enim verba innuunt „Calceamenta eorum, qui calcant pulverem terrae.“ in eo enim maxime perspicuum documentum erat, eos justum non timere, siquidem vilissimi emolumenti causa ad talia facienda proni essent. — *Et pugno percutiebant capita pauperum.* Eosdem dicit, non tantum pauperibus id quod sibi justum erat petentibus aurem non commodasse, sed etiam praeterea percussisse. Unde addit: *Et viam humilium declinabant* i. e. et quae ab illis recte facta erant, in contrarium verterunt, neque judicium de iis exseruerunt propter eorum egestatem. — *Et filius ejusque pater ingrediuntur ad eandem puellam, ut nomen Dei sui contaminent; et vestes suas alligantes funibus umbracula fecerunt prope altare, vinumque de calumniis biberunt in domo Dei sui.* Pro nimia lascivia nullam legum

[1]) Excidisse quaedam videntur.

ἐν τῷ οἴκῳ τοῦ Θεοῦ αὐτῶν. Δι' ὑπερβολὴν ἀσελγείας οὐδένα λόγον οὐδὲ τῶν τῆς φύσεως ποιούμενοι νόμων πατήρ τε καὶ υἱὸς ἀδεῶς συνεμίγνυντο ταῖς αὐταῖς, τοσαύτης βλασφημίας παραίτιοι γενόμενοι τῷ Θεῷ, ὃν ἐπικαλεῖσθαι ἐδόκουν· καὶ δὴ καὶ σκηνὰς ἐξ ἱματίων κατασκευάζοντες πλησίον τοῦ θυσιαστηρίου καὶ οὐδὲ τὴν ἐγγύτητα ἐντρεπόμενοι τῶν ἁγίων, τήν τε ἀκολασίαν ἐξεπλήρουν ταύτην, καὶ ἐκ τῆς τῶν πενήτων ἐπηρείας, οὓς πολυτρόπως ἠδίκουν, ἑορτήν τινα μετὰ μέθης ἐν [τῷ οἴκῳ [1]] τοῦ Θεοῦ συνίστων οἴκῳ.

a natura praescriptarum rationem habentes, pater et filius nefarie cum iisdem foeminis rem habuerunt, tanta sectantes blasphemia Deum, quem venerari autumabant. Imo sanctuarii vicinitatem nil reveriti, textoriis prope aram e vestibus suis exstructis, libidini huic suae indulserunt, et ex inopum, quos multifariam vexarunt, damno festum vinolentum in domo Dei celebrarunt.

θ'—ια'. Ἐγὼ ἐξῆρα τὸν Ἀμοῤῥαῖον ἐκ προσώπου αὐτῶν, οὗ ἦν καθὼς ὕψος κέδρου τὸ ὕψος αὐτοῦ, καὶ ἰσχυρὸς ἦν ὡς δρῦς, καὶ ἐξῆρα τὸν καρπὸν αὐτοῦ ἐπάνωθεν καὶ τὰς ῥίζας αὐτοῦ ὑποκάτωθεν. Καὶ ἐγὼ ἀνήγαγον ὑμᾶς ἐξ Αἰγύπτου. καὶ περιήγαγον ὑμᾶς ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἔτη, τοῦ κατακληρονομῆσαι τὴν γῆν τῶν Ἀμοῤῥαίων, καὶ ἔλαβον ἐκ τῶν υἱῶν ὑμῶν εἰς προφήτας, καὶ ἐκ τῶν νεανίσκων ὑμῶν εἰς ἁγιασμόν. Καὶ ταῦτα διεπράττεσθε τῶν εὐεργεσιῶν οὐ

V. 9—11. *Ego Amorraeum delevi a facie eorum cujus altitudo erat ut altitudo cedri et qui fortis erat sicut quercus; et delevi ejus fructus desuper ejusque radices deorsum. Et ego vos ex Aegypto reduxi, et in deserto vos per quadraginta annos circumduxi, ut nancisceremini Amorraeorum terram; et de filiis vestris sumsi, qui essent prophetae, et de juvenibus vestris, qui essent sanctificati.* Haec agitis beneficiorum meorum non memores, neque me Amorraeum tantum tamque fortem

[1]) Haec aut sunt omittenda aut legendum τῷ οἰκείῳ.

μεμνημένοι τῶν ἐμῶν. οὔθ' ὅτι τὸν Ἀμοῤῥαῖον οὕτω μέγαν τε ὄντα καὶ δυνατὸν παντελῶς ἠφάνισα, οὐδὲ λείψανον αὐτοῦ τε καταλιπὼν ἐπὶ τῆς γῆς· οὔθ' ὅτι δουλεύοντας ὑμᾶς ἐξήγαγον ἐξ Αἰγύπτου, οὔθ' ὅτι κατὰ τὴν ἔρημον τεσσαράκοντα ὑμᾶς ἔτη διέθρεψα ποικίλως, ὥστε τὴν τῶν Ἀμοῤῥαίων γῆν τὴν οὐθὲν ὑμῖν προσήκουσαν εἰς κτῆσιν ὑμῖν παρασχεῖν, ἐφ' οἷς ἅπασιν προφητικῆς τε χάριτος ἐνίοις ὑμῶν ἐπ' ὠφελείᾳ τοῦ κοινοῦ μεταδέδωκα· καὶ δὴ καί τινας τῶν ἐν ὑμῖν ἐπελεξάμην, ὡς ἂν ἐπιμελεστέρῳ τε καὶ κρείττονι προσανέχοιεν βίῳ, κόσμον ἅπασι φέροντες τοῖς λοιποῖς. Καὶ ἐπειδὴ ταῦτα πρόδηλα πᾶσιν ἦν, ὁμοίως εἰπών· Μὴ οὐκ ἔστι ταῦτα, υἱοὶ Ἰσραήλ; λέγει κύριος. Οὐ γὰρ δυνατὸν ὑμῖν, φησὶν, ἀρνεῖσθαι ταῦτα οὕτως ἔχοντα. Ἀκολούθως τοῖς ἀνωτέροις ἐπάγει·

ιβ'. Καὶ ἐποτίζετε τοὺς ἡγιασμένους οἶνον, καὶ τοῖς προφήταις ἐνετέλλεσθε, λέγοντες· οὐ μὴ προφητεύσητε. Διεμένετε γὰρ προδήλως εἰς τὴν χάριν ἐξυβρίζοντες τὴν ἐμὴν, τούς τε πρὸς ἀκριβέστερον ἀφωρισμένους βίον ἀναγκάζοντες οἶνου μετέχειν καὶ τῶν λοιπῶν, ὁπόσων διὰ τὴν ἐπαγγελίαν ἀπέχεσθαι ἔσπευδον τὴν οἰκείαν, καὶ τοὺς προφήτας προδή-

prorsus delevisse nihilque de eo in terra reliquisse; neque vos ex Aegyptiorum servitio a me esse liberatos, et in deserto per quadraginta annos vario modo nutritos et dein Amorraeorum terram, quae nihil ad vos antea pertinuerat, habitandam datam esse meministis. Ad haec omnia nonnullis vestrum omnium in commodum prophetiae gratiam largitus sum, quin et alios e vobis elegi, qui diligentiori et augustiori vivendi rationi se addicerent caeterisque cunctis decori essent. Et quum haec omnibus perspicua essent, convenienter addit: *Nonne haec ita se habent, filii Israëlis? dicit Dominus.* hoc est, nullo modo fieri potest, ut haec negetis. Et jam prioribus convenienter ita pergit:

V. 12. *Et vino onerabatis mihi consecratos, et prophetis praecipitis dicentes: Ne vaticinemini.* Gratiam meam proterve semper neglexistis, et homines vitae austeriori adscriptos vinum bibere caeteraque sumere, cogentes, quibus abstinere debebant, et prophetas itidem prohibentes, quominus munus suum obirent. Idcirco quid?

λως κωλύοντες τὸ ἔργον ἐκτελεῖν τὸ οἰκεῖον. ὑπὲρ δὴ τούτων τί;

ιγ'—ιϛ'. Διὰ τοῦτο ἰδοὺ, ἐγὼ κυλίω ὑποκάτω ὑμῶν, ὃν τρόπον κυλίεται ἡ ἅμαξα ἡ γέμουσα καλάμης· καὶ ἀπολεῖται φυγὴ ἐκ δρομέως, καὶ ὁ κράταιος οὐ μὴ κρατήσῃ τῆς ἰσχύος αὐτοῦ, καὶ ὁ μαχητὴς οὐ μὴ σώσῃ τὴν ψυχὴν αὐτοῦ, καὶ ὁ τοξότης οὐ μὴ ὑποστῇ, καὶ ὁ ὀξὺς τοῖς ποσὶν αὐτοῦ οὐ μὴ διασωθῇ, καὶ ὁ ἱππεὺς οὐ μὴ σώσῃ τὴν ψυχὴν αὐτοῦ, καὶ ὁ κράταιος οὐ μὴ εὑρῇ τὴν καρδίαν αὐτοῦ ἐν δυναστείαις. Τοιαύτας ὑμῖν ἐπάξω τὰς τιμωρίας, ὥστε δίκην ἁμάξης ἄγαν πεφορτισμένης, καὶ πολὺν ἐκ τοῦ βάρους τῶν ἐπικειμένων ἐν τῷ ἕλκεσθαι τὸν τριγμὸν [1]) ἀποτελούσης, πιεζομένους ὑμᾶς τῷ βάρει τῶν κακῶν ὀλολυγαῖς τε καὶ στεναγμοῖς μετὰ πολλῆς κεχρῆσθαι τῆς ἐπιτάσεως, ὡς μήτε τῷ πρὸς δρόμον ἠκονημένῳ δυνατὴν εἶναι τὴν ἀπὸ τῶν κακῶν φυγὴν, μήτε δὲ ἰσχυρῷ τῆς περιούσης εἶναι τε δυνάμεως ὄφελος, μήτε τῷ περὶ μάχην καὶ πόλεμον παρεσκευασμένῳ δυνατὸν εἶναι ἐντεῦθεν εὑρέσθαί τινα σωτηρίαν, ἀνυπόστατον δὲ εἶναι τὸ πρᾶγμα καὶ τῷ περὶ τὴν τοξείαν

V. 13 — 16. *Idcirco en ego inter vos volvam sicut volvitur plaustrum plenum manipulis. Et peribit fuga cursori, et fortis fortitudinis suae compos non erit, et miles vitam suam non tuebitur, nec sagittarius consistet, neque celer pedibus suis evadet, neque eques vitam suam tuebitur, nec potens cor suum inveniet in violentiis.* Tales vobis immittam calamitates, ut plaustri instar, admodum onerati, quod ob ponderis sui gravitatem inter vehendum multum edit stridorem, vos malorum pondere pressi fletu et luctu multa cum vehementia utamini. Neque qui strenue currere scit mala ista effugiet, nec fortis virium suarum ullam habebit utilitatem, neque qui dimicandi pugnandique artem bene callet, ea salutem sibi parabit; imo et sagittandi peritia eam edoctos nihil juvabit, neque pedum celeritatem qui possidet, ad salutem sibi parandam ea uti poterit, neque qui equitare scit, et qui fortitudine sua gloriantur,

[1]) F. l. τρισμόν.

ἐμπείρῳ, μὴ δύνασθαι δὲ μηδὲ ὀξύτητι ποδῶν κεχρημένον εὑρέσθαί τινα σωτηρίαν, ἀλλὰ μηδὲ ἐφ' ἵππων ἐλαύνειν εἰδότα, τούς τε ἐπὶ ἰσχύϊ μέγα φρονοῦντας, μηδὲ εὑρίσκειν ὅπως ἂν τῇ περιούσῃ χρήσαιντο δυνάμει. Ταῦτα εἰς ἀπόδειξιν τοῦ μεγέθους τῶν κακῶν εἰρηκὼς ἐπάγει· Ὁ γυμνὸς φεύξεται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει ὁ κύριος. ἵνα εἴπῃ, ὅτι ὁ πενέστατος καὶ δι' ὑπερβολὴν ἀπορίας τε καὶ εὐτελείας οὐδὲ ἐν λόγῳ τοῖς λοιποῖς ὑπάρχων, οὗτος μόνος εὕρετο ἂν τότε σωτηρίαν, ἀμελούντων αὐτοῦ τῆς συλλήψεως διὰ τὴν εὐτέλειαν τῶν πολεμίων. Εἶτα ἐπισυνάπτει τοῖς εἰρημένοις·

dexteritate et vi sua frui poterunt. His ad calamitatum magnitudinem indicandam dictis addit: *Qui nudus est isto die effugiet, inquit Dominus;* id est, Pauperrimus et ob nimiam suam egestatem et humilitatem a caeteris in contemtu habitus, is solus tunc salutem impetrabit, quum hostes eum apprehendere negligant. Simulque his annectit propheta, quae sequuntur.

Κεφάλαιον Γ'.

α'. β'. Ἀκούσατε τὸν λόγον τοῦτον, ὃν ἐλάλησε κύριος ἐφ' ὑμᾶς, οἶκος Ἰσραήλ, καὶ κατὰ πάσης φυλῆς, ἧς ἀνήγαγον ἐκ τῆς Αἰγύπτου, λέγων· πλὴν ὑμᾶς ἔγνων ἐκ πασῶν φυλῶν τῆς γῆς, διὰ τοῦτο ἐκδικήσω ἐφ' ὑμᾶς πάσας τὰς ἁμαρτίας ὑμῶν. *Μηδὲ πάρεργα,* φησί, ποιήσεσθε ταῦτα δὴ περὶ ὑμῶν ἀποπεφασμένα παρὰ τοῦ θεοῦ, ἐπειδὴ ὁ πάντας ὑμᾶς τῆς ἐν Αἰγύπτῳ δουλείας ἀπαλλάξας, ἐξαιρετόν τε τότε παρὰ πάντας ἀνθρώπους περὶ ὑμᾶς τὴν κηδε-

Caput III.

V. 1. 2. *Audite hoc dictum, quod Dominus ad vos locutus est, domus Israëlis, et ad omnem tribum, quam ex Aegypto eduxi, dicens: Quum equidem vos prae omnibus orbis tribubus noverim, idcirco in vos omnes peccata vestra animadvertam.* Ne negligatis ea quae a Deo de vobis declarata sunt; namque qui vos omnes ex Aegyptiorum servitio liberavit, et prae caeteris insignem de vobis curam gessit, idem etiam nunc haec contra vos edicit gravis-

μονίαν ἐπιδειξάμενος, οὗτος δὴ καὶ νῦν ἀποφαίνεται ταῦτα περὶ ὑμῶν δικαίαν ἀπειλῶν τὴν τιμωρίαν, ὑπὲρ ὧν οὕτως ἀγνώμονες περὶ τὸν τοσοῦτον γεγόνατε εὐεργέτην.

γ΄. Εἰ πορεύσονται δύο ἐπὶ τὸ αὐτὸ καθόλου, ἐὰν μὴ γνωρίσωσιν ἑαυτούς; Εἰς βεβαίωσιν τῶν εἰρημένων καὶ ἀπόδειξιν τοῦ μὴ ὡς ἔτυχεν εἰρῆσθαι τὰ εἰρημένα, ἐπάγει ταυτὶ τοιοῦτό τι λέγων· εἰ ἐγχωρεῖ, φησὶ, δύο κατὰ ταὐτὸν μακρὰν ἀνύοντας ὁδὸν, διὰ παντὸς ἀλλήλους κρύψαι τῆς ὁδοῦ τὴν αἰτίαν, καὶ μὴ κοινώσασθαι ἑαυτοὺς περὶ ταύτης, καὶ δὴ καὶ κοινῇ γνώμῃ τὴν ὁδοῦ πορείαν ἀνύσαι, ἐνδέξεται καὶ τοὺς πολεμίους μὴ κατὰ γνώμην τοῦ θεοῦ ἐλθεῖν ἐφ᾽ ὑμᾶς.

δ΄. Εἰ ἐρεύξεται λέων ἐκ τοῦ δρυμοῦ αὐτοῦ, θήραν οὐκ ἔχων, εἰ δώσει σκύμνος φωνὴν αὐτοῦ καθόλου, εἰ μὴ ἁρπάσῃ τι; Εἰ ἐνδέχεται, φησὶ, λέοντα ἢ ἐκ τῆς μάνδρας βοῆσαι τῆς οἰκείας μὴ θήρας ἔχοντα προσδοκίαν, ἢ καὶ ἑωρακότα τι, μὴ ἁρπάσαι (καὶ γὰρ καὶ σκύμνον πάλιν τὸν λέοντα λέγει, ὡς ὅταν εἴπῃ· „Τί ἐστιν ἄνθρωπος, ἢ υἱὸς ἀνθρώπου“); Εἰ τοίνυν ταῦτα, φησὶν, οἷόν τε γενέσθαι, ἐνδέχεται καὶ τὸν πολέμιον τὸν ὑμέτερον τῇ ἐφ᾽ ὑμᾶς

simas vobis poenas minatus, quia ipsius tot beneficia vobis largiti plane immemores facti estis.

V. 3. *Num duo faciunt iter simul, quin sese invicem cognoverint?* Ut ea, quae jam dixit confirmet, eaque non temere dicta esse declaret, haec addit, quorum sensus is est: Num cogitari potest, duos, qui idem faciunt iter longum, continuo sibi itineris causam celare neque se invicem de ea certiores reddere, imo communi consilio viam absolvere? Hinc etiam intelligere potestis, hostes non praeter Dei consilium vos vexaturos esse.

V. 4. *Num rugiet leo de saltu suo, praedam si non habet, num catulus leonis vocem suam emittet, nisi quidquam rapuerit?* Si fieri potest, inquit, ut leo vel e cubili suo rugiat, nisi praedam subsenserit, vel ut non rapiat, si quid adspexerit — namque catulus leonis, leonem significat ipsum, quasi dicit: Quid est homo vel hominis filius“ — jam ergo id si fieri potest, fieri etiam poterit, ut hostis, qui incursionem in vos

ὁρμῇ χρήσασθαι μὴ πάντας ὑμᾶς ὥσπερ τινὰ συλλαμβάνοντα θήραν.

faciet, vos omnes non ut praedam quandam arripiat.

ε'. Εἰ πεσεῖται ὄρνεον ἐπὶ τὴν γῆν ἄνευ ἰξευτοῦ; εἰ σχασθήσεται παγὶς ἐπὶ τῆς γῆς ἄνευ τοῦ συλλαβεῖν τι; Ὡς γάρ τά τε ὄρνεα φησὶν, ὑπὸ ἰξευταῖς λαμβάνεσθαι εἴωθεν, αἵ τε παγίδες τηνικαῦτα ἐκπίπτειν, ἐπειδάν τι καὶ συλλαμβάνειν μέλλωσιν, οὕτω καὶ ὑμᾶς τοσοῦτον μεῖναι τῶν κακῶν ἀνάγκη, τῶν πολεμίων κατὰ γνώμην θείαν ἐπιόντων τε καὶ συλλαμβανομένων, καὶ δὴ καὶ εἰς αἰχμαλωσίαν ἀπαγόντων ὑμᾶς.

V. 5. *Num cadet avis in terram absque aucupe? num rete in terram demitti solet, quin aliquid capiat?* Sicuti aves ab aucupe capi solent, retia autem non tenduntur, nisi quid apprehensura sunt, ita et vos tot tantaque mala ferre necesse est, quum ex Dei consilio hostes in vos incursaturi sint, vos que capturi et etiam in captivitatem abducturi.

ς'. Εἰ φωνήσει σάλπιγξ ἐν πόλει καὶ λαὸς οὐ πτοηθήσεται; Εἰ ἐνδέχεται ἀθρόον σάλπιγγος ἐν πόλει βοησάσης, μὴ πᾶσι πτόησιν ἐγγενέσθαι ἐπὶ τῇ τῶν γινομένων ἀδηλίᾳ, ἐνδέξεται καὶ ὑμᾶς ἀθορύβως καὶ ἀβλαβῶς τῆς πολεμικῆς ἀκοῦσαι σάλπιγγος. — Εἰ ἔσται κακία ἐν πόλει, ἣν κύριος οὐκ ἐποίησεν; Ὡς δὲ ταῦτα ἀδύνατον μὴ καθ' ὃν ἔφην γενέσθαι τρόπον, οὕτως ἀδύνατον καὶ τὰ περὶ τὴν πόλιν τὴν ὑμετέραν συμβῆναι κακὰ, μὴ θεοῦ ἐπαγαγόντος ὑμῖν.

V. 6. *Num tuba in urbe sonabit, quin populus terreatur?* Si fieri potest, ut tuba ex improviso in urbe audita non omnes terror corripiat propter rei incertitudinem, etiam vos incolumes et quieti bellicam accipere poteritis tubam. — *Num ullum in urbe malum exsistit, quod Dominus non fecit?* Sicut omnia haec, ut jam dixi, fieri nequeunt, ita etiam fieri nequit, ut mala urbi vestrae eveniant, nisi Deus ea vobis obduxerit.

ζ'. Διότι οὐ μὴ ποιήσῃ κύριος ὁ θεὸς πρᾶγμα, ἐὰν μὴ ἀποκαλύψῃ παιδείαν αὐτοῦ πρὸς τοὺς δούλους αὐτοῦ τοὺς προφήτας. Οὐ

V. 7. *Quia nil facit dominus Deus, nisi revelaverit castigationem suam prophetis, servis suis.* Itaque neque nos absque ratione loquimur, sed

τοίνυν οὐδὲ ἡμεῖς μάτην φθεγγόμεθα, ἀλλ' ὁπόσα θεὸς δέδωκεν ἡμῖν εἰπεῖν, ὃς πρὸ τῶν πραγμάτων βούλεται δι' ἡμῶν μηνύεσθαι τὰ ἐσόμενα, καὶ ἅπερ εἰς παίδευσιν ἐπάγειν μέλλει τὴν ὑμετέραν· ὡς ἂν εἰδείητε τῶν ἐπαγομένων ὑμῖν κακῶν τήν αἰτίαν, παρ' ὅτου τε καὶ ὑπὲρ ὧν ἐπάγεσθαι μέλλει.

quaecunque Deus nobis dicenda dedit; nam is, ante rerum eventum, quae futura sint, et quaenam ad vestram castigationem vobis immittere velit, nos indicare jubet, ut malorum vobis futurarum et causam et auctorem et consilium sciatis.

η'. *Λέων ἐρεύξεται, καὶ τίς οὐ φοβηθήσεται, καὶ ὁ θεὸς ἐλάλησε, καὶ τίς οὐ προφητεύσει;* Οὔτ' οὖν λέοντος φθεγγομένου μέγα δυνατὸν μὴ φόβῳ λαμβάνεσθαι τὰ κτήνη, θεοῦ τε ἀποφαινομένου, οὐκ ἔστιν, ἡμᾶς μὴ μετὰ δέους ὑπηρετεῖσθαι τοῖς αὐτῷ δοκοῦσιν.

V. 8. *Leone rugiente, quis non timeat? Deo loquente, quis non vaticinetur?* Neque leone magna rugiente voce, pecudes timore non corripientur, neque Deo quidquam revelante, nos mandatis suis non reverentia obediemus.

θ'. ι'. *Ἀπαγγείλατε χώραις ἐν Ἀσσυρίοις, καὶ ἐπὶ τὰς χώρας ἐν γῇ Αἰγύπτου, καὶ εἴπατε· συνάχθητε ἐπὶ τὰ ὄρη Σαμαρείας, καὶ ἴδετε θαυμαστὰ πολλὰ ἐν μέσῳ αὐτῆς, καὶ καταδυναστείαν ἐν αὐτῇ· καὶ οὐκ ἔγνω, ἃ ἔσται ἐνάντιον αὐτῆς λέγει κύριος.* Ὡς γὰρ πιστωσάμενος τὸ κατὰ γνώμην θεοῦ μηνύειν αὐτοῖς τὰ ἐσόμενα, πάντες δή, φησίν, Ἀσσύριοί τε καὶ Αἰγύπτιοι ἥκετε ἐπὶ τὴν Σαμαρείαν ὀψόμενοι ἡλίκῃ κατὰ τῶν ἀσθενεστέρων κέχρηνται τῇ δυναστείᾳ, οὐκ ἀναλογιζόμενοι, οἷα πείσονται, ὑπὲρ τούτων ὀρ-

V. 9. 10. *Annuntiate per regiones inter Assyrios et per regiones in terra Aegypti, et dicite: Convenite in montes Samariae, et videte mirabilia multa in medio ejus, oppressionemque in ea. Et ignoravit, quae futura sint coram se, inquit Dominus.* Ut confirmet, se ex Dei voluntate iis futura praedicere, Omnes, inquit propheta, et Assyrii et Aegyptii Samariam venite, ut, quanta in infirmos utantur crudelitate superba, non reputantes qualem passuri sint a Deo propter hoc iis irascenti poenam,

γιζομένου κατ᾽ αὐτῶν τοῦ Θεοῦ. γνώσεσθε γὰρ, ὅτι δικαίαν αὐτοῖς ὑπὲρ ὧν διαπράττονται, τοιαύτην ἐπάγει τὴν τιμωρίαν· πεπολιορκηκότες γὰρ αὐτοὺς Ἀσσύριοι τοὺς καταπεφευγότας ἐξ αὐτῶν ἐπὶ τὴν Αἴγυπτον, ἐξείλκυσάν τε ἐκεῖθεν καὶ ἐπ᾽ αὐτῆς ἐτιμωρήσαντο τῆς Αἰγύπτου· ὡς καὶ παρὰ τῷ Ὠσηέ φησιν [1]), „Ὅτι πορεύσονται ἐκ ταλαιπωρίας Αἰγύπτου καὶ ἐκδέξεται αὐτοὺς Μέμφις, καὶ θάψει αὐτοὺς Μαχμάς." Διὰ τοῦτο οὖν πρὸς ἐκείνους φησὶν, ὡς ἂν μαθεῖν ὀφείλονται τῆς τιμωρίας αὐτῶν τὴν αἰτίαν. Οἱ θησαυρίζοντες ἀδικίαν καὶ ταλαιπωρίαν, ἐν ταῖς χώραις αὐτῶν. Πολλῇ γάρ τινι καὶ ἀμετρήτῳ κέχρηνται τῇ κατὰ τῶν πενήτων ἀδικίᾳ, διαφόροις αὐτοὺς περιβάλλοντες ταῖς ἐπηρείαις.

ιά. Διὰ τοῦτο τάδε λέγει Κύριος ὁ Θεός· Τύρος καὶ κύκλοθεν ἡ γῆ σου ἐρημωθήσεται, καὶ κατάξει ἔκ σου τὴν ἰσχύν σου, καὶ διαρπαγήσονται αἱ χῶραί σου. Ὑπὲρ δὴ τούτων, φησὶν, ἐπάγει τὸν Ἀσσύριον ὑμῖν ὁ Θεὸς, ὃς Τύρον τε καὶ πᾶσάν σου τὴν περικειμένην γῆν, ἵνα εἴπῃ, πάντας τοὺς περιοικοῦντας ἐρήμους ἐργάσεται, ὡς μηδεμίαν ἐλπίδα μη-

cognoscatis. Nam meritam eum hanc illis de flagitiis suis imponere mulctam intelligetis. Namque expugnata illorum urbe, qui ex iis Aegyptum fuga petierant, inde protrahentes in ipsa Aegypto puniverunt. Similiter etiam apud Hoseam „E miseria Aegypti evadent, et excipiet eos Memphis et sepeliet eos Machmas." — Eam ob rem illis, ut discentes sapiant, causam poenae dicit. *Qui thesaurizant iniquitatem et miseriam in regionibus suis.* Multa et ineffabili contra pauperes usi sunt iniquitate variis damnis eos afficientes.

V. 11. *Ideo haec dicit dominus Deus: Tyrus et finitima tua terra vastabitur et vim tuam auferet a te, et regiones tuae diripientur.* Eam ob causam, inquit, Assyrios vobis obducet Deus, qui Tyrum omnemque tuam circumjacientem terram i. e. omnes qui in ea habitant, devastabit, nulla salutis spe tibi a tanto hoste pressae ulterius relicta.

[1]) Hos. 9, 6.

δέ σοι σωτηρίαν ὑπολελεῖφθαι ὑπὸ τοσούτου πολιορκουμένου [1] *πολεμίου· ἀφανίσας γὰρ ἅπαντα τὰ τῶν περιοίκων ἅπασαν καὶ σοῦ δι᾽ ἁρπαγῆς ποιήσεται τὴν χώραν, ὡς μηδὲν περιλειφθῆναι τῶν λόγου πως ἀξίων εἶναι δοκούντων ἐν σοί. Εἶτα καὶ τῆς ἀπωλείας αὐτῶν ἧς ὑποστήσονται τὴν βαρύτητα σημαίνων.*

Nam omnem vicinorum regionem delebit, et tuam quoque totam terram devastabit, ut nihil relinquatur, quod ratione dignum tibi videatur. — Deinde perniciei iis eventurae etiam gravitatem indicat propheta.

ιβ΄. Τάδε λέγει Κύριος· ὃν τρόπον ὅταν ἐκσπάσῃ ὁ ποίμην ἐκ στόματος λέοντος δύο σκέλη, ἢ λοβὸν ὠτίου, οὕτως ἐκσπασθήσονται οἱ υἱοὶ Ἰσραὴλ, οἱ κατοικοῦντες ἐν Σαμαρείᾳ κατέναντι φυλῆς Δαμασκοῦ. Τοσαύτη γὰρ ὑμῶν, φησὶν, ἡ ἀπώλεια, ὥστε ἄγαν ὀλίγων περισωθέντων, μηδὲν ἀπεοικέναι τὸ πρᾶγμα προβάτου ληφθέντος τε ὑπὸ λέοντος καὶ καταναλωθέντος ἐπὶ τοσοῦτον, ὥστε μόγις βραχέα τινὰ μέρη ἐξ αὐτοῦ δυνηθῆναι τὸν ποιμένα ἐκπεπτωκότα τοῦ στόματος τοῦ λέοντος λαβεῖν, καὶ ταῦτά γε, ὧν ὑπερορᾷ ὡς ἀσάρκων καὶ πρὸς τροφὴν οὐκ ἐπιτηδείων· τοῦτο γὰρ λέγει τὸ δύο σκέλη ἢ λόβον ὠτίου. Οὕτως ὀλίγοι τινὲς καὶ εὐτελεῖς ἐν τῷ πολέμῳ περιληφθήσονται [2] *τούτῳ, ἐκ τῶν Σαμαρείαν οἰκούντων, κατέναντι τῶν Δαμασκηνῶν, οὓς*

V. 12. *Haec dicit Dominus: Quemadmodum pastor eripit ex ore leonis duo crura, aut auriculam, ita eripientur filii Israelis qui habitant in Samaria, coram Damasci tribu.* Tanta vobis erit pernicies, inquit, ut paucissimis tantum servatis, causa vestra similis evadat ovi a leone capto et adeo dilacerato, ut pastor paucissima tantummodo ex ore leonis vix eripere queat, eaque ossa vilia et ad cibum inutilia. (hoc enim indicant verba: Duo crura aut auriculam.) Ita etiam paucissimi solum iique viles e Samariae incolis in hoc bello servabuntur Damascenorum in aspectu quos et ipsos ab hostibus interemtos videbunt. — Et Tyri quidem antea, nunc vero Damasci quoque mentionem fecit propheta, ut

[1]) F. l. *πολιορκουμένῳ.* — [2]) Leg. *περιλειφθήσονται.*

ὁμοίως ἑαυτοῖς ἀπολλυμένους ὄψονται ὑπὸ τῶν πολεμίων. Καὶ γὰρ τῆς Τύρου πρότερον, καὶ νῦν τῆς Δαμασκοῦ μνήμην ἐποιήσατο, εἰς ἀπόδειξιν τοῦ μεγέθους τῶν κακῶν, ὅτι μηδὲ τῶν περιοίκων ἔνεστί τινα ἐν τῇ τῶν Ἀσσυρίων ἐφόδῳ διαφυγεῖν. Καὶ γὰρ εἶχεν αὐτῷ χώραν τὸ λεγόμενον, ἁπάντων ἐκείνων ἐν προοιμίοις δεδηλωκότι τὴν ἀπώλειαν.

ιγ'—ιε'. Ἱερεῖς ἀκούσατε καὶ ἐπιμαρτυρεῖσθε τῷ οἴκῳ Ἰακὼβ, λέγει κύριος ὁ θεὸς ὁ παντοκράτωρ, διότι ἐν τῇ ἡμέρᾳ, ὅταν ἐκδικῶ ἀσεβείας τοῦ Ἰσραὴλ ἐπ' αὐτὸν, καὶ ἐκδικήσω ἐπὶ τὰ θυσιαστήρια Βεθὴλ, καὶ κατασκαφήσεται τὰ κέρατα τοῦ θυσιαστηρίου, καὶ πεσεῖται ἐπὶ τὴν γῆν. καὶ συντρίψω καὶ κατάξω τὸν οἶκον τὸν περίπτερον ἐπὶ τὸν οἶκον τὸν θερινὸν, καὶ ἀπολοῦνται οἱ οἶκοι οἱ ἐλεφάντινοι, καὶ ἀφανισθήσονται οἶκοι ἕτεροι πολλοὶ, λέγει κύριος. Ταῦτα δὴ, φησὶν, ἀκουέτωσαν μάλιστα πάντων οἱ τὴν ἀσεβῆ τοῖς εἰδώλοις πληροῦντες ἱερατείαν, ὡς ἂν ἐντεῦθεν ἤδη μάθοιεν, ὅτι ὁπόταν δίκας εἰσπράττηται τῆς ἀσεβείας ὁ θεὸς, καὶ τὰ θυσιαστήρια πάντα κατασκαφήσεται τῶν εἰδώλων, ἔργον τοῦ πολέμου γινόμενον.

magnitudinem malorum indicaret, quum neque vicinorum cuiquam Assyriis incursantibus fugae data foret occasio. Et reapse eventum habebat id quod annuntiaverat, ut qui in superioribus omnes eos interemtos fore minatus sit.

V. 13—15. *Audite sacerdotes et contestamini domum Jacobi, inquit dominus Deus omnipotens, quia die, qua in impietates Israelis super eum animadvertam, animadvertam etiam in altaria Bethelis, et confringentur cornua arae et in terram cadent. Et conteram ac percutiam domum pinnis ornatam cum domo aestiva, et delebuntur domus eburneae, aliaeque multae domus, inquit dominus.* Haec audiant inprimis ii, qui idolorum sacerdotio funguntur, ut inde discant, quando Deus poenas de impietate repetiturus sit, aras quoque idolorum belli injuria destructas fore. Bethelis appellatione enim ex parte totum significans, idola indicat. Verbis autem Confringentur cornua arae et in terram cadent, innuit omnem

Τὸ γὰρ Βεθὴλ ἀπὸ μέρους ἠβουλήθη τὰ εἴδωλα εἰπεῖν, τὸ δὲ κατασκαφήσεται τὰ κέρατα τοῦ θυσιαστηρίου, καὶ πεσεῖται ἐπὶ τὴν γῆν, ἵνα εἴπῃ, ὅτι πᾶν τὸ μέγεθος αὐτῶν καὶ πᾶσα ἡ περιφάνεια, ἣν εἶχον ἐκ τῆς τῶν ἀσεβῶς θρησκευόντων αὐτοῖς ἐπιμελείας, ἀφανισθήσεται παντελῶς. Καὶ γὰρ δὴ καὶ τοὺς οἴκους αὐτῶν, φησὶ, καθελῶ ἐκ βάθρων. περίπτερον μὲν γὰρ λέγει τὸν χειμερινὸν, ὡς περιβεβλημένον πανταχόθεν διὰ τὴν τοῦ κρίους προσβολήν· βούλεται δὲ εἰπεῖν, ὅτι πάντας πανταχόθεν ἀφανιῶ τοὺς οἴκους, ὡς μὴ θερινῶν, μὴ χειμερινῶν μέρος ἐν αὐτοῖς περιληφθῆναι [1]), καὶ τοὺς ἐπιδόξους δὲ ἐν αὐτοῖς τῶν οἴκων παντελῶς ἀφανιῶ. τοῦτο γὰρ λέγει τοὺς ἐλεφαντίνους, οἳ μετὰ πολλῶν ἑτέρων πεσοῦνται, ἅτε μιᾶς ἀποφάσεως κατὰ πάντων ἐκφερομένης ὑπὸ τοῦ θεοῦ.

eorum magnitudinem et majestatem, qua per curam eorum, qui iis usi sunt ornatae erant, omnino deletam fore. Imo et eorum domus funditus, inquit evertam. Pinnis ornatam dicit domum hibernam, quae undique circumsepta est ad prohibendos arietis ictus. Sententia vero ea est: Omnes domus omnino delebo, neque aestiva neque hiberna ulla relicta, et inprimis insignes inter eorum aedes delebo, quae indicantur nomine *eburnearum;* et hae cum caeteris cadent, nam unam candemque in omnes sumet Deus vindictam.

Κεφάλαιον Δ'.

α'. Ἀκούσατε τὸν λόγον τοῦτον δαμάλεις τῆς Βασανίτιδος αἱ ἐπὶ τῷ ὄρει Σαμαρείας, αἱ καταδυναστεύουσαι πτωχοὺς καὶ καταπατοῦσαι πένητας, καὶ λέγουσαι τοῖς κυρίοις ἑαυτῶν· ἐπίδοτε ἡμῖν, ὡς πίω-

Caput IV.

V. 1. *Audite hoc verbum, Basanitidis buculae, quae estis in monte Samariae et pauperes injuria afficitis, tenuesque conculcatis, et dominis vestris dicitis, date, quod bibamus.* Hinc ad feminas propheta dirigit sermonem,

[1]) Leg. περιλειφθῆναι.

μεν. Ἐντεῦθεν τρέπει πρὸς τὰς γυναῖκας τὸν λόγον, αἳ πρὸς ἄτακτον καὶ ὑπερήφανον νεύουσαι βίον, τούς τε πένητας ἠδίκουν ἐκ τῆς περιούσης δυναστείας, τούτῳ συγκεχρημέναι, καὶ δὴ καὶ κατάρχουσαι τῶν ἀνδρῶν τῶν οἰκείων εἰς ὑπουργίαν αὐτοῖς ἀπρεπῶν ἐχρῶντο πραγμάτων· οἷόν τι καὶ παρὰ τῆς Ἰεζάβελ ἐφαίνετο γεγονός, ὅτι ὁ μὲν Ἀχαὰβ τὴν ἀντίῤῥησιν ᾐδέσθη τοῦ Ναβουθαὶ, δικαίαν οὖσαν, ἡ δὲ βιαρῷ καὶ ἀναιδεῖ καὶ φονικῷ τρόπῳ χρωμένη, οὐδὲ ἀνελεῖν ὤκνησε τὸν Ναβουθαὶ, ὡς ἂν ἀφέλοιτο αὐτοῦ τὸν ἀμπελῶνα, ὃν εἰκότι λόγῳ διδόναι οὐκ ἠνείχετο. Καλεῖ δὲ αὐτὰς δαμάλεις μὲν τῆς Βασανίτιδος, ὡσὰν ἀγρίων μάλιστα καὶ ἀνημερῶν οὐσῶν τῶν ἐν ἐκείνῳ τῷ τόπῳ τρεφομένων δαμάλεων. Εἰρηκὼς δὲ τὴν εἰς τοὺς πένητας αὐτῶν ἀδικίαν ἐπήγαγεν τὸ, Αἱ λέγουσαι τοῖς κυρίοις ἑαυτῶν, ἐπίδοτε ἡμῖν, ὅπως πίωμεν, ἵνα εἴπῃ, ὅτι οὐδὲ τοῖς ἑαυτῶν ἀνδράσιν, οὓς ἐχρῆν ὡς ἡγουμένους αἰδεῖσθαι διὰ τὴν τῆς φύσεως τάξιν, ὀκνοῦσι πρὸς τὴν ἀσέλγειαν τὴν ἑαυτῶν ἀποκεχρῆσθαι, μόνον δὲ οὐκ ἐπιτάττουσαι αὐτοῖς, ἅπαντα ποιεῖν, ὁπόσαπερ ἂν, πρὸς τὴν αὐτῶν ἀσέλγειαν συνεργῇ. Τί οὖν;

β'. γ'. Ὀμνύει κύριος κα-

quae vitae inordinatae ac superbae indulgentes, per potentiam suam pauperes injuria affecerunt, potestate sua de maritis suis ad haec turpia facinora committenda abusae. Id quod Jesabelem fecisse constat, quae Achaabo justam Nabuthae repugnantiam reverente, pro violenta et impudica saevaque sua mente Nabuthen interficere non dubitavit, ut vineam ejus praedaretur, quam justo modo sibi comparare nequivit. Buculas autem Basanitidis eas appellat, quum vaccae ista in regione nutritae prae caeteris ferae et immanes fuerint. Hac earum in pauperes iniquitate castigata, ita pergit propheta: *Quae dicitis dominis vestris, date, quod bibamus,* quibus haec dicit: ne maritis quidem suis, quibus ut heris suis juxta naturae ordinem obtemperare fas erat, ad implendam cupidinem suam abuti verentur, paeneque eos omnia, quae ad promovendam suam libidinem faciant, peragere jubent. Quid igitur?

V. 2. 3. *Jurat dominus*

τὰ τῶν ἁγίων αὐτοῦ· διότι ἡμέραι ἔρχονται ἐφ' ὑμᾶς, καὶ λήψονται ὑμᾶς ἐν ὅπλοις, καὶ τοὺς μεθ' ὑμῶν εἰς λέβητας ὑποκαιομένους ἐμβαλοῦσι, καὶ ἐξενεχθήσεσθε γυμνοὶ, γυνὴ καὶ ὁ ἀνὴρ ἀπέναντι ἀλλήλων, καὶ ὑποῤῥιφήσεσθε εἰς τὸ ὄρος Ἀρμανὰ, λέγει κύριος. Ἀπεφήνατο, φησὶν, ὁ θεὸς, ἃ μηδὲ μεταβολὴν δυνατὸν δέξασθαι (τοῦτο γὰρ τὸ ὀμνύει δηλοῖ), ὅτι παρέσται καιρὸς, ἐν ᾧ τούτων δώσετε δίκας· ἐπελεύσονται γὰρ ὑμῖν πολέμιοι, οἳ λαβόντες ὑμᾶς αἰχμαλώτους ἀνηκέστοις ἐμβαλοῦσιν κακοῖς, ὥστε κατὰ ταὐτὸν πάντων τῶν περιόντων νῦν ἀγαθῶν γυμνωθέντας, ὁμοῦ τάς τε τοιαῦτα ἐργαζομένας γυναῖκας καὶ τοὺς ὑπηρετουμένους αὐταῖς πρὸς τὰ τοιαῦτα ἄνδρας, αἰχμαλώτους ἐπὶ τὴν τῶν Ἀσσυρίων ἀπαχθῆναι χώραν. Ἀρμανὰ γὰρ τὸ Ἀρμενίων ὄρος καλεῖ, ὅπερ ὑπὸ τὴν Ἀσσυρίων ὂν ἐτύγχανεν τότε βασιλείαν.

per sanctos suos, futurum esse, ut dies vos supervenient, vosque armis tollant, eosque, qui vobiscum sunt, in ollas succensas injiciant, et ipsi nudi educamini, vir et mulier coram se invicem, et projiciamini in montem Armana, inquit Dominus. Manifestavit, inquit, Deus, quae mutari nullo modo possunt (id quod indicat verbum Jurandi); instat enim tempus, quo poenas horum facinorum solvetis; namque hostes in vos irruent, qui captivos vos gravissimis calamitatibus immergent. Tunc omnibus, quae nunc vobis sunt, bonis privati, et mulieres, quae talia committunt et cum ipsis, qui eas adjuvant, mariti captivi in Assyriorum terram abducentur. Armana enim Armeniorum significat montes, qui tunc sub Assyriorum potestate erant.

δ'. ε'. Εἰσήλθετε εἰς Βαιθὴλ, καὶ ἠνομήσατε, καὶ εἰς Γάλγαλα, καὶ ἐπληθύνατε τοῦ ἀσεβῆσαι, καὶ ἠνέγκατε πρωῒ θυσίας ὑμῶν καὶ εἰς τὴν τριημερίαν τὰ ἐπιδέκατα ὑμῶν. καὶ ἀνέγνωσαν ἔξω νόμον, καὶ ἐπεκαλέσαντο ὁμολο-

V. 4. 5. *Bethelem ingressi estis et peccastis, Galgala (ingressi estis) et impietatem auxistis vestram, et adfertis mane sacrificia vestra, et tertio quoque die decumas vestras. Legerunt foris legem et invocaverunt professionem.* Hic eorum erga idola

γίαν. Ἐνταῦθα καὶ περὶ τὰ εἴδωλα αὐτοῖς σπουδὴν ὀνειδίζει· τοῦτο γὰρ λέγει τὸ εἰς Βαιθὴλ καὶ εἰς Γάλγαλα εἰσήλθετε, ἐκ τούτου εἰωθότως τὴν περὶ τὰ εἴδωλα θεραπείαν δηλῶν. καὶ μετὰ πολλῆς μὲν ἠσεβεῖτε τῆς προθυμίας, προσήγετε δὲ σπονδὴν καὶ τὰς θυσίας. Τὸ δὲ, εἰς τριημερίαν, ἢ διὰ τριῶν ἡμερῶν εἰπεῖν βούλεται εἰς δήλωσιν τοῦ συνεχῶς τὴν προσαγωγὴν τῶν θυσιῶν ποιεῖσθαι, ἢ τρόπον τινὰ καθ' ὃν τὰς θυσίας ἐπετέλουν τότε τοῖς εἰδώλοις, αὐτόθι δὲ καὶ τὰς δεκάτας προσφέρετε, καὶ νόμον τινὰ ἀναγινώσκετε τὸν ὑμῖν δοκοῦντα, τὰς συνθήκας ἐπ' αὐτῷ πρὸς τὰ εἴδωλα ποιούμενοι· καὶ συντόμως εἰπεῖν, ἅπαντα ἃ προσῆκον ἦν ὑμᾶς κατὰ τὸν νόμον τὸν θεῖον ἐπὶ τῆς Ἱερουσαλὴμ ἀποπληροῦν τῷ θεῷ, ταῦτα ἐν τοῖς προῤῥηθεῖσι τόποις καὶ περὶ τὰ εἴδωλα κατὰ μίμησιν τῶν ἐμοὶ διατεταγμένων ποιοῦντες. Οἷς καλῶς ἐπάγει. — *Ἀπαγγείλατε ὅτι ταῦτα ἠγάπησαν οἱ υἱοὶ Ἰσραὴλ, λέγει κύριος ὁ θεός.* Γινέσθω δὴ πᾶσι καταφανὴς αὐτῶν ἡ περὶ τὰ τοιαῦτα σπουδὴ, ὡς ἂν καὶ ὑπὲρ ὅτου διδόασι δίκας γένοιτο δῆλον. Τί γάρ;

objurgat studium; ea enim indicat verbis *Bethelem et Galgala ingressi estis*, quibus et alibi idolorum cultum describere solet. Multaque cum cupiditate impie agentes libamina et sacrificia obtulistis. Dictio autem *In tres dies*, vel trium dierum spatio idem indicat quam: tertio quoque die, ita ut propheta continuo eos sacrificia obtulisse, dicat, vel morem declarat, quendam, quo idolis sacrificarunt. Ibidem etiam decumas attulistis, legemque quandam legitis quae ipsis vobis placuit, et secundum quam cum idolis foedera initis. Et breviter ut dicam, quaecunque Hierosolymae Deo peragi divina lege sancitum erat, ea mea praecepta imitati, praedictis in locis in idolorum honorem facitis. Quibus egregie adjungit propheta: *Proclamate, haec dilexisse filios Israelis, inquit Dominus.* Omnibus hoc eorum nefarium innotescat studium, ut inde etiam poenae ab iis repetendae causa intelligatur. Quid enim?

ϛ'. *Καὶ ἐγὼ δώσω ὑμῖν γομφιασμὸν ὀδόντων ἐν πᾶσι ταῖς πόλεσι ὑμῶν, καὶ*

V. 6. *Et ego vobis dabo confractionem dentium in cunctis urbibus vestris, et pa-*

ἔνδειαν ἄρτων ἐν πᾶσι τοῖς τόποις ὑμῶν, καὶ οὐκ ἐπεστρέψατε πρός με, λέγει κύριος. Καὶ γὰρ καὶ συντριβὴν ὑμῶν ἐργάσομαι πλείστην, καὶ τῇ τῶν ἀναγκαίων ἐνδείᾳ περιβαλῶ· καὶ οὐδὲ ἐπὶ τούτῳ σωφρονισθέντες νεύσετε πρός μέ. γομφιασμὸν γὰρ ὀδόντων τὴν ἄγαν συντριβὴν λέγει, ὡς καὶ παρὰ τῷ μακαρίῳ Δαυὶδ τὸ [1]), „Ὁ θεὸς τοὺς ὀδόντας αὐτῶν συντρίψει ἐν τῷ στόματι αὐτῶν, τὰς μύλας τῶν λεόντων συνέθλασεν ὁ κύριος," βουλομένῳ τὴν ὑπερβάλλουσαν εἰπεῖν συντριβήν, ὡς ἄχρι τῶν ὀδόντων ἐσομένην καὶ τῶν γομφίων.

ζ. Καὶ ἐγὼ ἀνέσχον ἐξ ὑμῶν τὸν ὑετὸν πρὸ τριῶν μηνῶν τοῦ θερισμοῦ, καὶ βρέξω ἐπὶ πόλιν μίαν, ἐπὶ δὲ πόλιν μίαν οὐ βρέξω. μερὶς μία βραχήσεται, καὶ μερὶς ἐφ' ἣν οὐ βρέξω ξηρανθήσεται. η΄. καὶ συναθροισθήσονται δύο καὶ τρεῖς πολεῖς εἰς πόλιν μίαν τοῦ πιεῖν ὕδωρ, καὶ οὐ μὴ ἐμπλησθῶσι, καὶ οὐκ ἐπεστράφητε πρὸς μὲ, λέγει κύριος. Ἀφεῖλον δὲ ὑμῶν καὶ τὸν ὑετὸν, ὥστε ἀκαρπίᾳ περιπεσεῖν μεγίστῃ. Τὸ γὰρ „πρὸ τριῶν μηνῶν τοῦ θερισμοῦ" τοῦ-

nis inopiam in omnibus locis vestris; neque tamen rediistis ad me, inquit Dominus. Summam vobis parabo contritionem, et necessariorum penuria vos affligam; neque tamen eo edocti ad me inclinabitis. Dentium enim confractionem, ingentem appellat contritionem, sicut etiam apud beatum Davidem scriptum est: „Deus eorum dentes in ore eorum confringet, molaresque leonum contudit Dominus." quibus nimiam eorum contritionem significat, quae vel dentes et molares contundat.

V. 7. *Et pluviam quidem e vobis tribus mensibus ante messem cohibui, et in hanc urbem pluens in illam non plui; et una pars irrigabitur, altera vero in quam non pluam exarescet; et convenient duo triave oppida ad unum oppidum ut aquam bibant, neque satiabuntur; tamen ad me non rediistis, inquit Dominus.* Demta vobis pluvia, sterilitatem vobis immisi. Hoc enim indicat verbis *Tribus mensibus ante messem*, quum quando eo tempore pluvia caret ager, fructus plane pe-

[1]) Ps. LVII, 6.

το λέγει, ἐπειδὴ ἡ ἐκ τότε ἄχρι τέλους γενομένη ἀβροχία παντελῆ μὲν τῶν καρπῶν ἐργάζεται τὸν ἀφανισμὸν, οὔτε ἐκτρέφεσθαι, οὔτε πιαίνεσθαι οὔτε πληροῦσθαι οἷων τε ὄντων. κωλύει δὲ καὶ τὴν ἐπιτήδειαν τοῖς κτήνεσι νομὴν ἀναδίδοσθαι ἐκ τῆς γῆς. Τὰ δὲ ἑξῆς ἀπὸ τοῦ εἰωθότος λέγει, ἐπειδὴ ἐν ταῖς ἄγαν ἀβροχίαις συμβαίνει τινὰ πολλάκις γίνεσθαι συστροφὴν μικρὰν τοῦ ἀέρος καί τινα καὶ ὑετὸν εὐτελῆ κατά τινας διῃρημένους γίνεσθαι τόπους, ὧν οὐδὲν ὄφελος πρὸς τὴν σύστασίν ἐστι τῶν καρπῶν. Οὐ δοθήσεται τοινυν ὑμῖν αὐτάρκης πρὸς τὴν χρείαν τῶν ὑετῶν ἡ χορηγία, ἀλλὰ βραχύ τι κατὰ μέρος γενήσεται, ὡς τὴν μὲν δοκεῖν βεβρέχθαι, τὴν δὲ καθάπαξ εἶναι ξήραν, τοῖς δὲ καρποῖς ὄφελος ἐκ τῆς βραχείας καταγωγῆς προσγίνεσθαι μηδέν. Μάλιστα δὲ ἔδειξε τὴν ἀβροχίαν τῷ εἰπεῖν, ὅτι καὶ πόλεις ἐπὶ τὸ αὐτὸ δύο τε καὶ τρεῖς πολλάκις γενόμεναι ἀπελεύσονται εἰς τόπον ἐν ᾧπερ μάθωσιν εὑρίσκεσθαί πως ὕδωρ, οὐ τὴν χρείαν ἅπασαν οὐδ' ὅ, τι κομιζόμενοι, βραχείας δέ τινος ψυχαγωγίας ἀπολαύοντες ἐκεῖθεν. Ἀλλ' οὐδὲ ἐκ τούτων ἔσεσθε ἑαυτῶν, φησὶ, βελτίους.

θ'. Ἐπάταξα ὑμᾶς ἐν πυρώσει καὶ ἐν ἰκτέρῳ καὶ ἐπληθύνατε τοῦ ἀσεβῆσαι.

reant, nam neque nutriri neque pinguedine crescere possunt, neque cibus pecudibus necessarius terra gignitur. Jam quae sequuntur ex consueto naturae more dicit propheta; nam in siccitatibus fieri solet, ut aëre interdum contracto paululum, singulis locis diversis pluvia pauca cadat, quae tamen nihil ad fructus procreandos facit. Non dabitur, inquit, vobis tanta, quanta opus est, pluviae copia, sed paululum tantum huc vel illuc cadet, et altera regione irrigata altera exarescet; at fructibus e tenui ista pluvia nihil commodi proveniet. Pluviae vero penuriam eo maxime indicavit, quod duo triave oppida in locum proficiscentur, ubi aquam inveniri audiverint, neque tamen quantum omnium necessitati sufficit invenientes parum tantum recreationis inde capient. Attamen neque eo, inquit, correctione vobis opus esse discetis.

V. 9. *Afflixi vos uredine et ictero, sed in peccando perrexistis.* Etsi varios mor-

νόσοις ὑμᾶς περιέβαλον ποικίλαις, ὑμεῖς δὲ ἐπετείνετε τὴν ἀσέβειαν. — Οὓς ἐπληθύνατε κήπους ὑμῶν, καὶ ἀμπελῶνας ὑμῶν, κατέφαγεν ἡ κάμπη. καὶ οὐδ' οὕτως ἐπεστρέψατε πρὸς μὲ, λέγει κύριος. *Πάντας ὑμῶν ἠφάνισα τῇ κάμπῃ τοὺς καρποὺς, μεμενήκατε δὲ αὐτοὶ καὶ οὕτως.*

bos vobis intuli, nihilominus impietatem exaggerastis. *Hortos vestros, quos multos possedistis, et vineas vestros, et ficeta olivetaque vestra consumsit eruca. Nec tamen ita rediistis ad me, inquit Dominus.* Omnes fruges vestr.. per erucam delevi; nihilominus tamen in malo perseverastis.

ι'. Ἐξαπέστειλα εἰς ὑμᾶς θάνατον ἐν ὁδῷ Αἰγύπτου, καὶ ἀπέκτεινα ἐν ῥομφαίᾳ τοὺς νεανίσκους ὑμῶν μετὰ αἰχμαλωσίας ἵππων σου καὶ ἀνήγαγον ἐν πυρὶ τὰς παρεμβολὰς ὑμῶν ἐν τῇ ὀργῇ μου καὶ οὐδ' οὕτως ἐπιστρέψατε πρὸς μὲ, λέγει κύριος. *Καὶ καταπεφευγότας δὲ ὑμᾶς ἐπὶ τὴν Αἴγυπτον ἐλπίδι σωτηρίας, αὐτόθι περιβαλῶ θανάτοις τε καὶ σφαγαῖς· ἔτι καὶ τοὺς περιλιμπανομένους ἐξ ὑμῶν, μετὰ πάντων δὴ τῶν προσόντων αὐτοῖς εἰς αἰχμαλωσίαν ἀπάγων, ἅπαν ὑμῶν τὸ πλῆθος ὥσπερ τινὶ πυρὶ καταναλίσκων τῇ διὰ τῶν πολεμίων ὑμῖν ἐπαγομένῃ τιμωρίᾳ· μετανοήσετε δὲ οὐδὲ τότε.*

V. 10. *Mortem vobis immisi in via Aegypti, et juvenes vestros gladio interemi cum equorum vestrorum abactu, et igne consumsi castra vestra in ira mea; tamen ad me non rediistis, inquit Dominus.* Fugientes in Aegyptum et inde auxilium sperantes, ibi leto et caedi vos tradam; et qui superstites erunt e vobis, eoscum bonis iis relictis in captivitatem abducam, hostium impetu cunctos vos quasi igne consumens; nec tamen tunc poenitentiam geretis.

ια'. Κατέστρεψα ὑμᾶς, καθὼς κατέστρεψεν ὁ θεὸς Σόδομα καὶ Γόμοῤῥα, καὶ ἐγένεσθε ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρός· καὶ οὐδ' οὕτως ἐπεστρέψατε

V. 11. *Subverti vos, sicut subvertit Deus Sodomam et Gomorrham, et facti estis similes torri ex igne protracto: nec tamen ita ad me rediistis, inquit Dominus.* Po-

πρὸς μέ, λέγει κύριος. Τὸ τελευταῖον παντελῆ τὴν ἐρημίαν ὑμῖν ἐπήγαγον παραπλησίως Σοδόμοις τε καὶ Γομόῤῥοις, ὥστε ὑμᾶς δίκην δαλοῦ καταπεφλεγμένου πεπυρῶσθαί τε καὶ περιβεβλῆσθαι τοῖς ἐπαχθέσι κακοῖς· ἀλλ᾽ οὐδὲ ἐκ τούτων σωφρονισμόν τινα δεδύνησθε δέξασθαι. Τοσαῦτα εἰρηκώς, ὧν ἐπαχθέντων αὐτοῖς οὐ γεγόνασι βελτίους, ἐπάγει·

stremo vos perniciei tradidi ut Sodomam et Gomorrham, ita ut torris adusti instar, malis vobis immissis vexaremini et torqueremini. Neque tamen ex eo sapientiam aliquam ediscere potuistis. — Postquam tot tantaque nominavit mala, quibus corrigi nequiverint, addit haec:

ιβ'. ιγ'. *Διὰ τοῦτο οὕτως σοι· ἑτοιμάζου τοῦ ἐπικαλεῖσθαι τὸν. θεόν σου Ἰσραήλ. Διότι ἰδοὺ ἐγὼ στερεῶν βροντήν, καὶ κτίζων πνεῦμα καὶ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν χριστὸν αὐτοῦ, ποιῶν ὄρθρον καὶ ὀμίχλην, καὶ ἐπιβαίνων ἐπὶ τὰ ὕψη τῆς γῆς. Κύριος ὁ θεὸς ὁ παντοκράτωρ ὄνομα αὐτῷ.* Ἀλλ᾽ εἰ καὶ τοιοῦτοι γεγόνατε περὶ ἐμέ, ἀλλ᾽ ἔγωγε μετὰ τὴν πεῖραν τῶν κακῶν ἐκείνων ἐπὶ τὸ κρεῖττον μεταστῆσαι βεβούλευμαι τὰ καθ᾽ ὑμᾶς, εἴπερ οὖν τότε σωφρονέστεροι ἐκ τοσούτων γεγονότες κακῶν, νεῦσαι πρὸς ἐμὲ βουληθείητε. Ὁ γὰρ τὸ ἀέριον πνεῦμα, μαλακόν τε ὂν καὶ διαλελυμένον, χαυνόν τε καὶ ἀραιὸν παντελῶς, ἐπὶ τοσοῦτον συστρέφειν δυνάμενος, ὥστε καὶ τὸν ἐκεῖθεν ἀποτελούμενον κτύ-

V. 12. 13. *Propterea sic faciam tibi. Praeparare, ut invoces Deum tuum, Israel. Ecce enim ego tonitru firmo et ventum creo, hominibusque Christum suum annuntio; auroram educo et caliginem, et in summa terrae fastigia ascendo. Dominus Deus omnipotens, est nomen ejus.* Quamvis ita vos geratis, equidem tamen, posteaquam ista mala experti fueritis, res vestras in meliorem statum restituere decrevi, siquidem tot calamitatibus sapientiores facti ad me vos convertere volueritis. Nam, qui ventum aërium, tenuemque, solutum et laxum et fugitivum adeo cogere possum, ut tonitru inde existere terram incolentibus incredibile sit; idem ego etiam res ve-

πον τῆς βροντῆς ἀνολπιστον [1]) εἶναι τοῖς κατὰ γῆν, ὁ αὐτὸς δὴ καὶ τῶν καθ' ὑμᾶς μεταβολὴν ἐργάσομαι πλείστην, ἐκ τῶν ἀνελπίστων ὑμῖν σωτηρίαν ἐκφαίνων μεγίστην· μηνύω τέ σοι Κῦρον τὸν Περσῶν βασιλέα, ὃς παρ' ἐμοῦ προχειρισθήσεται ἐπὶ τούτῳ, ὡς πλείστων ὅσων κρατήσας λύσειέ τε ὑμῖν τὰ κατέχοντα κακὰ, καὶ ἐπανελθεῖν κελεύσειεν εἰς τὰ οἰκεῖα. Ὁ γὰρ τὸν ὄρθρον ἐργαζόμενος ἐκ σκότους καὶ ὁμίχλης συνίστασθαί τε ἐῶν καὶ ὑπὸ ταῖς ἀνατολαῖς διαλύων τοῦ ἡλίου, ἐν ὕψει τε καὶ ὑπεράνω πάντοτε τυγχάνων τῆς γῆς, ὁ αὐτὸς διαλύσω ὑμῖν ὥσπερ τι σκότος τὰς συμφορὰς, ἐκφανῶ δὲ ἡμέρας δίκην τὴν ἐπὶ τοῖς ἀγαθοῖς ἡδονὴν, πᾶσάν τε ἀντιπράττουσαν ὑμῖν βαρύτητα ἀφελὼν, ἐπιδείξω διὰ τῆς περὶ ὑμᾶς κηδεμονίας σαφῶς ἐμαυτὸν ὑπερκείμενον τῶν ἁπάντων, ἅτε κύριός τε καὶ ποιητὴς τῶν ἁπάντων ὑπάρχων. — Δι' ὅλου δὲ ἐκ τῶν καθόλου παρ' αὐτοῦ γινομένων ἐπιστώσατο τὰ παρόντα, οὐ θαυμαστὰ δὲ εἰ χριστὸν κέκληκε τὸν Κῦρον, οὐ τοὺς κεχρισμένους μόνον, πάντας δὲ τοὺς ἐξειλεγμένους ὅπως ποτὲ ταύτῃ καλεῖν εἰωθὼς τῇ φωνῇ, ὥςτὸ [2]), „Μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις

stras adeo mutabo, ut unde minime credideritis salutem vobis maximam afferam. Cyrum enim Persarum regem dico, qui ad id a me constituetur, ut plurimorum potitus populorum, et calamitatibus vestris finem imponat, et vos in patriam redire jubeat. Qui enim e caligine et nebulis auroram prodire facio eamque apparente in oriente sole rursus dissolvo, et super terram longissime elatus in altitudine moror, idem ego ut caliginem quandam calamitates vobis dissolvam et quasi diem laetitiam de felicitate vestra, obducam, omniaque quae vos premunt auferens, mea, quam de vobis gero, cura me omnium longe praestantiorem esse, declarabo ut qui sim omnium creator et dominus. Per haec omnia, quae hucusque feeerat, praesentes res confirmaverat; neque tamen mirum, quod Cyro Christi nomen indat; namque hac voce non eos tantum, qui revera uncti sunt, sed omnes quicunque sint electi significare solet; veluti illo loco: „Ne attingatis Christos meos, neve in prophetas meos im-

[1]) F. l. ἀνέλπιστον. — [2]) Ps. CIV, 15. cll. 1 Paralip. XVI, 22. ἅψησθε LXX.

μου μὴ πονηρεύεσθε." Χριστοὺς γὰρ ἐνταῦθα οὐ κεχρισμένους καλεῖ τοὺς περὶ τὸν Ἀβραὰμ, ὡς δὲ ἐξειλεγμένους μόνον.

pie agatis. Christos enim hic non unctos Abrahami posteros appellat, sed tanquam eos qui electi tantum sint.

Κεφάλαιον Ε'.

α'. β'. Ἀκούσατε τὸν λόγον τοῦτον, ὃν ἐγὼ λαμβάνω ἐφ' ὑμᾶς θρῆνον· οἶκος Ἰσραὴλ ἔπεσεν, οὐκέτι μὴ προσθῇ τοῦ ἀναστῆναι· παρθένος τοῦ Ἰσραὴλ ἔσφαλεν ἐπὶ τῆς γῆς αὐτῆς, οὐκ ἔστιν ὁ ἀνίστων αὐτήν. Μηνύσας διὰ τῶν προκειμένων τὴν λύσιν τῶν κακῶν, ἀπειλεῖ πάλιν, ὡς εἴωθε, τὴν τιμωρίαν, διὰ ταύτης μὲν φοβῶν τε καὶ σωφρονίζων, δι' ἐκείνου δὲ πρὸς μετάνοιαν ἐκκαλούμενος. Θρηνοῦ δή, φησὶν, ἄξια τὰ καθ' ὑμᾶς, πεπτώκατε γὰρ διὰ τὰς οἰκείας παρανομίας πτῶμα μέγιστον, ἀφ' οὗ μηδὲ λύσιν ἔνεστιν ἐλπίσαι κατά γε τὸ μέγεθος τῶν συμβάντων.

γ'. Διότι τάδε λέγει κύριος· ἐκ πόλεως ἐξ ἧς ἐξεπορεύοντο χίλιοι, ὑπολειφθήσονται ἑκατὸν, καὶ ἐξ ἧς ἐξεπορεύοντο ἑκατὸν, ὑπολειφθήσονται δέκα τῷ οἴκῳ Ἰσραήλ. Τοσαύτη γὰρ ὑμῶν γενήσεται ὑπὸ τῶν πολεμίων ἡ σφαγὴ, ὥστε μόλις μὲν ἑκατὸν ἀπὸ χιλίων μόλις δὲ δέκα ἐξ ἑκατὸν καθ' ἑκάστην εὑρίσκεσθαι πόλιν.

Caput V.

V. 1. 2. *Audite hoc dictum, planctum, quem ego de vobis instituem. Cecidit domus Israel, neque resurget unquam. Virgo Israelis dejecta est in terram suam, neque est, qui eam erigat.* Postquam in antecedentibus malorum finem indicavit, pro more suo poenam rursus minitatur; hoc ut terreat et instituat, illud, ut ad poenitentiam adhortetur, facit. Planctu dignissimae, inquit, sunt res vestrae: propria enim iniquitate summam passi estis ruinam, unde erectos rursus fore, per miseriarum magnitudinem sperare non licet.

V. 3. *Haec enim dicit Dominus: in urbe, e qua egrediebantur mille, relinquentur centum, et e qua egrediebantur centum, decem relinquentur domui Israelis.* Tanta vestrum erit caedes ab hostibus facta, ut e mille hominum vix centum, et e centum vix decem superstites sint in singulis urbibus.

δ. ε'. Διότι τάδε λέγει κύριος πρὸς τὸν οἶκον Ἰσραήλ· ἐκζητήσατέ με, καὶ ζήσεσθε· καὶ μὴ ἐκζητεῖτε Βαιθήλ. καὶ εἰς Γάλγαλα αἰχμαλωτευομένη αἰχμαλωτευθήσεται, καὶ Βαιθὴλ ἔσται ὡς οὐχ ὑπάρχουσα. Συμβουλεύω τοίνυν ὑμῖν, ἰδεῖν μὲν πρὸς ἐμὲ, ἀποστῆναι δὲ Βαιθὴλ καὶ Γαλγάλων, καὶ τοῦ φρέατος τοῦ ὅρκου, ἐν οἷσπερ συντρέχετε νῦν, εἴδωλά τε καὶ δαίμονας θεραπεύοντες ἐν τοῖς τόποις ἐκείνοις, εὖ εἰδότες, ὡς ἐρημία καὶ ταῦτα λήψεται πάντα μεθ' ὑμῶν.

V. 4. 5. *Haec enim dicit Dominus domui Israelis: quaerite me et vivetis; neque quuerite Bethelem; et in Galgala captivi abducemini, et Bethel erit, quasi non fuerit.* Suadeo igitur vobis, ut ad me conversi a Bethele et Galgalis et a puteo juramenti vos avertatis. Nunc quidem illuc concurritis, locis istis idola et daemones colentes; sed bene teneatis, ista omnia una vobiscum pernicie fore correpta.

ς'. Ἐκζητήσατε τὸν κύριον, καὶ ζήσεσθε, ὅπως μὴ ἀναλάμψῃ ὡς πῦρ ὁ οἶκος Ἰωσὴφ, καὶ καταφάγῃ αὐτὸν, καὶ οὐκ ἔσται ὁ σβέσων τῷ οἴκῳ Ἰσραήλ. Ἀφέμενοι δὲ τούτων, θεῷ προσανέχετε, ὥστε μὴ τὴν τιμωρίαν τὴν παρὰ τοῦ θεοῦ δίκην πυρὸς ἅπαντας ὑμᾶς καταφλέξαι· οὐ γὰρ οἷόν τε, ταῦτα ὑμῖν ἐπιπέμποντος τοῦ θεοῦ εὑρεθῆναι τὸν ἀμῦναι δυνάμενον.

V. 6. *Quaerite Dominum et vivetis; ne forte reluceat ut ignis domus Josephi, et devoret eam, neque sit qui exstinguat (et) domui Israelis (auxilium ferat).* Istis relictis Deo adhaereatis, ne divina poena ignis instar vos concremet; nam si Deus eam vobis immittit, nemo erit, qui opem vobis ferre queat.

ζ'. Ὁ ποιῶν εἰς ὕψος κρῖμα, καὶ δικαιοσύνην εἰς γῆν ἔθηκεν. Οὐδὲ γὰρ ἀπιστεῖν ὑμᾶς προσῆκέ τινι τῶν ἢ ἀπειλουμένων ὑμῖν παρὰ τοῦ θεοῦ, ἐπειδὴ οὗτός ἐστιν ὁ κρῖμα καὶ δικαιοσύνην εἰς ὕψος τε ποιῶν καὶ

V. 7. *Qui judicium facit in excelso, et justitiam in terra posuit.* Non decuit vos, cuiquam eorum, quae Deus aut minatus aut pollicitus est vobis, fidem denegare; ipse enim est qui judicium facit in

εἰς γῆν τιθείς· ἵνα εἴπῃ, ὅτι οὗτός ἐστιν ὁ ἀδικουμένοις ὑμῖν ὑπὸ τῶν πολεμίων κρῖναι δυνάμενος, καὶ τιμωρήσασθαι τοὺς τοσαῦτα ὑμῖν ἐπάγοντας κακὰ δεῖξαι δὲ τὴν δικαιοσύνην καὶ τὴν κρίσιν, ἣν ὑπὲρ ἡμῶν [1]) τῶν ἐπὶ γῆς ὄντων ποιεῖται, μεγάλην τε οὖσαν καὶ ὑψηλὴν καὶ παντὸς γέμουσαν θαύματος. *Καὶ εἰς πτῶσιν* τῶν αὐτῶν ἐπάγων πάλιν·

η΄. *Ὁ ποιῶν πάντα καὶ μετασκευάζων.* Καὶ γὰρ καὶ ποιεῖν ἅπαντα οὐκ ὄντα, καὶ γεγονότα μεταβάλλειν εἰς ὅ, τι βούλεται, δύναται ῥᾳδίως. — *Καὶ ἐκτρέπων εἰς τὸ πρωῒ σκιὰν θανάτου καὶ ἡμέραν εἰς νύκτα συσκοτάζων.* Οὗτος κινδύνους θάνατον ἐπάγοντας εἰς εὐφροσύνην λαμπράν τινα, καὶ ἡδεῖαν μεταβάλλειν αὐτάρκης, τοὺς ἐν λαμπρότητί τε εἶναι δοκοῦντας σκότῳ διὰ τῶν συμφορῶν περιβάλλειν δύναται ῥᾳδίως. Βούλεται γὰρ κἀνταῦθα ἐκ τῶν καθόλου συστῆσαι, ὅτι αὐτάρκης καὶ τὰ κατ᾽ αὐτοὺς ὡς βούλεται μεταβαλεῖν, καὶ ποτὲ μὲν ἐκ συμφορῶν εἰς εὐημερίαν μετάγων [2]), ποτὲ δὲ ἐξ εὐημερίας εἰς συμφορὰν καθιστάναι. — *Ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης, καὶ ἐκχέων αὐτὸ*

excelso et justitiam in terra posuit. hoc est: Ipse est is, qui, quando ab hostibus vexamini, judicium exserere et eos, qui tot mala vobis parant, punire et jus ac judicium suum, quod vestrum causa qui in terra degitis habebit, praeclarum et sublime esse et admirabile declarare potest. Rursusque, ut eos terreat, addit:

V. 8. *Qui omnia facit et mutat.* Idem omnia quae non sunt, ut sint, et quae sunt, ut mutentur pro lubitu suo facile efficere potest. — *Et convertit in tempus matutinum umbram mortis; diemque in noctem obscurat.* Idem etiam mortis pericula in laetitiam praeclaram et jucundam commutare et eos qui in splendore esse videntur miseriarum tenebris involvere facile potest. Hic etiam omnibus singulis demonstrare vult Deus, se potentiam habere, res eorum mutandi et modo calamitates in hilaritatem, modo autem hilaritatem in calamitatem vertendi. — *Qui evocat aquam maris et effundit in faciem terrae, dominus Deus omnipotens est nomen*

[1]) F. l. ὑμῶν. — [2]) F. l. μετάγειν.

ἐπὶ προσώπου τῆς γῆς, κύριος ὁ θεὸς ὁ παντοκράτωρ ὄνομα αὐτῷ. Οὗτος ὁ καὶ τῆς θαλάττης ὕδωρ αἴρων τε διὰ τῶν νεφελῶν καὶ κατὰ πάσης ἐκχέων τῆς γῆς, αὐτάρκης καὶ νῦν τὴν τῶν Ἀσσυρίων στρατίαν, θαλάσσης μέγεθος μιμουμένην, ἐφ' ὑμᾶς διὰ τῆς ὀργῆς ἐκχέαι τῆς οἰκείας, ὃς τῶν ἁπάντων Κύριος ὢν, αὐτάρκης τὰ δοκοῦντα ποιεῖν.

θ'. Ὁ διαιρῶν συντριμμὸν ἐπὶ ἰσχὺν καὶ ταλαιπωρίαν ἐπὶ ὀχύρωμα ἐπάγων. Οὗτος καὶ θλίψιν τὴν ἐνοχλοῦσαν διαλύων ἰσχυροὺς ἀπεργάζεται καὶ τοὺς ἐκ τῶν κακῶν ἠσθενηκότας, ταλαιπωρίας τε τοὺς ἄγαν δοκοῦντας μεγάλα δύνασθαι ἀθρόον πληροῖ βουληθεὶς, ὃς καὶ τὰ καθ' ὑμᾶς μετέβαλέ τε ἐκ τοῦ κρείττονος ἐπὶ τὸ χεῖρον, καὶ πάλιν ἐκ τοῦ χείρονος ἐπὶ τὸ κρεῖττον βουληθεὶς μεταβαλεῖ ῥᾳδίως.

ι'. Ἐμίσησαν ἐν πύλαις ἐλέγχοντα, καὶ λόγον ὅσιον ἐβδελύξαντο. Ἄρχεται λοιπὸν πάλιν ἐντεῦθεν τὰς παρανομίας αὐτῶν ἐξηγεῖσθαι. τοὺς μὲν οὖν προφήτας ἐν διορθώσει τὰς παρανομίας αὐτῶν ἐλέγχειν προσταττομένους ἐμίσουν, ἐβδελύττοντο δὲ καὶ ὁπόσαπερ ἔλεγον αὐτοῖς, συμβουλεύοντες χωρίζεσθαι μὲν τῶν κακῶν, αἱρεῖσθαι δὲ τὰ κρείττω. Τὸ δὲ ἐν πύλαις

ejus. Idem quoque, qui maris aquas sursum sublatas per nubes super omnem terram effundit, satis habet potentiae, ut Assyriorum exercitum mari magnitudine parem per iram suam in vos effundat. Ipse enim est omnium Dominus, et quae sibi placent facere potest.

V. 9. *Qui dividit contritionem super potentiam, et miseriam super munitionem inducit.* Idem soluta praesenti miseria, malis infirmatos corroborat, et qui praepotentes videntur, repente miseriis implicat pro voluntate sua; idemque nunc res vestras in malam partem e bona mutavit, et, quando ei videbitur facile rursus feliciorem eventum efficiet.

V. 10. *Oderunt, qui eos inportis reprehenderent, sanctumque verbum abominati sunt.* Hinc eorum iniquitates reprehendere rursus incipit. Prophetas nempe, eorum iniquitates arguere eoque corrigere jussos oderunt, et quaecunque illi iis suaserunt, ut nempe a malo aversi bonum sectarentur, ea plane respuerunt. Quod si vero propheta

οὕτω φησίν· ἔθος ἦν τὸ πάλαι καὶ τὰς περὶ τῶν ἀναγκαιοτάτων πραγμάτων βουλὰς τοὺς κατὰ πόλιν ἐν ταῖς πύλαις ποιεῖσθαι, καὶ τοῖς ἐχθροῖς πρεσβευομένοις περί τινος πρὸς αὐτοὺς ἐν ἐκείνοις ἀποκρίνεσθαι τοῖς τόποις, καὶ δὴ καὶ τὰς μείζους τῶν κρίσεων αὐτόθι ποιεῖσθαι, ὡς ἂν πᾶσι τοῖς κατὰ τὴν πόλιν εἰσιοῦσί τε καὶ ἐξιοῦσι δι' αὐτῆς καταφανῆ γένοιτο τὰ πραττόμενα. Διὰ τοῦτο ὁ μακάριος λέγει Δαυΐδ [1] „Οὐ καταισχυνθήσονται ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλαις,“ ἐπειδὴ αὐτόθι τὰς ἀποκρίσεις τὰς πρὸς τοὺς ἔξωθεν ἐποιοῦντο· „καὶ ἠδολέσχουν κατ' ἐμοῦ οἱ καθήμενοι ἐν πύλῃ [2],“ ὡς αὐτόθι τὰς πλείστας εἰωθότων αὐτῶν ποιεῖσθαι συνόδους. Τὸν αὐτὸν δὴ τρόπον τοὺς ἐν πύλαις ἐλέγχοντας λέγει, ὡσὰν τῶν προφητῶν αὐτόθι τὰ κατὰ γνώμην θείαν κηρύττειν αὐτοῖς ἐσπουδακότων, ἔνθα δὴ καὶ πᾶσιν ἐγίνετο καταφανῆ τὰ λεγόμενα, οὐ τοῖς οἰκείοις μόνον, ἀλλὰ καὶ τοῖς ἔξωθεν ὅπως ποτὲ εἰς τὴν πόλιν ἀφικνουμένοις. Εἶτα καὶ καθ' ἑξῆς τὰς παρανομίας λέγων ἐκείνας, ἃς καὶ πρόσθεν εἰρήκει.

In portis dicit, res ita se habet. Olim penes Judaeos in more erat, omnes vel de rebus maxime necessariis consultationes in urbium portis habere, hostiumque legatis de ulla re interrogantibus ibidem responsa dare, inprimisque etiam majora illis locis judicia habere, ut omnibus urbem ingredientibus eamque linquentibus ea re, quae fierent, cognita essent. Eam ob causam beatus David, „Non erubescent, inquit, quando cum hostibus suis in portis agunt,“ ibi enim exteris responsa dederunt; et alio in loco „Sugillarunt me, qui in porta sedent;“ ibi enim plurimos conventus facere consueverunt. Eadem ratione etiam hoc loco, eos qui in portis reprehendunt, dicit; ibi enim prophetae, quae a Deo iis mandata erant, annuntiarunt, ut omnibus, non tantum civibus suis sed etiam extrinsecus advenientibus peregrinisque innotescerent. — Deinde varias eorum iniquitates, quas jam antea attigerat, seorsim enumerat.

ια'. Διὰ τοῦτο ἀνθ' ὧν κατεκονδυλίζετε πτωχὸν,

V. 11. *Itaque quoniam pauperes male tractavistis*

[1]) Ps. CXXXI, 5. — [2]) Ps. LXVIII, 13.

καὶ δῶρα ἐκλεκτὰ ἐδέξασθε παρ' αὐτοῦ, οἴκους ξεστοὺς οἰκοδομήσατε, καὶ οὐ μὴ οἰκήσητε ἐν αὐτοῖς, ἀμπελῶνας ἐπιθυμητοὺς ἐφυτεύσατε, καὶ οὐ μὴ πίητε τὸν οἶνον αὐτῶν. Ἐπειδὴ γὰρ ἐπετρίβετε μὲν τοῖς πτωχοῖς τὰ κακὰ, τὰ κάλλιστα δὲ τῶν παρ' αὐτοῖς δι' ἁρπαγῆς ποιούμενοι, οἴκους τε εὐπρεπεῖς ἐκ τῆς ἀδίκου κατεσκευάσατε συλλογῆς, καὶ δὴ καὶ ἀγροὺς μετὰ πολλῆς ἐξειργάσασθε τῆς ἐπιμελείας, εὖ ἴστε, ὡς οὐκ ἀπολαύσετε τῶν οὕτως ἐξ ἀδικίας περιγεγονότων ὑμῖν· οὔτε γὰρ ἐπὶ τῶν οἴκων μενεῖτε ἐκείνων, οὔτε μὴν τοὺς τῶν τοιούτων ἀγρῶν ὑποδέξεσθε καρπούς.

et ab iis dona pretiosa sumsistis, domos candidas exstruatis, neque tamen in iis habitabitis, vineas desiderabiles panxistis, nec vinum earum bibetis. Quum pauperes male vexaveritis, et eorum quae possederunt, pulcherrima quaeque praedati, ex injusta rapina domos elegantes aedificaveritis, agrosque multa cum diligentia colueritis; bene scitote, vos horum injusto modo paratorum nullum percepturos esse fructum; nam neque in domibus istis manebitis, neque quidquam frugis ex agris illis colligetis.

ιβ'. Ὅτι ἔγνων πολλὰς ἀσεβείας ὑμῶν· καὶ ἰσχυραὶ αἱ ἁμαρτίαι ὑμῶν· καταπατοῦντες τὸ δίκαιον, λαμβάνοντες ἀλλάγματα, καὶ πένητας ἐν πύλαις ἐκκλίνοντες. Οὐδὲ γάρ με λέληθε τὸ πλῆθος καὶ τὸ μέγεθος τῶν τε ἀσεβειῶν καὶ τῶν ἁμαρτιῶν τῶν ὑμετέρων, οὐδ' ὅτι τὸ δίκαιον ἀντηλλάττεσθε χρημάτων, ἃ παρὰ τῶν ἀδικούντων κομιζόμενοι, τὰς τῶν πενήτων κρίσεις εἰς τοὐναντίον ἐτρέψετε τῆς ἀληθείας. Κἀνταῦθα δὲ τὸ ἐν πύλαις προσέθηκε κατὰ τὸ πρόσθεν εἰρημένον ἡμῖν.

V. 12. *Namque novi multas vestras iniquitates; peccataque vestra admodum creverunt; qui conculcatis justitiam, pretia accipitis, pauperesque in portis opprimitis.* Neque enim multitudo nec magnitudo peccatorum vestrorum me latuit, nam justitiam divitiis vendidistis, quas ab injustis accepistis, et in judicia injustas veroque repugnantes tulistis sententias. Id autem In portis factum esse ex ratione ante dicta hic quoque addit.

ιγ'. Διὰ τοῦτο ὁ συνιὼν ἐν τῷ καιρῷ ἐκείνῳ, σιωπήσεται, ὅτι καιρὸς πονηρός ἐστιν. Ἐπαχθείσης τοίνυν τῆς ἀπειλουμένης τιμωρίας ὑμῖν, ἅπαντες οἱ τὸ δέον συνιέναι οἷοί τε ὄντες, ὥσπερ ἐκπεπληγμένοι ἐπὶ τῷ μεγέθει τῶν κακῶν, ἀξιοῦσιν [1]) ἡσυχίαν, παρεῖναι τὸν καιρὸν ὑπειληφότες, καθ' ὃν ἔσεσθαι πόῤῥωθεν μεμήνυται ταῦτα.

ιδ'. ιε'. Ἐκζητήσατε τὸ καλὸν καὶ μὴ τὸ πονηρὸν, ὅπως ζήσητε, καὶ ἔσται μεθ' ὑμῶν οὕτως κύριος ὁ θεὸς ὁ παντοκράτωρ· ὃν τρόπον εἴπατε· μεμισήκαμεν τὰ πονηρὰ καὶ ἠγαπήκαμεν τὰ καλά· καὶ ἀποκαταστήσατε ἐν πύλαις κρῖμα, ὅπως ἐλεήσῃ κύριος ὁ θεὸς ὁ παντοκράτωρ τοὺς καταλοίπους τοῦ Ἰωσήφ. Ἀλλὰ γὰρ ἐν ὅσῳ τούτου καιρὸς συμβουλεύω πᾶσιν ὑμῖν ἀποστῆναι μὲν τοῦ χείρονος, ἑλέσθαι δὲ τὸ κρεῖττον· οὕτω γὰρ ὑμῖν προσέσται τῶν ἀγαθῶν ἡ ἀπόλαυσις, τοῦ θεοῦ τὴν οἰκείαν παρέχοντος κηδεμονίαν, ὑπὲρ ὧν, ἑλόμενοι τὰ καλὰ, ἀπεστράφητε τὰ χείρω· καὶ εἴγε τὴν παλαιὰν καταλλάξαντες γνώμην ἐν ταῖς πύλαις κατὰ τὸ εἰωθὸς τὰς κρίσεις ἐθέλετε ποιεῖσθαι, δικαίας τεύξεσθε

V. 13. *Ideo qui sapit isto tempore, silebit; namque tempus malum est.* Inducta vobis ea, quam ante minitatus est Deus, poena, omnes, quicunque justum intelligere queunt, quasi attoniti magnitudine malorum, quietem agent, tempus adesse rati, quo haec eventura esse jam dudum annuntiatum sit.

V. 14. 15. *Bonum quaerite, nec malum, ut vivatis; et dominus Deus omnipotens vobiscum erit; quemadmodum dixistis: Odio habuimus malum, et bonum dileximus. Reddite in portis justitiam, ut misereatur dominus Deus omnipotens eorum, qui reliqui sunt de Josepho.* At quamdiu opportunum est tempus, ut ab injusto desistatis bonumque eligatis suadeo; ita enim bonis fruituri estis per singularem Dei curam vobis porrectis; ideo bonum eligentes malum fugite. Et si mutata pristina mente in portis pro more consueto sententias ferre volueritis, divinam merito nanciscemini gratiam, quae plerosque vestrum conservabit. Josephum enim hic decem tribus

[1]) F. l. ἄξουσιν.

τῆς θείας φιλανθρωπίας περισωζούσης ὑμῶν· τοὺς πλείστους. Ἰωσὴφ δὲ ἐνταῦθα τὰς δέκα λέγει φυλὰς, ἀπὸ τῆς ἡγουμένης ἐν αὐτοῖς, τῆς τοῦ Ἐφραῒμ λέγω, ὃς ἦν υἱὸς τοῦ Ἰωσήφ.

appellat propter principem inter eos, tribum Ephraimi, ut qui Josephi fuerit filius.

ιϛ'. ιζ'. *Διὰ τοῦτο τάδε λέγει κύριος ὁ θεὸς ὁ παντοκράτωρ· ἐν πάσαις πλατείαις κοπετὸς, καὶ ἐν πάσαις ταῖς ὁδοῖς ῥηθήσεται θρῆνος, οὐαὶ, οὐαί.* Ἐπειδὴ δὲ οὐ τούτων ὑμῖν λόγος, θρήνων καὶ κοπετῶν ἔσται μεστά τά τε κατὰ πόλιν καὶ κατὰ χώραν ἀπὸ τοῦ πλήθους τῆς γενομένης ὑπὸ τῶν πολεμίων σφαγῆς. — *Κληθήσεται γεωργὸς εἰς πένθος, καὶ εἰς κοπετὸν καὶ εἰς εἰδότας θρῆνον, καὶ ἐν πάσαις ὁδοῖς κοπετὸς, διότι διελεύσομαι διὰ μέσου, λέγει κύριος.* Καὶ γεωργοὶ δὲ τῶν κατὰ γῆν ἀφέμενοι ἔργων περὶ κοπετοὺς, καὶ πένθη, καὶ θρήνων ἀσχοληθήσονται ποικιλίαν, τήν τε σφαγὴν τῶν πολεμίων καὶ τῆς γῆς τὴν ἀκαρπίαν κατὰ ταὐτὸν θρηνοῦντες. Ταῦτα δὲ πείσονται θεοῦ διὰ τῶν πολεμίων εἰς μέσους αὐτοὺς εἰσιόντος, καὶ τοῖς τοσούτοις καὶ τηλικούτοις περιβάλλοντος κακοῖς.

V. 16. 17. *Itaque haec dicit Dominus Deus omnipotens: in omnibus plateis planctus et in omnibus viis luctus personabit, Vae! Vae!* Quum illorum rationem non habeatis, urbes et rus luctu et planctu propter caedem multam ab hostibus factam implebuntur. — *Agricola ad luctum et planctum et ad eos qui lamentandi periti sunt vocabitur; et in omnibus viis luctus erit, me inter vos grassante, inquit Dominus.* Et agricolae, inquit, a laboribus suis desistentes luctui et lamentationi ac fletui multifario vacabunt, de caede ab hostibus facta et terrae sterilitate simul lacrimabundi. Haec vero patientur, quando Deus per hostes ad vos ingredietur talia et tanta vobis obducens mala.

ιη'. *Οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν κυρίου. Καὶ ἱνατί ὑμῖν αὕτη ἡ ἡμέρα τοῦ κυρίου, καὶ αὕτη ἔσται*

V. 18. *Vae desiderantibus diem Domini. Quid enim ad vos ista Domini dies? Tenebris enim, non luce plenus*

σκότος καὶ οὐ φῶς. Ἐπειδὴ γὰρ πολλοὶ πρὸς τὸ χεῖρον παντελῶς ἐκτετραμμένοι, ὡσανεὶ ψευδομένων ἐφ' οἷς ἐμήνυον, τῶν προφητῶν, ἐτόλμων λέγειν, ὅτι ἐλθέτω τὰ κακά, ἅ φατε καὶ μηνύετε, εἰ δή τις ἀλήθεια πρόσεστιν τοῖς λόγοις ὑμῶν, τοῦτο λέγει· ἐλεεινότατοι, φησὶν, ἐστὲ τὴν ἡμέραν ἐκείνην ἐπιζητοῦντες, ἣν οὐ πιστεύοντες ἐλεύσεσθαι, ὄψεσθε τῇ πείρᾳ, ζοφερὸν ὑμῖν τῷ πλήθει τῶν κακῶν ἐπάγουσαν σκότος. Εἶτα καὶ ὑποδείγματι τὸ εἰρημένον πιστούμενος.

ιθ'. κ'. Ὃν τρόπον ἐὰν ἐκφυγῇ ἄνθρωπος ἐκ προσώπου λέοντος καὶ ἐμπέσῃ αὐτῷ ἡ ἄρκτος καὶ εἰσπηδήσῃ εἰς τὸν οἶκον, καὶ ἀπερείσῃ τὰς χεῖρας αὐτοῦ ἐπὶ τὸν τοῖχον, καὶ λάβῃ αὐτὸν ὄφις. Οὐχὶ σκότος ἡ ἡμέρα τοῦ κυρίου καὶ οὐ φῶς; καὶ γνόφος οὐκ ἔχων φέγγος αὐτῆς; Δι' ὑποδείγματος γὰρ ἠβουλήθη τῆς ἡμέρας τὴν χαλεπότητα ἐπιδεῖξαι· ὡς γὰρ εἴ τις, φησὶ, καθ' ὁδὸν μὲν ἀκούσας λέοντος ἔφοδον ἐπὶ τὴν πόλιν καταδράμοι, ἐμπεσὼν δὲ ἄρκῳ [1]) κατὰ τὴν πόλιν τοὺς ἐμπίπτοντας λυμαινομένῃ, ἐπὶ τὴν οἰκίαν εἰσπηδήσας τὴν οἰκείαν, λύσιν εὑρέσθαι τινὰ τῶν κακῶν

erit. Quum multi toti ad malum versi, quasi prophetae vaticinia sua ementiti fuissent, veniant nobis ista quae praedicitis et vaticinamini mala si quae sermonibus vestris inest veritas, dicerent, Miserrimi estis inquit propheta, istam praeoptantes diem, quam etsi non venturam creditis, tamen experiemini et densam in vos effundentem caliginem videbitis. Deinde quae dixerat exemplo confirmat.

V. 19. 20. *Perinde ac si quis homo leonem effugerit et in ursum incurrat, et eum in domum ingressum manumque ad parietem applicantem anguis mordeat. Nonne tenebricosus dies Domini, nec lucidus; et caliginosus nec splendorem habens?* Hoc exemplo diei acerbitatem demonstrare vult propheta. Perinde ac si quis, inquit, qui in via leonem audiens appropinquantem, in urbem refugiat, ibique ursum videat obvios dilacerantem, nunc in domum se recipiendo hic periculorum finem sperans, manum negotii ullius causa parieti admoveat et repente ab

[1]) Leg. ἄρκτῳ.

ἐλπίζῃ, εἶτά πως ἐπί τινι χρείᾳ τῷ τοίχῳ προσαγαγὼν τὴν χεῖρα τὴν οἰκείαν, ἀθρόον ὑπὸ ὄφεως δειχθείη [1]), οὐκ ἀνάγκη τῷ τοιούτῳ μετὰ τοσαύτην πεῖραν κακῶν καὶ θόρυβον τοσοῦτον ἀφύκτῳ περιπεπτωκότι τῇ πληγῇ τοῦ ὄφεος, σκότον εἶναι τὴν ἑτέροις φαινομένην ἡμέραν, οὐδὲ διορᾷν μέντοι τῶν παρόντων ἐκ τῶν συνεχόντων κακῶν οἵῳ τε ὄντι, μόνον δὲ οὐ παρόντα τὸν θάνατον πρὸ τῶν ὀφθαλμῶν ὁρῶντι τῶν οἰκείων. Οὕτω δὴ καὶ ὑμεῖς, φησὶν, ἀκούσαντες μὲν πανταχόθεν τῶν πολεμίων τὴν ἔφοδον, ἐπὶ τὴν πόλιν εἰσελεύσεσθε, ἐκ δὲ τοῦ κατ᾽ αὐτῆς θορύβου διαταραχθέντες, ὃν ἀνάγκη τῶν πολεμίων ἐφεστώτων γίνεσθαι ἐν αὐτῇ, εἰς τοὺς οἴκους εἰσελεύσεσθε τοὺς οἰκείους· περιέσται δὲ οὐθὲν οὐδὲ ἐκ τούτου πλέον ὑμῖν, ἐκ τῶν μυχῶν τῆς οἰκίας ἐπὶ τὴν αἰχμαλωσίαν ἐξελκόντων ὑμᾶς τῶν πολεμίων. Πῶς δὴ τοῖς ταῦτα πάσχουσιν οὐ σκότος εἶναι τὸν καιρὸν ἐκεῖνον ἀνάγκη; Εἶτα εἰς τὴν τῆς μοχθηρίας αὐτῶν ἀπόδειξιν ἐπάγει·

κα΄. Μεμίσηκα, ἀπῶσμαι ἑορτὰς ὑμῶν, καὶ οὐ μὴ ὀσφρανθῶ ἐν ταῖς πανηγύρεσιν ὑμῶν. Διὰ δὲ τὴν τοῦ τρόπου μοχθηρίαν ὑμῶν καὶ τὰς

angue mordeatur, post tot evitatas angustias et timores inevitabili anguis morsu vulneratus, hunc diem, qui aliis lux esse videatur, tenebras esse diceret, et quum propter calamitates suas res uti se habeant, perspicere nequeat, mortem sibi ob oculos esse et instare haud inepte crederet; ita etiam vos audito hostium impetu undique facto, urbem quidem ingrediemini, sed tumultu in eam hostibus incursantibus exorto perterriti, in domus vestras intrabitis; sed nihil commodi inde vobis proveniet, namque ex imis aedis latebris ab hostibus in captivitatem protrahemini. Quomodo igitur talia patientibus illud tempus caliginosum non videbitur? Deinde ut etiam magis eorum nequitiam commonstret, addit:

V. 21. *Odio habui et respui festa vestra, nec odore solennitatum vestrarum delector.* Propter morum vestrorum nequitiam, festa quoque,

[1]) Leg. δηχθείη.

ἑορτὰς, ἃς ἐπιτελεῖν ἐπὶ τιμῇ δοκεῖτε τῇ ἐμῇ, διὰ μίσους ἔχω καὶ οὐ προσίεμαι ταύτας.

κβʹ. *Διότι ἐὰν ἐνεγκητέ μοι ὁλοκαυτώματα καὶ θυσίας ὑμῶν, οὐ προσδέξομαι, καὶ σωτηρίου ἐπιφανείας ὑμῶν οὐκ ἐπιβλέψομαι.* Κἂν θυσίας οὖν ἢ ὁλοκαυτώματα προσφέρητε, τὴν ἐκ τῆς ἐπιφανείας τῆς ἐμῆς σωτηρίαν ἐλπίζοντες διὰ τούτων λαβεῖν, οὔτε δέξομαι, ἀλλ' οὐδὲ προσέξω τοῖς γινομένοις ὅλως. Τί οὖν;

κγʹ. *Μετάστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ ψαλμὸν ὀργάνων σου οὐκ ἀκούσομαι.* Παῦσαι δὴ καὶ τὰς ἐκ τῶν ψαλμῶν ᾠδὰς ἐπ' ἐμοὶ ποιούμενος, ἐπεὶ μηδὲ τούτου μοι λόγος.

κδʹ. *Καὶ κυλισθήσεται ὡς ὕδωρ κρῖμα καὶ δικαιοσύνη ὡς χειμάῤῥους ἄβατος.* Πρὸς γὰρ τὸν βίον, φησὶν, ὁρῶν τὸν ὑμέτερον, κατ' ἐκεῖνον τὴν κρίσιν τῶν καθ' ὑμᾶς ποιούμενος, ὁρῶ δικαιοτάτην ὑμῖν ἐπαχθησομένην τὴν τιμωρίαν, ἣν καὶ ἐπάξω πᾶσιν ὑμῖν χειμάῤῥου δίκην ἀδιεξοδεύτου διὰ τὸ μέγεθος παντελῶς.

κεʹ. *Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι τεσσαράκοντα ἔτη ἐν τῇ ἐρήμῳ, οἶκος Ἰσραήλ;* Ὅτι γὰρ

quae meum in honorem celebrare videmini, exosa mihi sunt, et nequaquam exoptata.

V. 22. *Sin itaque holocausta mihi obtuleritis et sacrificia vestra, non accipiam ea, nec salutem praesentiae vestrae respiciam.* Quamvis igitur sacrificia vel holocausta mihi obtuleritis, praesentiae meae salutem nancisci per ea sperantes, ea neque accipiam nec rerum a vobis gestarum ullam habebo rationem. Quid ergo?

V. 23. *Remove a me sonitum carminum tuorum, cantumque fidium tuarum non audiam.* Desine carmina et psalmos in meum honorem componere, quum ea non respiciam.

V. 24. *Volvetur sicut aqua jus, et justitia sicut torrens invius.* Vitam vestram intuens, ut ex ea judicium de vobis habeam, justissimum fore poenam vobis immitti intelligo; itaque immittam vobis eam tanquam torrentem propter magnitudinem impervium.

V. 25. *Num victimas et sacrificia per quadraginta annos in deserto mihi obtulistis domus Israelis?* Nul-

μηδείς μοι θυσιῶν λόγος, ἐκεῖθεν μάλιστα εἰδέναι προσῆκον ἦν ὑμᾶς, ἀφ' ὧν. ἐπὶ τεσσαράκοντα τοῖς ἔτεσι κατὰ τὴν ἔρημον τοιοῦτο μὲν παρὰ τῶν πατέρων ᾔτησα τῶν ὑμετέρων οὐδέν· αὐτὸς δὲ ἐπιμέλειαν αὐτῶν τὴν προσήκουσαν ποιούμενος διετέλουν.

κς'. κζ'. Καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολὸχ, καὶ τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν Ῥεμφὰν, τοὺς τόπους, οὓς ἐποιήσατε ἑαυτοῖς· καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Δαμασκοῦ, λέγει κύριος, ὁ θεὸς, ὁ παντοκράτωρ ὄνομα αὐτῷ. Ἀλλὰ γὰρ συλλογίζεσθαι τὸ δέον οὐ βουλόμενοι, θυσίαις με ἐκμειλίττεσθαι προσδοκᾶτε, ἄνδρες ἐμοῦ μὲν οὐδένα ποιούμενοι λόγον, τοῖς εἰδώλοις δὲ προσανέχειν ἐσπουδακότες. Μολὸχ γὰρ εἴδωλον λέγει παρ' αὐτοῖς θρησκευόμενον, σκήνην δὲ τοῦ Μολὸχ, ἵνα εἴπῃ, ὅτι περιέπετε τοῦ εἰδώλου τὸν ναὸν, καὶ περὶ τοῦτον ἔχετε, καὶ δὴ καὶ περὶ ἄστρου θεραπείαν ἀσχολεῖσθε, θεοῦ προσηγορίαν αὐτῷ περιτεθεικότες (φασὶ δὲ τὸν ἑωσφόρον οὕτω κατὰ τὴν Ἑβραίων καλεῖσθαι γλῶτταν), καὶ δὴ καὶ περὶ τὰ ἀπεικονίσματα, ἃ ταῖς ἑαυτῶν κατεσκευάσατε χερσὶ, περὶ ταῦτα τὴν πᾶσαν ἄγετε σχολήν· εἶτα εἰδώλοις προσανέχον-

lum sacrificiorum studium mihi esse ex eo potissimum cognoscere potuistis, quod quadraginta per annos in deserto nihil eorum a patribus vestris postulaverim, ipse vero curam eorum justam continuo gesserim.

V. 26. 27. *Et adsumsistis Molochi tabernaculum, Remphanique Dei vestri stellam, simulacra quae vobis fecistis. Itaque ultra Damascum vos relegabo, inquit Dominus Deus, cui Omnipotentis nomen.* Quid justum esset respicere nolentes sacrificiis placare me putavistis, me scilicet neglecto idolorum cultui operam navantes. Molochus enim idolum est ab iis cultum; *Molochi tabernaculum* autem dicit, ut indicet, idoli fanum eos frequentasse eique studium vovisse suum, quin etiam in stella veneranda, cui Dei nomen imposuerint (Luciferum autem Hebraeam appellationem significare perhibent) operam collocavisse, nec non simulacra ab ipsorum manibus ficta multo honore studiose prosecutos fuisse. Meo igitur, inquit, cultu prorsus neglecto, idolis toti dediti sacrificiis

τες καὶ μηδένα τῆς ἐμῆς θεραπείας ποιούμενοι λόγον, ἐκμειλίττεσθαί με προσδοκᾶτε ταῖς θυσίαις, ὧν οὐδὲν ὑμῖν γενήσεται ὄφελος· ἀπαχθήσεσθε γὰρ αἰχμάλωτοι εἰς τόπους πόλυ γε τῶν περὶ ὑμᾶς ἀφεστῶτας τόπων. Τὸ γὰρ Δαμασκοῦ τοῦτο λέγει, ἵνα ἀπὸ μέρους τοὺς ἄγαν ἀπῳκισμένους εἴπῃ τόπους. Ὁ γοῦν μακάριος Στέφανος ἐν ταῖς πράξεσι τῶν ἁγίων ἀποστόλων, πρὸς Ἰουδαίους τῇ μαρτυρίᾳ ταύτῃ χρησάμενος [1]) „Μετοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος,“ ἔφη τοὺς ἐνταῦθα μηνυομένους τόπους σαφέστερον εἰρηκώς. — Καὶ ἐπειδὴ περὶ ταῦτά τὴν σχολὴν ἔσχον ἀφεστῶτες θεοῦ, ἐπάγει.

me quidem deliniri exspectatis, nullum tamen inde habebitis emolumentum; nam captivi abducemini in terras a vestra terra mirum quantum remotas. Damascum enim hoc loco appellat, ut ex parte omnes longe remotos indicet locos. — Jam vero beatus Stephanus in Actis sanctorum apostolorum, verbis quibusdam e nostro loco, tanquam testimonio desumtis „Ultra Babylonem vos relegabo“ inquit, eoque etiam clarius indicat locos hic a propheta indicatos. Quoniam igitur a Deo deficientes idola secuti erant, ita pergit.

Κεφάλαιον ς'.

α'. Οὐαὶ τοῖς ἐξουθενοῦσι Σιὼν, καὶ τοῖς πεποιθόσιν ἐπὶ τὸ ὄρος Σαμαρείας. Ἀλλὰ γὰρ ἐλεεινότατοι πάντων ἐστὲ, οἳ τὸ μὲν Σιὼν ὄρος καὶ τὸν ἐν αὐτῷ θρησκευόμενον παρεγράψασθε θεὸν, τῇ Σαμαρείᾳ δὲ καὶ τοῖς αὐτόθε ἱδρυμένοις προσέχετε εἰδώλοις. — Ἀπετρύγησαν ἀρχὰς ἐθνῶν καὶ εἰσῆλθον ἑαυτοῖς οἶκος τοῦ Ἰσραήλ. Οὐκ ἀναλογισάμενοι, ἡλίκα πάρεσχεν ὑμῖν, ὃς [2]) ἐπὶ τὸ Σιὼν ὄρος ἅπασαν αὐτῷ προσ-

Caput VI.

V. 1. *Vae iis, qui Sionem contemnunt, et confidunt monti Samariae.* Omnium infelicissimi estis, qui Sionem montem, Deumque, qui in eo colitur relinquentes Samariae et idolis ibi sacratis adhaeretis. — *Vindemiarunt primitias gentium et ingressi sunt sibi, qui sunt de domo Israelis.* Non reputatis, quanta vobis is, qui in Sione monte justum sibi cultum persolvi voluit Deus largitus sit bona,

[1]) Act. VII, 43. — [2]) F. l. ὅ.

ἄγεσθαι τὴν θρησκείαν προστάξας ὁ θεὸς, οὐδ' ὅτι πλεῖστα ὅσα ἔθνη τε καὶ τοὺς τούτων ἄρχοντας περικόψας τε καὶ ἀφελὼν παντελῶς, τὴν ἐν ἐκείνων τόποις εἴσοδόν τε καὶ οἴκησιν πάρεσχεν ὑμῖν. Καὶ δεικνὺς τῆς θείας δωρεᾶς τὸ μέγεθος ὁπόσον ἐστί.

β'. Διάβητε πάντες καὶ ἴδετε εἰς Χαλάμην, καὶ διέλθετε ἐκεῖθεν εἰς Αἰθὰμ τὴν μεγάλην, καὶ κατάβητε ἐκεῖθεν εἰς Γὲθ τῶν ἀλλοφύλων, τὰς κρατίστας ἐκ πασῶν τῶν βασιλειῶν τούτων εἰ πλείονα ἐστὶ τὰ ὅρια αὐτῶν τῶν ὑμετέρων ὁρίων; Περιέλθετε γάρ φησι, τῶν τε ἀλλοφύλων καὶ πάντων δὴ τῶν περιοίκων τὴν χώραν, καὶ δὴ καὶ τὰς μεγίστας τῶν ἐν αὐτοῖς πόλεων ἰδόντες, δοκιμάσατε τῆς τε χώρας τῆς ὑμετέρας τὸ μέγεθος καὶ τὸ πλάτος, καὶ δὴ καὶ τῆς ἐκείνων, ὡς ἂν ἐκ παραθέσεως γνοίητε, ὅσην ὑμῖν παρὰ πάντας ἐκείνους εἰς οἴκησιν δέδωκε γῆν, ὡς ἂν μετὰ πολλῆς ἐπ' αὐτῆς διάγοιτε τῆς εὐχωρίας. — Εἶτα πάλιν ὀνειδίζει τὰς ἀτόπους πράξεις αὐτοῖς.

γ'—ς'. Οἱ ἐρχόμενοι εἰς ἡμέραν κακὴν οἱ ἐγγίζοντες καὶ ἐφαπτόμενοι σαββάτων ψευδῶν, οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων, καὶ κατασπαταλῶν-

eumque, gentibus pluribus eorumque principibus deletis et perditis, vobis illorum terram possidendam et habitandam dedisse. Et deinde amplitudinem divinorum beneficiorum ostendit.

V. 2. *Transite omnes et videte in Chalanam et hinc abite Aithamam magnam, et inde descendite Gatham peregrinorum, quae sunt optima omnium horum regnorum, num fines eorum latiores sint finibus vestris.* Permeate inquit peregrinorum omniumque finitimorum terram, et vel maximas inter eos urbes intuiti, vestrae illorumque terrae magnitudinem et latitudinem conferte, ut ex comparatione intelligatis quantam vobis prae illis terram dederim habitandam, in qua perquam commode degere possitis. Deinde impia eorum facta rursus reprehendit.

V. 3—6. *Qui venitis in diem malam, qui appropinquatis et attigitis sabbata falsa, qui in lectis cubatis eburneis et luxuriamini in cubilibus vestris, qui vescimini agnis*

τες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν, οἱ ἐσθίοντες ἐρίφους ἐκ ποιμνίων καὶ μοσχάρια ἐκ μέσου βουκολίων γαλαθινὰ, οἱ ἐπικροτοῦντες πρὸς τὴν φωνὴν τῶν ὀργάνων· ὡς ἑστῶτα ἐλογίσαντο καὶ οὐχ ὡς φεύγοντα, οἱ πίνοντες τὸν διυλισμένον οἶνον, καὶ τὰ μῦρα πρῶτα χριόμενοι, καὶ οὐκ ἔπασχον ἐπὶ τῇ συντριβῇ τοῦ Ἰωσήφ. Ἀλλὰ γὰρ ὑμεῖς εἰς πεῖραν ἐλεύσεσθε τῆς ἡμέρας ἐκείνης, ἢ μέγιστον ὑμῖν ἑσμὸν ἐπάγει κακῶν, οἳ τὰ μὲν σάββατα μετιέναι προσποιεῖσθε οὐκ εὐσεβείας ἕνεκεν, ἀλλ' ὥστε εἰς παρανομίαν καταχρήσασθαι τῇ ἀργίᾳ, πολὺν δὲ ἄχρι τῶν κλινῶν καὶ τῆς ἐν αὐταῖς στρωμνῆς, τόν τε πλοῦτον ἐπιδεικνύμενοι καὶ τὴν ἀσέλγειαν, ἐκ τῆς τῶν πενήτων ἁρπαγῆς, ἐρίφους τε καὶ βόας καὶ παντοῖα κατασφάττετε ζῶα, ὀργάνων τε ᾠδαῖς καὶ κρότοις κεχρημένοι χειρῶν, οἶνόν τε προσφέρεσθε διυλισμένον, ὡς ἂν πλείονας [1]) ὑμῖν ἐμφορεῖσθαι δυνατὸν ὑπάρχῃ, καὶ δὴ καὶ μύροις καταχρίεσθε ἐκλεκτοῖς. Καὶ ταῦτα δὴ μετῄειτε διαμένειν ὑμῖν τὴν ἀπόλαυσιν αὐτῶν προσδοκῶντες καὶ οὐδεπώποτε ὑμῶν ἀποστήσεσθε [2]), οὐκ ἀναλογιζόμενοι οἵαν τινὰ ὑπὲρ

de gregibus et vitulis lacteis medio ex armento boum; qui cantillatis ad sonum nablorum; quasi stantia et non quasi fugientia putaverant, qui vinum bibentes defaecatum praestantissimisque unguentibus uncti, at nihil passi de calamitate (contritione) Josephi. Vos, inquam, istam diem, ingentem malorum copiam vobis obducturum ipsi experiemini, qui sabbata observare simulatis, non religionis causa, sed otio ad impietatem abusuri, et multam in lectis et cubilibus ornandis opulentiam luxuriamque ostenditis; pauperibusque ereptos agnos et boves aliasque mactatis pecudes, fidium canticibus manuumque ludo delectati vinum defaecatum sumitis, ut plus ingurgitare possitis; atque unguentis praestantissimis vos unguitis. Et haec fecistis, semper vos eodem gaudio fructuros neque unquam privatos fore rati, neque qualis de iis poena vobis solvenda sit, in mente agitantes. Verba enim *Contritio Josephi*, ad cunctos rursus pertinent et eorum sensus est: praesentem calami-

[1]) Leg. πλείονος. — [2]) F. l. ἀποστήσεσθαι.

τούτων ὑπομενεῖτε τὴν τιμωρίαν. Σύντριβὴν γὰρ τοῦ Ἰωσὴφ κἀνταῦθα πάλιν ἀπὸ μέρους τοὺς πάντας λέγει, ἵνα εἴπῃ, ὅτι εἰς ἔννοιαν οὐ λαμβάνετε τὴν νῦν συντριβὴν, ἣν ὑπὲρ τούτων ὑπομενεῖτε.

ζ. η'. Διὰ τοῦτο νῦν αἰχμάλωτοι ἔσονται ἀπ' ἀρχῆς δυναστῶν, καὶ ἐξαρθήσεται χρεμετισμὸς ἵππων ἐξ Ἐφραΐμ. Ὅτι ὤμοσεν κύριος καθ' ἑαυτοῦ λέγων· Κύριος ὁ θεὸς τῶν δυνάμεων, διότι βδελύσσομαι ἐγὼ πᾶσαν τὴν ὕβριν Ἰακὼβ, καὶ τὰς χώρας αὐτοῦ μεμίσηκα, καὶ ἐξαρῶ πόλιν σὺν πᾶσι τοῖς κατοικοῦσιν αὐτήν. Ἐπειδὴ γὰρ οὐδένα λόγον τῶν ἀπειλουμένων ποιεῖσθε, αὐτῇ τῇ πείρᾳ γνώσεσθε τῶν μηνυομένων τὴν ἀλήθειαν· ἀπαχθήσεσθε γὰρ ἅπαντες αἰχμάλωτοι ὑπὸ ἀρχόντων δύναμιν περιβεβλημένων πολλὴν, ὥστε καὶ τὴν παρασκευὴν ὑμῖν τὴν πολεμικὴν σὺν τοῖς ἵπποις ἐμφανισθῆναι [1]) παντελῶς. ἐπειδὴ γὰρ πᾶσαν ὑμῶν τὴν παρανομίαν βδελύττεται θεὸς, ἣν ἐφ' ὕβρει γε αὐτοῦ πληροῦν οὐκ ὀκνεῖτε, ὥστε καὶ τὰς πόλεις ὑμῶν, καὶ τὰς χώρας τῆς ἀσεβείας πεπληρῶσθαι ταύτης, εἰκότως ἁπάσας ὑμῶν σὺν ταῖς χώραις τὰς πόλεις μετὰ τῶν οἰκούντων ἀφα-

tatem, quam propter istam improbitatem patimini, non curatis.

V. 7. 8. *Itaque nunc captivi erunt a praecipuis principum, et auferetur hinnitus equorum de Ephraimo. Nam Deus per semetipsum juravit dicendo: Abominor ego omnem Jacobi superbiam, ejusque terras odio habui, et urbem cum omnibus suis incolis deperdam.* Quum minarum mearum respectum non habeatis, jam usu cognitam habetote rerum praedictarum veritatem; omnes enim a principibus praepotentibus captivi abducemini, bellique apparatus omnis cum equis plane delebitur. Quum enim impietatem, qua in [illegible]m superbire et urbes vestras provinciasque replere hac nequitia non dubitastis, Deus omnino abominetur, jure suo omnes vestras provincias cum incolis delebit. Deinde ut immanitatem vastationis declaret, addit:

[1]) F. l. ἀφανισθῆναι.

νιεῖ. — Εἶτα εἰς ἀπόδειξιν τοῦ μεγέθους τῆς ἐρημώσεως λέγει·

θ'. ι'. Καὶ ἔσται, ἐὰν ὑπολειφθῶσι δέκα ἄνδρες ἐν οἰκίᾳ μιᾷ, ἀποθανοῦνται, καὶ ὑπολειφθήσονται οἱ κατάλοιποι, καὶ λήψονται οἱ οἰκεῖοι αὐτῶν, καὶ παραβιῶνται τοῦ ἐξενεγκεῖν τὰ ὀστᾶ αὐτῶν ἐκ τοῦ οἴκου· καὶ ἐρεῖ τοῖς προεστηκόσι τοῦ οἴκου· εἰ ἔτι ὑπάρχει παρὰ σοί; καὶ ἐρεῖ· οὐκέτι· καὶ ἐρεῖ· σίγα, ἕνεκεν τοῦ μὴ ὀνομάσαι τὸ ὄνομα κυρίου. Ἔστι μὲν ἐκ τῆς ἑρμηνείας ἀσάφεια πολλὴ συμπεπλεγμένη τῷ ῥητῷ, καὶ παρέοικέ τε τὸ ἐν τῇ κτίσει, ἔνθα περὶ τῶν συνθηκῶν λέγει, ἃς Λάβαν τε καὶ Ἰακὼβ ἐποιήσατο πρὸς ἀλλήλους ἐπὶ τῷ τῶν προβάτων τὰ τικτόμενα τὰ μὲν τοῦτον, τὰ δὲ ἐκεῖνον ἔχειν [1]), ἐπεὶ κἀκεῖνο ἀσαφὲς μέν ἐστιν ἐν τῇ λέξει, ὁ δὲ νοῦς ἐπὶ τῆς ἑρμηνείας δέχεται τὴν σαφήνειαν· ἀνάγκη δὲ [2]) τοῦτον τὸν νοῦν ἐκθεῖναι ἀσαφῶς δηλούμενον ἐν τῇ λέξει. Βούλεται γὰρ εἰς ἀπόδειξιν τῆς καταληψομένης αὐτοὺς ἐρημίας, ὡς ἄγαν οὔσης μεγίστης, τοῦτο εἰπεῖν· ὅτι πολλάκις, φησὶν, ἐξ οἰκίας μεγίστης πολυανθρώπου μόγις ὑπολειφθήσονται δέκα, τῶν

V. 9. 10. *Et futurum est, ut, si forte decem viri in domo una reliqui fuerint, hi quoque moriantur. Et qui superstites erunt, remanebunt; et domestici eorum eos tollent, et cogent, ut efferant ossa eorum de domo. Et dicet eis, qui domui praesunt: Estne adhuc apud te aliquis? et respondebit: Haudquaquam. Et tum ille: Tace, inquiet, ne nomines nomen Domini.* His verbis in translatione multa immixta est obscuritas, ei non absimilis, quae in Geneseos libro nobis obvenit isto loco, quo de foedere Labanum inter et Jacobum icto sermo est, et de ovium agnis inter utrumque dividendis. Nam et isto loco verba admodum dubie sonant, sed sensus ex versione perspicuus elici potest. Igitur, quinam verbis obscure indicetur sensus exponendum nobis est. Ut admodum magnam fore vastationem futuram significet, id dicere vult propheta: Vix decem, caeteris in bello multifariam necatis, e domo reli-

[1]) Cf. Genes. XXX. — [2]) F. l. δή.

λοιπῶν ἀναιρεθέντων ἐν τῷ πολέμῳ ποικίλως· οἷόν τι καὶ ἐν τοῖς ἀνωτέροις φησὶν, ὅτι ἐκ μὲν τῶν ἑκατὸν δέκα μενοῦσιν, ἑκατὸν δὲ ἐκ τῶν χιλίων. εἶτά φησιν, ἀποθανόντων τῶν λοιπῶν οἱ περιλειφθέντες πολλὴν θήσονται τὴν σπουδὴν, τοῦ πάντα δὴ τῶν ἀποθανόντων τὰ σώματα καὶ ἔνδον κειμένων ἐξενεγκεῖν καὶ παραδοῦναι ταφῇ. Τοῦτο δὲ λέγει, ὡς καὶ τοῦ πολέμου πολυτρόπους ποιοῦντος τὰς σφαγὰς, καὶ τῶν ἀναιρουμένων ποικίλως ἐν διαφόροις μέρεσιν τῆς οἰκίας μερῶν κατασπωμένων τε καὶ πιπτόντων τοῖς σώμασι. Διὸ καὶ τὸ παραβιῶνται εἶπε, δεικνὺς, ὅτι παραβεβιασμένον καὶ οὐκ εὔκολον ἐπιχειροῦσι πρᾶγμα, τὰ σώματα πάντα βουλόμενοι ταφῇ παραδοῦναι. Εἶτα, φησὶν, ἀπειπόντες πρὸς τὸ τῶν ἐξενεχθέντων πλῆθος νεκρῶν, λόγους δή τινας ποιήσονται πρὸς ἀλλήλους, διαμφισβητοῦντες εἴτε ἄρα πάντα ἐξενήνεκται τὰ σώματα, εἴτε καὶ ἔτι ἐκκείμενα ἄταφα. Προεστηκότας γὰρ τῆς οἰκίας αὐτοὺς τοὺς ὑπολειφθέντας ἐξ ἁπάντων λέγει τοὺς δέκα, οἷον εἰπεῖν, ὡσὰν πρὸς ἀλλήλους ἐροῦντας τε ταῦτα. ἐπειδὰν γὰρ αὐτοῖς ἐγγένηταί πως πάντα ἐκβαλεῖν καὶ ταφῇ παραδοῦναι τὰ σώματα, γνώσονται μὲν οὐκέτι ὄντας νεκροὺς, ὁρῶντες γὰρ τὴν κατέχουσαν τὸν οἶκον

qui erunt amplissima. Similiter etiam in superioribus, e centum decem fore superstites et centum e millibus, dicit. Tunc, pergit, permultis mortuis, reliqui multam in eo operam collocabunt, ut omnium caesorum et intra parietes jacentium cadavera elata sepulcro tradantur. Haec autem dicit, ut significet, varias fore belli caedes, et membra caesorum vario modo a corporibus abscissa per diversas aedium partes dispersa fore. Propterea etiam verbo *cogent* utitur, quo indicat, invitos et non promptos eos rem aggredi, qui omnia cadavera sepelire velint. Tunc, inquit, animo fatiscentes propter mortuorum elatorum multitudinem, confabulabuntur inter se disceptantes, utrum jam omnia elata sint cadavera, an forte quaedam sepulcro carentia jaceant. Domibus praefectos autem eos ipsos appellat decem, qui ex omnium numero reliqui sunt, et quasi talia inter se loquantur. Quando enim omnia extulerint cadavera sepulcroque tradiderint, nullos mortuos relictos esse cognoscent. Intelligent enim altam domus quietem ex tan-

ἡσυχίαν ἔκ τε τοῦ πλήθους τῶν ἀπολωλότων καὶ τῆς τῶν οἰκούντων ἐρημίας, ἄγαν ὑπολειφθέντων ὀλίγων ἐξ οἰκίας τε τοσαύτης καὶ πλήθους τῶν οἰκούντων αὐτὴν, σιωπῇ δέ τινι κατασχεθέντες ἐπὶ τοσούτοις γεγονόσι κακοῖς, καὶ μονονοὺκ ἀφωνίᾳ ληφθέντες διὰ τὴν τῶν ἐπεληλυθότων κακῶν ὑπερβολὴν, ἀναλογοῦνται [1]) τότε δὴ τῶν γεγονότων καὶ τηλικούτων κακῶν τὴν αἰτίαν, καὶ ὅτι ὑπὲρ ὧν δι' ἀμελείας ἔσχον τὴν τοῦ θείου θεραπείαν, ἀπωσάμενοί τε τὴν ὀνομασίαν τοῦ πάντων Κυρίου προσάνεσχον εἰδώλοις, ταῦτα δὴ αὐτοῖς ἐπελήλυθε τὰ κακὰ, αἰχμαλωσία τε καὶ οἴκων κατάπτωσις, καὶ πλῆθος ἀναιρεθέντων καὶ οἰκούντων ἐρημία. Ἐπάγει γοῦν ὥσπερ εἰς βεβαίωσιν τῶν εἰρημένων·

ια'. **Διότι ἰδοὺ, Κύριος ἐντέλλεται, καὶ πατάξει τὸν οἶκον τὸν μέγαν θλάσμασι, καὶ τὸν οἶκον τὸν μικρὸν ῥήγμασιν.** Ὡς γὰρ τὴν αἰτίαν λέγων, δι' ἣν τοσοῦτος ἔσται πόρνος [2]) τοῦ τὰ σώματα τῶν ἀποθανόντων ἐξενεχθέντα παραδοθῆναι ταφῇ, προσέταξε φησὶν, ὁ Θεὸς· καὶ διὰ τοῦτο πάντα οἶκον μέγαν τε καὶ μικρὸν, τὸν μὲν μερικαῖς παραδώσει βλάβαις (τοῦτο γὰρ λέγει ῥήγμασι),

ta enecatorum multitudine et incolarum paucitate; nam paucissimi tantum e tanto domum habitantium numero reliqui sunt. Tunc silentium tenentes propter tot mala, et ob nimiam calamitatem paene obmutescentes et tantorum taliumque malorum causam indagantes, propterea quod neglecta Dei cura et spreto nomine Domini omnipotentis idolis se dederint, haec sibi mala, captivitatem nempe aedificiorumque destructionem caesorumque multitudinem, et incolarum paucitatem sibi evenisse, colligent. Deinde quasi confirmaturus, quae modo dixit, ita loquitur:

V. 11. *Propterea ecce Dominus mandat et feriet domum magnam ruinis, et domum parvam scissionibus.* Quasi causam dicens, propter quam adeo laborandum sit in sepeliendis mortuorum cadaveribus e domibus elatis, Deus, inquit, jussit; ideoque quamcumque domum, magnam pariter ac parvam, hanc autem per partes tantum (id enim significat dictio *Scissio-*

[1]) F. l. ἀναλογιοῦνται. — [2]) Leg. πόνος. —

τὸν δὲ τοῖς καθ' ὅλου (τὸ γὰρ, θλάσμασι, τοῦτο δηλοῖ). Οὐ γὰρ τοῦτο λέγει ὅτι τὸν μὲν μέγαν θλάσμασι, τὸν δὲ μικρὸν ῥήγμασι πατάσσει, ἀλλ' ὅτι οὔτε μέγας οἶκος διαφεύξεται τὴν τιμωρίαν, οὔτε βραχὺς, διαφόρως δὲ οἱ μὲν ἐκ μέρους δέξονται τὴν βλάβην, οἱ δὲ κατενεχθήσονται παντελῶς, οἷα δὴ γίνεσθαι πέφυκεν ἐν πολέμῳ καὶ πολιορκίᾳ πολλῇ. Καὶ τὸ τῶν εἰρημένων ἀναντίῤῥητον δεικνὺς, ἐπάγει·

ιβ'. Εἰ διώξονται ἐν πέτραις ἵπποι; Ἀλλ' οὔτε ἵππους τις κατὰ πετρῶν ἐλάσειεν ἂν, ἀλλ' ἔνθα σπεργεῖν [1]) τὸν τόπον συμβαίνει τῷ δρόμῳ τῶν ἵππων, ὅταν [2]) ὑμῖν ἐπεγένετο ταῦτα, εἰ μὴ τὴν αἰτίαν αὐτοὶ παρέσχετε τοῦ τοιαῦτα παθεῖν. εἰ παρασιωπήσονται ἐν θηλείαις; οὐ μὴν οὐδὲ ἐν μέσῳ θηλειῶν ἵπποι γεγονότες ἡσυχίαν ἀγάγοιεν ἂν, παρουσῶν τῶν δέξασθαι τὴν ἐξ αὐτῶν ὁρμὴν οἵων τε οὐσῶν· ὥστε οὐδὲ τοὺς πολεμίους ἡσυχίαν ἀγαγεῖν ἐφ' ὑμῖν δυνατὸν, τὴν ἀφορμὴν διὰ τῆς παρανομίας δεδωκότων ὑμῶν, τοῦ τοιαῦτα γενέσθαι παρ' αὐτῶν εἰς ὑμᾶς. — Ὅτι ἐξεστρέψατε εἰς θυμὸν κρῖμα, καὶ καρπὸν δικαιοσύνης εἰς πικρίαν. Νῦν γὰρ, φησὶν, ἀφ' ὧν δια-

nihus), illam vero prorsus diruet, id quod verbo *Ruinis* indicatur. Non enim, magnam domum se ruinis, scissionibus vero parvam puniturum esse dicit, sed neque magnam neque parvam poenas evitaturam, sed alteram per partes tantum, alteram vero totam dirutam fore, uti in bello et dura oppugnatione fieri soleat. Et ut demonstret, non revocari posse has minas, addit:

V. 12. *Num per rupes equi persequentur?* Neque quispiam inter rupes equos circumegerit, sed in campo equorum cursui commodo, neque vobis talia evenissent, nisi tanti doloris causam ipsi praebuissetis. — *Num inter femineas reticebunt?* Equi inter femineas quietem non agunt, quum adsint quae flagranti eorum cupidini satisfacere possunt. Eadem ratione etiam hostes vos non quietos linquent, quum ipsi per iniquitatem vestram iis talium in vos facinorum ansam dederitis. — *Nam in furorem vertistis judicium, et fructum justitiae in amaritudinem.* Propter facta vestra, inquit, haec patiemini;

[1]) F. l. συνεργεῖν. — [2]) Leg. οὔτε.

πράξασθε πείσεσθε τοιαῦτα, εἰς ὀργὴν συγκινήσαντες τὸν Θεὸν, ὥστε κρῖναί τε καθ' ὑμᾶς, καὶ, ἐπειδὴ δικαίαν εἶδεν ὑφέξοντας τὴν τιμωρίαν τὴν τοσαύτην, ἐπαγαγεῖν ὑμῖν τῶν κακῶν τὴν πικρίαν. — Λέγει δὲ πάλιν καὶ τὰ παρ' αὐτῶν οὐ δεόντως γινόμενα, ὑπὲρ ὧν δὴ τὰ προῤῥηθέντα ἐπελεύσεται αὐτοῖς κακά.

ιγ'. Οἱ εὐφραινόμενοι ἐπ' οὐδενὶ λόγῳ ἀγαθῷ, οἱ λέγοντες· οὐκ ἐν τῇ ἰσχύι ἡμῶν ἔχομεν κέρατα; Ταῖς μὲν γὰρ τῶν προφητῶν συμβουλαῖς προσέχειν οὐκ ἐθέλετε ὑπομιμνησκόντων ὑμᾶς ἁμαρτάνοντας, καὶ ἐπαναγόντων ἐπὶ τὸ δέον· τῇ δὲ οἰκείᾳ δυνάμει λογισάμενοι τὸ πάντοτε πάντων κεκρατηκέναι τῶν ἐχθρῶν ἐν οὐδενὶ τῶν ἀπειλουμένων τίθεσθε τὴν βαρύτητα, ὡσὰν ἀρκοῦντες καὶ νῦν ἀντιστῆναι τοῖς πολεμίοις. Τί οὖν;

ιδ'. Διότι ἰδοῦ, ἐγὼ ἐπεγείρω ἐφ' ὑμᾶς, οἶκος Ἰσραὴλ, φησὶ κύριος ὁ Θεὸς στρατιῶν, ἔθνος, καὶ ἐκθλίψουσιν ὑμᾶς, τοῦ μὴ εἰσελθεῖν εἰς Αἰμὰθ, καὶ ἕως τοῦ χειμάῤῥου τῶν δυσμῶν. Ὑπὲρ δὴ ταύτης ὑμῶν, φησὶ, τῆς γνώμης ὁ πάντων τῶν ἁπανταχοῦ δυνατῶν κύριος ἐπεγερεῖ τοὺς πολεμίους ὑμῖν μεγίστην ἐπάξοντας τῶν κακῶν τὴν πεῖραν ὡς ἀπὸ Αἰμὰθ (λέγει δὲ τόπον ὁρίων

Dei enim iram excitastis; et ipse judicium in vos habebit, et quoniam justam vos passuros esse poenam intellexit, tantam miseriarum amaritudinem vobis immittet. — Jam vero etiam impia eorum facinora nominat, quorum caussa praedicta mala iis perferenda forent.

V. 13. *Qui laetamini de nullo bono verbo, dicentes, Nonne in fortitudine nostra cornua habemus.* Prophetarum quidem, peccata vestra objurgantium et ad justum reducere studentium consilia accipere nolentes, et e propriis viribus priores de hostibus vestris victorias derivantes, minas gravissimas nihili facitis, etiamnum devincendis adversariis pares vos esse putantes. Quid igitur?

V. 14. *Propterea ecce, ego excitabo contra vos, domus Israelis, inquit Deus, exercituum Dominus, gentem, quae vos premat, ne introeatis Ematham usque ad torrentem occidentis.* Propter hanc perversam vestram opinionem, inquit, qui est omnium ubique potentium Dominus hostes contra vos excitabit, qui tantis vos calamitatibus affligent, ut inde ab

προκείμενον τῶν αὐτοῖς προσηκόντων) ἄχρι πέρατος τῶν ὁρίων ὑμῶν ἅπαντας περισχεῖν τὸ κακόν· λέγει γοῦν ἐν ταῖς βασιλείαις περὶ Ἱεροβοὰμ τοῦ Ἰωᾶς, ἐφ' οὗπερ καὶ ὁ προφήτης γέγονεν οὗτος [1]). „Ἀπεκατέστησε τὸ ὅριον Ἰσραὴλ ἀπὸ εἰσόδου Αἰμὰθ ἕως τῆς θαλάσσης τῆς πρὸς ἑσπέραν,“ ὡς δῆλον εἶναι ὅτι πέρατα τῶν Ἰσραηλιτικῶν ὁρίων ἦν τὰ ταῖς ὀνομασίαις δηλούμενα ταύταις· βούλεται γὰρ εἰπεῖν, ὅτι ἐκεῖθεν ἀρξάμενον τὸ κακὸν πάντας ὑμᾶς ἐπελεύσεται, ὡς μηδενὸς δυνηθέντος τῶν πολεμίων τὰς χεῖρας διαφυγεῖν, ἐξ αὐτῶν τῶν πραγμάτων αἴσθησιν ὑμᾶς λαβεῖν, ὅτι οὔτε πρότερόν τι κατὰ τῶν πολεμίων δίχα τῆς θείας ἰσχύσατε ῥοπῆς, καὶ νῦν ἐν τοσαύτῃ πείρᾳ κατεστήσατε κακῶν, ἐπειδὴ τῆς αὐτοῦ βοηθείας ἔξω γεγόνατε.

Τούτοις ἀποκάλυψιν προστίθησιν, ἣν εἶδεν ὁ προφήτης, εἰς βεβαίωσιν τῶν εἰρημένων.

Ematha (locum vero appellat ante fines eorum situm) usque ad extremos fines vestros omnes a calamitate teneamini. Legimus autem in libris Regum de Jeroboamo et Joaso, cujus tempore etiam vixit Amosus: „Patuerunt fines Israelis inde ab Ematha usque ad mare occidentale;“ unde patet istis nominibus totam Israelitici regni terram indicari; dicere enim vult propheta: inde initium capiens malum ad omnes penetrabit, neque quisquam hostium manus effugere poterit; ita ut re ipsa edoceamini, vos antea non absque divina ope contra hostes quidquam effecisse, et nunc in tanta incidisse mala, quia ejus auxilio destituti sitis.

His jam aliam, quam acceperat propheta, revelationem ad priora confirmanda adjicit.

Κεφάλαιον Ζ'.

α'—γ'. *Οὕτως ἔδειξέ μοι Κύριος, καὶ ἰδοὺ ἐπιγονὴ ἀκρίδων ἐρχομένη ἑωθινή, καὶ ἰδοὺ, βροῦχος εἷς, Γὼγ ὁ βασιλεύς. καὶ ἔσται, ἐὰν συντελέσῃ τοῦ φαγεῖν τὸν*

Caput VII.

V. 1—3. *Haec mihi ostendit Dominus; ecce enim foetus locustarum venit, et bruchus unus, Gog rex. Et erit, quando pabulum terrae omnino devoraverit. Et dixi:*

[1]) 4 Reg. XIV, 25.

χόρτον τῆς γῆς. Καὶ εἶπον· Κύριε, Κύριε, ἵλεως γενοῦ! τίς ἀναστήσει τὸν Ἰακώβ, ὅτι ὀλίγος ἐστί; μετανόησον, Κύριε, ἐπὶ τούτῳ. Καὶ τοῦτο οὐ μὴ γένηται, λέγει Κύριος. Τεθεᾶσθαι γὰρ ἀκρίδων τε καὶ βρούχων λέγει πλῆθος, ὧν τὸ μὲν τὸν Ἀσσυρίον, τὸ δὲ τὸν Βαβυλώνιον ἐδήλου, ὡσὰν ἐπελευσομένων τε καὶ ἀφανιούντων ἅπαντα ἀκρίδος τε καὶ βρούχου δίκην. Ἀλλ' ὡς εἶδον, φησὶ, τὸ πλῆθος αὔταρκες ὂν, ἅπαντα ἀφανίσαι τὸν ἐκ τῆς γῆς ἀναδιδόμενον καρπὸν, προπεσὼν, φησὶν, ᾔτησα συγγνώμην δοθῆναι τοῖς πταίσμασι τοῖς ἡμετέροις, ὁρῶν μὲν τῶν ἀπολομένων τὸ πλῆθος, ὁρῶν δὲ τῶν περιλειφθέντων τὴν ὀλιγότητα, ἀνέλπιστον δὲ λοιπὸν ἡγουμένοις [1]) καὶ τῶν μεμενηκότων τὴν σωτηρίαν, εἰ μὴ θεὸς ἵλεως τοῖς ἁμαρτήμασι γεγονὼς τοῖς ἡμετέροις, ἐπὶ τὸ κρεῖττον μεταβάλοι τὰ πράγματα. Οὐκ ἐδέξατο δὲ, φησὶ, τὴν δέησιν ταύτην ὁ θεὸς, ἐπειδὴ μείζονα ἱλασμοῦ τῶν ἁμαρτηθέντων αὐτοῖς ἡγεῖτο τὸ πλῆθος. Οὐ χρὴ δὲ θαυμάζειν, εἰ εἶπε, Γὼγ ὁ βασιλεὺς, ἐπειδὴ καὶ Ἀσσυρίοις πρότερον καὶ Βαβυλωνίοις μετ' ἐκεῖνο πολλοὶ καὶ τῶν Σκυθικῶν ἐθνῶν συνέπραττον εἰς

Domine, Domine, ignosce quaeso! Quis Jacobum eriget, nam exiguus est! Poeniteat te Domine hujus. At, hoc non fiet, dicit Dominus. Conspexisse se dicit, locustarum et erucarum multitudinem, quarum illae Assyrios, hae vero Babylonios significant, quos locustae et erucae instar adventuros omniaque deleturos esse praedicit. At quum hanc multitudinem, inquit, viderem satis ingentem, quae omnem fructum terra genitum devoraret, procumbens orabam, ut peccatis nostris misericordia daretur; videbam enim et deletorum multitudinem paucitatemque servatorum, nec minus, iis qui superstites manserint nullam salutis spem esse intelligebam, nisi Deus peccatis nostris propitius factus res nostras ad meliorem reduxerit statum. At non admisit hanc orationem Deus, quum peccatorum eorum numerus misericordiam superaret. Non mirum autem est, si dixit, Gogus rex, quum et primum Assyriis Babyloniisque deinde Scythicarum multae gentium socii essent belli, qua-

1) F. l. ἡγούμενος.

τὸν πόλεμον, ὥνπερουν ἐβασίλευεν ὁ Γὼγ, οὗπερ ἐμνημόνευσεν, οὐχ ὡς ἄρχοντος τοῦ πολέμου τότε, ἀλλ' ὡς τοῖς ἄρχουσι συμμαχοῦντος. Οὐ γὰρ ἄδηλον ὅτι καὶ ὁ Ἀσσύριος πρότερον ἐθνῶν πολλῶν ἐκράτει, καὶ μετ' ἐκεῖνον ὁ Βαβυλώνιος, οὓς ἅπαντας μετὰ τῶν σατραπῶν τῶν οἰκείων, εἴτ' οὖν βασιλειῶν [1]) οὐκ ἀπεικὸς ἦν καὶ παρεῖναι καὶ συμπράττειν αὐτοὺς τῷ πολέμῳ. Εἶτα πάλιν ἑτέραν ἀποκάλυψιν λέγει.

rum dux erat Gogus; eumque nominat propheta, non quasi ipse belli auctor fuerit, sed quoniam cum belli auctoribus fecit. Constat enim Assyrios primum, deinde vero etiam Babylonios multarum gentium imperium tenuisse, quae cunctae cum satrapis vel regulis suis in bello praesto esse eosque adjuvare debuerunt: — Deinceps aliam rursus dicit revelationem.

δ'—ς'. Οὕτως ἔδειξέ μοι Κύριος, καὶ ἰδοὺ ἐκάλεσε τὴν δίκην ἐν πυρὶ Κύριος ὁ θεὸς, καὶ κατέφαγε τὴν ἄβυσσον τὴν πολλὴν, καὶ κατέφαγε τὴν μερίδα. Καὶ εἶπον· Κύριε, κύριε, κόπασον δή· τίς ἀναστήσει τὸν Ἰακὼβ, ὅτι ὀλίγος ἐστί; μετανόησον Κύριε ἐπὶ τούτῳ. Καὶ τοῦτο οὐ μὴ γένηται, λέγει Κύριος ὁ θεός. Ἐθεασάμην γὰρ, φησὶ, πάλιν τὸν θεὸν καλοῦντα τὴν δίκην, καθ' ἣν ἅπασι δικάζειν εἴωθε τοῖς ἀνθρωπίνοις, μετὰ ἀκριβείας τε καὶ ἐξετάσεως πολλῆς τὰ κατ' αὐτοὺς οἰκονομεῖν εἰωθώς. Ἐκάλεσε δὲ ἐν πυρὶ, ἐπειδὴ τοιαύτης τιμωρίας ἄξια ἡγεῖτο τὰ πεπραγμένα. Ἀφ' οὗ δὴ, φησὶ, τὸ τῶν Ἰσραηλιτῶν πλῆθος ἀβύσσῳ παρεοι-

V. 4—6. *Haec mihi ostendit Dominus, et ecce vocavit judicium in igne Dominus, qui devoravit abyssum magnam, et comedit partem. Et dixi: Domine, Domine, desine tandem! Quis eriget Jacobum, nam exiguus est! Poeniteat te hujus Domine. At hoc non fiet, inquit Dominus.* Deum, inquit, vidi, judicium advocantem, quo omnia humana judicare solet, omnia diligentissime et accuratissime perscrutatus. In igne autem vocavit id, quoniam ea poena eorum facinora digna habuit. Deinde, quum Israelitarum multitudinem, abysso comparabilem, deleri viderem, rursus conclamabam, ut mala haec aliquan-

[1]) F. l. βασιλέων.

κὸς καταναλισκόμενον ἰδὼν, πάλιν ἐβόησα, γενέσθαι τινὰ μείωσιν αἰτῶν τοῦ καρποῦ [1]). ἀπεψήνατο [2]) δὲ, ἔσεσθαι τοῦτο, θεός. Ἀλλὰ καὶ τρίτην ἀποκάλυψιν λέγει οὕτως·

ζ—ια'. Οὕτως ἔδειξέ μοι Κύριος, καὶ ἰδοὺ ἀνὴρ ἑστηκὼς ἐπὶ τείχους ἀδαμαντίνου, καὶ ἐν τῇ χειρὶ αὐτοῦ ἀδάμας. Καὶ εἶπε Κύριος πρός με· τί σὺ ὁρᾷς Ἀμώς; καὶ εἶπον· ἀδάμαντα. Καὶ εἶπε Κύριος πρός με· ἰδοὺ ἐγὼ ἐντάσσω ἀδάμαντα ἐν μέσῳ λαοῦ μου Ἰσραὴλ, οὐκέτι μοι προσθῶ τοῦ παρελθεῖν αὐτόν. Καὶ ἀφανισθήσονται βωμοὶ τοῦ γέλωτος, καὶ αἱ τελεταὶ τοῦ Ἰσραὴλ ἐρημωθήσονται καὶ ἀναστήσομαι ἐπὶ τὸν οἶκον Ἱεροβοὰμ ἐν ῥομφαίᾳ. Καὶ ἐξαπέστειλεν Ἀμασίας ὁ ἱερεὺς Βαιθὴλ πρὸς Ἱεροβοὰμ βασιλέα Ἰσραὴλ λέγων· συστροφὰς ποιεῖται κατὰ σοῦ Ἀμὼς ἐν μέσῳ οἴκου Ἰσραὴλ, οὐ μὴ δύνηται γῆ ὑπενεγκεῖν πάντας τοὺς λόγους αὐτοῦ. διότι τάδε λέγει Ἀμώς· ἐν ῥομφαίᾳ τελευτήσει Ἱεροβοὰμ, ὁ δὲ Ἰσραὴλ αἰχμάλωτος ἀχθήσεται ἀπὸ τῆς γῆς αὐτοῦ.

tum minuerentur orans. Sed Deus id fieri abnuit. Jam tertiam addit revelationem ita factam:

V. 7—11. *Haec mihi ostendit Dominus, et ecce vir stabat in muro adamantino, et in manu adamantem tenebat. Et Dominus mihi dixit: Quid vides Amose? Et respondi: Adamantem. Et dixit mihi Dominus: Ecce injicio adamantem in medium populum meum Israelem. Non amplius enim eum praeteribo; sed vastabuntur arae irrisionis, et religiones Israelis destruentur; et domum Jeroboami gladio persequar. Et Amasias sacerdos Bethelensis misit ad Jeroboamum Israelis regem, indicans: Amosus perturbationem medio in populo Israelis contra te excitat; nec terra omnes ejus sermones tolerare potest. Nam haec dicit iste: Gladio peribit Jeroboam, Israel autem captivus e terra sua abducetur.* Ostendit mihi, inquit, aliquem in adamantino muro stantem adamantemque in manu tenentem. Hoc erat indicium,

[1]) F. l. κακοῦ. — [2]) Aut legendum ἀπέφησε; aut, quod melius videtur, ἀπεφήνατο δὲ μὴ ἔσεσθαι τοῦτο etc.

Ἔδειξε γάρ μοί τινα, φησὶν, ἐπ' ἀδαμαντίνου τείχους ἑστῶτα, ἔχοντα ἐπὶ τῆς χειρὸς ἀδάμαντα. ἦν δὲ ταῦτα σημεῖα τοῦ στεῤῥὰν καὶ ἄλυτον ἐξενηνέχθαι κατὰ τῶν Ἰσραηλιτῶν παρὰ θεοῦ τὴν ἀπόφασιν, ἅτε τοῦ ἀδάμαντος τῇ στεῤῥότητι τὰ λοιπὰ νικῶντος. Μετὰ πάσης τοίνυν, φησὶ, τῆς στεῤῥότητος ἐπάξω τῷ λαῷ τὰ κακὰ, οὐκέτι παρατρέχειν αὐτοῦ τὰς παρανομίας ἀνεχόμενος· ἀφανισθήσονται δὲ καὶ οἱ βωμοὶ πάντες, ἐν οἷς ἐπὶ τῇ τῶν εἰδώλων θεραπείᾳ τὴν ἡδονὴν ἐκαρποῦντο. Καὶ πάντα δὴ, φησὶ συντόμως, ἐρημίᾳ παραδοθήσεται, ὁπόσα νῦν παρ' αὐτῶν ἐπὶ θρησκείᾳ τῶν δαιμόνων πληροῦται· καὶ δὴ καὶ πᾶσαν τοῦ βασιλεύοντος νῦν ὑμῶν Ἱεροβοὰμ ἀφανιῶ τῷ πολέμῳ τὴν δύναμιν. Ἔοικε δὲ οἶκον Ἱεροβοὰμ ἐνταῦθα τὴν βασιλείαν ἅπασαν λέγειν ἐκ τοῦ κρατοῦντος ἅπαν σημήνας τὸ ἔθνος, δήλου γε ὄντος, ὡς ἐν τοῖς μετὰ τὸν Ἱεροβοὰμ χρόνοις ἡ τῶν Ἀσσυρίων ἔφοδος γέγονε κατὰ τοῦ Ἰσραήλ. Τοιαῦτα δὴ τοῦ προφήτου μεμηνυκότος ἐπελεύσεσθαι τῷ ἔθνει τοῦ Ἰσραὴλ, ὑπὲρ ὧν ἠσέβουν τε καὶ παρενόμουν ποικίλων [1]), Ἀμάσιας ὁ ἐν Βαιθὴρ [2]) ἱερατεύων καὶ τῆς τοσαύτης ἀσεβείας ἡγούμενος παντὶ τῷ λαῷ,

Dei contra Israëlitas minationes certissimam firmumque exitum habituras; adamas enim omnia firmitate antecellit. Firmo igitur, inquit, animo mala populo immittam, neque impietates ejus amplius praetermittam. Omnes, quibus idolis sacra faciendo gaudebant, arae destruentur, et omnia, quibus nunc ad colendos daemones utuntur, plane delebuntur; imo et Jeroboami potentiam, qui nunc vobis imperat, bello exstinguam. Jeroboami domum hic universum regnum istud appellare videtur propheta, totius populi significatione a duce ejus desumta; nam Jeroboami temporibus Assyrios Israelitarum regnum invasisse notum est. — Postquam autem talia propter varia sua peccata et impie facta populo Israelitarum eventura esse, propheta indicaverat, Amasias, qui Bethele munere sacerdotali fungebatur, et impietatis tantae universae nationi quasi auctor erat et princeps, cognita (prolixius autem haec depingit propheta) plerorumque in honore idolis tribuendo negligentia,

[1]) F. l. ποικίλως. — [2]) L. Βαιθήλ.

συνιδὼν (ὡς ἐπιπλέοντα ταῦτα[1]) παρὰ τοῦ προφήτου λεγόμενα) ἀμελεστέρους εἶναι περὶ τὴν τοῦ εἰδώλου θεραπείαν παρασκευάσει τοὺς πλείστους, ἅτε τῷ φόβῳ προκατεχομένους τῶν μηνυομένων παρὰ τοῦ προφήτου, πειρᾶται μὲν αὐτὸν βασιλέα Ἱεροβοὰμ ἐπὶ τὸν προφήτην παροξῦναι, ὡς πλεῖστα ὅσα κατά γε αὐτοῦ καὶ πάσης αὐτοῦ λέγοντος τῆς βασιλείας, καὶ ὅτι μηδὲ τὴν ἀκοὴν οἷόν τε ὑπενεγκεῖν τοῦ μεγέθους τῶν ἀπολουμένων[2]) ἔσεσθαι παρ᾽ αὐτοῦ· μηνύει γὰρ θάνατον τοῦ βασιλέως, αἰχμαλωσίαν δὲ παντὸς τοῦ λαοῦ. Ἦν δὲ τὸ περὶ τοῦ βασιλέως προδήλως ψευδές, ἐπεὶ μηδὲ εἴρητό πού τι τοιοῦτο τῷ προφήτῃ· συνέπλεξε δὲ ὅμως αὐτὸ τῇ περὶ τὸν λαὸν ἀποφάσει, ὡς ἂν τούτῳ μᾶλλον παροξύνειε τὸν βασιλέα. ὡς δὲ οὐκ ἔσχε τὸν βασιλέα πειθόμενον ὁ Ἀμασίας δείσαντά τι κατὰ τοῦ προφήτου ποιῆσαι κακόν, ἀφ᾽ ὧν ἐγνώκει παρά τε Ἡλίου καὶ Ἐλισσαίου προφητευόντων τε ἤδη καὶ γεγονότων, καὶ μάλιστα ἐπειδὴ γνώμῃ τοῦ Ἐλισσαίου Ἰηοῦ τὸν προπάτορα τὸν ἑαυτοῦ ἐπ᾽ ἐκδικίᾳ τῆς Ἰεζαβέλ τε καὶ Ἀχαὰβ παρανομίας παρεληλυθότα εἰς τὴν βασιλείαν ἠπίστατο, ἢ καὶ εἰς αὐτὸν ἐλήλυθεν ἀπὸ τῶν πρὸς

ut qui eventum a propheta praedictum timerent, Jeroboamum regem in prophetam exasperare studuit, tanquam si permulta contra ipsum totumque ejus regnum locutus esset, et ne audiendo quidem tolerari posse illius minationes de ingenti calamitate futura; namque et regis mortem et universi populi captivitatem eum praedicere. Quod vero attinet de rege vaticinium id falsam esse patet, quum nusquam propheta tale aliquid dixerit; sed Amasias hoc commentum cum minationibus de populo factis conjunxit, ut eo facilius regem incitaret. Neque tamen Amasiae rex morem gessit; namque timuit prophetam ullo modo male tractare, id quod ab Elia et Elisaeo, qui antea jam prophetaverant, didicerat, inprimis autem, quum Elisaeo auctore Jehum, avum suum ad puniendam Jesabelis et Achabi nequitiam ad regnum pervenisse sciret, vel quum et ipse de promissionibus illi a Deo factis accepisset. — Deinde ipse Amasias pro solita

[1]) F. l. ὡς ἐπιπλέον τὰ τοιαῦτα. — [2]) F. l. ἀπειλουμένων.

ἐκείνου γεγενημένων ἐπαγγελιῶν παρὰ τοῦ Θεοῦ, αὐτὸς λοιπὸν τῇ οἰκείᾳ αὐθαδείᾳ πρὸς τὸν Ἀμὼς ὁ Ἀμασίας φησίν·

ιβ. ιγ. Ὁ ὁρῶν, βάδιζε, ἐκχώρισον [1]) σὺ εἰς γῆν Ἰούδα καὶ ἐκεῖ καταβίου, καὶ ἐκεῖ προφητεύσεις· εἰς δὲ Βαιθὴλ οὐκέτι προσθήσεις τοῦ προφητεῦσαι, ὅτι ἁγίασμα βασιλέως ἐστὶ, καὶ οἶκος ἐστι βασιλείας. Εἰρωνικῶς ἔφη, ὁ ὁρῶν· ἐπειδὴ γάρ οὕτως ἐκαλοῦν τοὺς προφήτας ὡς ἐξαιρέτους τινὰς ὄψεις κατ' ἐνέργειαν θείαν δι' ἀποκαλύψεως ὁρῶντας· καθὰ καὶ ἐν ταῖς βασιλείαις φησίν [2]), „ὅτι τὸν προφήτην ἐκάλει ὁ λαὸς ἔμπροσθεν ὁ Βλέπων," εἰρωνικῶς ἔφη τὸ, ὁ ὁρῶν, ἀντὶ τοῦ, ὁ ταῦτα ἐπαγγελλόμενος· ἄπιθι δὴ ἐντεῦθεν εἰς τὴν Ἰούδα γῆν, ἐν ᾗ δὴ χώραν ἕξει σοι ταῦτα λεγόμενα, τῶν δὲ ἐνταῦθα τόπων ἀπόσχου, ἐπειδὴ ἀφώρισται πάντα τὰ ἐνθάδε τῇ τοῦ Ἰσραὴλ βασιλείᾳ, καὶ οὐ θεμιτόν σοι ἐκ τῆς Ἰούδα φυλῆς ὄντι ἐνταῦθα παρεῖναί τε καὶ λέγειν τὰ δοκοῦντα, διαταράττειν τε τὴν βασιλείαν οὕτω τὴν παρ' ἡμῶν. Πρὸς ἃ δὴ ὁ προφήτης κατὰ θείαν ἀποκάλυψιν ἀπεκρίνατο ταῦτα·

ιδ. Οὔτε προφήτης ἤμην,

sua audacia ad Amosum ita loquitur:

V. 12. 13. *Abi, o vates, fuge in terram Judaicam et ibi vitam age, ibique vaticinare. Bethele vero noli amplius vaticinari, regis enim sacellum est domusque regni.* Ironice eum Vatem appellat; quum ita prophetas nominare solerent, ut qui insignes visiones a divina efficacia sibi revelatas conciperent; unde in Regum libris dicit: „Prophetam populus adstans Videntem appellavit." Ironice igitur voce Vatis utitur, eaque innuit eum, qui ejusmodi res promittit. Abi, pergit, hinc in Judaicam terram, ubi vaticinia tua locum invenient, a nostris autem regionibus abstineas, hic enim omnia Israelis regno sunt addicta, nec tibi e Judae tribu orto hic adesse et quidquid tibi placuerit loquenti nostrum regnum ita perturbare licet. — His autem ex divina revelatione propheta ita respondet:

V. 14. seq. *Neque prophe-*

[1]) Leg. ἐκχώρησον. — [2]) 1 Reg. IX, 9.

οὔτε προφήτου υἱός. οὔτε γὰρ ὡς τέχνην τινὰ μεμάθηκα ταύτην, οὐδ' ὡς κληρονομίαν ἐδεξάμην τοῦτο παρὰ τοῦ πατρὸς, ἐπεὶ χάριτος ἐστὶ τὸ ἔργον θείας, καὶ προσγίνεται οἷς ἂν προσεῖναι βούληται θεός. Ἤμην δὲ αἰπόλος ἐγὼ καὶ συκάμινα κνίζων. ἵνα εἴπῃ, περὶ νομὴν τε αἰγῶν ἀσχολούμενος καὶ δὴ καὶ κατὰ τὸ ἐνδεχόμενον τὴν γῆν γεωργῶν. σύκαμινα μὲν γὰρ ἀντὶ τοῦ σῦκα λέγει, καθὼς καὶ ὁ μακάριος Δαυὶδ φησίν [1]), „ἀπέκτεινεν ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν, καὶ τοὺς συκαμίνους αὐτῶν ἐν τῇ πάχνῃ.“ εὔλογον γὰρ ὅτι μετὰ τῶν ἀμπέλων οὐ συκάμινα, ἀλλὰ συκᾶς ἀπολωλέναι ἐδήλου. Τὸ δὲ κνίζων ἀντὶ τοῦ περισκάλλων λέγει καὶ γεωργῶν. ἠβουλήθη δὲ ἐκ μέρους τῶν συκαμίνων εἰπεῖν, ὅτι τῷ νέμειν αἶγας καὶ πρόβατα καὶ γεωργεῖν προσανεῖχον ἀεὶ, ἀλλά με τῶν προβάτων, φησὶν, ἀποσπάσας ὁ θεὸς (ὡς δῆλον εἶναι, ὅτι αἰπόλος εἶπεν, ὡσὰν κατὰ ταὐτὸν καὶ αἶγας καὶ πρόβατα νέμων) προφητεύειν ἐκέλευσε καὶ μηνύειν ἅπασι τὰ περὶ τὸν λαὸν ἐσόμενα παρ' αὐτοῦ, ἅπερ οὐκ ἐμὸν ἦν εἰδέναι, ἀλλὰ τοῦ διδάσκοντος μόνου θεοῦ. Καὶ εἴς γε ἀπόδειξιν τῆς τῶν εἰρημένων ἀληθείας, ἄκουε δὴ τὰ

ta eram ego, nec prophetae filius, i. e. neque ut artem didici, neque ut hereditatem a patre obtinui prophetiam; sed est ea divinae gratiae opus, et quibuscunque vult Deus impertitur. — *Sed caprarius eram et moros vellicabam* i. e. capras custodivi, et quatenus fieri licuit, agrum colui. Moros enim pro ficubus dicit, sicut etiam beatus David „Grandine, inquit, vitem eorum delevit, et moros eorum pruina;[a] congruum enim est, cum vitibus non moros, sed ficus esse deletas. *Vellicare* autem dicit pro: *Circumfodere* et *colere agrum*. Quod vero moros ait, eo haec dicere vult, antea capris ovibusque custodiendis et agro colendo occupatus eram, sed ovibus Deus me subtrahens (caprarium autem se dicere prophetam patet, licet et oves et capras simul custodiverit) vaticinari me jussit omniaque praedicere, quae ipso auctore eventura essent, quaeque ego scire non potui nisi Deus ea me docuisset. Et, ut vera esse quae dico intelligas, audi quae te ipsum

[1]) Ps. LXXVII, 52.

περὶ ἑαυτοῦ. Αὐτὸς μὲν γάρ μοι κελεύεις, ἀποστῆναι τοῦ προφητεύειν ἐνταῦθα, ὡς ἂν μηδεμοὺς[1]) ἐπὶ τὴν ἀκρόασιν τῶν τοιούτων συλλέγοιμι διδασκαλιῶν· ἴσθι δὴ πάντα γενησόμενα τὰ ῥηθέντα παρ' ἐμοῦ· ἐπελεύσονται γὰρ οἱ πολέμιοι, οἳ πρὸς πολλοῖς ἑτέροις, οἷς ποιήσουσι κακοῖς, καὶ τῇ σῇ γυναικὶ χρήσονται ἐν μέσῃ τῇ πόλει ἀτίμως, ἐξυβρίζοντες εἰς αὐτὴν, οἱ ἐκ σοῦ τε σφαγήσονται πάντες σὺν πολλοῖς ἑτέροις, ἡ προσοῦσά τέ σοι γῆ ἐν μέτρῳ παραδοθήσεται ἑτέροις τοῖς μέλλουσι τὰ ἐνθάδε κατέχειν· τελευτήσεις δὲ αὐτὸς παρ' ἀλλοφύλοις ἀνθρώποις καὶ παρανόμοις (τοῦτο γὰρ λέγει ἐν ἀκαθάρτῳ), εἰς οὓς μετὰ τῶν λοιπῶν αἰχμάλωτος ἀπαχθήσῃ πάντων. — Ταῦτα εἰρηκὼς τὴν ἐπὶ τούτοις αὐτῷ δειχθεῖσαν ἀποκάλυψιν ἐπάγει.

attinent. Tu quidem desistere me jubes a vaticiniis hic edendis, ut scilicet neminem ad audiendas hasce institutiones accersam; sed ne ignores omnia, quae locutus sum, eventum habitura esse firmissimum. Irruent enim hostes, qui praeter multa alia quae committent flagitia, etiam mulieribus tuis media in urbe tua abutentur iisque vim adhibebunt; et filii tui omnes cum multis aliis mactabuntur, terraque tua dimetietur aliisque tradetur, qui eam possidebunt, ipse vero necaberis a peregrinis viris et impiis (hoc indicat verbum Impuro) ad quos cum omnibus caeteris captivus abduceris. — His dictis, revelationem deinceps sibi ostensam addit propheta.

Κεφάλαιον Η'.

α'. Ἔδειξε γάρ μοι, φησὶ, Κύριος, καὶ ἰδοὺ ἄγγος ἰξευτοῦ. Καὶ εἶπε κύριος πρός μέ· τί συ βλέπεις Ἀμώς; καὶ εἶπον ἄγγος ἰξευτοῦ. Ἐδήλου δὲ ἡ ὄψις, ὅτι δίκην ὀρνέου ἰξευτοῦ ληφθέντος τέχνῃ, ἅπας ὁ Ἰσραὴλ ὑπὸ τῶν πολεμίων συλληφθεὶς αἰχμάλω-

Caput VIII.

V. 1. *Ostendit enim mihi Deus, inquit, et ecce vas aucupis. Et dixit mihi Dominus: quid tu vides Amose? et respondi: vas aucupis.* Haec visio, instar avis aucupis arte captae totum Israelis populum ab hostibus correptum captivum abductum iri, de-

[1]) Leg. μηδενάς.

τος ἀπαχθήσεται, οὐδενὸς αὐτοὶ[1]) τῶν κατεχόντων ἀφαιρεῖσθαι οἵου τε ὄντος, ὥσπεροῦν οὐδὲ τὸ ληφθὲν ὑπὸ τοῦ ἰξοῦ στρουθίον ἀποστῆναι δυνατὸν λοιπὸν, ἐπειδὴ παντὸς ἰξοῦ δυνατώτερον ἡ τῶν ἐπιόντων δυναστεία καθέξει τε αὐτοὺς καὶ εἰς τὴν αἰχμαλωσίαν ἀπάξει. ἐπάγει γοῦν

β. γ'. Καὶ εἶπε Κύριος πρὸς μέ· ἥκει τὸ πέρας ἐπὶ τὸν λαόν μου Ἰσραὴλ, οὐκέτι μὴ προσθῶ τοῦ παρελθεῖν αὐτόν. Καὶ ὀλολύξει τὰ φατνώματα τοῦ ναοῦ. Τὴν γὰρ τῶν δειχθέντων εἶπε δύναμιν. ἥκει τοίνυν, φησὶν, ὁ καιρὸς καθ' ὃν τῇ τιμωρίᾳ παραδοθήσονται πάντες, καὶ παύσεται μὲν αὐτῶν ἡ ἐλευθερία καὶ ἡ δύναμις, παύσεται δὲ μετ' ἐκείνων καὶ ἡ ἀσέβεια, καὶ ἡ τῆς ἀσεβείας καὶ ἡ τῆς παρανομίας ἐπιμέλεια πάσης· οὐ γὰρ ἔτι ἀνέξομαι παρατρέχειν αὐτῶν τὰ κακὰ, καὶ ἀνεκδίκητα τοιαῦτα ὄντα ἐᾷν· ἅψηται[2]) μέντοι καὶ τοῦ ναοῦ τὸ κακὸν, ἐπειδὴ σὺν τῇ πάντων ἀπωλείᾳ πυρὶ παραδοθήσεται ἐκεῖνος. Δῆλον δέ ἐστιν, ὃ πολλάκις ἔφην, ὅτι ἐν τῇ μηνύσει τῶν κακῶν κἂν τὰ περὶ τὸν Ἰσραὴλ λέγῃ, ἀλλ' ἐπισυνάπτει καὶ τὰ τῆς Ἰούδα φυλῆς ἐπὶ τῶν Βαβυλωνίων ἐσόμενα, ὅτε δὴ καὶ

signat, neque quemquam eum malis istis eripere posse, sicut etiam passer visco captus effugere nequeat, quum omni visco gravior hostium vis eos oppressura et in captivitatem abductura sit. Et dein pergit:

V. 2. 3. *Et dixit Dominus ad me: venit finis populo meo Israeli; non amplius praeteribo eum. Et ululabunt laquearia templi.* Hic significationem eorum exhibet, quae modo ostensa erant. Venit igitur, inquit, tempus, quo omnes mulctae tradentur, et desinet eorum libertas et potentia, et cum iis desinet impietas, atque impietatis et omnis iniquitatis studium. Non amplius enim eorum flagitia praetermittendo tolerabo, neque impune ea manebunt. Vel templum a calamitate corripietur, quoniam et ipsum cum caeteris igne cremabitur. Quod saepius jam dixi, hic quoque clarum est, etsi propheta quae Israeli instarent mala praedicat, tamen adjungere eum etiam ea, quae Judae tribui per Babylonios eventura es-

[1]) Leg. αὐτόν. — [2]) F. l. ἅψεται.

τὴν Ἱερουσαλὴμ ἁλῶναι καὶ τὸν ναὸν ἐμπρησθῆναι συνέβη. — Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει κύριος, πολὺς ὁ πεπτωκὼς ἐν παντὶ τόπῳ· ἐπιῤῥίψω σιωπήν. Τότε δή, φησί, πολὺς μὲν ἁπανταχοῦ γενήσεται θάνατος, καὶ ἀναρίθμητοι τῶν πιπτόντων ἔσονται αἱ σφαγαί, τῶν μὲν ἀνῃρημένων, τῶν δὲ αἰχμαλώτων ληφθέντων· σιωπὴ δὲ ὑπὸ τῆς ἄγαν ἐρημίας καθέξει τὰ πάντα. Εἶτα πάλιν ὑπόμνησιν τῶν παρανομιῶν, ὧν ἐπετέλουν ποιεῖται.

sent Hierosolyma expugnata temploque combusto. — *Isto die, inquit Dominus, multi prostrati jacebunt, in omni loco: injiciam silentium.* Multi, inquit, tunc ubique accumbent, et innumerabiles erunt prostratorum caedes, et alii necabuntur, alii captivi abducentur. Tunc propter magnam caedem silentium et solitudo ubique regnabunt. Et deinde flagitiorum rursus mentionem facit, quae commiserunt.

δ´—ς´. Ἀκούσατε δὴ ταῦτα οἱ ἐκθλίβοντες εἰς τὸ πρωῒ πένητα, καὶ καταδυναστεύοντες πτωχὸν ἀπὸ τῆς γῆς, οἱ λέγοντες· πότε διελεύσεται ὁ μὴν, καὶ ἐμπολήσομεν, καὶ τὰ σάββατα, καὶ ἀνοίξομεν θησαυροὺς, τοῦ ποιῆσαι μικρὸν τὸ μέτρον καὶ μεγαλῦναι στάθμιον, καὶ ποιῆσαι ζυγὸν ἄδικον, τοῦ κτᾶσθαι ἐν ἀργυρίῳ πτωχοὺς καὶ ταπεινὸν ἀνθ᾽ ὑποδημάτων, καὶ ἀπὸ πάσης πράσεως ἐμπορευσόμεθα; Ταῦτα δή, φησί, πάντων μάλιστα εἰρῆσθαι πρὸς ὑμᾶς νομίσατε, οἳ διαπαντὸς μὲν ἀδίκοις κεχρημένοι δυναστείαις εἰς τὴν τῶν πενήτων ἀδικίαν, ἀναμένοντες δὲ ἑκάστου μηνός τὴν συμπλήρωσιν ἐπὶ τῷ

V. 4—6. *Audite haec, qui mane affligitis pauperes et miseros aboletis de terra, dicentes: Quando praeteribit mensis, ut venumdemus, et sabbata, ut aperiamus thesauros, et minuamus mensuram, augeamus vero pondera, et trutinam fallacem faciamus, ut tenues argento et pauperes ob calceos emamus, et ex omni negotiatione quaestum faciamus?* Haec, inquit, in vos praecipue dicta esse censete, qui semper malis usi artificiis, ut pauperibus injuriam faciatis, cujusvis mensis finem exspectatis, quo injustum foenerationis vestrae quaestum colligatis; etiam sabbata exspectatis, non ut Deum veneremini in iis,

τὰς παρανόμους τῶν οἰκείων δανεισμάτων ἐργασίας συλλέξαι· ἀναμένετε δὲ καὶ τὰ σάββατα, οὐχ ἵνα τῷ Θεῷ ἑορτάσητε ἐν αὐτοῖς, ἀλλ' ἵνα τὴν ἐμπορίαν δαψιλεστέραν ποιήσησθε, ἀποχρησάμενοι τῷ καιρῷ τῆς ἑορτῆς, θησαυρούς τε ἑαυτοῖς ἀδίκους συλλέξητε, μέτρα τε καὶ στάθμια μικρὰ καὶ μεγάλα ποιοῦντες, ὡς ἂν, ἑκατέροις πρὸς τὴν ἑαυτῶν κεχρημένοι καπηλείαν, συλλέξητε ἀργύριον ἐκ τῆς τῶν πενήτων ἀδικίας, λημμάτων μὲν οὐδὲ τῶν εὐτελεστάτων ἀπεχόμενοι (τοῦτο γὰρ λέγει τὸ, ἀνθ' ὑποδημάτων), ἀπὸ παντὸς δὲ συναλλάγματος σκοποῦντες, τί ὑμῖν προσγένηται κέρδος· τοῦτο γὰρ λέγει τὸ, ἀπὸ πάσης πράσεως ἐμπορευσόμεθα. — ζ. Κατὰ δὴ ταύτης ὑμῶν τῆς ὑπερηφανίας (ὑπερηφανίαν γὰρ ὀνομάζει τὴν εἰς τοὺς πένητας ἀδικίαν, ἣν εἰργάζοντο μὴ συλλογιζόμενοι τοῦ Θεοῦ τὴν δίκην) ἀπόφασιν ἐξήνεγκε βεβαίαν ὁ Θεὸς καὶ ἀμετάπτωτον (τὸ γὰρ ὀμνύει κύριος τοῦτο δηλοῖ), ὡς οὐ παραδώσει λήθῃ παντελῶς τὰ παρ' αὐτῶν γινόμενα, μόνον δὲ οὐχὶ πᾶσαν συγκινήσας τὴν γῆν τοσούτοις τῇ τῶν πολεμίων ἐφόδῳ περιβαλεῖ τοῖς κακοῖς, ὥστε πένθει κατέχεσθαι πάντας ἐπὶ τῷ μεγέθει τῆς ἐπελθούσης αὐτοῖς συμφορᾶς. Δίκην γὰρ τοῦ κατὰ Αἴγυπτον ποτα-

sed ut majus etiam faciatis lucrum, festivo abusi tempore ad thesauros corradendos; nec non mensuras et pondera minuitis modo, modo augetis, ut utroque in mercatura dolose usi e pauperum damno pecunias conficiatis; in quo ne vilissimi vos pudet lucri (id enim innuunt verba *Ob calceos*), sed quocunque commercio quaestum facere studentes. id quod indicant verba, *Ut ex omni negotiatione quaestum faciamus.* V. 7. In hanc vestram superbiam (superbiam autem injuriam dicit, quam pauperibus fecerunt), qua Dei judicium nihil curatis, firmissimum et immutabile Deus cepit consilium (hoc indicant verba *Jurat Dominus*). Non enim factorum vestrorum plane immemor erat, sed universa fere terra hostium impetu commota, tanta vobis immittet mala, ut omnes ejulaturi sint propter gravitatem calamitatis, quae eos cepit. Nam fluvii Aegyptiaci instar omnia inundantis rursusque recedentis, hostis vos obruet, omnes perdens vel in suam terram captivos abducens.

μοῦ πλημμυροῦντός τε καὶ πάλιν ὑποχωροῦντος, ἐπελεύσεταί τε ὑμῖν ὁ πολέμιος ἅπαντας ὑμᾶς ἀπολλὺς, καὶ δὴ καὶ λαβὼν αἰχμαλώτους ἐπὶ τὴν οἰκείαν ἀπάξει χώραν.

θ' — ι'. Τότε δὴ, φησὶν, ὁ μὲν ἥλιος ἐν τῷ μεσαιτάτῳ τῆς ἡμέρας ἀφανὴς εἶναι δόξει τοῖς ἐν ἀνάγκαις καθεστῶσι, σκότος δὲ ἅπαντας τοὺς ἐπὶ γῆς δόξει κατέχειν διὰ τὸ μέγεθος τῶν κακῶν. Καὶ τὰς μὲν παρανόμους ἑορτὰς ἀφέντες τῷ πένθει προσέξετε, ἀντὶ δὲ τῶν παλαιῶν ᾀσμάτων θρήνῳ χρήσεσθε πολλῷ, ἀντὶ δὲ τῆς μαλακῆς ἐσθῆτος σάκκον περιθήσεσθε ἐπὶ τῷ πένθει τῶν παρόντων κακῶν· τοῦ δὲ παλαιοῦ κόσμου τῆς κεφαλῆς ἀμελήσαντες, τὴν ἀφαίρεσιν τῶν τριχῶν ὡς ἐν τοσούτοις ὑμῖν ἁρμόζειν οἰήσεσθε τοῖς κακοῖς, ἅπαντές τε, συντόμως εἰπεῖν, ὡς ἐπὶ πένθει μονογενοῦς υἱοῦ ἠγαπημένου διατελέσετε ὑπὸ τῆς κατεχούσης ὀδύνης τῶν περιεχόντων ἑαυτοὺς κακῶν θρηνοῦντες τὸ μέγεθος. Καὶ τὰ ἑξῆς δὲ ἐπὶ τούτοις ἐσόμενα ὡς βαρύτερα δηλῶν ὁ προφήτης.

ια'. Παρέσονται γὰρ, φησὶν, ἡμέραι, ἐν αἷς οὐκ ἐνδείᾳ τροφῆς καὶ ποτοῦ περιπεσεῖσθε μόνον, ἀλλὰ γὰρ τὴν βαρυτάτην ἔνδειαν ὑπομενεῖτε, οὐδεμιᾶς φωνῆς ἀξιούμενοι θείας, τῆς διὰ προφη-

V. 8—10. Tum, inquit, sol medio die evanescere videbitur iis qui necessitatibus premuntur, et tenebrae omnes terram habitantes obtegere videbuntur propter malorum magnitudinem. Tum etiam missis iniquis festis luctui incumbetis, pristinaque vestra cantica in fletus multos mutabitis, et pro mollibus vestimentis lugubrem induetis habitum, dolentes de malis praesentibus. Veteri quoque capitis ornatu neglecto comam tanta in miseria tondendam esse putabitis, et, breviter ut dicam, iis similes eritis omnes, qui unici filii dilecti jacturam lugent, magnitudinem eorum, quae vos premunt malorum, deplorantes. Deinde etiam graviora mala ista secutura esse, propheta indicat.

V. 11. seqq. Advenient enim, inquit, dies, quibus non cibi ac potus inopiae solum incidetis, sed etiam gravissimam inopiam patiemini, nullo divino sermone digni ha-

τῶν εἰωθυίας γίνεσθαι ἐπὶ ψυχαγωγίᾳ τῶν ἐν δεινοῖς καθεστώτων. Λέγει δὲ τὸ καὶ παρὰ τῷ μακαρίῳ ῥηθὲν Ὠσηὲ τῷ προφήτῃ [1]), ὅτι καθίσονται οἱ υἱοὶ Ἰσραὴλ οὐκ ὄντος βασιλέως, οὐδὲ ὄντος ἄρχοντος, οὐδὲ οὔσης θυσίας, οὐδὲ ὄντος θυσιαστηρίου, οὐδὲ ἱερατείας, οὐδὲ δήλων· ἐν οἷς σημαίνει τὸ μετὰ τὴν αἰχμαλωσίαν τὴν ἐν Βαβυλῶνι γενομένην ἅπαντα αὐτῶν ἀφαιρεθῆναι ταῦτα. Τὸ αὐτὸ δὴ καὶ νῦν ὁ προφήτης δηλοῖ· ὅτε παραδοθήσεσθε τοῖς κακοῖς, τότε τοὺς προφήτας ἐπιζητεῖτε ὧν νῦν ἀμελεῖτε, καὶ ἐπιθυμοῦντες μαθεῖν, εἴ τινα μεταβολὴν ἐπὶ τὸ κρεῖττον δέξεται τὸ καθ' ὑμᾶς. — Σαλευθήσεται γάρ, φησί, τὰ ὕδατα ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ βοῤῥᾶ ἕως ἀνατολῶν περιδραμοῦνται ἐπιζητοῦντες τὸν λόγον κυρίου, καὶ οὐ μὴ εὕρωσιν αὐτόν. ἵνα εἴπῃ, ὅτι πᾶν τὸ πλῆθος ἐκεῖνο τοῦ Ἰσραὴλ τὸ ἄπειρον ποικίλως διαταραχθήσεται, ἁπανταχοῦ ζητοῦν εἴ που τις προφήτης φανεῖται κατὰ γνώμην θεοῦ, μηνύων αὐτοῖς τὰ ἐσόμενα· οὔπερ οὖν οὐ τεύξονται τότε. Εἶτα, φησίν, ἀφανισθήσεται παντελῶς πᾶν, ὅ, τι κάλλιστον ὑμῖν φαίνεται

biti, qui per prophetas fieri solebat ad consolandos eos, qui malis urgebantur. Idem innuit et illud beati Hoseae dictum: „Sedebunt filii Israelis rege carentes et principe et sacrificiis et aris, et sacerdotio et revelatione,“ quibus indicat, post captivitatem Babylonicam omnibus istis eos privatos fore. Idem etiam nunc propheta innuit. Quando, inquit, malis incideritis, tunc prophetas nunc spretos a vobis quaeretis, ab iis num forte res vestrae in melius se mutaturae sint discere cupientes. *Commovebuntur enim, inquit, aquae ab uno mari usque ad alterum, et a septentrione usque ad orientem discurrent verbum Dei quaerentes, nec invenient.* id est, Omnis ista immensa Israelitarum multitudo multifariam perturbabitur, ubique quaerens, an forte propheta ex Dei consilio prodeat, qui iis futura praedicat, quin participes ejus fiant. Tunc, inquit, quidquid nunc vobis pulcherrimum atque omni studio dignum videtur, delebitur. Interibunt quae nunc summa cum

[1]) Hos. III, 4.

νῦν καὶ σπουδῆς ἄξιον· ἀπολοῦνται μὲν γὰρ αἱ μετὰ πολλῆς ἐπιμελείας νῦν παρθενευόμεναι παρ' ὑμῖν, ἀπολοῦνται δὲ καὶ οἱ ἐπὶ νεότητι μάλιστα θαυμαζόμενοι. Πείσεσθε δὲ ταῦτα ὑπὲρ τίνος;

ιδ'. *Οἱ ὀμνύοντες κατὰ τοῦ ἱλασμοῦ Σαμαρείας, καὶ λέγοντες· ζῇ ὁ θεὸς Δὰν, καὶ ζῇ ὁ θεός σου Βερσαβεέ· καὶ πεσοῦνται, καὶ οὐ μὴ ἀνίστωσιν ἔτι.* Ὑπὲρ ὧν ἀφέντες θεὸν τὸν τοῦ παντὸς κύριον τὰ ἐν Σαμαρείᾳ εἴδωλα θεραπεύειν ἔσπευδον καὶ ταῦτα ἐκάλουν θεοὺς, ὑπὲρ τούτων πεσοῦνται πτῶμα ἀδιόρθωτον παντελῶς. Εἶτα πάλιν ἀποκάλυψιν ἑτέραν λέγει.

Κεφάλαιον Θ'.

α'. *Εἶδον τὸν Κύριον ἐφεστῶτα ἐπὶ τοῦ θυσιαστηρίου, καὶ εἶπε· πάταξον ἐπὶ τὸ ἱλαστήριον, καὶ σεισθήσεται τὰ πρόπυλα, καὶ διάκοψον εἰς κεφαλὰς πάντων· καὶ τοὺς καταλοίπους αὐτῶν ἐν ῥομφαίᾳ ἀποκτενῶ, οὐ μὴ διαφύγῃ ἐξ αὐτῶν φεύγων, καὶ οὐ μὴ σωθῇ ἐξ αὐτῶν ἀνασωζόμενος.* Ἐθεασάμην γὰρ, φησὶν, ἐφεστῶτα μὲν πρὸ τοῦ θυσιαστηρίου τὸν θεὸν, δηλονότι τοῦ ἐν Ἱερουσαλὴμ, λέγοντα δέ μοι· πλῆξαι τὸ ἱλαστήριον, ἵνα εἴπῃ τὸ θυσια-

diligentia virginitatem suam servant apud vos, interibunt quoque, qui propter juventutem nunc maxime celebrantur. Patiemini autem haec qua de causa?

V. 14. *Qui jurant per propitiationem Samariae, et dicunt: Vivat Deus tuus, Dan, et vivat deus tuus, Bersabea! Cadent, neque unquam resurgent.* Propterea quod relicto Deo omnium domino, Samariae idola venerari studuerunt, eaque Deos vocarunt, ideo cadent nunquam surrecturi.

Deinde aliam rursus revelationem prodit propheta.

Caput IX.

V. 1. *Vidi Dominum stantem super altare. Et mihi dixit: Percute expiatorium, ut commoveantur vestibula, et disseca in capita omnium; reliquos vero eorum gladio conficiam, nec quisquam ex iis effugiet, qui fugerit, nec salvus erit, qui evaderit.* Conspexi, inquit, Deum stantem ante aram, scilicet eam quae est Hierosolymae. Tunc mihi dixit: Percute *expiatorium*, id est, *aram*, quam expiatorium appellat, quoniam sacrificia expiandi causa fiunt.

στήριον. ἱλαστήριον γὰρ αὐτὸ καλεῖ, ὡς ἐπὶ ἱλασμοῖς τῶν θυσιῶν ἐπαγομένων. Ἦν δὲ τὸ κελευσθῆναι πατάξαι τὸν προφήτην, σημεῖον τοῦ πληγήσεσθαί τε αὐτὸ καὶ πείσεσθαι [1]· ἐπάγει γοῦν· καὶ σεισθήσεται τὰ προπύλαια, ἵνα ἐκ μέρους εἴπῃ, ἅπας ὁ ναὸς διασαλευθήσεται ἅμα τῇ πληγῇ ταύτῃ, ἐπείπερ ἀνάγκη ἦν κοινωνεῖν τῆς βλάβης τοῦ θυσιαστηρίου τὸν οἶκον ὅλον. Σημεῖά τε, φησὶν, ἐνθές τινα ταῖς ἁπάντων κεφαλαῖς, ὡς ἂν εἴη γνώρισμα τοῦ ἐντεῦθεν ἤδη κατασεσημάνθαι πάντας, ὡς παραδοθησομένους μὲν τῇ ἀπωλείᾳ, οὐδενὸς δὲ διαφευξομένου τὸν κίνδυνον ἐκεῖνον. Ὡς γὰρ ἐν τῇ Αἰγύπτῳ σημεῖον δέδωκε τὸ ἐπὶ τῶν φλιῶν τοῦ αἵματος εἰς διάκρισιν τῶν τε ἀπολλυμένων καὶ τῶν σωζομένων, οὕτως ἐνταῦθα κελεύει σημεῖον αὐτόν τι ἐπὶ τῆς κεφαλῆς τῆς ἁπάντων ποιῆσαι κατὰ τὴν ἀποκάλυψιν τὴν θείαν, εἰς ἀπόδειξιν τοῦ πάντας παραδεδόσθαι τῷ θανάτῳ· οὗπερ καὶ βεβαίωσιν ἐπάγει.

β′—ε′. Ὅτι κἂν εἰς τὸν ᾅδην κατενεχθῶσιν, ἐκεῖθεν αὐτοὺς ἀνελῶ, κἂν εἰς τὸν οὐρανὸν ἀνελθῶσιν, ἐκεῖθεν αὐτοὺς κατάγω, κἂν εἰς τὰς διαδύσεις κρυβῶσι τοῦ Καρμὴλ (ἵνα εἴπῃ τῶν ὄρων,

Quod vero propheta percutere aram jubebatur, id indicium erat, eam percussum iri et dirutum. Deinde addit: *Ut commoveantur vestibula;* quibus verbis ex parte totum significat; totum enim, inquit, templum simul hoc ictu percutietur; namque universam aedem detrimenti, quod ara cepit, participem esse oportuit. Et deinde, Signa quaedam, ait, omnium capitibus imponas, eoque indices, eos jam notatos esse ut tales, qui perniciei tradendi sint et periculum istud nullo modo effugere possint. Nam sicut in Aegypto signum dederat, nempe sanguinem postibus adspersum, quo qui interitui destinati erant, a servandis discernebantur, ita hic prophetam super capite omnium secundum divinam revelationem signum ponere jubet, ut ex eo, omnes leto destinatos esse, cognoscatur. Id quod in sequentibus confirmat.

V. 2—5. Etiamsi, inquit, ad inferos descenderint, illic eos interimam, et quamvis in coelum ascenderint, inde eos detrudam; etiamsi in latebris Carmeli (i. e. montium, nam

[1]) F. l. πεσεῖσθαι.

ἐκ μέρους λέγων τὸ πᾶν), ἀνιχνεύσας αὐτοὺς πάντας παραδώσω τῇ αἰχμαλωσίᾳ, κἂν ἐπὶ τὸ βάθος ἀπέλθωσι τῆς θαλάσσης, διὰ τῶν ἐκεῖθεν αὐτοὺς ἀπολῶ θηρίων· καὶ μετὰ τὸ πλῆθος δὲ τῶν κακῶν, ὧν πείσονται πάντες εἰς αἰχμαλωσίαν ἀπαχθέντες, ἐκεῖ κατὰ τὴν ἐντολὴν τὴν ἐμὴν ἀπολοῦνται ὡς εἰκός. Οἷς ἐπάγει· Καὶ στηριῶ τοὺς ὀφθαλμοὺς εἰς κακὰ καὶ οὐκ εἰς ἀγαθά. ἀντὶ τοῦ ἐπιμενῶ προσέχων αὐτοῖς, οὐχ ὥστε τινὸς αὐτοῖς ἀγαθοῦ μεταδοῦναι, ἀλλ' ὥστε εἰς παντοίαν αὐτοὺς καταστῆσαι πεῖραν κακῶν· ἐπειδήπερ τοιούτων ἑαυτοὺς ἀξίους διὰ τῶν ἔργων ἀπέφηναν τῶν οἰκείων. Ἔστι γάρ, φησὶ, θεὸς ὁ τοῦ παντὸς ποιητής τε καὶ κύριος, ὃς ἅπασαν μὲν αὐτάρκης σαλεῦσαι τὴν γῆν διὰ μόνης ἁφῆς· τὸ αὐτὸ δὲ τοῦτο καὶ κατὰ τῆς γῆς ἐργάσεται ταύτης, ἀποφάσει τινὶ πᾶσαν αὐτὴν σαλεύων καὶ πρὸς ἐρημίαν πολλὴν καθιστὰς, ὡς πένθει πάντας κατασχεθῆναι τοὺς οἰκοῦντας αὐτὴν, ἐπειδὴ δίκην τοῦ κατ' Αἴγυπτον ποταμοῦ ἐπελθὼν αὐτοῖς ὁ πολέμιος πολλοὺς ἀνελεῖ καὶ παρασύρας εἰς τὴν αἰχμαλωσίαν ἀπάξει τοὺς λοιπούς. Εἶτα εἰς βεβαίωσιν τῶν εἰρημένων

ϛ'. Ὁ οἰκοδομῶν εἰς τὸν οὐρανὸν τὴν ἀνάβασιν αὐτοῦ, καὶ τὴν ἐπαγγελίαν

ex parte totum rursus indicat propheta) se absconderint, perscrutatus omnes captivitati tradam, et etiamsi in fundum maris se demerserint, per belluas quae ibi sunt eos interficiam. Et post innumeras quas omnes in captivitatem deducti patientur calamitates, ibi ex voluntate mea justam obibunt mortem. Quibus addit: *Et obfirmabo oculos meos in mala et non in bona.* id est, Non desistam ab iis, neque tamen ut bona iis porrigam, sed ut in omnis generis mala eos immergam, quum operibus suis dignos se esse iis ostenderint. Deus enim, inquit, omnium rerum creator ac dominus, qui tangendo solum universam terram movere potest, idem est, qui etiam nunc idem faciet contra hanc terram, nutu suo eam commovens et in solitudinem pervertens, ita ut omnes ejus incolae lugeant; namque hostis, sicut Aegypti fluvius in eos irrumpens et multos interficiet, et reliquos secum in captivitatem abducet. — Quae ut confirmet, ita pergit:

V. 6. *Qui in coelo exstruit ascensionem suam, et promissionem suam super*

αὐτοῦ ἐπὶ τῆς γῆς θεμελιῶν. Οὗτος, φησὶν, ὁ πάντοτε μὲν ἐν οὐρανῷ δεικνύμενος, οὕπερ ἀνεῖσί τε ἀεὶ καὶ διάγει, πάντων ὑπερκείμενος, ἅπαντα δὲ βεβαιῶν ὁπόσα περ ἂν ἐπὶ γῆς ποιεῖν ἐπαγγέλληται πάντως· οὗτος ὁ τὸ μὲν ὕδωρ τῆς θαλάσσης λαμβάνων καὶ ἐπὶ γῆς ἐκχέων ἁπάσης· τὸ αὐτὸ δὲ καὶ νῦν διαπραττόμενος τὸ [1]) τὸν Ἀσσύριον θαλάσσῃ προσεοικότα τῷ πλήθει ἐπαγαγεῖν τῇ γῇ τῇ ἡμετέρᾳ. Ταῦτα γὰρ ἔργα θεοῦ τοῦ πάντων κυρίου τε καὶ ποιητοῦ. Εἶτα βουλόμενος τὴν ἀγνωμοσύνην αὐτῶν ἐκ τῆς περὶ αὐτοὺς ἐπιδεῖξαι γνώμης τοῦ θεοῦ, ἐπάγει·

ζ΄. Οὐχ ὡς υἱοὶ Αἰθιόπων ἐστέ μοι, υἱοὶ Ἰσραήλ; λέγει Κύριος. Οὐ παραπλησίως Αἰθίοψιν ἐθέμην ὑμᾶς ἐμαυτῷ, οἷς γε οὐδὲ φαίνομαί τι νείμας ἐξαιρετὸν ἐγώ. — οὐ τὸν Ἰσραὴλ ἀνήγαγον ἐκ γῆς Αἰγύπτου; Οὐδὲ γὰρ, ὥσπερ ὑμᾶς ἀπὸ τῆς Αἰγύπτου λαβὼν τῆς τε δουλείας ἀπήλλαξα τῆς πικρᾶς ἐκείνης, καὶ γῆς ἀπέφηνα τοσαύτης καὶ τοιαύτης κυρίους, τῆς οὐ προσηκούσης ὑμῖν, οὕτω δή τι καὶ περὶ Αἰθίοπας ὤφθην πεποιηκώς. — Καὶ τοὺς ἀλλοφύλους ἐκ Καππαδοκίας καὶ τοὺς Σύρους

terram fundat. Is est, qui semper in coelis versatur, quo ascendit semper et degit super omnes elatus, omniaque quaecunque in terra fore promittit, certo etiam exsequitur; ille est qui maris aquam arripit et effundit super omnem terram; idem etiam nunc facit, Assyriorum multitudinem mari similem contra terram nostram adducendo. Haec enim sunt opera Dei, omnium rerum domini ac creatoris. — Deinde ut eorum ignorantiam e Dei in eos sententia prodiisse, declaret, ita pergit:

V. 7. *Nonne ut Aethiopum filii mihi estis, filii Israelis? dicit Dominus.* Nonne Aethiopibus similes reddidi quoad me, ut quibus nullum insigne beneficium tribuam? — *Nonne Israelem ex Aegypti terra eduxi?* Non enim ut vos Aegypto eductos e duro servitio isto liberavi et tantae talisque terrae dominos constitui, quae vestra non erat, ita etiam in Aethiopes similia contuli beneficia. — *Et alienigenas e Cappadocia et Syros e fovea (eduxi)?* Verbis *e Bothro* nonnulli ter-

[1]) F. l. τῷ.

ἐκ Βόθρου; Τὸ μὲν ἐκ Βόθρου τινὲς ἔφασαν λέγεσθαι τουτέστιν ἐκ Καρῶν τῆς νῦν οὕτω λεγομένης, ποτὲ δὲ Χαῤῥάν· περιττὴν δὲ οὖσαν τὴν ἀκριβολογίαν ταύτην ἀφεὶς τῷ μηδὲν πρὸς τὸ νόημα συντελεῖν, ὅστις [1]) ἢ τὸ σημαινόμενον ἐπὶ τοῦ παρόντος ἐρῶ. Οὐ γὰρ τοῦτο λέγει, ὅτι τοὺς ἀλλοφύλους ἀνήγαγον ἐκ Καππαδοκίας καὶ τοὺς Σύρους ἐκ βόθρου· τὸ γὰρ ἐναντίον βούλεται δεικνύναι, ὅτι οὐθὲν τοιοῦτο παρέσχηκεν ἑτέροις οἷον δὴ τούτοις, ὥστε μείζονα καὶ παρὰ τούτων τὴν εὐγνωμοσύνην εἰς αὐτὸν παρὰ πάντας χρῆναι φυλάττεσθαι· δήλου γε ὄντος κἀκείνου, ὡς εἴπερ ἀναγαγὼν ἦν καὶ ἑτέρους παραπλησίως τούτοις, πάντως ἄν τινα καὶ πρόνοιαν ἔλεγε περὶ αὐτοὺς γεγενῆσθαι, μετὰ τοῦ καὶ τῆς προνοίας τὸν σκοπὸν εὔγνωστον ἅπασιν εἶναι, ἐπεὶ καὶ τὸν Ἰσραὴλ οὐχ ἁπλῶς ἀνήγαγε τῆς Αἰγύπτου, ἀλλ' ὥςτε διὰ πολλῆς ἀγαγὼν τῆς ἐπιμελείας ἐπιτήδειον ἐργάσασθαι πρὸς τὸ ἐκεῖθεν τὴν ἁπάντων φανῆναι σωτηρίαν, τὸν δεσπότην Χριστόν. Τί οὖν ἐστιν, ὅ φησι; μεταστάσεις πλεῖσται γεγόνασιν ἐκ τόπων εἰς τόπους, οἷον δή τι καὶ παρὰ τοῦ Θάῤῥα τοῦ πατρὸς τοῦ μακαρίου γέγονεν Ἀβραάμ, ἐξελθόντος μὲν

ram, quae nunc Caria dicitur, olim Charran dictam significari autumant. Missa autem hac anxia verborum explicatione, quae nihil ad justum sensum eruendum facit, quid vere nostro loco significetur, nunc dicam. Non enim dicit: alienigenas e Cappadocia et Syros e fovea eduxi, contrarium enim indicare vult, Deum in alienos non similia beneficia contulisse, quam in Israelitas, quam ob rem hi etiam prae caeteris bonam in ipsum mentem obtinere et servare debebant. Est enim etiam hoc clarum, si Deus etiam alios similiter quam illos eduxerit, omnino dici posse eum istorum curam gessisse; nec minus ejus providentiae finis omnibus notus est; nam etiam Israelem non simpliciter Aegypto eduxit, sed ut multa cum cura iis providens eos idoneos redderet, ut de iis, qui omnium servator esset, oriretur Christus dominus. Jam quid est, quod hoc nostro loco dicere vult? Permultae factae sunt migrationes ex uno loco in alterum; veluti Tharra beati Abrahami pater

[1]) Leg. ὅ, τι.

ἐκ γῆς Χαλδαίων, ἐληλυθότος δὲ εἰς Χαῤῥὰν, εἶτα τετελευτηκότος αὐτόθι, ὅθεν δὴ καὶ μεταστῆναι γέγονε λοιπὸν τὸν Ἀβραὰμ ἐπὶ τὴν Παλαιστίνην. Οὐκ ἄδηλον δὲ, ὡς καὶ ὁ μακάριος Ἰακὼβ μετὰ πάντων τῶν προσηκόντων αὐτῷ ἐπὶ τὴν Αἴγυπτον μετέστη. Τοιοῦτο δή τι γέγονε καὶ περὶ ἑτέρους ὡς εἰκὸς, καί τινες ἐκ Καππαδοκίας ὁρμώμενοι οἱ ἐπὶ τοὺς τόπους τῶν ἀλλοφύλων μεταστάντες ἐγκατεμίγησαν ἐκείνοις, καὶ γεγόνασιν αὐτῶν μέρος· ἐκ βόθρου τε πάλιν εἰς Σύρους ἕτεροι μεταστάντες παρ' αὐτοῖς τε διέμειναν καὶ τὴν ἐπιμιξίαν ἐδέξαντο τὴν πρὸς ἐκείνους. Βουλόμενος τοίνυν ὁ θεὸς εἰπεῖν, ὅτι μηδενὶ τοιαῦτα δεδώρηται, ὁποίαπερ αὐτοῖς, εἶπε μὲν, ὅτι οὐκ ἐν τάξει ἔσχον ὑμᾶς Αἰθιόπων· ἐκ μέρους τὰ ἔθνη βουλόμενος ἅπαντα εἰπεῖν, καὶ ὅτι μηδένα αὐτῶν ἀξιώσας ὦπταί ποτε· ἀνήγαγον γὰρ, φησὶν, ὑμᾶς μόνους ἐκ τῆς Αἰγύπτου μετὰ πολλῶν μὲν θαυμάτων, πολλῆς δὲ τῆς παραδοξοποιΐας, ἤγαγόν τε εἰς γῆν τοσαύτην καὶ τηλικαύτην, ἧς ὑμᾶς ἀπέφηνα κυρίους οὐθὲν ὑμῖν προσηκούσης. Οὐ μὴν οὐδὲ εἰς ταύτην οὕτως ἐληλύθατε, ὥσπερ οἱ ἀλλόφυλοι ἐκ Καππαδοκίας ἐπιμεμιγμένοι ἢ [1]) ἐκ βόθρου

e Chaldaeorum terra egressus in Charanam migravit, ibique obiit; et dein factum est, ut Abrahamus inde in Palaestinam se conferret. Nec minus Jacobum beatum cum omnibus suis in Aegyptum migravisse constat. Simile aliquid etiam ab aliis factum esse, nemo mirabitur: sic nonnulli e Cappadocia venientes et in alienigenarum locos migrantes cum illis se miscuerunt et pars eorum facti sunt; alii rursus e Bothro ad Syros profecti penes eos habitarunt et cum iis se miscuerunt. Deus igitur horum nemini se ita consuluisse quam illis, indicaturus, non eodem, inquit, ordine quam Aethiopes vos habui, ex parte omnes gentiles significans, seque nunquam eos ullo beneficio singulari dignatum esse declarans. Vos enim solos, inquit, Aegypto eduxi multa miracula edens et insignia facta peragens, et in tantam talemque vos duxi terram, quae nihil ad vos pertinuit antea, ejusque dominos vos feci. Vos igitur non eodem modo in eam venistis, quam alienigenae e Cappadocia vel

[1]) Leg. ἢ.

τοῖς Σύροις· μεταστάσεις γάρ τινας ὑπομεμενήκασιν ἐκεῖνοι οὐδὲν ἐχούσας παράδοξον, οὐδέ τινα ἐμὴν ἐξαιρετὸν ἐπιμέλειαν δεικνὺς, ἅς [1] *περὶ αὐτοὺς, πρὸς τῷ καὶ ἐν προσηλύτων τάξει διάγειν αὐτοὺς, παρ᾽ οἶσπέρ εἰσιν· ὑμᾶς δὲ δῆλον μὲν μεθ᾽ ὅσων ἐξέβαλον τῶν θαυμάτων, ὅπως δὲ διήγαγον τὴν ἔρημον, ὅπως δὲ εἰσήγαγον εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ὅσης δὲ ὑμᾶς γῆς πεποίηκα κυρίους ἅπαντας τοὺς ἐπ᾽ αὐτῆς πρότερον ὄντας ἀνελὼν, ὅσης δὲ καὶ διετέλεσα μεταδιδοὺς ὑμῖν ἐπιμελείας παρὰ πάντας ἀνθρώπους· ὑπὲρ ὧν ἄγαν ὀφείλοντες αἰδῶ μοι νέμειν τινὰ, οὐδένα λόγον τῶν ἐξ ἐμοῦ γεγενημένων εἰς ὑμᾶς ἐπιδεδειγμένοι φαίνεσθε. Τί οὖν;*

e Bothro Syris commixti. Horum enim migrationes nihil habent mirabile, nec insignem eorum curam me gerere ostendi; huc accedit quod ut advenae et peregrini penes eos degunt, ad quos venerunt. Vos vero quam mirabili modo (ex Aegypto) ejecerim et in terram promissionis traduxerim, quantaeque vos terrae, prioribus ejus incolis omnibus interemtis dominos fecerim, et quantam semper in vobis prae caeteris hominibus curandis diligentiam posuerim, satis cognitum est. Propter quae quamvis insignem mihi reverentiam praestare deberetis, nullam tamen vos beneficiorum meorum rationem habere apparet. Quid ergo?

η΄. Ἰδοὺ, οἱ ὀφθαλμοὶ κυρίου τοῦ θεοῦ ἐπὶ τὴν βασιλείαν τὴν ἁμαρτωλὸν, καὶ ἐξαρῶ αὐτὴν ἀπὸ προσώπου τῆς γῆς, πλὴν ὅτι εἰς τέλος οὐ μὴ ἐξαρῶ τὸν οἶκον Ἰακὼβ, λέγει κύριος. Ὑπὲρ μὲν οὖν ταύτης τῆς ἀγνωμοσύνης ἀφελῶ τε ὑμᾶς τῆς γῆς, καὶ εἰς αἰχμαλωσίαν ἀπάξω τὴν οὕτω πονηρὰν βασιλείαν· οὐ μὴν ἀνέξομαι παντελῆ τὸν ἀφανισμὸν

V. 8. *Ecce, oculi Domini Dei super regnum peccans, et evertam illud de terra, verumtamen non usque ad finem evertam domum Jacobi, inquit Dominus.* Propter hanc igitur ignorantiam auferam vos de terra, et regnum adeo malignum in captivitatem abducam. Neque tamen prorsus vos perdere mihi animus est; memor enim

[1] Leg. *δεικνυσας*.

ὑμῶν ἀπεργάσεσθαι, μεμνημένος τῆς γνώμης τῆς ἐμῆς, μεθ' ἧς τοσαύτην ὑμῖν ἔνειμα τὴν ἐπιμέλειαν.

sum ejus, ex qua tanta vos dignatus sum cura, sententiae.

θ'. Διότι ἰδοὺ ἐγὼ ἐντέλλομαι καὶ λικμήσω τὸν οἶκον Ἰσραὴλ ἐν πᾶσι τοῖς ἔθνεσιν, ὃν τρόπον λικμᾶται ἐν τῷ λικμῷ, καὶ οὐ μὴ πέσῃ σύντριμμα ἐπὶ τὴν γῆν. Δίκην γὰρ τῶν λικμώντων ἅλωνα καὶ χωριζόντων τοῦ ἀχύρου τὸν σῖτον, παραδώσω μὲν ὑμᾶς εἰς αἰχμαλωσίαν τοῖς ἔθνεσι, παντελῆ δὲ ὑμῶν τὸν ἀφανισμὸν οὐκ ἐργάσομαι, περισώζων οὓς ἂν ἀξίους δοκιμάσω τοῦ τῆς σωτηρίας ταύτης τυχεῖν.

V. 9. *Ecce igitur, ego jubebo et agitabo domum Israelis inter omnes gentes sicut agitatur vannus; nec tamen decidet granum in terram.* Ex ratione eorum qui in arca ventilant et a palea purgant frumentum, vos gentibus tradam captivos abducendos; neque vero funditus vos perdam, sed nonnullos conservabo, quos salute hac dignos esse censebo.

ι'. Ἐν ῥομφαίᾳ τελευτήσουσι πάντες οἱ ἁμαρτωλοὶ τοῦ λαοῦ μου, οἱ λέγοντες· οὐ μὴ ἐγγίσῃ, οὐδὲ μὴ ἔλθῃ ἐφ' ὑμᾶς τὰ κακά. Ἀφανιῶ γὰρ τῷ πολέμῳ τοὺς πρὸς τὸ χεῖρον νεύοντας, καὶ οὐκ οἰομένους κατὰ τὰς τῶν προφητῶν μηνύσεις ἐπελεύσεσθαί τι τῶν λοιπούντων [1]) αὐτούς. Οὕτω διὰ πάντων τὰ ἐπελευσόμενα τῷ λαῷ μηνύσας κακά, ἅ τε παρὰ τῶν Ἀσσυρίων περὶ τὰς δέκα συμβαίνειν ἤμελλε φυλάς, ἅ τε παρὰ τῶν Βαβυλωνίων ὕστερον εἰς τοὺς λοιπούς, μηνύει καὶ τὴν ἐπὶ τὸ κρεῖττον αὐτῶν μετ' ἐκεῖνο μεταβολήν, καί φησιν·

V. 10. *Gladio peribunt omnes de populo meo improbi, qui dicunt: Non appropinquabit, neque veniet nobis calamitas.* Bello enim perdam eos, qui ad malum inclinant, nec quidquam tristium, quae a prophetis praedicta sunt, iis venturum esse credunt. Ita his omnibus, quaenam populo eventura essent mala et decem tribubus ab Assyriis et a Babyloniis deinceps reliquis infligenda vaticinatus, nunc etiam sequentem rerum eorum in melius mutationem praedicit:

[1]) Leg. λυπούντων.

ια΄. ιβ΄. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀναστήσω τὴν σκηνὴν Δαυὶδ τὴν πεπτωκυῖαν, καὶ ἀνοικοδομήσω τὰ πεπτωκότα αὐτῆς, καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀναστήσω, καὶ ἀνοικοδομήσω αὐτὴν καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος, ὅπως ἂν ἐκζητήσωσί με οἱ κατάλοιποι τῶν ἀνθρώπων, καὶ πάντα τὰ ἔθνη, ἐφ' ἃ ἐπικέκληνται τὸ ὄνομα μου ἐπ' αὐτά, λέγει Κύριος, ὁ ποιῶν πάντα ταῦτα. Ἀλλὰ γὰρ μετὰ τῶν λυπηρῶν πεῖραν μεταβαλῶ πάντα ἐπὶ τὸ κρεῖττον, καὶ ἀναγερῶ τοῦ Δαυὶδ τὴν πεπτωκυῖαν βασιλείαν, καὶ πάλιν ἐξ αὐτῆς ἡγούμενον δώσω παντὶ τῷ λαῷ, ὡς μὴ μόνον τούτων τοὺς ὑπολειφθέντας, ἀλλὰ γὰρ καὶ πολλοὺς τῶν ἐναντίων ὑπὸ τῆς τῶν γινομένων ἐκπλήξεως κινουμένους Θεὸν ὁμολογῆσαι τὸν τοῦ παντὸς ποιητὴν καὶ κύριον. Ταῦτα γὰρ ἀποφαίνεται ὁ καιρὸς [1]) πέρας ἄξων αὐτὰ Θεός. Ἐνταῦθα μὲν οὖν τὰ κατὰ [2]) τὴν ἐπάνοδον τὴν ἀπὸ Βαβυλῶνος λέγει, ὅτι δὴ βασιλέα ἐκ τοῦ Δαυὶδ ὄντα τὸν Ζοροβαβὲλ, ἐπανιόντες ἐπὶ τὰ οἰκεῖα ἤμελλον ἅπαντες ἔχειν. Ὁ μέντοιγε μάκαριος Ἰάκωβος, ἐν ταῖς πράξεσι τῶν ἁγίων ἀποστό-

V. 11. 12. *Isto die erigam collapsum Davidis tabernaculum et aedificabo rursus, quae corruerant, et quae fracta erant erigam, et restaurabo illud sicut erat diebus antiquis, ut me quaerant reliqui hominum et omnes gentes, super quas vocatum est nomen meum, inquit Dominus, qui haec omnia faciet.* At post haec miseriarum tempora omnia in melius mutabo, et Davidis regnum collapsum rursus erigam, et omni populo ducem rursus ex ista familia oriundum constituam, ut non solum qui ex his reliqui sunt, sed et adversariorum multi obstupefacti Deum profiteantur omnium rerum creatorem ac dominum. Haec promittit, qui ea etiam ad exitum perducet Deus. Hic ea dicit, quae post reditum e Babylone forent, eos nimirum in patriam reduces regem habituros a Davide oriundum Zorobabelem. Sed beatus Jacobus in actis sanctorum apostolorum, hoc dicto de domino Christo aperte utitur. Tunc enim illud vaticinium verum habuit exitum, quum lapsum Davi-

[1]) F. l. καὶ εἰς, — [2]) Nonne leg. μετά?

λων, ἐπὶ τοῦ δεσπότου Χριστοῦ φαίνεται τῇ φωνῇ συγκεχρημένος ταύτῃ [1]), ὅτε καὶ τὴν ἔκβασιν ἀληθῆ λαβούσῃ τότε, ὁπηνίκα ὄντως ἡ βασιλεία πεπτωκυῖα τοῦ Δαυὶδ ἀνέστη, καὶ πᾶσαν τὴν παλαιὰν ἀποβαλοῦσα σαθρωσιν ἐν τελειότητι κατέστη· τότε δὴ καὶ τὴν βεβαίωσιν εἴληφεν ἡ βασιλεία τῆς τοῦ Δαυὶδ διαδοχῆς, παραπλησίαν ταῖς τοῦ αἰῶνος ἡμέραις, ὅτε περ ἐν διηνεκεῖ τὴν σύστασιν εἶχε. Καὶ μὴν καὶ τὸ τὴν ἐπίγνωσιν τὴν θείαν ἐγγενέσθαι τοῖς τε λοιποῖς τῶν ἀνθρώπων, καὶ πᾶσι δὲ τοῖς ἔθνεσιν, ἐπ᾽ αὐτῶν ὦπται τῶν πραγμάτων τὸ ἀληθές. ὥστε εἰρῆσθαι μὲν παρὰ τοῦ προφήτου τὴν φωνὴν τὰ κατὰ τὴν ἐπάνοδον ἐσόμενα μηνύοντος τέως, τὸ δὲ τῶν εἰρημένων ἀληθὲς καὶ βέβαιον καὶ ἀῤῥαγὲς καὶ ἀσάλευτον ἐπὶ τοῦ δεσπότου Χριστοῦ δεικνύμενόν τε καὶ συστὰν, δικαίως εἰληφέναι ἐκ τοῦ μακαρίου Ἰακώβου τῆς φωνῆς τὴν χρῆσιν.

ιγ´—ιε´. Εἶτα καὶ καθόλου μηνύων τὰ τότε αὐτοῖς περιεσόμενα καλὰ, παραπλησίως τοῖς λοιποῖς προφήταις λέγει τὸ καὶ τῶν καρπῶν τὴν ἀφθονίαν προσέσεσθαι αὐτοῖς παντελῶς, ὡς τοὺς ἐξ ἅλωνος συλλεγομένους καρποὺς διαδέχεσθαι τὴν τρύγην·

dis regnum revera restaurabatur, et abjecta antiqua imbecillitate ac fragilitate firmum permanebat. Tunc igitur firmissime injuncta est Davidicae proli regia potestas et aeterna facta, quum perpetuam inde stabilitatem habeat. Nec non id tunc in rerum veritate conspiciebatur, quod Dei cognitio caeteris etiam hominibus ac gentibus impertita foret. Itaque prophetae quidem dictio ea indicat, quae post reditum eventura essent; praedictorum autem veritas, firmitas, et certitudo ac constantia in Christo Domino conspicitur. Suo igitur jure beatus Jacobus hoc dicto de Christo usus est.

V. 13—15. Deinde etiam quae tunc percepturi essent bona indicans, similiter quam caeteri prophetae iis tantam frugum abundantiam promittit ut frugum in area collectionem excipiat vindemia; suo tempore eos fructus esse colle-

[1]) Cf. Act. XV, 16.

ὡρίμων μὲν αὐτοῖς ἀποδιδομένων τῶν καρπῶν, μόνον δὲ οὐχὶ καὶ τῶν ὀρῶν καὶ τῶν βουνῶν πολλὴν αὐτοῖς παρεχόντων τὴν ἀφθονίαν, πλεῖστά τε ὅσα ἐκφυόντων καλά. Καὶ τὴν μὲν αἰχμαλωσίαν λύσω, φησὶ, τῷ λαῷ, ὥστε λαβόντας τε ἄδειαν, καὶ γεγονότας ἐν τοῖς οἰκείοις, καὶ τὰς πόλεις τὰς οἰκείας κατὰ τὸ παλαιὸν ἀνορθῶσαι σχῆμα, καὶ τὴν γῆν κατεργασαμένους τὸν ἐξ αὐτῆς κομίζεσθαι καρπόν· ἐν βεβαίῳ τε αὐτοὺς καταστήσω τῆς οἰκείας γῆς (τοῦτο γὰρ λέγει τὸ καταφυτεύσω αὐτοὺς ἐν τῇ γῇ αὐτῶν), καὶ οὐκ ἐάσω τῆς οἰκείας ἔξω γενέσθαι χώρας ἔτι, ἧσπερ οὖν αὐτοὺς κυρίους ἀπέφηνα τὴν ἀρχήν· τὸ γὰρ Καὶ οὐ μὴ ἐκσπασθῶσιν οὐκέτι ἀπὸ τῆς γῆς αὐτῶν, ἧς ἔδωκα αὐτοῖς, τοῦτο δηλοῖ, ἵνα εἴπῃ, ὅτι οὐ γενήσονται αὐτῆς ἔτι πόῤῥω, ὥστε τῇ αἰχμαλωσίᾳ ὥσπερ τινὶ κατεχόμενοι σκέπῃ, μηδὲ ὁρᾷν δύνασθαι τὴν οἰκείαν γῆν· Ταῦτα δὲ, φησὶν, ἀπόφασις καὶ ἔργον Θεοῦ τοῦ ποιητοῦ τε πάντων καὶ κυρίου.

cturos, et vel montes collesque abundantiam iis paraturos et multa egregia procreaturos esse. Imo et captivitatem, pergit, populo solvam, ut secure in suas sedes reduces urbes suas in pristinam formam restituant agrumque colant ejusque fructus colligant. Et firmabo iis patriae terrae possessionem (id quod innuunt verba: *Plantabo eos in terra sua*), nec patiar eos finibus suis, quorum ab initio eos dominos declaravi, unquam ejici. Haec indicantur verbis. *Non amplius e terra sua evellantur, quam eis dedi*, quorum sensus est: non amplius ex ea adeo removebuntur, ut captivitate, quasi tegmine, circumsepti propriam terram ne videre quidem possint. Et haec, concludit, promissio est Dei, rerum omnium creatoris ac Domini, quam etiam exsequetur.

ἙΡΜΗΝΕΙΑ ἈΒΔΙΟΥ ΤΟΥ ΠΡΟΦΗΤΟΥ [1]).

ΠΡΟΟΙΜΙΟΝ.

α'. Ἀπεχθῶς ἄνωθεν Ἰδουμαῖοι πρὸς τοὺς Ἰσραηλίτας ἔσχον, περὶ πολλοῦ τε αὐτῶν ποιούμενοι τὴν ἀπώλειαν καὶ ἐπὶ ταῖς προσγινομέναις αὐτοῖς ἡδόμενοι συμφοραῖς, ὥστε καὶ συμπράττειν πρὸς ἅπαντα τοῖς ἐπιοῦσιν αὐτοῖς, ἤδη ποτὲ κατὰ θείαν συγχώρησιν ἐν πείρᾳ καθίσταντο κακῶν. γεγόνεσαν γὰρ Ἰσραηλῖται μὲν ἐκ τοῦ Ἰακὼβ κατάγοντες τὸ γένος, Ἰδουμαῖοι δὲ ἐκ τοῦ Ἡσαῦ, ἀδελφοὶ δὲ ἦσαν οὗτοι υἱοὶ τοῦ Ἰσαάκ. καὶ ἐπειδὴ κατὰ θείαν κρίσιν τῶν πρωτοτοκίων ἐπὶ τὸν Ἰακὼβ μετεληλυθότων διὰ μίσους τε εἶχεν αὐτὸν ὁ Ἡσαῦ καὶ ἀνελεῖν καιροῦ λαβόμενος ἠβούλετο, παρεσκευάζει μὲν τὸν Ἰακὼβ εἰς τὴν Χαῤῥὰν ἀπελθεῖν ἡ μήτηρ, ὡς ἂν πόῤῥω γεγονότος

COMMENTARIUS IN ABDIAM PROPHETAM.

PRAEFATIO.

1. Jam dudum Idumaei Israelitis inimici erant, et vehementissime eorum excidium exoptabant atque eorundem adversis casibus laetabantur; immo cum eorum quoque hostibus perpetuo conspirabant, postquam Deo permittente Israelitae variis cladibus affici coeperant. Israelitae enim a Jacobo genus trahebant, Idumaei vero ab Esavo, qui fratres erant ab Isaaco geniti. Jam quia divino judicio jus natu majoris ad Jacobum transierat atque ob id invisum habebat Jacobum Esavus, eumque opportunum nactus tempus interficere volebat, dedit operam mater ut Jacobus Charram

[1]) Integrum hunc commentarium Majus jam promulgavit in *Nova collect. scriptorum veterum.* Tom. I, pag. 89—96.

λωφήσειεν ἡ ὀργὴ τοῦ Ἡσαῦ· καὶ δὴ καὶ θείας προνοίας ἀξιωθεὶς ὁ Ἰακὼβ παντελῶς διέφυγε τοῦ ἀδελφοῦ τὴν βλάβην· μετελήλυθε δὲ ὅμως εἰς τοὺς ἐξ αὐτῶν ἡ ἔχθρα, διέμεινάν τε οἱ ἐκ τοῦ Ἡσαῦ κατάγοντες τὸ γένος Ἰδουμαῖοι πολεμίως πρὸς τοὺς Ἰσραηλίτας ἔχοντας ἐκ τοῦ Ἰακὼβ καταγόμενοι [1]), ὡς ἔφην ἤδη.

β'. Ποικίλως τοίνυν τὴν κατ' αὐτῶν ἔχθραν ἐπιδεικνύμενοι οὐθὲν ἧττον τὴν αὐτὴν ἐπεδείξαντο γνώμην καὶ κατὰ τὸν καιρὸν ἐκεῖνον καθ' ὃν Ἀσσυρίους τε Ἰσραηλίταις καὶ Βαβυλωνίους ὕστερον τῇ τε Ἱερουσαλὴμ καὶ τοῖς τῆς Ἰούδα φυλῆς ἐπελθεῖν συνέβη, ὥστε καὶ πλεῖστα ὅσα ἐπὶ τῇ τῶν Ἰουδαίων ἀπωλείᾳ τοῖς Βαβυλωνίοις συμπρᾶξαι. ἐντεῦθεν ὁ μακάριος Δαυὶδ τὰ κατὰ Βαβυλῶνα προφητεύων λέγει μὲν [2])· „ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν" καὶ τὰ ἑξῆς· δι' ὧν ἐδείκνυ τὰ κατὰ τὴν αἰχμαλωσίαν ἐκείνην αὐτοῖς συμβεβηκότα κακά· ἐπειδὴ δὲ καὶ τὴν ἐπὶ τὸ κρεῖττον αὐτῶν μεταβολὴν ἤμελλε μηνύειν ἐπάγει [3]) „μνήσθητι κύριε τῶν υἱῶν Ἐδὼμ τὴν ἡμέραν Ἱερουσαλὴμ τῶν λεγόντων, ἐκκενοῦτε, ἐκκενοῦτε ἕως τῶν θε-

fugeret, et eo remoto Esavi ira sedaretur. Et Iacobus divina providentia tectus omnino fratris vindictam effugit; sed in eorum posteros inimicitia transiit et Idumaei, ab Esavo genus ducentes, hostilem adversus Israelitas e Jacobo genitos retinuerunt animum.

2. Quumque multifariam jam prodidissent suam in istos inimicitiam, eandem etiam eo prodiderunt tempore, quo Assyrii contra Israelitas et deinde Babylonii contra Hierosolymam Judaeque tribum expeditionem fecerunt, et permulta in Judaeorum peregerunt perniciem Babylonios adjuvantes. Quare etiam beatus David res Babylonicas praedicens „Prope flumina, ait, Babylonis sedentes flevimus etc."; quibus verbis mala per illam captivitatem Judaeis eventura significavit. Verumtamen quum meliorem quoque rerum ordinem restituendum dicturus esset, addit: „Memento Domine filiorum Edomi, qui die Hierosolymae ajebant: exi-

[1]) Ita cod. Vindob. et uterque cod. Vatic., sed Majus recte jam καταγομένους rescripsit. — [2]) Ps. CXXXVI, 1. — [3]) Ibid. v. 7.

μελίων αὐτῆς.“ εὔδηλον γὰρ ὅτι υἱοὺς Ἐδὼμ τοὺς Ἰδουμαίους λέγει, ἀμφοτέραις ταύταις καλουμένους ταῖς προσηγορίαις, ὡς πολλαχοῦ τε ἐκ τῆς θείας ἔνεστι μαθεῖν γραφῆς, καὶ οὐδὲν ἧττον ἐκ τῆς τῶν βασιλειῶν ἱστορίας· λέγει γὰρ ἐν τῇ τετάρτῃ τῶν ἱστοριῶν [1]) ὅτι Ἀμεσίας ἐπάταξε τὸν Ἐδὼμ ἐν πολέμῳ, εἶτα ἀπέστειλε μὲν πρὸς τὸν Ἰσραὴλ βασιλέα ἐπὶ πόλεμον αὐτὸν ἐκκαλούμενος, ὁ δὲ ὑβριστικῶς ἀποκρινάμενος πρὸς αὐτὸν πρὸς τοῖς λοιποῖς καὶ τοῦτό φησι, „πατάξας ἐπάταξες τὴν Ἰδουμαίαν, καὶ ἐπῆρε σε ἡ καρδία σου ἡ βαρεῖα“, οὓς ἐν τοῖς ἀνωτέροις εἶναι τοῦ Ἐδὼμ ἔφη, Ἰδουμαίους ἐν τούτοις εἰπών· μνήσθητε τοίνυν, φησὶ, τῶν Ἰδουμαίων, ὁποῖα δὴ καθ' ἡμῶν πεποιήκασιν, οἳ τὸν καιρὸν τῆς συμφορᾶς τῆς ἡμετέρας πρόφασιν τῆς ἑαυτῶν ἐποιήσαντο κακίας, ὥστε τοῖς ἐπεληλυθόσιν ἡμῖν συνεπισχύειν, εἴ πως ἅπασαν ἐκ βάθρων ἀνασπάσειαν τὴν πόλιν καὶ μηδὲ λείψανον αὐτῆς τι καταλίποιειν ἔτι. Καὶ ἐπάγει [2]) „θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος, μακάριος, ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδομά σου, ὃ ἀντεπέδωκας ἡμῖν,“ δεικνὺς ὅτι τότε δὴ καὶ Ἰδουμαίοις ὑπὲρ τῆς γνώμης ἐκεί-

nanite, exinanite funditus urbem.“ Perspicuum est filios Edomi hic appellari Idumaeos a Davide; utraque enim significabantur appellatione, quod saepius e scriptura sacra intelligi potest, nec non e Regum historia. Quarto enim historiarum libro narratur, ab Amesia caesum fuisse in acie Edomum, deinde illum ad Israelis regem legationem misisse, ut ad proelium eum provocaret; hunc autem iratum inter alia et haec isti respondisse: „quoniam Idumaeam vicisti, ideo cor tuum superbiâ repletum est.“ Quas in superioribus dixit Edomi filios, eos nunc Idumaeos dicit historia. Itaque David, memento, ait, Idumaeorum, quanta contra nos fecerint, calamitatis nostrae tempore abusi tanquam ansa ad suam expromendam malitiam. Hostibus enim nostris vires addiderunt suas, num forte ea ratione universam nostram a fundamentis everterent urbem, nihilque in ea reliquum esse paterentur. Et pergit David: „Filia Babylonis misera! Beatus ille, qui

[1]) IV. Reg. XIV, 7. — [2]) Ps. CXXXVI, 8.

νης ἐπάξει τὴν τιμωρίαν ὁ Θεὸς, ὁπηνίκα δὴ τὴν μὲν Βαβυλωνίων κατασπάσει δυναστείαν, τὴν βασιλευομένην πόλιν αὐτῶν ἅμα τῷ τε βασιλεῖ καὶ πᾶσι τοῖς οἰκοῦσιν αὐτὴν παραδοὺς τοῖς Πέρσαις, ὥστε καὶ παθεῖν παρ᾽ αὐτῶν ἐκεῖνα ἁπερ οὖν κατὰ τῆς Ἱερουσαλὴμ πεποιήκεσαν ἤδη· Ἰσραηλίτας δὲ τῆς κατεχούσης ἀπαλλάξας αἰχμαλωσίας εἰς τὴν οἰκείαν χώραν ἐπαναγάγῃ πάλιν.

reddet tibi retributionem, quam nobis retribuisti!“ Quibus significat, fore ut isto tempore etiam Idumaeis ob ejusmodi mentem poenas imponeret Deus, eo scilicet tempore, quo Babyloniorum imperium eversurus erat, regiamque eorum urbem cum rege omnibusque incolis Persis traditurus, ut ab his eadem paterentur, quae ipsi contra Hierosolymam antea fecerant; expeditis interim captivitate Israelitis et in patriam restitutis.

γ΄. Ἐπειδὴ τοίνυν πολλάκις διὰ τῶν προφητῶν ὁ Θεὸς τὰ καταληψόμενα τοὺς Ἰσραηλίτας ἔφη κακὰ, πρότερον μὲν ὑπὸ Ἀσσυρίων, ὑπὸ Βαβυλωνίων δὲ μετ᾽ ἐκεῖνο, ὅτι τε αἰχμάλωτος ἅπαξ ὁ Ἰσραὴλ τοῦτον ἀπαχθήσεται τὸν τρόπον, πολλὴν δὲ ὡς ἔφην ἐπὶ τῶν καιρῶν ἐκείνων τὴν οἰκείαν ἐπεδείξαντο συνεργίαν Ἰδουμαῖοι, καιρὸν ἐπιτήδειον εἰληφέναι νομίσαντες εἰς τὸ πανωλεθρὶ πάντας ἀπολέσαι τοὺς ἐκ τῆς Ἰσραηλιτικῆς ὡρμημένους συγγενείας, — ὅπερ ἦν Θεῷ πολεμούντων προδήλως, ὅς τόν τε Ἰακὼβ τῆς τῶν πρωτοτοκίων ἠξίωσεν εὐλογίας καὶ πάντων τῶν ἐκεῖθεν καταγομένων πολλήν τινα καὶ ἐξαίρετον πεποιημένος διατετέληκε τὴν ἐπι-

3. Quandoquidem ergo Deus saepius per prophetas mala Israelitas correptura, primum quidem ab Assyriis, deinde vero a Babyloniis iis infligenda praedixerat, totumque Israelem ea ratione captivum abductum iri vaticinatus erat; et quia, ut dixi, Idumaei admodum per id tempus cum Israelitarum hostibus conspirarunt, justum adesse tempus rati, quo omnes, quicunque de Israelitica stirpe essent, omnino delerentur — qua in re sine dubio Deo ipsi adversabantur, qui Jacobum privilegio natu majoris dignatus fuerat, cunctosque ejus posteros peculiari magnaque cura com-

μέλεια ν — ἀθυμεῖν τε ἐπὶ τούτοις εἰκὸς ἦν τοὺς Ἰσραηλίτας, εἰ ἐκ τοῦ τὴν εὐλογίαν τῶν πρωτοτοκίων κατὰ θείαν κομισαμένου ψῆφον καταγόμενοι τοιαῦτα πάσχοιεν παρὰ τῶν ἐκ τοῦ προπάτορος οἰκείου τῆς εὐλογίας ἀποβληθέντων τῆς θείας· ἀναγκαίως τὸν μακάριον προφήτην Ἀβδίαν ἐπὶ τούτῳ κεκίνηκεν ὁ θεός, ὡς ἂν διὰ πάσης αὐτοῦ τῆς προῤῥήσεως τὴν καταληψομένην τοὺς Ἰδουμαίους μηνύσειε τιμωρίαν, ὁπηνίκα ἂν ἐπὶ τὸ κρεῖττον μεταγαγεῖν τὰ τῶν Ἰσραηλιτῶν δοκιμάσῃ θεός, ἐπαναγαγών τε αὐτοὺς ἐκ τῆς αἰχμαλωσίας καὶ τῇ χώρᾳ πάλιν ἀποδιδοὺς τῇ οἰκείᾳ, ὥστε καὶ τὴν Ἱερουσαλὴμ ἀνοικοδομῆσαι καὶ τὸν ναὸν ἐν αὐτῇ κατασκευάσαι, ἐν ᾧ δὴ μάλιστα προσῆκεν αὐτοὺς συνιέναι πάλιν τὴν καθήκουσαν ἐκ τῆς νομικῆς διατάξεως ἀποπληροῦντας αὐτόθι τῷ θεῷ θρησκείαν. Νῦν τε γὰρ οὐ μικρὰν ἡ τούτων μήνυσις τὴν ψυχαγωγίαν παρείχετο τοῖς ἀδοκιμουμένοις, καὶ μετὰ τὴν τῶν μηνυθέντων ἔκβασιν ἔτι μᾶλλον ἐπείθοντο τὸ γνώμῃ θεοῦ πάλαι τε ταῦτα εἰρῆσθαι, καὶ πρὸς ἔργον ὕστερον ἐκβεβηκέναι, ὅπερ ἦν ἄμφω τῆς περὶ αὐτοὺς κηδεμονίας ἔλεγχος τοῦ θεοῦ, ὥστε οὐκ ἄδηλον εἶναι ὅτι προμηθείᾳ τοῦ λαοῦ καὶ ταύτην ἐποιεῖτο τὴν

plectebatur — et quia ipsos Israelitas magnopere moerere par erat, si quidem posteri ejus, qui divino decreto primogeniti tulerat benedictionem, haec patiebantur ab iis, qui cum suo parente benedictione divina exciderant: ob haec, inquam, necessario Deus beatum prophetam excitavit Abdiam, qui universo suo vaticinio eventuram Idumaeis poenam significaret, quando Deo visum foret Israëlitarum res in pristinam prosperitatem vindicare, e captivitate eos in patriam terram rursus reducturus, ut Hierosolymam instaurarent templumque reficerent, in quo maxime decebat iterum congregari eos, ut ibi legitimis erga Deum religionibus operarentur. Et nunc quidem haud exiguum moerentibus solatium exhibuit horum eventuum praedictio: tum vero post vaticiniorum exitum multo magis credituri erant, haec olim Dei voluntate praedicta et deinde verba ad rem collata fuisse. Quae res utraque Dei comprobabat erga eos providentiam, certioresque eosdem faciebat, haec a Deo vaticinia fuisse edita gentis gra-

μήνυσιν, οὗ δὴ πολλὴν ὑπὲρ τῆς σωτηρίας, ὡς πολλάκις ἔφην, ἐποιεῖτο τὴν ἐπιμέλειαν ὁ θεός.

α. „Ορασις Ἀβδίου.“ *Οὐδὲν κατὰ τὴν δύναμιν διαλλάττει τοῦτο τοῦ, λόγος Κυρίου· λόγον γάρ τε Κυρίου τὴν ἐνέργειαν ὀνομάζει τοῦ θεοῦ, καθ' ἣν τῇ πνευματικῇ χάριτι τὰς ἀποκαλύψεις οἱ προφῆται τῶν ἐσομένων ἐδέχοντο· καὶ ὅρασιν αὐτὸ δὴ τοῦτο καλεῖ τὴν ἀποκάλυψιν τὴν θειαν, καθ' ἣν ἐνεγένετο αὐτοῖς τῶν ἀδήλων δέχεσθαι τὴν γνῶσιν. ἐπειδὴ γὰρ καὶ θεωρίας τινὰς ἀποῤῥήτως διὰ τῆς πνευματικῆς ἐνεργείας ἐπὶ τῆς ψυχῆς ἐδέχοντο τῆς οἰκείας οἱ προφῆται, καὶ τὴν διδασκαλίαν τῶν ἐσομένων ὡς περί*[1]) *τινος λαλοῦντος ὑπήκουον κατὰ τὴν ἐγγινομένην αὐτοῖς ἐνέργειαν ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου, διὰ τοῦτο καὶ ὅρασιν αὐτὸ καὶ λόγον κυρίου καλεῖ, καὶ ἀκοὴν δὲ ὡς εἰκὸς, ἅτε τῆς πνευματικῆς διδασκαλίας ὥσπερ ἀκοῇ τινὶ δεχομένων τὴν γνῶσιν· ὅθεν καὶ ὁ μακάριος Ἡσαΐας ὁ προφήτης φησί*[2])· „*Κυριε τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;*“ *ἵνα εἴπῃ τῇ γνώσει τῶν δειχθέντων ἡμῖν, καὶ ὧν ἐδιδάχθημεν θειόθεν*[3]), *ἀκολουθό-*

tia, de cujus incolumitate magnam, ut saepe dixi, curam gerebat.

V. 1. *Visio Abdiae.* Hujus vocabuli vis nihil differt a Sermone Domini. Sermonem enim Domini scriptura eam dei appellat efficaciam, per quam spiritali gratia notitiam rerum futurarum prophetae excipiebant. Eodem modo *visionem* dicit pro revelatione divina, cujus ope illis contingebat, ut rerum ignotarum consequerentur scientiam. Nam quoniam et theorias quasdam spiritali efficacia prophetae in animo inenarrabiliter recipiebant, et institutionem de rebus futuris tanquam ab aliquo loquente audiebant, pro spiritus sancti in iis operante efficacia; idcirco visionem et sermonem Dei, et uti videtur auditum propterea quod spiritalis doctrinae notitiam quasi per auditum accipiebat, scriptura unam eandemque rem appellat. Unde beatus quoque Esajas propheta ait: „Domine, quis credidit auditui nostro?“

[1]) Nonne fortasse *παρά?* — [2]) Jes. LIII, 1. — [3]) F. l. *θεόθεν.*

τατα δὲ καὶ ὁ μακάριος Παῦλος ταύτην τε θεϊκῶς τὴν φωνὴν ἐπήγαγεν [1])· „Ἄρα ἡ πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος θεοῦ," δεικνὺς ὅτι οὐ καλῶς δυνατὸν τὴν τοιαύτην ἀκοὴν προσγίνεσθαι τοῖς προφήταις, ἀλλ' ἢ διὰ τῆς τοῦ ἁγίου πνεύματος ἐνεργείας. Καὶ ὁ μακάριος δέ φησι Δαυὶδ [2])· „Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου", ἵνα εἴπῃ ὅτι ὑποθεὶς τὴν ἀκοὴν καὶ δεξάμενος θεόθεν τὴν γνῶσιν διαπορθμεύσω τοῖς ἀνθρώποις τῶν προσηκόντων τὴν διδασκαλίαν. Κἀνταῦθα τοίνυν ἐπειδὴ εἶπεν ὅρασις Ἀβδίου, ὃ προγραφή τις παραπλησίως τοῖς λοιποῖς ἦν τοῦ βιβλίου δήλωσιν ἔχοντος, οὕτινος ἦν τὰ λεγόμενα ὅπως τε τοῦ τοιαῦτα λέγειν δύναμιν εἰληφότος ἄρχεται τῶν τῆς προφητείας ῥημάτων οὕτως· Τάδε λέγει κύριος ὁ θεὸς τῇ Ἰδουμαίᾳ δηλῶν περὶ ὧν ἡ προφητεία γίνεται. — ἀκοὴν ἤκουσα παρὰ τοῦ κυρίου. τῶν δὲ ἐσομένων, φησί, κατὰ τὴν Ἰδουμαίαν ἀδήλων μὲν ὄντων ἀνθρώποις, μετὰ πολὺν δὲ ἐσομένων τὸν χρόνον, παρὰ τοῦ θεοῦ δέδεγμαι τὴν διδασκαλίαν. εἶτα τίς ἀκοή· Καὶ περιοχὴν εἰς τὰ ἔθνη ἐξαπέστειλεν. περιοχὴν λέγει τὸ κύκλῳ τι περι-

i. e. notitiae rerum nobis demonstratarum et quas divinitus edocti sumus. Convenientissime item beatus Paulus divinitus hanc protulit locutionem: „Fides ex auditu, auditus autem e verbo Dei;" significans, haud aliter accidere posse prophetis auditionem hujusmodi, nisi a sancti spiritus virtute. Similiter etiam beatus David ait: „Inclinabo ad parabolam aurem meam, aperiam in psalterio propositionem meam"; quae verba idem valent quam: aure praebita et institutione divinitus accepta homines quae decent edocebo. Igitur quod hic dicitur *Visio Abdiae*, id, ut in caeteris prophetis tituli obtinet vim, qui et auctoris nomen indicat, et simul innuit, quanam talia loquendi, virtute imbutus, verborum propheticorum hoc faciat initium: *Haec dicit dominus Deus Idumaeae*; in quo significantur ii, de quibus vaticinium agit. — *Auditum audivi a Domino* i. e. Adversos Idumaeae casus, nunc quidem hominibus abditos, post longum vero tempus

[1]) Rom. X, 17. — [2]) Ps. XLVIII, 5.

ἔχον οἷον τεῖχος ἤ τι τοιοῦτο· οὕτω λέγει τό[1])· τίς ἀπάξει με εἰς πόλιν περιοχῆς· ἵνα εἴπῃ εἰς πόλιν τετειχισμένην τουτέστι περιεχομένην τῷ τείχει κύκλῳ. ταύτην οὖν, φησὶν, ἤκουσα ἀκοὴν, ὅτι ὥσπερ τινὰ περιοχὴν τὸ πρόσταγμα ἐξαπέστειλε τὸ οἰκεῖον εἰς τὰ ἔθνη ὁ θεὸς, ἅπαντας αὐτοὺς ἐν κύκλῳ κατὰ τοὺς Ἰδουμαίους συλλέγων. — ἀνάστητε καὶ ἐξαναστῶμεν ἐπ᾽ αὐτὴν εἰς πόλεμον. Κατὰ ἀποσιώπησιν τὸ λέγων νοεῖται, ἵνα ᾖ· καὶ περιοχὴν εἰς τὰ ἔθνη ἐξαπέστειλεν λέγων ἀνάστητε, καὶ ἐξαναστῶμεν ἐπ᾽ αὐτὴν εἰς πόλεμον, ὡσανεὶ τοῦ θεοῦ ταῦτα λέγοντός τε καὶ κελεύοντος καὶ πανταχόθεν ἐπ᾽ αὐτὴν τὰ ἔθνη συλλέγοντος, καὶ δὴ καὶ στρατηγεῖν αὐτοῖς μέλλοντος ἐν τοῖς κατὰ τῆς Ἰδουμαίας πολέμοις. οἷόν τε καὶ ὁ μακάριος Δαυὶδ „Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; καὶ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας; οὐχὶ σὺ ὁ θεὸς ὁ ἀπωσάμενος ἡμᾶς;“ ἵνα εἴπῃ, ὅτι ὁ θεός μοι εἰς τοὺς κατὰ τῆς Ἰδουμαίας στρατηγήσει πολέμους· ἰδίωμα δὲ τοῦτο καὶ παρὰ τῷ μακαρίῳ Δαυὶδ εὕροι τις ἂν κατὰ ἀποσιώπησιν σημαίνεσθαι τὸ λέγων ἢ λήγοντες[2]) ἤ τι τοιοῦτο· οἷόν ἐστι τοῦτο[3])· „Ἱνατί ἐφρύαξαν

eventuros a Deo sum edoctus. — Jam vero quisnam est ille auditus? *Et septum inter gentes misit.* Septum dicit id, quo aliquid ubivis circumdatur, veluti murum vel aliquid hujus modi. Sic ait scriptura: „Quis me deducet in urbem septi?“ i. e. circumvallatam muro seu undique circumseptam. Ergo hunc, ait, accepi auditum, Deum ad gentes mandatum suum septi instar misisse, cunctas eas undique contra Hierosolymam congregaturum. — *Surgite, et consurgamus ad bellum contra eam.* Supplenda hic est vox a propheta omissa dicendi, et universa elocutio ita legenda: Et septum inter gentes misit, dicens: surgite, et consurgamus ad bellum contra eam. Tanquam si Deus haec diceret ac juberet, et undique contra Idumaeam gentes colligeret, imo gerendi in eam belli ducem se fore polliceretur. Veluti etiam beatus David: „Quis me deducet in urbem septi? quis me ducet in Idumaeam? nonne tu, Deus, qui nos repulisti?“ quibus indicat, Deum

[1]) Ps. CVII, 11. — [2]) Leg λέγοντες. — [3]) Ps. II, 1—3.

ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά; παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ [1]· διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν." καὶ γὰρ κἀνταῦθα κατὰ ἀποσιώπησιν τὸ λέγοντες νοεῖται εἰς δήλωσιν τῆς γνώμης μεθ' ἧς τὴν παράνομον ἐκείνην εἰργάζοντο πρᾶξιν. τοιοῦτον ἐστι καὶ τὸ [2]· „Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα καὶ εἰσήκουσέ μου· κύριε ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας." κατὰ ἀποσιώπησιν γὰρ κἀνταῦθά φησι τὸ λέγων, ἵνα ᾖ, πρὸς κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα λέγων, κύριε ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας· τὸ γὰρ εἰσήκουσέ μου διὰ μέσου κατὰ ἀνταπόδοσιν εἴρηται τοῦ παντός. Οὕτως οὖν κἀνταῦθα λέγει, ὅτι συνέλεξεν ὁ θεὸς τὰ ἔθνη ὥσπερ τινὶ φωνῇ τῷ ἐπιτάγματι τῷ οἰκείῳ διεγείρων αὐτοὺς εἰς τὸν κατὰ τῆς Ἰδουμαίας πόλεμον. Εἶτα ὡς τὸν πόλεμον δηλώσας ἐπάγει πρὸς τὴν Ἰδουμαίαν αὐτήν.

sibi belli adversus Idumaeam gerendi ducem fore. Nec non eum loquendi modum apud beatum Davidem observare licet, quod per reticentiam subintelligendum sit vocabulum *dicens* vel *dicentes*, vel aliquid simile. Veluti isto loco: „Quare fremuerunt gentes et populi meditati sunt inania? Adstiterunt reges terrae, et principes in unum convenerunt adversus Dominum ejusque Christum. Disrumpamus vincula eorum jugumque eorum a nobis projiciamus!" Nam et hic per reticentiam vox *dicentes* subintelligenda est, quae consilium indicet, quo impium illud susceperunt facinus. Simile et illud: „Ad dominum, quum tribularer clamavi, et exaudivit me. Domine libera animam meam a labiis iniquis et a lingua dolosa;" nam et hic reticuit vocem dicendi, et ita est legendum: Ad dominum clamavi dicens, Domine libera animam meam a labiis iniquis et a lingua dolosa. Dictio enim: *exaudivit me*, medio interposita est, ut utrique membro responsio-

[1]) Cod. Vindob. ita: κατὰ τ. Χρ. αὐτοῦ· λέγοντες διαῤῥήξωμεν; at male. — [2]) Ps. CXIX, 1—2.

nem faciat. Sic igitur etiam hoc loco dicit, congregavisse Deum gentes praecepto suo ceu voce quadam, easque ad bellum Idumaeae inferendum concitavisse. Deinde quasi indicto bello, contra ipsam Idumaeam ita pergit loqui.

β'. Ἰδοὺ ὀλιγοστὸν δέδωκά σε ἐν τοῖς ἔθνεσιν, ἠτιμωμένος εἶ σὺ σφόδρα. πολλήν σου, φησὶ διὰ τῶν πολεμίων τὴν σφαγὴν ἐργασάμενος εἰς ὀλίγους σου περιστήσω τὸ ἔθνος, ὥστε πάντων ἐλάττονας[1]) εἶναι, καὶ ἐν ἀτιμίᾳ καθεστάναι πολλῇ, ὡς ὑπὸ πολλῶν τε πεπολιορκημένον καὶ μυρίοις περιβληθέντα κακοῖς. Εἶτα τίς ἡ αἰτία.

V. 2. *Ecce minimam te feci inter gentes; vehementer contempta es.* Magna, inquit, tui caede edita, ad parvulum numerum gentem tuam redigam, ut omnium minima fias, multaque noteris ignominia, hostium numero oppressa atque innumeris malis obruta. Quaenam vero ejus rei causa?

γ'. Ἡ ὑπερηφανία τῆς καρδίας σου ἐπῆρέ σε κατασκηνοῦντα ἐν ταῖς ὀπαῖς τῶν πετρῶν, ὑψῶν τὴν κατοικίαν αὐτοῦ, λέγων ἐν τῇ καρδίᾳ αὐτοῦ· τίς με κατάξει ἐπὶ τὴν γῆν. ἐπειδὴ γὰρ ὀρεῖον ᾤκουν χώραν οἱ Ἰδουμαῖοι, μᾶλλον τοῦτο λέγει, ὅτι ἀμέτρως ὑπήρθης τὴν διάνοιαν, ἐν καταδύσεσι μὲν οἰκῶν πετρῶν, πολλὴν δέ σου καὶ μεγίστην ὡς ᾤου πεποιηκὼς τὴν οἴκησιν, καὶ δὴ καὶ οἰόμενος οὐκ ἄν ποτε ἔσεσθαι τὸν δυνάμενόν σε τῆς προσούσης ἐκβαλεῖν εὐπραγίας, ὑπὲρ

V. 3. *Superbia cordis tui te extulit incolentem rupium specus; exaltans habitaculum suum, dicensque in corde suo: quis me in terram deducet?* Quandoquidem Idumaei in montana degebant regione, haec fere dicit: Immodicum adsumsisti fastum, quia rupium latebras habitas, ibique multam ac maximam, ut arbitraris, stationem tenes, et sane neminem fore credis, qui te praesenti prosperitate dejicere queat. Eam ob causam, quae dicta sunt,

[1]) F. l. ἐλάττονα.

ὧν δὴ πείσῃ τὰ εἰρημένα, ἵνα αἴσθῃ μάτην οἰόμενος εἶναί τι θείας ἀντιπραττούσης βουλῆς.

δ'. Ἐὰν μετεωρισθῇς ὡς ἀετὸς καὶ ἐὰν ἀναμέσον τῶν ἄστρων θῇς νοσσίαν σου, ἐκεῖθεν κατάξω σε, λέγει κύριος· ὥστε κἂν ἀετοῦ δίκην εἰς ὕψος ἀρθῇς, ὃς πολὺ τῶν ὀρῶν ὑπερίπτασθαι πέφυκε, καὶ ἐν μέσῳ τῶν ἄστρων διὰ τὴν ὑπερβολὴν τῆς περιφανείας σαυτὸν καταστήσῃς, οὐκ ἀρκήσεις[1]) πρὸς τὴν δύναμιν τὴν ἐμὴν, ὅταν σε κατασπᾷν ἐθέλω. —

ε'. ς'. Εἰ κλέπται εἰσῆλθον πρὸς σὲ, εἰ λῃσταὶ νυκτὸς, ποῦ ἂν ἀπεῤῥίφῃς; οὐκ ἂν ἔκλεψαν τὰ ἱκανὰ αὐτοῖς; καὶ εἰ τρυγηταὶ εἰσῆλθον πρὸς σὲ, οὐκ ἂν ὑπελίποντο ἐπιφυλλίδα· πῶς ἐξηρευνήθη Ἡσαῦ καὶ κατελήφθη αὐτοῦ τὰ κεκρυμμένα; Εἰ μὲν οὖν κλέπται τινὲς οἱ λεληθότως[2]) ἐν ταῖς νυξὶ λῃστεύειν εἰωθότες εἰς τὴν οἰκίαν ἐπεισῆλθον τὴν σὴν βραχέα τινὰ λαβόντες τυχὸν ἐξῆλθον ἂν, σὺ δὲ οὐκ ἂν ἀπεῤῥίφῃς τῆς οἰκίας, ἐπειδὴ τῆς οἰκήσεώς σε ἀποστερεῖν οἱ διὰ λῃστείας τὰ προστυχόντα ἀφελόμενοι οὐκ ἠδύναντο· καὶ ἐπὶ τρυγὴν δέ τινες εἰς ἀμπελῶνα εἰσεληλυθότες, πάν-

patieris, ut sentias, frustra te aliquid arbitratum fuisse, oppugnante divina voluntate.

V. 4. *Etiamsi ut aquila te evexeris, atque nidum tuum posueris inter sidera, inde ego te detraham, inquit Dominus.* Etiamsi alta petas aquilae more, quae montes longe supervolare solet, et etiamsi in mediis sideribus ob nimiam tuam gloriam te colloces; viribus meis non resistes, quando te protrudere voluero.

V. 5. 6. *Si fures introiissent ad te, si nocturni latrones, ubi projecta esses? Nonne furati essent sufficientia sibi? Et si vindemiatores ad te ingressi essent, nonne tibi racemos reliquissent? Quomodo perscrutatus est Esavus, deprehensaque sunt occulta ejus!* Si qui fures clam noctu furari soliti in domum tuam irrupissent, paucis direptis fortasse discessissent, tu tamen haudquaquam aedibus pulsus fuisses, quum qui furto diripiunt aliquid, domicilio te privare nequivissent. Item si qui vindemiae causa vineam introivissent, nihilomi-

1) L. ἀρκέσεις. — 2) Cod. Vindob. male λελυθότως.

τως ἄν τινα καρπὸν κατέλιπον ἐν τοῖς ἀμπέλοις· τὸ δέ γε νῦν σοι συμβησόμενον οὐ τοιοῦτον ἔσται. ἐπελεύσονται γὰρ πολέμιοι οἳ τοσοῦτόν σου κατακρατήσουσιν, ὥστε ἅπαντα ἐξερευνήσαντας τὰ προσόντα σοι, μηδὲ τῶν κεκρυμμένων ἀκέραιον ἀφεῖναί τι παρὰ σοί. οὕτω πάντα ὑπὸ τὴν ἐξουσίαν ἔσται τὴν ἐκείνων, καὶ πάντα τὰ δοκοῦντα ἀπελεύσονται λαβόντες. Εἶτα εἰς ἔλεγχον τῆς ἐπιτάσεως τοῦ κακοῦ.

ζ'. Ἕως τῶν ὁρίων σου ἐξαπέστειλάν σε πάντες οἱ ἄνδρες τῆς διαθήκης σου, ἀντέστησάν σοι, ἠδυνήθησαν πρὸς σέ. Καὶ γὰρ οἱ πρότερον συνθήκας φιλίας τε καὶ συμμαχίας ἔχοντες πρὸς σὲ, θεασάμενοί σου τῆς συμφορᾶς τὸ μέγεθος, οὕτω τῆς τῶν ἐναντίων ἔσονται μοίρας, ὥστε σε σὺν[1]) ἐκείνοις πάντων ἐξωθῆσαι τῶν ὁρίων τῶν σῶν, χάριτι τῶν πολεμίων ἐπὶ τὴν αἰχμαλωσίαν ὠθοῦντας, οἳ καὶ ἀντιστήσονταί σοι καὶ δυνήσονται τοῖς πολεμίοις συμπράττοντες τοῖς σοῖς. Καὶ τὸ αὐτὸ πάλιν ἑτέρως λέγων· ἄνδρες εἰρηνικοί σου οἱ συνεσθίοντές σοι ἔθηκαν ἔνεδρα ὑποκάτω σου· οὐκ ἔστι σύνεσις ἐν αὐτῷ.

nus partem aliquam fructus in vite reliquissent. Verumtamen rei nunc tibi eventurae alia est ratio: supervenient enim hostes, qui tantopere tui potientur, ut omnia tua scrutati, nihil tibi, reconditum licet, incolume esse sinant. Adeo cuncta in eorum potestatem devenient, qui quidquid libitum fuerit populati tum demum abscedent. Deinde ad exaggerandam mali gravitatem ait:

V. 7. *Usque ad terminos tuos demiserunt te omnes viri foederis tui, restiterunt tibi et praevaluerunt contra te.* Qui jure amicitiae mutuique praesidii tecum antea copulati erant, statim ac calamitatis tuae gravitatem senserint, adeo in contrariam partem mentem mutabunt, ut cum hostibus conspirantes finibus tuis propellant et in captivitatem te protrudant, hostibus gratificaturi. Adversabuntur igitur tibi, et lato hostibus tuis auxilio te oppriment. Idem in sequentibus alio modo dicit: *Homines tui pacifici, qui comedunt tecum, insidias tibi struxerunt. Nec est ulla in*

[1]) Cod. Vindob. male οὖν.

Οἱ φιλίαν ἀσπαζόμενοι πρὸς σὲ καὶ ἁλῶν σοι κοινωνοῦντες αὐτοὶ σοι λόχους ὑφανοῦσιν εἰς ἀπώλειαν ἄγοντες, ἐπειδὴ δι' ὑπερβάλλουσαν ἄνοιαν οὐδὲ διακρίνειν τοὺς ὄντως φίλους ἐπίστασαι τῶν ἐχθρῶν.

η'—ι'. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ λέγει Κύριος ἀπολῶ σοφοὺς ἐκ τῆς Ἰδουμαίας καὶ σύνεσιν ἐξ ὄρους Ἡσαῦ. καὶ πτοηθήσονται μαχηταί σου ἐκ Θαιμὰν, ὅπως ἐξαρθῇ ἄνθρωπος ἐξ ὄρους Ἡσαῦ, διὰ τὴν σφαγὴν καὶ τὴν ἀσέβειαν τὴν εἰς τὸν ἀδελφόν σου Ἰακὼβ, καὶ καλύψει σε αἰσχύνη καὶ ἐξαρθήσῃ εἰς αἰῶνα. Ἀπολοῦνται δὴ πάντες οἱ ἐν ὑμῖν περὶ τὰ πολεμικὰ σοφοί τε καὶ δυνατοί τινες αὐχοῦντες εἶναι, οἵ τε μέγα φρονοῦντες ἐπὶ ταῖς μάχαις ἐν Θαιμὰν, ἣ μεγίστη τῶν πόλεων εἶναι δοκεῖ τῶν ὑμετέρων νικηθέντες τῷ φόβῳ τῶν ἐπεληλυθότων κακῶν εἰς πτόησιν καταστήσονται καὶ δειλίαν. Τοσαύτη τῶν ἀνθρώπων ἀπώλεια γενήσεται τῶν ὑμετέρων ὑπὲρ ὧν αὐτοὶ τοὺς ἀδελφοὺς τοὺς ἰδίους ἐκ τοῦ Ἰακὼβ κατάγοντας τὸ γένος, ὃς ἀδελφὸς ἦν τοῦ ὑμετέρου προγόνου, παρανόμοις ἐκδεδώκατε ταῖς σφαγαῖς· ὑπὲρ δὴ τούτων αἰσχύνῃ τε περιβληθήσῃ

eo prudentia. Qui tecum amicitia juncti, communi mensa utebantur, machinationes tibi struxerunt, quae in perniciem ducerent; quia pro summa tua stultitia ne germanos quidem amicos ab inimicis discernere nosti.

V. 7—10. *Isto die, inquit Dominus, perdam sapientes ex Idumaea et intellectum de monte Esavi. Et parebunt bellatores tui e Themane, ut auferatur homo de monte Esavi, propter caedem atque impietatem in fratrem tuum Jacobum; et ignominia te obteget et in aeternum deleberis.* Occumbent omnes quicunque apud vos rei bellicae periti feruntur vel fortitudinem jactant, quique proeliis in Themane pugnatis gloriantur (quae maxima videtur urbium vestrarum) metu instantium malorum fracti ignavia et timiditate corripientur. Tanta fiet civium vestrorum clades, propterea quod ipsi fratres vestros, Jacobo progenitos, qui vestri progenitoris germanus fuit, caedibus tradidistis. Idcirco ignominia suffundemini et supremum exitium adibitis.

καὶ παντελῆ τὴν ἀπώλειαν ὑπομενεῖς.

ια'. Ἀφ' ἧς ἡμέρας ἀντέστης ἐξεναντίας ἐν ἡμέρᾳ αἰχμαλωτευόντων ἀλλογενῶν δύναμιν αὐτοῦ· καὶ ἀλλότριοι εἰσῆλθον εἰς πύλας αὐτοῦ ἐπὶ Ἱερουσαλὴμ ἔβαλον κλήρους, καὶ σὺ ἧς ὡς εἷς ἐξ αὐτῶν. τῶν δὲ ἐπελευσομένων σοι κακῶν ἐξ ἐκείνου δέδεξαι τὴν ἀπόφασιν, ἐξότεπερ τοιαῦτα κατὰ τῶν ἀδελφῶν τετόλμηκας τῶν οἰκείων, ὅτε μὲν ἀλλότριοι αὐτοὺς αἰχμαλώτους ἐλάμβανον, σὺ δὲ ἀντέστης ἐξεναντίας, ἵνα εἴπῃ ἐν τῇ τῶν ἐχθρῶν ἔταξας σαυτὸν μερίδι, καὶ ἀλλογενεῖς μὲν αὐτῶν εἴς τε τὰς λοιπὰς πόλεις εἰσῄεσαν καὶ πρὸς ταῖς λοιπαῖς καὶ τὴν Ἱερουσαλὴμ καὶ δὴ καὶ κλήρῳ τὰ ἐνόντα διενείμαντο πάντα, σὺ δὲ ἐκοινώνεις τοῖς τοιαῦτα τολμῶσιν. —

ιβ'.—ιδ'. Καὶ μὴ ἐπίδῃς ἡμέραν ἀδελφοῦ σου ἐν ἡμέρᾳ ἀλλοτρίων, καὶ μὴ ἐπίχαιρε ἐπὶ τοὺς υἱοὺς Ἰούδα ἐν ἡμέρᾳ ἀπωλείας αὐτῶν, καὶ μὴ μεγαλορημονήσῃς[1]) ἐν ἡμέρᾳ θλίψεως αὐτῶν, μηδὲ εἰσέλθῃς εἰς πύλας λαῶν ἐν ἡμέρᾳ πόνων αὐτῶν καὶ μὴ ἐπίδῃς καὶ σὺ ἐπὶ τὴν συναγωγὴν

V. 11. *Ex quo die adversarius constitisti, eo die quo alienigenae in captivitatem redigebant potentiam ejus, et extranei ingrediebantur portas ejus, superque Hierosolymam sortes mittebant, tu quoque eras tanquam unus ex iis.* Instantium tibi malorum eo tempore causam tibi conciliasti, exquo adversus fratres tuos talia facere ausa es; quum extranei eos captivitati impediebant, tu ex adverso constiteras, id est in hostium partes abieras. Utique alienigenae cunctas urbes, et inter eas etiam Hierosolymam occuparunt, omniaque in iis inventa sortibus diviserunt; tu vero talia audentium particeps eras.

V. 12—14. *Neque despicias diem fratris tui die alienorum; neque laeteris de filiis Judae die perniciei eorum; neque superbe loquaris die calamitatis eorum; neque ingrediaris portas populorum die cladis eorum; neque despicias congregationem eorum die interitus eorum; neque inve-*

[1]) Leg. μεγαλοῤῥημονήσῃς.

αὐτῶν ἐν ἡμέρᾳ ὀλέθρου αὐτῶν, μηδὲ συνεπίθῃ ἐπὶ τὴν δύναμιν αὐτῶν ἐν ἡμέρᾳ ὀπωλείας αὐτῶν, μηδὲ ἐπιστῇς ἐπὶ τὰς διεκβολὰς αὐτῶν ἐξολοθρεῦσαι τοὺς ἀνασωζομένους ἐξ αὐτῶν, μηδὲ συγκλείσῃς τοὺς φεύγοντας αὐτῶν ἐν ἡμέρᾳ θλίψεως. Τὸ μὲν ἐπίδῃς ἀντὶ τοῦ ἵνα μὴ ἐφησθῇς, λέγει, ἵνα μὴ ταῦτα, φησὶ, ποιῇς· ἀκολούθως γὰρ τοῖς ἀνωτέροις εἰπεῖν βούλεται, ὅτι ὑπὲρ τούτων δώσεις δίκην καὶ τὴν μηνυομένην ὑπομενεῖς τιμωρίαν, ἐπειδὴ ἐπέχαιρες ταῖς τοῦ ἀδελφοῦ συμφοραῖς καθ᾽ ὃν ἐκεῖνοι καιρὸν τὴν ὑπὸ τῶν ἀλλοτρίων ὑπέμενον ἀπώλειαν, καὶ ἐν ἀνάγκαις αὐτῶν ἐξεταζομένων ἐφθέγγου ῥήματα οἷα εἰκὸς ἐπὶ τῇ αὐτῶν ἡδόμενος ἀπωλείᾳ (τὸ γὰρ μεγαλορημονήσῃς[1]) τοῦτο λέγει,) καὶ ἐν ἀνάγκαις ὄντων ἐκείνων, εἰσῄεις καὶ αὐτὸς εἰς τὴν πόλιν μετὰ τῶν λοιπῶν τὰ ἐνδεχόμενα κακὰ διαθήσων αὐτοὺς, κἂν εἴ τινες δὲ αὐτῶν διαφυγεῖν πως ἠδύναντο τὴν σωτηρίαν τούτῳ πορίζεσθαι προσδοκῶντες, καὶ τούτους ἀπολλύειν ἐσπούδαζες, συλλαμβανόμενός τε τοὺς φεύγοντας ἐξ αὐτῶν καὶ παραδιδοὺς τιμωρίᾳ. τοῦτο γὰρ λέγει τὸ μηδὲ ἐπιστῇς ἐπὶ τὰς διεκβολὰς αὐ-

[1]) Leg. rursus: μεγαλοῤῥημονήσῃς.

haris in potentiam eorum, die, quo peribunt; neque steteris in exitibus eorum, ut evadentes perdas, neque fugitivos concludas die calamitatis eorum. Verbum *despicias* pro *delecteris* positum est, et idem est quod, cave talia facias. Superioribus convenienter dicit, erit ut poenas lues de his maleficiis, praedictamque perferas animadversionem, quia laetata es fratrum tuorum adversis casibus, quo tempore ab hostibus vastàbantur, et dum angustiis premerentur verba locuta es, quibus uti solent ii, qui alieno exitio gaudent; (hoc enim significat dictio, Superbe loqui); et illis calamitate obrutis urbem cum hostibus ingressa es, ut eorum cladem augeres. Quodsi qui forte viam fugae nanciscerentur inde salutem se consecuturos sperantes, etiam eos tu perdere satagebas, capiens fugitivos ac punientibus tradens. Hoc enim indicant verba, *Ne steteris in exitibus eorum ut evadentes perdas neque fugitivos concludas die calamitatis eorum*; quibus omnibus is inest sensus: Quia fra-

τῶν ἐξολοθρεῦσαι τοὺς ἀνασωζομένους ἐξ αὐτῶν, μηδὲ συγκλείσῃς τοὺς φεύγοντας αὐτῶν ἐν ἡμέρᾳ θλίψεως· δι' ὅλων βουλόμενος εἰπεῖν, ὅτι ὑπὲρ ὧν ἥσθης ἐπὶ τῇ τῶν Ἰσραηλιτῶν ἀπωλείᾳ ἀδελφῶν ὄντων σῶν, καὶ δὴ καὶ τοῖς πολεμίοις συνέπραξες κατ' αὐτῶν, καὶ ἥσθης ἐπὶ τοῖς αὐτῶν κακοῖς, διαφόροις τε αὐτοὺς καὶ αὐτὸς κατὰ τὴν οἰκείαν δύναμιν περιβέβληκας[1]) τοῖς κακοῖς, ὑπὲρ τούτων δὴ τὴν μέλλουσαν ὑπομενεῖς τιμωρίαν. Ὅθεν ἐπάγει.

trum tuorum Israelitarum exitio laetata es, quin et hostibus contra eos suppetias tulisti, malisque eorundem gavisa es, atque eos pro facultate tua detrimentis adfecisti; idcirco paratam tibi lues poenam. Quare addit:

ιε'. *Διότι ἐγγὺς ἡμέρα κυρίου ἐπὶ πάντα τὰ ἔθνη· ὃν τρόπον ἐποίησας οὕτως ἔσται σοί· τὸ ἀνταπόδομά σου ἀνταποδοθήσεταί σοι εἰς κεφαλήν σου·* ἥκει γὰρ ὁ καιρὸς, καθ' ὃν ἅπαντας μὲν τιμωρήσεται τοὺς ὅ, τι δήποτε πεπραχότας εἰς αὐτοὺς, μάλιστα δὲ πάντων βαρεῖαν ἐπάξει σοὶ τὴν τιμωρίαν, ἀνάλογόν σοι τὴν συμφορὰν ἐπάγων οἷς πεποίηκας κατ' αὐτῶν. —

V. 15. *Quia prope est dies Domini super omnes gentes. Quae aliis fecisti, eadem tibi fient; retributio tua retribuetur in caput tuum.* Venit enim tempus, quo Deus puniet omnes, qui aliquando ullo modo Israelitas vexarunt; gravem autem prae caeteris tibi imponet poenam paremque maleficiis quae in eos commisisti immittet calamitatem.

ις'. *Διότι ὃν τρόπον ἔπιες ἐπὶ τὸ ὄρος μου τὸ ἅγιον, πίονται πάντα τὰ ἔθνη οἶνον, πίονται καὶ ἀναβήσονται καὶ ἔσονται καθὼς οὐχ ὑπάρχοντες.* Αὐτός τε γὰρ ὑπὲρ ὧν εἰς τὸ ὄρος τὸ ἐμὸν τούς τε[2]) οἰκοῦντας ἐν

V. 16. *Quia quemadmodum bibisti in monte meo sancto, sic bibent omnes gentes vinum, bibent et adscendent, eruntque perinde ac si non essent.* Nam et ipse propterea quod contra montem meum incolasque

[1]) Apud Majum: περιεβέβληκας. — [2]) τε apud Majum deest.

αὐτῷ τοιαῦτα τετόλμηκας, δέδεξαι τὴν τιμωρίαν· οἱ κοινωνήσαντές[1]) τε σοι τῆς γνώμης ταύτης καὶ τῶν πράξεων, ὡς εἰκὸς κοινωνήσουσι τῆς τιμωρίας παντελεῖ ληφθέντες ἀπωλείᾳ, ὡς μηδὲν ἀπεοικέναι τῶν καθάπαξ οὐκ ὄντων. Τὸ μὲν γὰρ ἔπιες καὶ πίονται τὴν τιμωρίαν δηλοῖ τὴν αὐτοῖς τε ἐπαχθησομένην καὶ τοῖς λοιποῖς· ὡς τὸ[2]), „Ποτήριον ἐν χειρὶ κυρίου οἴνου ἀκράτου πλῆρες κεράσματος, καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο, πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώθη, πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς.“ Τὸ δὲ ἐπὶ τὸ ὄρος μου τὸ ἅγιον, ἵνα εἴπῃ, ὑπὲρ ὧν εἰς τὸ ὄρος τὸ ἐμὸν εἰς τε τοὺς οἰκοῦντας ἐν αὐτῷ τοιαῦτα τετολμήκατε, δέδεξαι τὴν τιμωρίαν· οἱ κοινωνήσαντές τέ σοι τῆς γνώμης ταύτης καὶ τῶν πράξεων, ὡς εἰκὸς κοινωνήσουσι τῆς τιμωρίας, παντελεῖ ληφθέντες ἀπωλείᾳ.

ιζ΄. Ἐν δὲ τῷ ὄρει Σιὼν ἔσται ἡ σωτηρία καὶ ἔσται ἅγιον καὶ κατακληρονομήσουσιν ὁ οἶκος Ἰακὼβ τοὺς κληρονομήσαντες[3]) αὐτούς. Περὶ μὲν οὖν ὑμᾶς τε καὶ τοὺς κεκοινωνηκότας ὑμῖν τῆς γνώμης

ejus invectus es, supplicio non carebis. Qui sententiae tuae factorumque tuorum participes fuerunt, iidem poenae quoque socii erunt, internecivo traditi exitio, ita ut ab iis nil differant, qui plane non fuerunt. Nam verba *bibisti* et *bibent* poenam significant Idumaeis aliisque Israelitarum hostibus infligendam, veluti etiam istud „Calix in manu domini plenus misto, et inclinavit ex hoc in hoc, verumtamen fex ejus non est exinanita; bibent omnes peccatores terrae.“ Verba vero, *in monte meo sancto* significant: propterea quod in montem meum ejusque incolas talia ausus es, idcirco poenam solves, et qui tecum conspiraverunt animo factisque, ut par est, etiam poenae erunt socii capitalique vindicta punientur.

V. 17. *In Sione autem monte salus erit et sanctitas, et possidebit domus Jacobi eos, qui ipsos possederant.* Vobis itaque sociisque consiliorum vestrorum haec accident. Incolumes

[1]) Apud Majum οἰκονομήσαντες. — [2]) Ps. LXXIV, 9. — [3]) Leg. κληρονομήσαντας.

ταῦτα γενήσεται, περισωθήσονται δὲ, καὶ πάσης ἀνάγκης ἔξω γενήσονται ἐν τῷ ὄρει τῷ Σιὼν πρότερον πολημηθέντες, ὥστε ὄντως αὐτὸ διὰ τῆς τούτων βοηθείας ἅγιον φανῆναι, ἐπεὶ καὶ πάντας τοὺς πρότερον αὐτῶν κεκρατηκότας ὑποχειρίους ἕξουσιν οἱ ἀπόγονοι τοῦ Ἰακὼβ, οὓς ἐπολεμεῖτε ἔνθεν ὑμεῖς μετὰ τῶν λοιπῶν.

autem erunt, atque omni adversitate vacabunt, in monte Sione qui antea bellis appetebantur; atque ita mons ille propter horum securitatem reapse sanctus videbitur; immo vero cunctis dominabuntur, qui ipsos antea devicerant, Jacobi posteri, quibus vos nuper cum sociis vestris bellum intuleratis.

ιη'. Καὶ ἔσται ὁ οἶκος Ἰακὼβ πῦρ καὶ ὁ οἶκος Ἰωσὴφ φλὸξ, ὁ δὲ οἶκος Ἡσαῦ εἰς καλάμην, καὶ ἐκκανθήσονται εἰς αὐτοὺς καὶ καταφάγονται αὐτούς. Οὕτω γὰρ κρατήσουσιν ἁπάντων οἱ Ἰσραηλῖται τῶν Ἰδουμαίων, ὥστε δίκην πυρὸς καλάμην ἀναλίσκοντος ἅπαντας αὐτοὺς ἀφανίσαι τῷ κράτει τοῦ πολέμου. — Καὶ οὐκ ἔσται πυρφόρος τῷ οἴκῳ Ἡσαῦ, ὅτι κύριος ἐλάλησεν. ἐπειδὴ πῦρ ἔφη τὸν Ἰσραὴλ ἔσεσθαι τῷ Ἡσαῦ, ἀντὶ τοῦ οὐθεὶς ἔσται ἐν αὐτοῖς, ὃς διαθεῖναί τι δυνήσεται τοὺς Ἰσραηλίτας κακὸν, ἀλλὰ πείσονται μὲν παρ' αὐτῶν οὐ τὰ τυχόντα, ἀμῦναι δὲ ἑαυτοῖς ἢ ποιῆσαί τι πρὸς βλάβην ἐκείνων οὐ δυνήσονται καθάπαξ οὐδέν· τὰ δὴ πάντα γενήσεται πάντως, ἐπειδὴ θεός ἐστιν ὁ ἀποφηνάμενος γενέσθαι.

V. 18. *Et erit domus Jacobi ignis, et Josephi domus erit flamma, et domus Esavi stipula; et succendentur in eos et devorabunt eos.* Sic, inquit, Israelitae superabunt Idumaeos, ut instar ignis stipulam absumentis, eosdem belli vi deleturi sint. — *Nec erit flammiger in Esavi domo, quia Dominus locutus est.* Quoniam ignem dixit Israelem Esavo fore, significat, neminem fore inter eos, qui Israelitas malis petere possit, sed illos ab his quaelibet perpessuros esse, quin tamen defendere se possint, vel quidquam ad illorum damnum moliri; haec vero ad amussim omnia fore, quoniam Deus ea futura esse dixerit.

ιθ' — κα'. Καὶ ἐπειδήπερ ἐν τοῖς ἀνωτέροις ἔφη, ὅτι κατακληρονομήσουσιν ὁ οἶκος Ἰακὼβ τοὺς κατακληρονομήσαντας αὐτοὺς, πλατύτερον αὐτὸ βουλόμενος εἰπεῖν, λέγει, ὅτι οἱ μὲν ἐν Ναγὲβ Ἰσραηλῖται κατακληρονομήσουσι τοὺς προσήκοντας τόπους τῷ Ἡσαῦ, οἱ ἐν Σιφελᾶ δὲ τοὺς τῶν ἀλλοφύλων, κομιοῦνται δὲ καὶ τὴν οἰκείαν χώραν ὡς εἰκὸς, οἱ μὲν τοῦ Ἐφραΐμ τὸ τῆς Σαμαρείας πεδίον, τὴν Γαλααδῖτιν δὲ ὁ Βενιαμίν· τῆς τε μετοικίας αὐτῶν τῆς ἐπὶ τὰ οἰκεῖα ἀρχὴ μὲν αὐτοῖς γενήσεται ἡ Σαρεφθῶν χώρα, τέλος δὲ ἡ Ἐφραθά. Βούλεται δὲ εἰπεῖν, ὅτι πάντας τῶν Χαναναίων τοὺς ἐν μέσῳ καθέξουσι τόπους, οὕσπεροῦν καὶ πρότερον εἶχον· οὕτω δὲ καὶ τὰς Ναγὲβ πόλεις ἑαυτῶν ὑποδέξονται ἁπάσας· ἅπαντες συντόμως εἰπεῖν οἱ τῷ Σιὼν ὄρει προσήκοντες καὶ τὴν αὐτόθι τῷ θεῷ προσήκουσαν θρησκείαν ἐκτελοῦντες, αὐτοί τε πάσης τεύξονται σωτηρίας, καὶ μεγίστην τινὰ τοῖς τοῦ Ἡσαῦ τὴν τιμωρίαν ἐπάξουσιν, ἀνθ' ὧν πεπόνθασι παρ' αὐτῶν. — Οἷς ἐπήγαγεν ἅπασιν ἐν αὐτῷ συμπεράνας τὴν προφητείαν· Καὶ ἔσται τῷ κυρίῳ ἡ βασιλεία, ἵνα εἴπῃ, ὅτι διὰ πάντων ὧν τε εὖ πάσχουσιν Ἰσραηλῖται καὶ ὧν ὑπομένουσι δίκας διδόντες οἱ πα-

V. 19—21. Et quoniam in superioribus dixit, fore, ut domus Jacobi eos possideat, qui ipsos antea possederant, fusius jam idem dicturus, ait, Israelitas Nagebum habitantes, locos, qui Esavi sint, in potestatem suam redacturos esse; Siphelae autem incolas regionem alienigenarum occupaturos; praeter quam quod patriam etiam regionem, uti par est, obtinebunt; nempe Ephraimitae Samariae planitiem Benjamitae Galaaditidem. Jam vero postliminii eorum initium regio Sareptae erit, finis autem Ephrata. Nempe ait, possessuros eos intermediam omnem Chananaeorum regionem, quam etiam antea habuerunt. Summatim ut dicam, omnes qui Sioni monti sunt proximi, et legitimam ibi Deo persolvent religionem, et ipsi summam adipiscentur salutem, et gravissimam Esavi posteris infligent poenam, propterea quod ipsi ab his vexati fuerint. — Quibus omnibus tanquam finem vaticinii haec addit propheta: *Et erit Domino regnum*, id est, et Israelitarum prosperitate et eorum, qui illis adversabantur supplicio, Deus

φανερομηκότες εἰς αὐτοὺς, φανεῖται βασιλεὺς ἀληθὴς ὁ θεὸς, ὁ κύριός τε καὶ ποιητὴς τῶν ἁπάντων κατ᾽ ἐξουσίαν ἃ βούλεται περί τε τοὺς οἰκείους καὶ περὶ τοὺς ἀλλοτρίους εἶναι δοκοῦντας ποιῶν. —

vere rex comprobabitur dominusque et creator omnium, qui seu suorum seu etiam illorum, qui videntur alieni, pro suae voluntatis arbitrio, vitam fortunasque temperat. —

ʽΕΡΜΗΝΕΙΑ ʼΙΩΝΑ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

COMMENTARIUS IN JONAM PROPHETAM.

ΠΡΟΟΙΜΙΟΝ.

αʹ. Εἷς καὶ ὁ αὐτὸς τῆς τε παλαιᾶς καὶ νέας διαθήκης ὑπάρχων θεὸς ὁ δεσπότης καὶ ποιητὴς τῶν ἁπάντων, πρὸς ἕνα σκόπον ὁρῶν τά τε κατ᾽ ἐκείνην ᾠκονόμησε καὶ τὰ κατ᾽ αὐτὴν[1]), πάλαι μὲν ἔχων βεβουλευμένον παρ᾽ ἑαυτῷ τὸ τὴν μέλλουσαν ἐκφῆναι κατάστασιν, ἧσπερ τὴν ἀρχὴν ἐν τῇ κατὰ τὸν δεσπότην Χριστὸν ἀνέδειξεν οἰκονομίᾳ, ἀναγκαῖον δὲ νομίσας ἐν ταύτῃ δὴ, τῇ παρούσῃ λέγω, πρότερον ἡμᾶς γενέσθαι, εἶθ᾽ ὕστερον εἰς ἐκείνην μεταστῆναι διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως, ὡς ἂν ἐκ παραθέσεως μᾶλλον γνοίημεν τῶν τε δειχθησομένων τὸ μέγεθος ἀγαθῶν, εἶθ᾽ ὡς ἂν τοῦτο γένηται δῆλον, καὶ μὴ καινόν τι νομίζοιτο ὕστερον βεβουλεῦσθαί

[1]) F. l. κατὰ ταύτην.

PRAEFATIO.

1. Unus idemque veteris ac novi foederis qui est Deus, dominus et creator omnium rerum, unum secutus finem illius pariter atque hujus res ordinavit: et ab antiquis quidem temporibus apud se firmissime decreverat, futuram rerum conditionem in lucem edere, cujus initium Christi domini oeconomia factum declaravit: necessarium tamen judicavit antea hanc praesentem nos conditionem experiri, tum ad futuram transferri per resurrectionem e mortuis. Quae voluit, ut ex comparatione nobis apertius innotesceret promissorum magnitudo bonorum, deinde etiam quo id consilium pa-

τε καὶ δεδοκιμακέναι περὶ ἡμῶν, διὰ πολλῶν μὲν ἤδη καὶ ἑτέρων ἐναπέθετο τοῖς ἀνθρώποις τοῦ δεσπότου Χριστοῦ τὴν παρουσίαν, ὥστε πάντας Ἰουδαίους πόῤῥωθεν ἀπεκδέχεσθαι ταύτην· οὐδενὸς δὲ ἧττον ἔκ τε τῶν κατὰ τὸν Ἀβραὰμ καὶ τὸν Δαυὶδ εἴργασται τοῦτο, πρὸς οὓς ἐπαγγελίας ἐποιήσατο, τὸν μὲν [1]), ὅτι ἐνευλογηθήσεται ἐν τῷ σπέρματι αὐτοῦ πάντα τὰ ἔθνη, τὸν δὲ [2]), ὅτι διηνεκῆ παρέξει τοῖς ἐξ αὐτοῦ τὴν βασιλείαν· ἅπερ οὖν τῷ μὲν δοκεῖν λαὸν ἐμήνυε τὸν ἐφ᾽ οὗπερ ταῦτα πληροῦσθαι ἤμελλεν, ἡ δὲ τῶν πραγμάτων ἀλήθεια ἐπὶ τῶν κατὰ τὸν δεσπότην Χριστὸν οἰκονομηθέντων λαβοῦσα τὸ πέρας, ἐφ᾽ οὗπερ καὶ τὸ ἐνευλογηθῆναι τὰ ἔθνη γέγονεν ἀληθῶς, καὶ διηνεκῆ δὲ καὶ ἀσάλευτον εἶναι τῷ σπέρματι τὴν βασιλείαν. Διὰ δὲ τοῦτο καὶ ἡ περὶ τὸν λαὸν ἐπιμέλεια τοῦ θεοῦ πολλή τις γέγονεν, ἐπειδὴ πάντες ἐπὶ ταῖς ἐπαγγελίαις φυλαττόμενοι ταῖς εἰρημέναις τὴν προσδοκωμένην παρουσίαν ἀνέμενον τοῦ δεσπότου Χριστοῦ. —

β'. Ἀλλὰ γὰρ ταύτης ἕνεκεν τῆς αἰτίας πλεῖστα ὅσα ἐπὶ τῆς

iam fieret, nec aliquid novi excogitatum postea decretumque videretur, aliis quoque permultis indiciis. Christi domini adventum hominibus portenderat, ita ut Judaei omnes hunc jam diu exspectarent. Nec minus idem ex oraculis Abrahamo Davidique editis confici poterat, quibus promissiones dederat; et illi quidem, fore ut omnes gentes in semine ejus benedicerentur; huic vero, fore ut posteris ejus perpetuum attribueretur regnum. Et haec quidem secundum litteram populum significabant, cujus causa hae res efficiendae erant, rerum autem veritate in Christi domini incarnatione exitum habere comperta sunt, in quo etiam benedici gentes vere contigit et perpetuum incocussumque regnum fieri. Propterea etiam Dei circa populum providentia multa fuit, quoniam omnes, promissionum dictarum memores, exoptatum Christi domini praestolabantur adventum.

2. Atque haec causa fuit, cur plurima in vetere testa-

[1]) Gen. XVIII, 18. — [2]) II. Reg. VII, 11.

παλαιᾶς διαθήκης κατὰ τοῦτον ᾠκονόμησε τὸν τρόπον, ὡς ἂν καὶ τοῖς τότε μεγίστην τὰ γινόμενα παρέχοιτο τὴν ὠφέλειαν, καὶ μήνυσίν τινα τῶν πραγμάτων ἔχῃ τῶν ὕστερον δειχθησομένων, μετὰ τοῦ καὶ τὴν ὑπεροχὴν τῶν δευτέρων πρὸς τὰ πρότερα πλείστην τινὰ φανήσεσθαι οὖσαν. εὑρίσκετό τε κατὰ τοῦτον τὸν τρόπον τύπος τις τὰ παλαιὰ τῶν ὕστερον, ἔχοντα μὲν τινα μίμησιν πρὸς ταῦτα μετὰ τοῦ καὶ χρείαν ἐν τοῖς οἰκείοις παρεσχέσθαι καιροῖς, δηλούμενα δὲ ἐξ αὐτῶν τῶν πραγμάτων ὁπόσον ἠλάττωνται αὐτά.

γ΄. Ἐξήγαγε μὲν οὖν τῆς Αἰγύπτου τὸν Ἰσραὴλ ὁ θεὸς, καὶ πάσης τῆς πικρᾶς ἐκείνης ἀπήλλαξε δουλείας, ἐργασάμενος δὲ θάνατον τῶν πρωτοτόκων πολὺν, διὰ τοῦτο τὰ τῶν Ἰσραηλιτῶν περιέσωσε παντελῶς, ἀπεροῦν καὶ σημείῳ διέκρινε πρὸς τὸ μηδὲν παραπλήσιον τοῖς Αἰγυπτίοις παθεῖν. ἦν δὲ τοῦτο ἡ ἐπὶ τῶν φλιῶν τοῦ αἵματος χρίσις. Ταῦτα δὲ πολλὴν μὲν τοῖς Ἰσραηλίταις γινόμενα τότε παρείχετο τὴν ὠφέλειαν τοῖς γε ἐν ἀπολαύσει τοιούτων καθισταμένοις, προεσημαίνετο δέ πως ὡς ἐν τύποις τὸ καὶ τὸν δεσπότην Χριστὸν οὐ-

mento Deus secundum ejusmodi administraverit rationem, ita ut res gestae tum ejus temporis hominibus maximam praeberent utilitatem, tum etiam significationem haberent rerum postea gerendarum, simulque clare cognosceretur, prius facta rebus serius gestis multo inferiora fuisse. Eo igitur modo intelligebatur, vetera esse typum quendam posteriorum; eorumque quodammodo imitationem habere: et temporum suorum usui erant accommodata. Attamen re ipsa demonstrabant, quantopere illa praèsentibus minora fuerint.

3. Deus igitur Israëlem ex Aegypto eduxit, omnique illa acerba expedivit servitute, editaque ingenti primogenitorum caede, hinc rem Israeliticam integrae saluti restituit; eosque signo quodam discriminavit, ne similia cum Aegyptiis paterentur, sanguinem dico postibus adspersam. Haec multum ejus aetatis Israelitis emolumentum exhibuerunt, quibus ejusmodi bono frui datum erat; simul autem portendebant, typi instar, fore ut dominus Christus nos eodem modo

τως ἡμᾶς ἀφαιρήσεσθαι, οὐ τῆς Αἰγύπτου δουλείας, ἀλλὰ τῆς τε τοῦ θανάτου καὶ τῆς ἁμαρτίας, ἀπεροῦν ἡμῖν παρέσχε τῇ χρίσει τοῦ αἵματος τοῦ οἰκείου· τοῦτο γὰρ ὑπὲρ ἁπάντων ἐκχέας καὶ τὸν θάνατον ὑποστὰς τὸν ὑπὲρ ἡμῶν, εἰργάσατό τε τῶν νεκρῶν τὴν ἀνάστασιν, καὶ παρέσχεν ἅπασιν ἡμῖν τὸ πάσης τῆς ἐνταῦθα δουλείας ἀπαλλαγεῖσιν ἀπεκδέχεσθαι τῆς τε ἀθανασίας καὶ τῆς ἀφθαρσίας καὶ τῆς ἀναμαρτησίας τὴν ἀπόλαυσιν· μεθ᾽ ὧν οὐ γῆν ἐπαγγελίας οἰκήσομεν ὡς ἐκεῖνοι, ἀλλ᾽ ἐν τῇ τῶν οὐρανῶν ἐσόμεθα βασιλείᾳ. Ὁπόσον δὲ τούτων πρὸς ἐκεῖνο τὸ διάφορον, καὶ ὅτι ἐκείνων μὲν ἐπ᾽ ὀλίγον ἐγένετο τὸ κέρδος τούτων δὲ μεγίστων τε ὄντων καὶ πολλῶν διηνεκὴς ἡ ὠφέλεια τοῖς λαβοῦσι προσέσται, ἐξ αὐτῶν ἅπασι δῆλον καθέστηκε τῶν πραγμάτων. Οὕτω καὶ τοὺς ἐπταικότας τῶν Ἰσραηλιτῶν τιμωρίαις ἐπέβαλεν ἐπὶ τῆς ἐρήμου, ὡσὰν ἔν τισι τύποις παιδεύων ἡμᾶς δεδοικέναι τὴν ἁμαρτίαν, ὡς ἱκανήν τε οὖσαν τοῖς χείροσιν ἡμᾶς περιβαλεῖν. Τοῦτο δὲ ὁ μακάριος δηλοῖ Παῦλος λέγων [1]· „ταῦτα δὲ πάντα τύποι συνέβαινον ἐκείνοις, ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώ-

servaret, non ex Aegypti, sed mortis ac peccati servitio; id quod nobis praestitit sanguinis sui adspersione. Eo enim pro nobis omnibus fuso, et morte pro nobis obita, mortuorum effecit resurrectionem, fecitque ut nos omni hac servitute soluti immortalitatis, incorruptibilitatis et impeccantiae bonum reciperemus, quo impetrato haud jam promissam terram ut illi incoleremus, sed in regno versaremur coelorum. Quantum vero haec ab illis differant, et Israelitas ad breve tantum tempus commoda illa consecutos fuisse, nos vero bona maxima et plurima cum aeterna utilitate tenere, id cuivis e rebus ipsis apparet. Sic etiam Israelitas, qui peccarunt in deserto, poenis subjecit Deus, ut his veluti exemplaribus peccata nos doceret evitare, ut quae malis nos injicere soleant. Id quod beatus docet Paulus, quum ait: „Haec omnia illis in imagine contingebant, scripta autem sunt ad nos erudiendos, in quos finis saeculorum devenit.“ Ita igitur legis institutis illos ex victimis et

[1]) I. Cor. X, 11.

νων κατήντησεν.“ Οὕτω διὰ τῆς νομικῆς διατάξεως, ταῖς τε θυσίαις καὶ τῷ αἵματι τῶν ἀλόγων ζώων, ἔταξεν ὠφελεῖσθαι τοὺς χρωμένους, ἵν᾿ ἐκ παραθέσεως ἡμῖν τὸ πιστεύειν μειζόνως προσῇ, ὅτι μεγίστων ἀγαθῶν ἐν τῷ αἵματι τευξόμεθα τοῦ δεσπότου Χριστοῦ. ὅθεν ὁ μακάριος λέγει Παῦλος [1]· „εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα, πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ πνεύματος αἰωνίου ἄμωμον ἑαυτὸν προσήνεγκε τῷ θεῷ, καθαριεῖ τὴν συνείδησιν ἡμῶν ἀπὸ νεκρῶν ἔργων;“ Ἐκ γὰρ τῆς τοῦ δεσπότου Χριστοῦ διαφορᾶς πρὸς τὰ ἄλογα ζῶα ἀρκούντως ἡμᾶς ἐπιστώσατο, ὅτι πολλῷ πλέον ἡμᾶς τούτοις προσῆκε πιστεύειν, ἢ ἐπ᾿ ἐκείνοις ἐπίστευον οἱ τότε. — Καὶ κατὰ τὴν ἔρημον δὲ τῶν Ἰσραηλιτῶν δι᾿ ἀπείθειαν, ταῖς τῶν ὄφεων ἀπολλυμένων πληγαῖς ἐκέλευσεν ὁ θεὸς τῷ μακαρίῳ Μωσῇ χαλκοῦν ἀπεργάσασθαι ὄφιν ὡς ἂν ἐπ᾿ αὐτὸν ἀποβλέποντες οἱ πληττόμενοι τῆς βλάβης τῶν πληττόντων ῥᾳδίαν δέχοιντο τὴν λύσιν. δυναμένου μὲν τοῦ θεοῦ καὶ τοῦ πλήττεσθαι παντελῶς ἔξω ποιῆσαι, ἢ ἑτέραν

brutorum animalium sanguine fructus percipere voluit, ut nos ea intuentes eo firmius crederemus, fore ut summa per domini Christi sanguinem bona consequeremur. Unde ait beatus Paulus: „Si enim sanguis boum et hircorum et cinis vitulae irroratus, qui eo utuntur sanctificat ad carnis lustrationem, quanto magis sanguis Christi, qui per aeternum spiritum ipsum se obtulit innocentissimum, purgabit conscientiam nostram a mortuis operibus?“ Nam Deus per Christi Domini a brutis animalibus differentiam satis nos certiores fecit, multo magis nos his novis debere confidere, quam illi veteribus confidebant. — Jam quum Israelitae in deserto propter incredulitatem suam colubrorum morsibus interirent, mandavit Deus beati Mosi, ut aeneum conflaret colubrum, quem qui vulnerati adspicerent vulnerum suorum medicinam facilem recepturi essent. Atqui quamvis Deo liceret vel a morsibus omnino defendere Israelitas, vel aliam quamlibet suppeditare ictus

[1]) Hebr. IX, 13.

νων αὐτῷ, καὶ ταῦτα ἐπὶ σωτηρίᾳ γε τοσούτων πεμπόμενος ἀνθρώπων, ἀλλ᾽ οὐδὲ ἀπειθοῦντα πειραθῆναι πάντως τῶν κατὰ τὴν θάλατταν ἣν ἀνάγκη κακῶν· ὥστε καὶ ἐμβληθῆναι κήτει, καὶ ἐπ᾽ αὐτοῦ παραδόξως σωθῆναι, καὶ παραδοξότερον ἔτι τὴν ἐκεῖθεν ἀνάδυσιν ὑπομεῖναι· δυναμένου γε τοῦ θεοῦ ἑτέρως ὀκνοῦντα καὶ ἀπειθοῦντα τὸν προφήτην ἐπὶ τὸ δέον ἐγεῖραι, ὥσπεροῦν αὐτὸν ἐπί τε τοῦ Μωσέως ἔγνωμεν [1]) ποιοῦντα ὀκνοῦντος πρὸς τὴν ὑπουργίαν τῆς ἀποστολῆς, ἐπί τε τοῦ Ἱερεμίου φεύγοντος ὁμοίως κἀκείνου τῆς ὑπουργίας τὸ μέγεθος [2]). Ἀλλὰ γὰρ διὰ πραγμάτων οὕτω καινῶν τε καὶ παραδόξων προδήλως τὸν μακάριον Ἰωνᾶν ἀγαγεῖν ἠβουλήθη, ἐπειδὴ τύπον αὐτὸν τῶν κατὰ τὸν δεσπότην Χριστὸν ἤμελλεν ἀποφαίνειν, ὡς ταύτης ἕνεκεν τῆς αἰτίας διὰ τοσαύτης ἀπίστου καινότητος ἐνεχθεὶς ἀξιόπιστος γένοιτο τοῦ τοσούτου πράγματος τὸν τύπον ἐκφαίνων ἐν ἑαυτῷ.

credulitate perseverant, dum salutarem gentes recipiunt praedicationem. His de causis beatum Jonam a deo excitatum esse, perspicuum est. Alioqui enim non tam incredulus Deo perstitisset propheta, ut nihil eorum faceret, quae jubebatur, praesertim quum ad tot hominum curandam salutem mitteretur, neque incredulum experiri eum opus fuisset marinam illam calamitatem, ceto nimirum objici, prodigiose intra ejus ventrem servari, multo vero prodigiosius etiam illinc exitum nancisci. Quippe deo licebat aliter ad officium cogere renuentem incredulumque prophetam, sicuti ab eo factitatum novimus, quo tempore Moses divinae legationis munus subire cunctatus est; itidemque quum Jeremias ejusdem muneris magnitudinem similiter reveritus est. Plane igitur constat, libitum esse Deo, tam insolitis mirisque casibus beatum exercere Jonam, quo typum eum exhiberet, gerendarum in Christo domino rerum, ita ut hanc ob causam per tam incredibilem novitatem deductus, dignus

[1]) Cf. Exod. III, 11. — [2]) Jerem. I, 6.

fide evaderet, se tantae rei in semet ipso exhibere typum.

ε'. Προηγουμένην μὲν οὖν τῶν κατὰ τὸν μακάριον Ἰωνᾶν οὕτως παραδόξων γεγονότων ταύτην αἰτίαν εἴποι τις ἄν, ἑπομένην δὲ κἀκείνην ἐκ τοῦ τύπου τὴν ἀρχὴν λαβοῦσαν· ἀθυμεῖν γὰρ οὐχ ὡς ἔτυχεν ἀνάγκη τοὺς προφήτας ἦν, ὅτι συνεχῶς πρὸς τὸν λαὸν παρὰ τοῦ θεοῦ πεμπόμενοι ἐμήνυόν τε αὐτοῖς τὰ ἐσόμενα καὶ τὰς ἐπαχθησομένας τιμωρίας ἠπείλουν, καὶ πάντα δὴ τὰ πρὸς διόρθωσιν αὐτῶν συντελοῦντα μετὰ πολλῆς διεπράττοντο τῆς σπουδῆς, ἤνυον δὲ πλέον οὐδὲν, τῆς τῶν Ἰσραηλιτῶν κακίας ἀντιπραττούσης τῇ διὰ τῶν προφητῶν ἐπιμελείᾳ παρὰ τοῦ θεοῦ περὶ αὐτοὺς γινομένῃ· ἀφ' οὗ δὴ καὶ περιττὸν ὡς εἰκὸς ᾤοντο τὸν ἑαυτῶν εἶναι πόνον, καὶ δὴ καὶ πρὸς ἀπόγνωσιν παντελῆ τῶν ἀνθρωπείων ἐχώρουν πραγμάτων, ὡς τῶν μὲν ἐθνῶν πρὸς τὸ χεῖρον ἅπαξ νευόντων, τῶν δοκούντων δὲ εἰς τὴν γνῶσιν ἐξειλέχθαι τὴν θείαν οὐδὲν ἐλαττουμένων τῇ τε ἀσεβείᾳ καὶ τῇ τῶν τρόπων μοχθηρίᾳ ἐκείνων. Οὕτω δὴ διακειμένους αὐτοὺς ψυχαγωγῆσαι βουλόμενος ὁ θεὸς, ὁ πολλὴν μὲν πάντων ἀνθρώπων ἐπιμέλειαν ποιούμενος, ἐξαίρετον δέ τινα νέμων τοῖς αὐτοῦ τὴν κηδεμονίαν πολλάκις μὲν ἐδήλωσεν

5. Praecipuam igitur prodigiorum, quae beato Jonae acciderunt, causam hanc dicere licet; secundariam vero illam, quae de typo originem duxit. Necesse enim erat, haud mediocriter animum despondere prophetas, qui continenter ad populum a Deo missi futura vaticinabantur, imponendasque poenas minitabantur, et quidquid demum emendando mori conduceret magna quidem sedulitate peragebant, nihil tamen proficiebant propter Israelitarum malitiam curae quam Deus per prophetas circa eos gessit renitentem. Quamobrem hi inutilem jam existimabant laborem suum, ac de rebus humanis prorsus desperabant, quum gentes in vitia constanter ruerent, is autem populus, qui ad divinam videbatur electus cognitionem et impietate et morum pravitate ab illis nihil differret. Moestos itaque Deus prophetas ut recrearet, qui omnium quidem hominum multam gerit curam, peculiarem tamen providentiam electis suis impendit, saepenumero indicavit illis fu-

αὐτοῖς τὴν ἐπὶ τῆς δείξεως τοῦ δεσπότου Χριστοῦ γενησομένην μεταβολὴν τῶν ἀνθρωπείων πραγμάτων, ὅτε δὴ πάντες ἤμελλον ἐκ τοῦ χείρονος θείᾳ χάριτι νεύειν ἐπὶ τὸ κρεῖττον· τὸ τελευταῖον δὲ καὶ τὴν παράδοξον ταύτην ἐργασίαν διὰ τὴν κατὰ τὸν προφήτην Ἰωνᾶν πεποίηται εἰς διδασκαλίαν τε καὶ ψυχαγωγίαν πάντων τῶν προφητῶν, δι᾽ ὧν ἔργοις ἔπειθεν αὐτούς, ὡς ἀληθῆ μὲν ἔσται τὰ κατὰ τὸν δεσπότην Χριστὸν, καὶ ὅτι πάντες ἄνθρωποι θείᾳ χάριτι τότε μεταλεύσονται πρὸς τὸ δέον· νῦν μὲν Ἰουδαίων ἀνενδότως ἐχόντων περὶ τὴν τοῦ χείρονος αἵρεσιν, διὰ τὸ συγχωρεῖν οὕτω τὸν θεὸν εἰς ἔλεγχον τῆς ἀνθρωπίνης προαιρέσεώς τε καὶ ἀσθενείας, ἐπὶ δὲ τῆς τοῦ δεσπότου Χριστοῦ παρουσίας ὅταν τὴν οἰκείαν βούληται δεικνῦναι χάριν ὁ θεὸς, ἁπάντων ἀνθρώπων τῶν διὰ παντὸς πρὸς ἀσέβειαν νευόντων τὴν ἐπὶ τὸ κρεῖττον λαμβανόντων ῥοπήν. ὡς καὶ ὁ μακάριος Παῦλός φησιν [1])· „ὅτι συνέκλεισεν ἡ γραφὴ τὰ πάντα ὑπὸ ἁμαρτίαν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν,“ δεικνὺς ὅτι ἐκ τῶν προειληφότων τὴν ἐπὶ τὸ χεῖρον τῶν ἀνθρώπων ἐπαιδεύθημεν ῥοπὴν, ἵνα μάθωμεν, ὅτι θείας χάριτος δεόμεθα πρὸς τὸ

turam in Christi domini adventu rerum humanarum conversionem, quo tempore omnes divina gratia permoti a vitio ad virtutem redituri essent; denique vero hoc admirabile in Jona propheta patravit opus ad omnium prophetarum solatium atque eruditionem, quos re ipsa certiores fecit de indubio domini Christi adventu, docuit omnes homines per id tempus ad bonam frugem redituros esse, quamvis etiamnum valde ad malum inclinarent, Deo id permittente ob coarguendum mentis humanae liberum arbitrium ac fragilitatem; quando vero Deus sub Christi domini adventum gratiam suam patefacturus esset, tunc cunctos homines, hucusque impietati prorsus deditos, ad virtutem cursum directuros esse. Quare etiam beatus Paulus ait: „Scriptura omnia conclusit sub peccato, ut fide justificaremur;“ quibus significat, a majoribus nostris nos proclivitatem ad mala sectanda velut hereditatem accepisse, ut inde cognosceremus divina gratia nobis opus esse ad dis-

[1]) Gal. III, 22. assumtis e v. 24 verbis ἵνα ἐκ πίστεως δικαιωθῶμεν.

διαγνῶναί τε καὶ προθεῖναι πάντων τὸ κρεῖττον.

ς'. Τούτου γε ἀπόδειξιν αὐτάρκη παρέσχετο τοῖς προφήταις τὰ παρόντα, ἐν τοῖς κατὰ τὸν Ἰωνᾶν μάλιστα τοῦτο χρῆναι δειχθῆναι νομίζων, ὃς τύπον ἐν ἑαυτῷ τινὰ τῶν περὶ τὸν δεσπότην ἐσομένων παρέσχε τὸν Χριστόν. Ἀποστέλλει μὲν γὰρ αὐτὸν εἰς Νινευὴ την πόλιν μεγάλην οὖσαν καὶ πολυανθρωποτάτην καὶ τῶν ἐν Ἀσσυρίοις βασιλίδα τυγχάνουσαν. ἐν ᾗ πάντες πρὸς ἀσέβειάν τε ἑώρων καὶ μοχθηρῷ προσανεῖχον βίῳ τρυφαῖς τε καὶ ἀνέσεσι καὶ ἀκολασίαις καὶ πάσῃ συζῶντες παρανομίᾳ· κελεύει δὲ τὴν τῆς πόλεως μηνῦσαι καθαίρεσιν, εἰ μὴ νεύσειαν πρὸς τὸ δέον. εἶτα παρεσκεύασε πάντας ἐκείνους ἀθρόον φωνῆς ἀκηκοότας τοῦ προφήτου, (ὃν οὐχ, ὅστις ἦν, ἠπίσταντο, ἀλλ' οὐδὲ μετὰ θαυμάτων φανέντα εἶδον, ὥστε ἔκπληξιν αὐτοῦ τινὰ λαβεῖν) ἐντεῦθεν μεταθεμένους τῆς πρόσθεν γνώμης ἀπὸ μόνης τῆς ἀπειλῆς πρὸς τὸ κρεῖττον ἰδεῖν, ἐθνικούς τε ὄντας, καὶ οὐδὲν διδασκαλίας εἶδος εἰς θεοσέβειαν ἠκούσης πρότερον δεδειγμένους. ὡς ἂν δηλώσειεν ἐκ τῶν παρόντων, ὅτι κατὰ τοῦτον τὸν τρόπον ἐπὶ τῆς τοῦ δεσπότου Χριστοῦ παρουσίας ἅπαντα τὰ ἔθνη τῇ οἰκείᾳ χάριτι νεῦσαι παρασκευά-

cernendam et cuivis rei anteponendam virtutem.

6. Cujus rei idoneam in praesenti demonstrationem exhibuit Deus, et in casibus Jonae praecipue cognoscendam, ut qui quandam rerum in Christo domino efficiendarum imaginem in semet ipso gestaret. Mittit enim eum Deus in magnam urbem Niniven pop ulo abundantem, Assyriorumque regiam sedem; cujus cuncti cives cum religionis contemptu pravum vitae genus agebant, otio, luxuriae intemperantiae atque omnimodis vitiis assueti; jubetque eum urbis excidium annunciare, nisi ad officium convertantur. Exin curavit Deus, ut ii repente omnes audita prophetae voce (quem antea minime noverant, neque nunc prodigiis insignitum cernebant, ita ut admiratione hinc aliqua percellerentur) jam priore mente mutata, minarumque vi impulsi, ad saniora consilia mentem intenderent, ethnici licet, et qui nullam verae pietatis speciem hactenus prae se tulerant. Unde cognosci voluit Deus, eadem ratione sub Christi domini adventum gentes omnes vi gratiae ejus

σει πρὸς τὸ κρεῖττον, κἂν ἀπειθεῖν ἐθέλωσιν Ἰουδαῖοι τῇ τῆς εὐσεβείας διδασκαλίᾳ. Ἐντεῦθεν ὁ μακάριος προφήτης ἔκ τε τῶν παρόντων συνιδὼν, ὡς τῆς ἐσχάτης ἄξιοι φανοῦνται τιμωρίας Ἰουδαῖοι ἐκ τοσαύτης διδασκαλίας μηδεμίαν δεξάμενοι διόρθωσιν, εἰ Νινευῖται εὐσεβείᾳ συζῶντες καὶ στρεφόμενοι ἀθρόον ἐκ μηνύσεως μόνης μεταθέμενοι φαίνοιντο πρὸς τὸ κρεῖττον, καὶ ὅτι τούτων δὴ πρὸς ἀπόδειξιν γινομένων τῶν κατὰ τὸν δεσπότην ἐσομένων Χριστὸν, τὸ αὐτὸ δὲ τοῦτο πολλῷ πλέον συμβήσεται, ὁπόταν τὰ μὲν ἔθνη τῇ θείᾳ καλούμενα χάριτι ῥέπῃ πρὸς τὴν εὐσέβειαν, Ἰουδαῖοι δὲ μένωσιν ἀπειθεῖς καὶ μὴ δεχόμενοι τὸν δεσπότην Χριστὸν, οὗ τὴν μήνυσιν καὶ τὴν διδασκαλίαν ἄνωθεν φερομένην εἶχον παρ᾽ ἑαυτοῖς, ὅτι τε ἐντεῦθεν κληρονόμοι μὲν ἀποφανθήσονται τῆς βασιλείας τῶν οὐρανῶν οἱ πανταχοῦ γῆς οἰκοῦντες ἄνθρωποι, ἐξωσθήσονται δὲ τῆς δωρεᾶς ταύτης διὰ τὴν οἰκείαν ἀπειθείαν τε καὶ ἀσέβειαν Ἰουδαῖοι, καίτοιγε δόξαντες ἐν τοσαύτῃ διδασκαλίᾳ τοῦ κρείττονος γεγενῆσθαι· ἀναγκαίως ἠθύμει, πένθους ἄξιον πανταχόθεν ὁρῶν τὸ πρᾶγμα, καὶ συναλγῶν μὲν Ἰουδαίοις εἰκότως τοιούτοις τε οὖσι καὶ τοσαῦτα μέλλουσιν ὑπομένειν, ὀδυρόμενος δὲ

ad justum se conversuros esse, etiamsi Judaei pietatis doctrinae patientem nollent commodare aurem. Quam ob rem beatus propheta quum intelligeret, extremo supplicio dignos esse Judaeos, qui tanto a magisterio nullam vitae emendationem contraxissent, licet Ninevitae omni quondam improbitate polluti, statim conversi fuissent soloque praedicationis terrore ad meliorem frugem traducti, quumque intelligeret, haec fieri ob ea significanda, quae circa domini Christi adventum futura erant, idemque multo magis eventurum esse quando gentiles divina vocati gratia ad pietatem confluerent, Judaei vero incredulitate retenta dominum Christum, cujus praedicationem et doctrinam coelitus missam apud se habebant, non reciperent; quumque sciret, eam ob causam regni coelestis haeredes declaratum iri homines, qui ubique terrarum habitarent, exclusum autem iri ab hac donatione ob suam incredulitatem impietatemque Judaeos, licet tam inclyta justi doctrina insigniti viderentur: — eam ob rem jure propheta

εἰ καὶ νῦν ἐκ τῆς Νινευιτῶν παραθέσεως τιμωρίας ἄξιοι φαίνοιντο, καὶ μετὰ τοῦτό γε παντελῆ τὴν ἀποβολὴν ὑπομένοιεν παραθέσει τῶν τε ἁπανταχοῦ γῆς ὄντων ἐθνῶν καὶ προσιέναι τῇ τῆς εὐσεβείας μελλόντων διδασκαλίᾳ.

animum despondebat, res undique luctu dignissimas esse, cernens Judaeosque deplorans, qui tanta gloria fructi in tanta mala erant ruituri. Rursus moerebat quoque propheta, quia praesenti Ninevitarum comparatione digniores poena fiebant Judaei: tum in posterum districto repudio remittendi erant prae reliquis ubique terrarum degentibus nationibus ad verae religionis doctrinam accessuris.

ζ'. Εἰ γὰρ ὁ μακάριος Παῦλος ὀδύρεται αὐτῶν τὴν ἀποβολὴν, καὶ τὴν ἐσχάτην ἔφασκε τιμωρίαν ὑπομένειν ἡδέως, ὥστε τούτους πρὸς τὸ δέον ἰδόντας μὴ τὴν τοσαύτην ἐπ' αὐτοῖς γεγενημένην ἐπιμέλειαν παρὰ τοῦ θεοῦ περιττὴν ἀποφῆναι [1]) „Ἀλήθειαν γὰρ λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, συμμαρτυρούσης μοι τῆς συνειδήσεώς μου ἐν πνεύματι ἁγίῳ, ὅτι λύπη μοι ἐστὶ μεγάλη καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου· ηὐχόμην γὰρ ἀνάθεμα εἶναι αὐτὸς ἐγὼ ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου κατὰ σάρκα, οἵτινές εἰσιν Ἰσραηλῖται, ὧν ἡ υἱοθεσία καὶ ἡ δόξα καὶ ἡ διαθήκη καὶ ἡ νομοθεσία καὶ ἡ λατρεία καὶ αἱ ἐπαγγελίαι, ὧν οἱ πατέρες καὶ

7. Nam si beatus Paulus luget eorum rejectionem, ac supremo libenter se occursurum supplicio eorum causa, ait, ut his ad officium revocatis efficeret, non inutilem tantam Dei providentiam „Verum dico in Christo, non mentior, testis est mihi mea conscientia, in spiritu sancto, magno me animi dolore et irremisso cruciatu adfici; optarem enim me ipsum alienatum esse a Christo pro fratribus meis secundum carnem mihi cognatis, qui sunt Israelitae, quorum est adoptio et gloria et testamentum et legislatio et cultus et promissiones, quorum sunt patres et ex quibus est Chri-

[1]) Rom. IX, 1—5.

ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν·" — πῶς οὐ πρόδηλον, ὅτι τὴν αὐτὴν ἔχοντες καὶ οἱ προφῆται γνώμην ὠδύροντό τε ἐπὶ τούτοις καὶ ἐθρήνουν, εἴτε τῶν τότε γινομένων ἕνεκεν εἴτε καὶ τῶν μηνυομένων ἔσεσθαι ὕστερον; Ὑπὲρ γὰρ τούτου καὶ τὴν φυγὴν ὁ προφήτης εἵλετο, οἰόμενος διαφεύξεσθαί τε τὴν πρὸς τοὺς Νινευίτας μήνυσιν καὶ κωλύσειν τὰ ἐντεῦθεν ἐσόμενα, ἀφ' ὧν δὴ σαφῶς ἡ τῶν Ἰουδαίων ἐπεδείκνυτο κακία. Ἔλεγχος δὲ τῶν εἰρημένων τὰ μετὰ ταῦτα. Νινευίται γὰρ οἱ μετὰ τοσαύτης ἑτοιμότητος τὴν ἐπὶ τὸ κρεῖττον δεξάμενοι μεταβολὴν, ἐπεστράτευσάν τι μετ' οὐ πολὺ τοῖς Ἰσραηλίταις, καὶ τοὺς λοιποὺς αἰχμαλώτους λαβόντες πλείστην ἔσχον καὶ τὰ Ἱεροσόλυμα πορθῆσαι σπουδήν· ὑπὲρ ὧν δὴ καὶ τιμωρίαν ἐδέξαντο παρὰ τοῦ θεοῦ μεγίστην, ἣν Ναοὺμ ὁ προφήτης μεμηνυκὼς καταλέλοιπεν ἐν βιβλίοις· ὥστε τὴν μὲν τοῦ Ἰωνᾶ προφητείαν καὶ τὰ τότε περὶ τοὺς Νινευίτας γεγονότα μήνυσιν τῆς θείας χάριτος εἶναι, καθ' ἣν οὕτω ῥᾳδίαν τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν ἐδέξαντο πάντες, τὴν δὲ τοῦ Ναοὺμ, δήλωσιν ἔχειν τῆς αὐτῶν ἐκείνων μοχθηρίας, ἀφ' ἧς ἐπικεχειρήκασί τε τοσούτοις

stus secundum carnem, qui est super omnia Deus collaudandus in sempiternum, amen!" — nonne hinc constat, prophetas eandem habentes mentem, luxisse haec et ingemuisse, sive ob ea quae tunc fiebant, sive ob ea, quae portendebantur? Ideoque fugam propheta capessivit, sperans se vitaturum praedicationem ad Ninevitas, atque hinc prohibiturum, quominus ea contingerent, quae manifestam Judaicae malitiae patefactionem allatura erant. Jam quae consecuta sunt dictis meis suffragium addunt. Namque Ninevitae, qui tanta alacritate ad virtutem animos converterant, bellicam expeditionem paulo post adversus Israelitas susceperunt, quorum reliquiis in captivitatem abactis, summa vi etiam Hierosolyma devastari conati sunt; quam ob rem poenas quoque maximas Deo luerunt, quas Nahumus propheta praedixit scriptisque commendavit. Jonae igitur prophetia, et quae per id tempus Ninevitis acciderunt, divinam declararunt gratiam, cujus impulsu tam proclivem cuncti ad virtutem conversionem experti sunt: Nahumi vero pro-

κακοῖς καὶ τιμωρίαν ὑπὲρ ἁπάντων ἐδέξαντο τὴν ἀξίαν.

η'. Καὶ ταῦτα μὲν ἐξ ἁπάντων τῶν περὶ τὸν μακάριον Ἰωνᾶν γεγονότων τε πρότερον καὶ εἰρημένων, ὕστερον ἐπὶ τῆς καινῆς διαθήκης, καθὰ πρόσθεν ἐδείκνυμεν εἰκότως γνοίη τις· τὰ δέ γε τότε γεγονότα τε καὶ διὰ τῆς τοῦ βιβλίου δηλούμενα συγγραφῆς, ἃ δὴ κατὰ τὸν καιρὸν ἐκεῖνον μεγίστην τοῖς τότε τὴν ὠφέλειαν παρέσχετο καὶ τὴν χρείαν, ἐξ αὐτῶν εἰσόμεθα τῶν κατὰ μέρος· ὠνπεροῦν καὶ τῆς ἑρμηνείας ἀψόμεθα θεοῦ διδόντος.

phetia Ninevitarum eorundem demonstrat improbitatem, cujus instinctu tanta mala conati sunt, justasque demum omnium dederunt poenas.

8. Et haec, quae beato Jonae olim acciderunt, vel de eodem dicta sunt, ea omnia in novo testamento instaurata, sicuti jam dixi, jure videre est. Res vero illas, quae tunc gestae libelloque commendatae sunt, et quae illi tempori plurimum emolumentum atque usum exhibuerunt, nunc singillatim cognoscemus, earumque interpretationem, Deo favente, persequemur.

Κεφάλαιον Α'.

α'. Καὶ ἐγένετο λόγος κυρίου πρὸς Ἰωνᾶν τὸν τοῦ Ἀμαθὶ λέγων. β'. ἀνάστηθι καὶ πορεύθητι εἰς Νινευὴ τὴν πόλιν τὴν μεγάλην, καὶ κήρυξον ἐν αὐτῇ, ὅτι ἀνέβη κραυγὴ τῆς κακίας αὐτῶν πρὸς μέ. Ἀποκάλυψιν θείαν ἐδέξατο, φησὶν, Ἰωνᾶς ὁ προφήτης εἰς Νινευὴ τὴν πόλιν ἀπελθεῖν τε καὶ κηρύξαι ἐν αὐτῇ ὡς μεγάλα γε αὐτῶν παρανομούντων, καὶ τοιαῦτα οἷα ἱκανὰ τῷ μεγέθει συγκινῆσαι τὸν θεόν. Μεγίστην δὲ ἄγαν οὖσαν τὴν πόλιν,

Caput I.

V. 1. 2. *Et factum est verbum domini ad Jonam Amathi filium, dicentis: surge et proficiscere Ninevem, in urbem magnam, atque ibi praedica, quod ejus scelerum clamor ad me usque conscenderit.* Revelatione, inquit, divina Jonas propheta in urbem Nineven abire jussus est, ibique praedicare, quod admodum tamque graviter peccarent, ut Dei iracundiam commoverint. Jam quum illa urbs maxima esset et popu-

καὶ ὑπὸ πλήθους στενοχωρουμένην. καὶ τῶν ἐν Ἀσσυρίοις ἁπασῶν τότε περιφανεστέραν οὖσαν ἀναγκαῖον ἦν ἐξ ἀκοῆς τοῖς κατὰ τὴν Ἰουδαίαν ἔγνωσθαι. ὅθεν δὴ καὶ ὡς ἐπὶ γνωρίμην αὐτὸν ἀποστέλλει πόλιν, ὡς οὐχ ὄψει γε, ἀλλ' ἀκοῇ μόνον αὐτὴν εἰδότα· ἐνταῦθα μὲν οὖν τοῦτο μόνον φησὶν, ὅτι κήρυξον ἐν αὐτῇ. Δῆλον δὲ ὡς ἐπὶ τούτῳ γε ἐπέμπετο ἐπὶ τῷ καὶ τὴν καταστροφὴν ἀπειλῆσαι τῇ πόλει καὶ νουθετῆσαι τοὺς οἰκοῦντας ἅπαντας πρὸς μετάνοιαν ἰδεῖν, ὡς οὕτω γε κερδανοῦντας τῆς πόλεως τὴν καταστροφήν· τῆς θείας γραφῆς τὰ πολλὰ συντέμνειν εἰωθυίας, ὅταν τοῖς ἀναγινώσκουσι τὰ ἀκόλουθα συλλογίζεσθαι δυνατὸν ὑπάρχῃ. Οὔτε γὰρ ἐπειδὴ ἐνταῦθα εἶπε, κήρυξον ἐν αὐτῇ, ἀπέστειλε τὸν προφήτην τοῦτο μόνον εἰπὼν ὁ θεὸς, καὶ οὐ διδάξας, ὅ, τι ποτὲ κηρύξαι προσῆκον ἦν αὐτὸν, οὐθ' ὅταν λέγῃ· ἔτι τρεῖς ἡμέραι καὶ Νινευὴ κατασκαφήσεται, ἐκεῖνο μόνον εἰπεῖν ὁ προφήτης ἐκελεύσθη, ἀλλ' ὥστε τῇ μηνύσει τῆς καταστροφῆς βελτίονας αὐτοὺς κατεργάσασθαι, ἐλπίδα λαβόντας τοῦ εἰ μεταμεληθεῖεν κερδάναι τὴν ἀπειλὴν, ἐπεὶ καὶ περιττὸν ἦν ἀπειλεῖν τὴν καταστροφὴν, εἰ γενέσθαι πάντως αὐτὴν ἐχρῆν, οὐθὲν τῆς ἀπειλῆς ἐχούσης κέρδος· ὥστε ἢ μεταβα-

lo confertissima, atque Assyriacarum omnium illustrissima, necesse erat, eam fama Judaeis innotuisse: quare et Deus prophetam veluti ad cognitam urbem mittit haud visu tamen sed auditu tantummodo notam. Hic unum hoc mandat, ut in ea praedicet. Atqui insuper constat, missum eum fuisse ad minitandum quoque urbi excidium, admonendosque incolas omnes, ut de poenitentia cogitarent, ceu si hoc pacto urbis eversionem vitaturi essent. Solent enim divinae scripturae multa breviter dicere, quotiescunque legentibus ratiocinando consequentia colligere licet. Neque sane, quum in praecedenti dixit *Praedica in ea*, hoc unico verbo instructum misit Deus prophetam, quin simul doceret, quaenam tandem ab eo praedicanda essent: neque quum dixit: *Tres adhuc dies, et Nineve subvertetur*, id tantummodo dicere propheta jussus fuit, sed dare operam, ut excidii praedictione ad saniorem eos mentem revocaret, spe data, si poeniteret eos, fore ut minas irritas redderent. Alioqui inutile fuisset minitari exitium, si id neces-

λομένους γοῦν κερδάναι τὴν τιμωρίαν, ἢ μὴ μεταβαλομένους δικαίως αὐτὴν ἐπαχθεῖσαν παρὰ θεοῦ ἐκ τῆς αὐτῶν δείκνυσθαι κακίας.

sario eventurum erat. Hic erat ergo minarum fructus, ut vel poenitentiam agendo ultionem effugerent, vel pertinaces cognoscerent, juste inflictas a Deo poenas ob hanc ipsam illorum improbitatem.

γ', Ταῦτα δὲ καὶ ὁ προφήτης εἰδὼς εἰς [1]) Θαρσεῖς, φησὶν, ἔφυγεν ἐκ προσώπου κυρίου. οὐκ ἄν γε τοῦτο πεποιηκὼς, εἰ τὴν καταστροφὴν ἐσομένην πάντως ἠπίστατο, καὶ ἐπὶ τούτῳ γε ἀπεστάλθαι, ὡς ἂν μηνύσειε μόνον ἐσόμενον τὸ τοσοῦτο κακὸν οὐθενὸς ἐσομένου καθάπαξ βελτίονος ἐντεῦθεν. Θαρσεῖς δὲ οἱ μὲν ἔφασαν λέγεσθαι τὴν Τάρσον, ἀπὸ τῆς κατὰ τὴν ἐκφώνησιν ἐγγύτητος ὡς ἔοικε πλανηθέντες. Τάρσος μὲν γὰρ παραθαλασσία πόλις οὐκ ἐστὶ, τὴν δὲ προσηγορίαν ταύτην εἰς δήλωσιν παραθαλασσιῶν πολέων εἴωθεν ἡ θεία λέγειν γραφή· ὡς παρὰ τῷ μακαρίῳ Δαυὶδ τὸ [2])· „ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θαρσεῖς," ὅπερ οὖν ἐπὶ μὲν τῆς παραθαλασσίου πόλεως καὶ παρ' αὐτὴν ἐχούσης ἑστῶτα τὰ πλοῖα λέγεσθαι δυνατὸν, ἐπειδὴ τῆς ἀπῳκισμένης ὅσονπερ ἡ Τάρσος ἀφέστωσα φαίνεται τῆς θαλάσσης οὐδαμῶς ἁρμόττον. ἕτεροι δὲ τὴν Ῥόδον ἔφασαν· ἀλλ' ἐγώγε πᾶσαν τὴν

V. 3. Harum, inquit, rerum propheta gnarus fugiebat Tharsin, *a facie domini.* Id omnino non fecisset, si exitium sine dubio futurum nosset, et si unice ad calamitatem nuntiandam missus fuisset, ita ut nihil boni consequeretur. *Tharsin* vero nonnulli ajunt significare Tarsum, pronuntiationis, ut videtur decepti propinquitate. Tarsus enim non est urbs maritima; illo autem nomine ad maritimas urbes designandas uti solet scriptura sacra; veluti beatus David quando dicit: „Vento valido conteres naves Tharsis;" id quod de maritima urbe naves apud se habente dici potest, remotae vero a mari, uti Tarsus est, minime congruit. Alii autem Rhodum intelligunt. Ego vero omnem hanc accuratam nominis pervestigationem hoc loco supervacaneam existimo, ac prophe-

[1]) εἰς a Majo omittitur. — [2]) Ps. XLVII, 8.

ἀκριβολογίαν ταύτην περιττὴν εἶναι πρὸς τὸ προκείμενον νομίζων [1]), ἅτε [2]) τοῦ κατὰ τὸν προφήτην διηγήματος ἐῤῥωμένου δὴ πάντως ὁμοίως ἥτινα δήποτε εἴτις εἶναι νομίζοι τὴν πόλιν. Ἐπισημαντέον δὲ ἐκεῖνο μᾶλλον, ὅτι οὐκ εἶπεν, ἔφυγεν ἐκ τοῦ θεοῦ, ἀλλ' ἐκ προσώπου Κυρίου· οὐ γὰρ θεὸν φεύγειν ὁ προφήτης ᾤετο, πάντων αὐτὸν δεσπότην καὶ ποιητὴν εἶναι νομίζων καὶ πανταχοῦ παρεῖναι πιστεύων. ἐπειδὴ δὲ ἐπὶ τοῦ Σιὼν ὄρους ἅπασαν αὐτῷ προσάγεσθαι τὴν λατρείαν προσέταξεν ὁ θεὸς ὑπόνοιαν Ἰουδαίοις ἐντεθεικὼς, ὡς αὐτόθι γε οἰκῶν καὶ τὴν ἐπιφάνειαν ποιούμενος τὴν οἰκείαν, καὶ σκήνωμα δὲ τοῦ θεοῦ διὰ ταύτην τὴν αἰτίαν ἥ τε πόλις Ἱερουσαλὴμ ἐλέγετο καὶ ἡ γῆ δὲ πᾶσα τῆς ἐπαγγελίας, ὡσὰν ἐν ἁπάσῃ τε οἰκοῦντος τοῦ θεοῦ καὶ πᾶσαν αὐτὴν ἐφορῶντος· διὰ τοῦτο ἐκ προσώπου τοῦ κυρίου πεφευγέναι λέγει τὸν προφήτην, τὸν τῆς χώρας ἐκείνης, ἐν ᾗπερ ἐποιεῖτο τὴν οἰκείαν ἐπιφάνειαν ὁ θεὸς, ἐκβάντα εἰς ἑτέραν τινὰ καὶ ἀπῳκισμένην χώραν ἀπελθεῖν, οὕτω δηλῶν. Τοῦτο γὰρ ὁ προφήτης ἐποίει, ὡς ἄχρι μὲν ἐν ἐκείνῃ διῆγε τῇ χώρᾳ ἐπιφαινομένου πάντως αὐτῷ τοῦ θεοῦ

tae historiam aeque firmam, quamlibet civitatem intelligas. Illud potius animadversione dignum est, quod non dixerit: *Fugit a Deo*, sed, *a facie domini*: neque enim se Deum fugere opinabatur, quem omnium rerum dominum ac creatorem sciebat, et ubique praesentem credebat; sed quoniam in Sione monte universum sibi cultum adhiberi Deus jusserat, opinione quadam Judaeis impressa, quasi ibi habitaret suumque ibi adspectum revelaret; quare et Hierosolyma et tota promissionis terra Dei vocabatur tentorium, ceu si universam eam incoleret Deus oculisque perlustraret. Idcirco *a facie Domini fugisse* prophetam dicit scriptura, qui excesserat ea regione, in qua semet Deus revelabat. Aliam igitur remotamque eum petiisse terram indicat. Id quod reapse fecerat, ceu quamdiu in ista maneret regione Deus ipsi appariturus esset eumque ad jussa facienda excitaturus; contra si procul abiisset, liberatum se fore ab illa molestia spera-

[1]) F. l. νομίζω. — [2]) Cod. Vindob. perperam οὔτε.

καὶ διεγείροντος αὐτὸν ἐφ' ὅπερ ἐβούλετο, εἰ δὲ πόῤῥω γένοιτο κερδαίνων τὴν ἐνόχλησιν ἐκείνην, ὡσὰν μηδὲ ἐπιφαίνεσθαι ἐν ἑτέροις τόποις ἀνεχομένου τοῦ θείου. Οὕτω καὶ Ἰουδαῖοι ἐπὶ τῆς αἰχμαλωσίας ὄντες περιττὰς ἡγοῦντο καὶ τὰς θυσίας καὶ τὴν λατρείαν ἅπασαν τὴν τῷ θεῷ προσαγομένην, ὡς τό γε ἐπιφαίνεσθαι τοῖς ἐκεῖ τόποις μηδὲ δέχεσθαι τὰ αὐτόθι εἰς τὴν αὐτοῦ πληρούμενα τιμὴν ἀνεχομένου. Δῆλος δὲ ἦν ὁ προφήτης πρὸς τὸ πρᾶγμα ὀκνῶν διὰ τὸ συνορᾷν μὲν ὡς ἐπί τισιν αὐτὸν ἀποστέλλει πάντως χρησταῖς ἐλπίσιν, (οὐκ ἄν γε ἐπὶ δὴ μόνης[1]*) πέμψας αὐτὸν καταστροφῆς, εἰ μή τι καὶ ἀγαθὸν ἐντεῦθεν οἰκονομεῖν ἐβούλετο) τῶν ἄγαν δὲ ἀτόπων εἶναι νομίσας, εἰ πρῶτον ἀνθρώποις ὀφθεὶς τοῖς οὐ πρότερον αὐτὸν ἐπισταμένοις εὐθύ τινος ψεύστου καὶ ἀπατεῶνος ἀπενέγκοιτο δόξαν. Τοῦτο δὲ καὶ αὐτὸς ἐν τοῖς μετέπειτα διὰ τῶν οἰκείων δηλῶν φαίνεται ῥημάτων. Κατέβη μὲν οὖν εἰς τὴν Ἰόππην ὁ προφήτης ταύτης ἕνεκα τῆς αἰτίας, αὐτόθι δὲ πλοῖον ἐπὶ Θαρσεῖς ἀπιὸν εὑρὼν τόν τε μισθὸν δέδωκε τῆς ἀπονοίας, καὶ ἐμβὰς μετὰ τῶν λοιπῶν ἐπὶ Θαρσεῖς ἐξέπλει ὡσὰν αὐτόθι τὴν ἐνό-*

bat, quasi Deus aliis in locis semet revelare nollet. Atque ita Judaei captivi dum tenerentur victimarum quoque oblationem et omnem Deo exhibere solitam religionem superfluam esse censuerunt, ceu si Deus illis in locis neque apparere, neque religiosum sibi adhibitum honorem soleret admittere. Caeterum perspicuum est, prophetam hoc negotium deprecatum esse, quoniam intelligeret, non sine praeclara spe se a Deo missum esse (neque enim solius excidii causa nuntiandi misisset, nisi hinc quoque boni aliquid efficere voluisset;) sed tamen valde absurdum putabat, si forte homo subito superveniens iis, qui ipsum antea non noverant, statim nebulonis et circulatoris, sibi contraheret famam. Id quod ipse in sequentibus mox sermonibus perspicue ait propheta. Hac de causa igitur Joppen descendit propheta, navique ibi deprehensa versus Tharsin solvente, naulum solvit dementiae suae et cum caeteris conscendens Tharsin navigavit, ceu si ibi di-

[1]) In cod. Vindob. *μόνῃ* vitiose scriptum.

ἀκριβολογίαν ταύτην περιττὴν εἶναι πρὸς τὸ προκείμενον νομίζων[1]), ἅτε[2]) τοῦ κατὰ τὸν προφήτην διηγήματος ἐῤῥωμένου δὴ πάντως ὁμοίως ἥτινα δήποτε εἴτις εἶναι νομίζοι τὴν πόλιν. Ἐπισημαντέον δὲ ἐκεῖνο μᾶλλον, ὅτι οὐκ εἶπεν, ἔφυγεν ἐκ τοῦ θεοῦ, ἀλλ' ἐκ προσώπου Κυρίου· οὐ γὰρ θεὸν φεύγειν ὁ προφήτης ᾤετο, πάντων αὐτὸν δεσπότην καὶ ποιητὴν εἶναι νομίζων καὶ πανταχοῦ παρεῖναι πιστεύων. ἐπειδὴ δὲ ἐπὶ τοῦ Σιὼν ὄρους ἅπασαν αὐτῷ προσάγεσθαι τὴν λατρείαν προσέταξεν ὁ θεὸς ὑπόνοιαν Ἰουδαίοις ἐντεθεικὼς, ὡς αὐτόθι γε οἰκῶν καὶ τὴν ἐπιφάνειαν ποιούμενος τὴν οἰκείαν, καὶ σκήνωμα δὲ τοῦ θεοῦ διὰ ταύτην τὴν αἰτίαν ἥ τε πόλις Ἱερουσαλὴμ ἐλέγετο καὶ ἡ γῆ δὲ πᾶσα τῆς ἐπαγγελίας, ὡσὰν ἐν ἁπάσῃ τε οἰκοῦντος τοῦ θεοῦ καὶ πᾶσαν αὐτὴν ἐφορῶντος· διὰ τοῦτο ἐκ προσώπου τοῦ κυρίου πεφευγέναι λέγει τὸν προφήτην, τὸν τῆς χώρας ἐκείνης, ἐν ᾗπερ ἐποιεῖτο τὴν οἰκείαν ἐπιφάνειαν ὁ θεὸς, ἐκβάντα εἰς ἑτέραν τινὰ καὶ ἀπῳκισμένην χώραν ἀπελθεῖν, οὕτω δηλῶν. Τοῦτο γὰρ ὁ προφήτης ἐποίει, ὡς ἄχρι μὲν ἐν ἐκείνῃ διῆγε τῇ χώρᾳ ἐπιφαινομένου πάντως αὐτῷ τοῦ θεοῦ

tae historiam aeque firmam, quamlibet civitatem intelligas. Illud potius animadversione dignum est, quod non dixerit: *Fugit a Deo*, sed, *a facie domini*: neque enim se Deum fugere opinabatur, quem omnium rerum dominum ac creatorem sciebat, et ubique praesentem credebat; sed quoniam in Sione monte universum sibi cultum adhiberi Deus jusserat, opinione quadam Judaeis impressa, quasi ibi habitaret suumque ibi adspectum revelaret; quare et Hierosolyma et tota promissionis terra Dei vocabatur tentorium, ceu si universam eam incoleret Deus oculisque perlustraret. Idcirco *a facie Domini fugisse* prophetam dicit scriptura, qui excesserat ea regione, in qua semet Deus revelabat. Aliam igitur remotamque eum petiisse terram indicat. Id quod reapse fecerat, ceu quamdiu in ista maneret regione Deus ipsi appariturus esset eumque ad jussa facienda excitaturus; contra si procul abiisset, liberatum se fore ab illa molestia spera-

[1]) F. l. νομίζω. — [2]) Cod. Vindob. perperam οὔτε.

καὶ διεγείροντος αὐτὸν ἐφ' ὅπερ ἐβούλετο, εἰ δὲ πόῤῥω γένοιτο κερδαίνων τὴν ἐνόχλησιν ἐκείνην, ὡσὰν μηδὲ ἐπιφαίνεσθαι ἐν ἑτέροις τόποις ἀνεχομένου τοῦ θείου. Οὕτω καὶ Ἰουδαῖοι ἐπὶ τῆς αἰχμαλωσίας ὄντες περιττὰς ἡγοῦντο καὶ τὰς θυσίας καὶ τὴν λατρείαν ἅπασαν τὴν τῷ θεῷ προσαγομένην, ὡς τό γε ἐπιφαίνεσθαι τοῖς ἐκεῖ τόποις μηδὲ δέχεσθαι τὰ αὐτόθι εἰς τὴν αὐτοῦ πληρούμενα τιμὴν ἀνεχομένου. Δῆλος δὲ ἦν ὁ προφήτης πρὸς τὸ πρᾶγμα ὀκνῶν διὰ τὸ συνορᾷν μὲν ὡς ἐπί τισιν αὐτὸν ἀποστέλλει πάντως χρησταῖς ἐλπίσιν, (οὐκ ἂν γε ἐπὶ δὴ μόνης[1]) πέμψας αὐτὸν καταστροφῆς, εἰ μή τι καὶ ἀγαθὸν ἐντεῦθεν οἰκονομεῖν ἐβούλετο) τῶν ἄγαν δὲ ἀτόπων εἶναι νομίσας, εἰ πρῶτον ἀνθρώποις ὀφθεὶς τοῖς οὐ πρότερον αὐτὸν ἐπισταμένοις εὐθύ τινος ψεύστου καὶ ἀπατεῶνος ἀπενέγκοιτο δόξαν. Τοῦτο δὲ καὶ αὐτὸς ἐν τοῖς μετέπειτα διὰ τῶν οἰκείων δηλῶν φαίνεται ῥημάτων. Κατέβη μὲν οὖν εἰς τὴν Ἰόππην ὁ προφήτης ταύτης ἕνεκα τῆς αἰτίας, αὐτόθι δὲ πλοῖον ἐπὶ Θαρσεῖς ἀπιὸν εὑρὼν τόν τε μισθὸν δέδωκε τῆς ἀπονοίας, καὶ ἐμβὰς μετὰ τῶν λοιπῶν ἐπὶ Θαρσεῖς ἐξέπλει ὡσὰν αὐτόθι τὴν ἐνό-

bat, quasi Deus aliis in locis semet revelare nollet. Atque ita Judaei captivi dum tenerentur victimarum quoque oblationem et omnem Deo exhibere solitam religionem superfluam esse censuerunt, ceu si Deus illis in locis neque apparere, neque religiosum sibi adhibitum honorem soleret admittere. Caeterum perspicuum est, prophetam hoc negotium deprecatum esse, quoniam intelligeret, non sine praeclara spe se a Deo missum esse (neque enim solius excidii causa nuntiandi misisset, nisi hinc quoque boni aliquid efficere voluisset;) sed tamen valde absurdum putabat, si forte homo subito superveniens iis, qui ipsum antea non noverant, statim nebulonis et circulatoris, sibi contraheret famam. Id quod ipse in sequentibus mox sermonibus perspicue ait propheta. Hac de causa igitur Joppen descendit propheta, navique ibi deprehensa versus Tharsin solvente, naulum solvit dementiae suae et cum caeteris conscendens Tharsin navigavit, ceu si ibi di-

[1]) In cod. Vindob. μόνη vitiose scriptum.

χλησιν μέλλων ἐκκλίνειν τὴν θείαν, οὐκ ἐπιφαινομένου τε αὐτῷ ἐν ἀλλοτρίοις τόποις τοῦ θεοῦ, καὶ ἐπείγοντος ἐπὶ τὸ προκείμενον ἀπελθεῖν.

δ'. Ἐπειδὴ δὲ κατὰ τὴν θάλασσαν ἐγένετο πλέων, δῆλον αὐτὸν οἷον ὁ θεός[1]), ὅτι περιττήν τινα καὶ ματαίαν ὑπέμεινε τὴν φυγὴν, σφοδρὸν πνεῦμα κινήσας, τοσοῦτον ἐπὶ τῆς θαλάσσης εἰργάσατο τὸν κλυδῶνα, ὥστε καὶ συντριβῆναι κινδυνεύειν τὸ πλοῖον, οὐ φέρον τῶν κυμάτων τὴν βίαν. Φόβος ἐκ τούτου τοὺς ἐν αὐτῷ εἴληφεν ὡς εἰκὸς, ἕκαστός τε πρὸς ὃν ἡγεῖτο θεὸν καὶ ὥπερ θρησκεύειν εἰώθει, τῇ φωνῇ κεχρημένος, ἀπαλλαγὴν ᾔτει τοῦ παρόντος γενέσθαι κινδύνου· ἐπιτεινομένου δὲ τοῦ κλύδωνος, καὶ τὰ ἐνόντα τῷ πλοίῳ κατὰ τὸ εἰωθὸς τοῖς χειμαζομένοις ἀπέῤῥιψαν εἰς τὴν θάλασσαν, εἴ πως κουφισθὲν διαφύγοι τὸν κίνδυνον τὸ πλοῖον. Τούτοις ἐπάγει· ε'. Ἰωνᾶς δὲ κατέβη εἰς τὴν κοίτην τοῦ πλοίου, καὶ ἐκάθευδεν ἐκεῖ καὶ ἔρεγχεν. οὐχ ὅτι μετὰ τὸ ἐκεῖνα γενέσθαι εἰς τὸ πλοῖον κατελθὼν ἐκάθευδεν· γελοῖον γὰρ εἰ ταραχῆς τοσαύτης γενομένης, καὶ πάντων περὶ τῆς σωτηρίας κινδυνευόντων τῆς οἰκείας εἰς ὕπνον ἑαυτὸν ἐκεῖνος

vinam esset evitaturus molestiam, quia Deus alienis in regionibus non soleret apparere, neque eum munus istud subire coacturus esset.

V. 4. Jam ubi in altum progressus erat, declaravit ei Deus, quam inutilem quamque stultam fugam cepisset. Graviore enim commoto vento tantam in mari conflavit procellam, ut infringi navis periclitaretur, quae fluctuum vim non ferebat. Hinc pavor navigantes, uti par erat, corripuit; et apud suum quisque Deum, quem patria religione colebat, praesens vitae discrimen elatis clamoribus deprecabatur. Tum crescente etiam procella, navis onera, pro more in mari periclitantium, in mare dejiciebant, si forte onere levata navis periculum evaderet. His addit. V. 5. *Jonas autem in sentinam navis descenderat, ibique dormiens stertebat.* Non quod post commotam tempestatem in inferiora navis dormitum descenderit; esset enim ridiculum, si tanto terrore coorto, cunctisque de salute periclitantibus ipse somno se tra-

[1]) F. l. αὐτῷ ποιῶν ὁ θεός.

ἐδίδου, ἀλλὰ γὰρ τοῦτο μὲν εὐθὺς ἐπιβὰς πεποίηκε τοῦ πλοίου· ἡ δὲ γραφὴ τὰ κατὰ τὸν κλύδωνα διηγησαμένη ὕστερον ἐπήγαγε τὰ παρὰ τοῦ προφήτου κατ' ἐκεῖνον γενόμενα τὸν καιρόν· ὅτι τε ὁ πρωρεὺς ὡς ἐν ταραχῇ τοσαύτῃ καθεύδοντα τὸν προφήτην ἰδεῖν ἀπεληλυθὼς διήγειρέ τε αὐτὸν καὶ ἐθαύμαζεν ὅτι τοσούτου γενομένου κακοῦ μηδεμίαν αἴσθησιν ἔχοι τῶν κατεχόντων αὐτοὺς κακῶν, ἀλλ' ὡς ἐν ἀδείᾳ πολλῇ καθεύδει τε καὶ ῥέγχει. ὑπεμίμνησκε δὲ αὐτὸν ἀναστάντα τὸν Θεὸν καλεῖν τὸν ἴδιον, εἴπως ὑπ' αὐτοῦ γοῦν διασωθεῖεν· ὧν δὲ ὁ μὲν προφήτης οὐδὲν διεπράττετο, τοιοῦτο σφαλερὸν εἶναι νομίζων, δεήσεις προσάγειν τούτῳ, ἐξ οὗπερ πεφεύγει. Ἐπετείνετο δὲ τοῦ κλύδωνος τὸ κακόν. Ἐδοκίμασαν λοιπὸν κλήρῳ διαγνῶναι τὸν τοῦ παρόντος αἴτιον κακοῦ. Τοῦτο δὲ ἐδήλου μὴ κοινὸν κατὰ πάσης θαλάσσης εἶναι τὸν χειμῶνα, ἀλλὰ περὶ αὐτό γε μόνον τὸ πλοῖον τὴν σύμπασαν ταραχὴν κινεῖσθαι· ἀφ' οὗπερ οἱ ἐν αὐτῷ λογιζόμενοι τὴν αἰτίαν κλήρῳ διαγινώσκειν ἐβούλοντο τῶν κακῶν, τυχὸν καὶ τοῦ δεσπότου Θεοῦ ταύτην αὐτοῖς ἐμβεβληκότος τὴν διάνοιαν, ὡς ἂν ἀκολούθως τὰ λοιπά γε πραχθείη. Οἱ μὲν γὰρ ἐχρήσαντο τοῖς κλήροις· ἐδείκνυτο δὲ ὁ μακάριος Ἰωνᾶς τῶν γεγονότων

didisset; verum tamen id egerat, statim ac navem conscendebat. At scriptura postquam procellam narravit, deinceps quae propheta isto fecit tempore dicit, narratque factum esse, ut gubernator ad prophetam videndum venerit, qui in tanta omnium trepidatione dormiebat, eumque excitaverit, miratusque fuerit, quod in tanto periculo nullum ipse ingruentium malorum sensum perciperet, sed veluti profunda securitate stertens dormiret. Ergo illum admonuit, ut expergefactus Deum suum invocaret, si forte ab eo servarentur. Quorum quum nihil faceret propheta, quoniam intutum existimabat, precibus eum obtundere, quem fugiebat; et quum vis tempestatis cresceret, decreverunt nautae, quisnam esset ejus mali auctor, sortito exquirere. Hinc satis cognoscimus, non toti mari communem fuisse procellam, sed circa illud unum navigium undarum strepitum desaevisse: quare ad auspicandam causam commoti nautae calamitatis ejus reum sibi discernendum sortibus putarunt, domino fortasse Deo hanc illis cogitationem inge-

ὁ αἴτιος· ἐφ' ᾧ δὲ καὶ θαυμάσαντες οἱ ναυτικοὶ λοιπὸν, εἰ τοιοῦτό τι πεπραγμένον αὐτῷ τυγχάνοι, ὥστε καὶ τοσοῦτον γεννῆσαι κακὸν, μετὰ σφοδρᾶς τῆς ἐπιτιμήσεως καὶ μονονουχὶ δικαστικῷ λοιπὸν κεχρημένοι τῷ σχήματι, ὡς ἂν πρὸς ἄνθρωπον καταδεδικασμένον ἤδη τῷ κλήρῳ διαλεγόμενοι, ἀπῄτουν μαθεῖν, ὅ, τι περ αὐτῷ πεπραγμένον εἴη, τί δὲ καὶ ἐπιτήδευμα μετῄει, ὅθεν ἔρχοιτο, καὶ ὅποι περ ἄπεισιν, ἐκ ποίας τε ὁρμᾶται χώρας, καὶ ᾧτινι ἔθνει προσῆκε τῶν ἀνθρώπων; Πρὸς οὓς σαφῶς ἀπεκρίνετο.

rente,ut consequenter reliqua peragerentur. Ergo, quum nautae sortes jecissent beatus Jonas praesentis calamitatis auctor declaratus est. Id quod deinde nautae mirantes, quodnam scilicet ille tam grave facinus commisisset, ut tanti mali auctor existeret, et jam vehementi objurgatione ac prope judiciali formula utentes, atque hominem ceu jam sorte damnatum arguentes, certiores fieri volebant quidnam ipse patrasset, quam artem profiteretur, unde digrederetur, quonam tenderet, qua patria ortus esset, vel cui hominum genti adfinis. Quibus ille aperte respondit:

θ'. Δοῦλος κυρίου ἐγώ εἰμι, καὶ Κύριον τὸν θεὸν τοῦ οὐρανοῦ ἐγὼ σέβομαι, ὃς ἐποίησε τὴν θάλασσαν καὶ τὴν ξηράν. ὡς γὰρ ἐκείνων περὶ εἴδωλα ἐχόντων αὐτὸς τὸ τῆς οἰκείας θρησκείας ἐξαίρετον ἐδήλωσεν εἰπὼν, ὅτι δοῦλος εἴη τοῦ θεοῦ, τουτέστι φροντίδα ἔχων πᾶσαν τῆς θεραπείας ἐπιμελεῖσθαι τῆς αὐτοῦ. Οὐ γὰρ δὴ κατὰ τὸ κοινὸν εἶπε δοῦλος, καθὸ καὶ τοὺς ναύτας ἦν ἀνάγκη δούλους εἶναι τοῦ θεοῦ ὑπ' αὐτοῦ γεγονότας, εἶτα καὶ τὸ ἰδιάζον λέγων τοῦ θεοῦ ὃν ἐθρήσκευε,

V. 9. *Servus domini ego sum, dominumque Deum coeli veneror, qui mare fecit et terram.* Quia illi idololatrae erant, peculiarem insignemque ipse suam religionem declaravit, dum se servum Dei dicit, id est, admodum studiosum cultus, qui eum decebat, praestandi. Neque enim generali quadam ratione se dixit servum, cujusmodi alios quoque nautas, opus erat, Dei esse servos, utpote ab eo creatos, deinde etiam singularem no-

τὸν τοῦ παντὸς, φησὶ, ποιητὴν ἐγὼ σέβομαι, ὃς καὶ οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης καὶ πάντων ποιητής ἐστι.

ι'. ια'. Ἐφοβήθησαν οἱ ἄνδρες ἀκηκοότες ταῦτα, ὡσὰν τοῦ πάντων ποιητοῦ κατ' αὐτῶν κεκινημένου. ὅθεν καὶ τὸν προφήτην ἠρώτων· τί τοῦτο ἐποίησας; Καὶ ἐπειδήπερ ἔγνωσαν αὐτὸν ἐκ τοῦ θεοῦ πεφευγέναι, τὴν ὑπόμνησιν ἐκκλίνοντα τὴν ἐκεῖθεν, εἶτα τῷ παρόντι σὺν αὐτοῖς περιπεπτωκέναι κακῷ, ὡς ἂν γνοίη πανταχοῦ παρόντα τε τὸν θεὸν, καὶ ὁμοίως ἁπανταχοῦ τὰ δοκοῦντα ἐργαζόμενον, καὶ μηδὲ οἷόν τε εἶναι φυγεῖν τὸν τοιοῦτον, πρὸς αὐτὸν δὴ λοιπὸν τὸν προφήτην φασίν· ια'· Τί σοι ποιήσομεν, καὶ κοπάσει ἡ θάλασσα ἀφ' ἡμῶν; ἐκ γὰρ τῶν εἰρημένων τὰ περὶ αὐτὸν ἐγνωκότες, καὶ ὅτι ὑπηρέτης τε καὶ προφήτης ἐστὶ τοῦ θεοῦ, καὶ δὴ καὶ τὰ πράγματα συνᾴδοντα τοῖς λεγομένοις ἐγνωκότες, παρ' αὐτοῦ μαθεῖν ἠβουλήθησαν, τί δὴ προσῆκεν αὐτοὺς διαπράξασθαι καὶ ἀπαλλαγῆναι τοῦ παρόντος κακοῦ. Καὶ ἐπάγει· ὅτι ἡ θάλασσα ἐπορεύετο καὶ ἐξήγειρε μᾶλλον κλύδωνα, δεικνὺς ὅτι προσθήκην ἀεὶ τὰ τοῦ χειμῶνος ἐδέχετο, ὡς ἂν μὴ ἐν

tionem edidit ejus Dei, cui serviebat; nimirum ait, se colere Deum, a quo coelum terra mare, resque omnes creatae fuerunt.

V. 10. 11. Quo audito expaverunt homines, quod nimirum universae terrae conditor contra eos commotus fuisset. Unde prophetam interrogabant: *Quid tu fecisti?* Mox ubi eum fugere Deum cognoverunt, ejusque admonitionibus se subtrahere, ideoque in praesentem cum ipsis calamitatem incidisse, ut inde intelligeret, ubique Deum esse et ubique sua placita exsequi, nec quemquam eum effugere posse, — talia ad prophetam locuti sunt: *Quid tibi faciamus, ut mare nobis sedetur?* E dictis enim eum cognoverunt, et compertum habuerunt, famulum et prophetam Dei eum esse; et quum facta verbis consentanea comperissent, ab eo discere voluerunt, quid facere deberent, ut e praesenti malo liberarentur. Porro additur: *Mare vehementius etiam aestuabat, fluctusque majores efferebat:* quibus tempestatis incrementum significat, qua de causa rem

ἀμελείᾳ οἱ κατὰ τὸ πλοῖον θεῖεν τὸ γενόμενον. Εἶτά φησι.

ιβ'. Καὶ εἶπεν Ἰωνᾶς πρὸς αὐτούς· ἄρατέ με καὶ ἐμβάλετέ με εἰς τὴν θάλασσαν, καὶ κοπάσει ἡ θάλασσα ἀφ' ὑμῶν· διότι ἔγνωκα ἐγώ, ὅτι δι' ἐμὲ ὁ κλύδων οὗτος ὁ μέγας ἐστὶν ἐφ' ὑμᾶς. ἐγὼ μὲν γάρ, φησί, τούτων αἴτιος ὑμῖν εἰμι τῶν κακῶν· συμβουλεύω δὲ ὑμῖν ῥίψαι με εἰς τὴν θάλασσαν, ὡς ἂν ἐγὼ δοίην δίκας ὑπὲρ ὧν [1]) ἥμαρτον εἰς θεόν, αὐτοί τε λύσιν τῶν κατεχόντων λάβοιτε κακῶν.

ιγ'. Ἀλλ' ἐκεῖνοί γε σφαλερὸν εἶναι νομίζοντες ἄνδρα τοσοῦτον καὶ θεῷ προσήκοντα εἰς θάλασσαν ἁπλῶς ἐκρίπτειν ἐφιλονείκουν, εἴ πως οἷόν τε ἐπὶ τὴν γῆν ἐπανελθόντες οὕτω τοῦ πλοίου τὸν προφήτην ἐξαγαγεῖν· ἐπειδὴ δὲ τοῦτο ποιεῖν οὐκ ἠδύναντο ἐπιτεινούσης αὐτοῖς τὸν χειμῶνα τῆς θαλάσσης, ἀπολογησάμενοι τῷ θεῷ ὑπὲρ οὗ δὴ πράττειν ἤμελλον, οὕτω τῇ θαλάσσῃ τὸν προφήτην ἐνέβαλον· Λέγει γὰρ οὕτως,

ιδ'. Καὶ ἀνεβόησαν πρὸς κύριον καὶ εἶπαν· μηδαμῶς κύριε μὴ ἀπολώμεθα ἕνεκεν τῆς ψυχῆς τοῦ ἀνθρώπου τούτου, καὶ μὴ δῷς [2])

negligere nautae non possent. Deinde dicit:

V. 12. *Et dixit iis Jonas, tollite me et projicite me in mare, et illico sedabitur vobis. Novi enim procellam hanc ingentem mea causa vobis excitatam esse.* Ego, inquit, horum vobis malorum origo sum, quare suadeo ut me in profundum mergatis, quo poenas dem culpae meae in Deum, vosque necis laqueo expediamini.

V. 13. Verumtamen illi periculosum existimantes talem virum, deique familiarem in mare temere abjicere, dabant strenue operam, si fieri posset, ut ad littus navem adpellentes, prophetam exponerent. Sed quum id perficere nequivissent, graviorque maris aestus fieret, praefati apud Deum rei, quam acturi erant, excusationem, ita demum prophetam mari permiserunt. Ita enim scriptum est:

V. 14. *Et exclamarunt ad Dominum et dixerunt: Ne pereamus Domine ob hujus hominis vitam neque sanguinem insontem nobis im-*

[1]) Maj. ὑπὲρ ἃ. — [2]) Maj. δῴης.

ἐφ᾽ ἡμᾶς αἷμα δίκαιον, διότι σὺ κύριε ὃν τρόπον ἐβούλου πεποίηκας. μὴ γὰρ δὴ, φησὶ, τιμωρίαν ἡμῖν ἐπαγάγῃς ὡσὰν δίκαιον μάτην ῥίπτουσιν εἰς θάλασσαν ἐπειδὴ ἡμῖν μὲν ἦν περὶ πλείστου σωθῆναι τὸν ἄνδρα· οὐ γέγονε δὲ τοῦτο, ὡς ἔοικέ σοι μὴ δοκοῦν, ἀφ᾽ ὧν ἐπιτεινόμενος ὁ κλύδων ποιεῖν ἡμᾶς τὰ εἰς σωτηρίαν τοῦ ἀνθρώπου οὐκ εἴα. Οὕτω τε διὰ τούτων ἀπολογησάμενοι τῷ θεῷ τῶν ῥημάτων, ἐνέβαλον τὸν Ἰωνᾶν εἰς τὴν θάλασσαν. Καὶ εὐθὺς ὁ κλύδων ἅπαξ ἐπαύσατο, ὥστε καὶ φόβῳ μεγάλῳ κατασχεθῆναι τοὺς ἄνδρας, θεασαμένους τὴν ἐξουσίαν τοῦ πάντων Κυρίου, ὃς καὶ συνεκίνησε τὴν θάλασσαν, ὡς ἐβούλετο, καὶ βουληθεὶς αὐτὴν εὐθὺ καὶ παράχρημα πᾶσαν εἰς γαλήνην μετέστησεν. — Εἶτα ἐπάγει, ὅτι καὶ ἔθυσαν τῷ κυρίῳ καὶ ηὔξαντο εὐχάς. οὐχ ὅτι παραυτὰ ἔθυσαν τῷ κυρίῳ λέγων, οὐ γὰρ ἐπὶ τοῦ πλοίου θυσίας ἤμελλον ἐπιτελεῖν, ἀλλ᾽ ἵνα εἴπῃ ὅτι τῶν εἰδώλων παντελῶς ἀποστάντες ἀνέθεσαν αὐτοὺς τῇ τοῦ θεοῦ λατρείᾳ, καὶ ὑπέσχοντο τοῦ λοιποῦ τῆς αὐτοῦ δουλείας ἀνθέξεσθαι, αὐτῷ καὶ τὰς καθηκούσας προσάξειν θυσίας· τοῦτο γὰρ λέγει τὸ ηὔξαντο εὐχάς.

putes, quia tu, domine, prout tibi fuit libitum rem gessisti. Ne poenas, inquiunt, de nobis sumas, quasi hominem justum absque causa jecerimus in mare; nobis enim magnopere in votis erat, hominem conservare; sed aliter tibi visum inde constat, quod aucta procella haud nos sivisti saluti hominis consulere. His ita pro se apud Deum peroratis, Jonam mari immerserunt; atque illico omnis procellae fervor quievit: unde et gravi terrore correpti sunt nautae, supremi Domini potentia agnita, qui mare pro libito commoverat, eodemque mox libito quietum praestiterat. Deinde additur: *Domino et sacrificaverunt, et vota conceperunt.* Non quod ibi statim Domino sacra fecerint, neque enim in navi hostias immolaturi erant; sed scriptura significat, nautas illos plane rejectis idolis se Dei cultui addixisse, fide data, se deinceps in ejus famulatu futuros, debitasque victimas immolaturos. Id enim indicant verba: *Vota conceperunt.*

Κεφάλαιον Β'.

α'—β'. Ὁ μὲν οὖν Ἰωνᾶς ἐπὶ τῆς θαλάσσης ἐφέρετο· προσέταξε δὲ ὁ θεὸς κήτῳ μεγάλῳ ἐπὶ τῆς θαλάσσης φερόμενον καταπιεῖν τὸν Ἰωνᾶν, οὗπερ ἐν τῇ κοιλίᾳ τρεῖς ἡμέρας τε καὶ τρεῖς νύκτας πεποίηκεν ἀδιάφθορος παντελῶς ὁ προφήτης, ὥστε καὶ αὐτὸν θαυμάσαντα, ὅτι περ ἀβλάβης ἐπὶ τοῦ κήτους πεφύλακται καὶ ἀδιάφθορος παντελῶς, ὡς ἐν οἰκίσκῳ τινὶ μετὰ πολλῆς τυγχάνοντα τῆς ἀσφαλείας ἐπὶ προσευχὴν τραπῆναι, ἣν ἐκ τῆς κοιλίας τοῦ κήτους ἀνέπεμπε τῷ θεῷ· τὰ δὲ τῆς προσευχῆς ῥήματα τοῦτον ἔχει τὸν τρόπον.

γ'. Ἐβόησα πρὸς κύριον τὸν θεόν μου, καὶ εἰσήκουσέ μου· ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας φωνῆς μου. ἐν βαρυτάτῃ θλίψει τυγχάνων καὶ ἐν αὐτῷ γε τῷ ᾅδῃ γεγονὼς τῇ τῶν κακῶν ἀπογνώσει, ἐβόησά τε πρὸς σὲ, καὶ οὐκ ἀπέτυχον τῶν αἰτήσεων.

δ'. Ἀπέῤῥιψάς με εἰς βάθη καρδίας θαλάσσης καὶ ποταμοὶ ἐκύκλωσάν με. πάντες οἱ μετεωρισμοί καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον. Ἀποφυγόντα γὰρ τὴν ὑπουργίαν τὴν σὴν ἐμπεσεῖν τε τῇ θαλάσσῃ πεποίηκας καὶ πολ-

Caput II.

V. 1—2. Jonas autem magnopere in mari jactabatur, donec Deus ceto grandi mandavit, ut naufragum devoraret; cujus in ventre tres dies mansit tresque noctes plane incorruptus propheta, ita ut ipse miratus, quo in ceto incolumis et omnino integer servaretur, et quasi in domuncula tute degeret, ad preces conversus sit, quas e ceti ventre ad Deum fudit. Quarum precum verba haec sunt.

V. 3. *Clamavi ad dominum deum meum qui me exaudivit; emissam de ventre inferni clamoris mei vocem auscultasti.* Gravissima calamitate vexatus, atque in ipsis inferis, desperatis scilicet malis, versans clamavi ad te, neque irrita fuit postulatio mea.

V. 4. *Projecisti me in cor maris profundum, et fluctus me circumdederunt; omnes jurgites undaeque tuae super me transierunt.* Qui perfuga eram ab obedientia tua, curasti ut in mare inciderem, ibique ingentem

λοῦ τινὸς πειραθῆναι τοῦ κλύδωνος ὑφ' οὗ δὴ ἄγαν ταραττομένης τῆς θαλάσσης ποταμῶν δίκην ἐντεῦθέν τε κἀκεῖθεν ἐπέῤῥει μοι τῶν κυμάτων τὰ ὕδατα.

ε'. Καὶ ἐγὼ εἶπον· ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου· ἄρα προσθήσω τοῦ ἐπιβλέψαι πρὸς ναὸν τὸν ἅγιόν σου; ὑπὸ γοῦν τῆς τῶν κακῶν ἀμηχανίας ἐκβεβλῆσθαι τῆς προνοίας ᾤμην τῆς σῆς, καὶ οὐδεμίαν εἶχον ἐλπίδα λοιπὸν τοῦ γενόμενον ἐν τῷ ναῷ σου τῷ ἁγίῳ τὴν καθήκουσαν ἀποτίσαι σοι θρησκείαν, ἅτε πόῤῥω τε αὐτοῦ τυγχάνων καὶ βαρυτάτοις περιεστοιχισμένος κακοῖς.

ς'. Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου. αὐτῆς μου τῆς ψυχῆς καθίκετο τῶν περικεχυμένων ἡ ταραχή. — ἄβυσσος ἐκύκλωσέ ἐσχάτη. τὸ τελευταῖον ὑπ' αὐτῆς κατεπόθην τῆς ἀβύσσου. — ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων. διαλλάττειν τε οὐδὲν ἐδόκουν ἐμαυτῷ τοῦ ἐν διαιρέσεσιν ὀρέων βαθυτάταις ληφθέντος, εἶτα τῶν ὀρέων ἐπὶ ταὐτὸν συνεληλυθότων οὐδεμίαν ἀποφυγῆς εὑρίσκοντι λοιπὸν ἐλπίδα.

ζ'. Κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι. εἶτα ἐκεῖθεν διεδέξατό με τὸ κῆτος καὶ γῆν τινὰ οἰκεῖν ἐδόκουν, ἐξ ἧς ἀποφυγεῖν τῷ κατ-

experirer procellam; qua dum mare fluminum instar agitatur, ego quidem aquarum vorticibus quaqua versus obruebar.

V. 5. *Et ego dixi: rejectus sum procul oculis tuis. Num denuo videbo templum tuum sanctum?* His quum me malis expedire nequirem, exclusum me putabam providentia tua, nullamque praeterea spem fovebam, fore ut in templum tuum reversus legitima perfungerer religione; quippe longissime ab eo aberam, gravissimis implicitus calamitatibus.

V. 6. *Offusae mihi sunt aquae usque ad animam.* Rerum praesentium terrores ad ipsam animam penetrarunt. *Ima me circumdedit abyssus.* Denique ab abysso ipsa absorptus sum. *Caput meum in scissuras montium demissum est.* Nihil mihi differre videbar ab iis, qui in cavernis montium altissimis detinentur, ita ut coëuntibus in se montibus nulla evadendi spes reliqua sit.

V. 7. *In terram descendi cujus vectes aeterna retinacula sunt.* Tum ibi me excepit cetus, intra quem terram quandam videbar in

εχομένῳ δυνατὸν οὐδαμῶς ὑπῆρχεν· ἀβλάβης μὲν ἔνδον τῇ θείᾳ προνοίᾳ φυλαττόμενος, τὴν ἐκεῖθέν τε ἔκδυσιν ἥτις ἂν γένοιτο οὐχ εὑρίσκων. — Καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου πρὸς σὲ κύριε ὁ θεός μου. ἀλλὰ γὰρ μόνης τῆς σῆς ἐστὶ δυνάμεως τῆς ὑπειλημμένης αὐτόθι φθορᾶς ἀπαλλάξαι μου τὴν ζωήν. —

η'. Ἐν τῷ ἐκλείπειν ἀπ' ἐμοῦ τὴν ψυχήν μου τοῦ κυρίου ἐμνήσθην. μικροῦ γὰρ ἀφιεὶς τῇ ἀπορίᾳ τὴν ψυχὴν, τὴν σὴν ᾔτουν βοήθειαν. — καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή μου εἰς ναὸν ἅγιόν σου. αὐτός τε μου δέξαι τὴν προσευχὴν ἐν τῷ ναῷ καθεστὼς τῷ οἰκείῳ, οὐθέν σε τῆς διαστάσεως τῶν τόπων ἀμύνειν μοι κωλυούσης.

θ'. Φυλασσόμενοι μάταια καὶ ψεύδη ἔλεον αὐτῶν ἐγκατέλιπον. οἱ μὲν γὰρ τὴν ναυτικὴν μετιόντες ἐργασίαν, καίτοιγε εἰδώλοις προσέχοντες καὶ περὶ τὴν ἀπάτην ἐκείνην ἠσχολημένοι, ἠβουλήθησάν μου τινὰ ποιήσασθαι φειδῶ, νικηθέντες δε ὑπὸ τῶν κακῶν τῆς γνώμης ἀπέστησαν ἐκείνης, ὁρῶντες οὐκ ἐν αὐτοῖς βιωτὸν, εἰ μὴ τῆς ἐγγύτητος ἀπαλλαγεῖεν τῆς ἐμῆς.

ι'. Ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογή-

colere, unde evadere homini ibi detento, non licebat. Caeteroquin incolumis divino nutu in eo servabar, quamquam exitum nullum nanciscebar. — *Ascendat de corruptione vita mea, ad te Domine, mi Deus!* Tuae profecto potentiae solius est, vitam meam exitio ibi mihi parato eripere.

V. 8. *Quum animus jam mihi deficeret, Domini recordatus sum.* Quum jam in angustiis animam agerem, tuam exoravi opem. — *Et veniat ad te in templum tuum sanctum oratio mea.* Ipse tu excipias residens in templo tuo meas preces; nihil te locorum distantia quominus mihi opem feras, prohibere potest.

V. 9. *Qui inania et mendacia sectantur, misericordiam suam dereliquerunt.* Ii qui nauticam vitam exercent, et idola observant, atque ejusmodi erroribus sunt dediti, optarunt quidem mihi parcere, sed calamitate victi de sententia sua decesserunt, intelligentes, vitam se servare nequire, nisi a mea se vicinia sejungerent.

V. 10. *Ego vero cum voce laudis et professionis*

σεως θύσω σοι, ὅσα ηὐξάμην ἀποδώσω σοι¹) εἰς σωτηρίαν μου τῷ Κυρίῳ. Ἀλλὰ γὰρ πανταχόθεν μόνῃ τῇ χάριτι τῇ σῇ φυλαχθεὶς καὶ τὴν ἀπαλλαγὴν τοῦ θανάτου λαβὼν, ὕμνους τε καὶ εὐχαριστίας ἀποτίσω σοι, ὑπὲρ ὧν τῇ προνοίᾳ διασέσωσμαι τῇ σῇ. —

sacrificabo tibi; quaecumque vovi, ea solvam ob salutem meam Domino. Equidem tua sola gratia servatus necique ereptus hymnos tibi et gratiarum actiones reddam, propterea quod tua cura servatus sum.

ια'. Τὰ μὲν δὴ τῆς προσευχῆς τοῦ προφήτου ῥήματα ταῦτα· τὸ δὲ κῆτος πνεύματι θείῳ τὸν Ἰωνᾶν ἐπὶ τὴν ξηρὰν ἤμεσεν, καθὼς ἐδόκει τοῦτο γενέσθαι τῷ θεῷ. Τῆς γὰρ ἐσχάτης ἐστὶν ἀνοίας τοσούτων περὶ αὐτὸν παραδόξως γεγονότων, καὶ μάλιστά γε πάντων τῆς ἐν τῷ κήτει σωτηρίας τὴν ἐκ τοῦ κήτους ἔξοδον πολυπραγμονεῖν τοῦ προφήτου, λογισμῷ τε οἴεσθαι καταλαμβάνειν ἀνθρωπίνῳ καὶ διὰ φωνῆς τῆς ἡμετέρας λέγειν, ὅπως ἐγένετο.

V. 11. Hae quidem prophetae erant preces. Cetus vero sancto a spiritu instinctus Jonam in littus evomuit, sicuti Deo visum erat, ut fieret. Summae enim dementiae foret post tot circa Jonam edita miracula, et praecipue propter vitam ejus intra viscera ceti servatam, si quis in prophetae e ceto exitum curiose inquireret, vel humana mente concipere nostroque sermone exponere vellet, quomodo factum sit.

Κεφάλαιον Γ'.

α' — γ'. Μέντοιγε θεὸς ἐπὶ τῆς ξηρᾶς γεγονότι τῷ προφήτῃ πάλιν ἀπελθεῖν εἰς τὴν Νινευὴ κελεύει, καὶ κηρύξαι δὴ ἐκεῖνα, ἃ πρόσθεν αὐτῷ εἴρητο παρ' αὐτοῦ· ἀφ' οὗ δὴ μάλιστα δείκνυται, ὅτι οὐχ ἁπλῶς εἶπεν αὐτῷ κηρύττειν ἔτι τρεῖς ἡμέραι καὶ Νινευὴ καταστραφήσε-

Caput III.

V. 1 — 3. Jam ubi in littore propheta stetit, rursum Deus praecepit illi, ut Niniven iret, idque ibi praedicaret, quod antea ipsi in mandatis dederat. Unde luculentissime demonstratur, haud simpliciter Deum Jonae praecepisse, ut praedi-

¹) Maj. *θύσω σοι εἰς σωτήριον τῷ κυρίῳ.* At in versione: *sacrificabo tibi; quaecunque vovi solvam.*

ται, εἰ καὶ μετὰ συντομίας αὐτὸ λέγειν οὕτως ἡ θεία δοκεῖ γραφὴ, ἀλλ᾽ ὥστε καὶ δηλῶσαι, ὅτι ἀπειλεῖ ταῦτα συμβήσεσθαι, εἰ μὴ μεταμεληθεῖεν ἀποστάντες τοῦ χείρονος· διό φησιν· κήρυξον ἐν αὐτῇ κατὰ τὸ κήρυγμα τὸ ἔμπροσθεν, ὃ ἐγὼ ἐλάλησα πρὸς σέ. ἅπασαν αὐτῷ σημαίνων τὴν διδασκαλίαν, ἣν ἐπέταξεν ἐν τοῖς πρόσθεν αὐτῷ πρὸς τοὺς Νινευίτας ποιήσασθαι. Ὁ μὲν δὴ προφήτης, ἅτε τῇ πείρᾳ λοιπὸν σωφρονισθεὶς, ἠπείγετο πρὸς πέρας ἀγαγεῖν τὰ παρὰ τοῦ θεοῦ προσταχθέντα. Λέγει δὲ ὅτι ἡ πόλις ἦν μεγίστη τῷ θεῷ, ἵνα εἴπῃ ὅτι τῇ θείᾳ προνοίᾳ εἰς μέγεθος αὐξηθεῖσα, ὡς διδάξειεν ἂν ἡμᾶς, μηδὲν οἴεσθαι δυνατὸν εἶναι κατὰ τὸν βίον τοῦτον εἰς περιφάνειαν καταστῆναι μὴ θεοῦ παρέχοντος τὴν οἰκείαν κηδεμονίαν. — Ἦν δὲ, φησὶν, ἡ πορεία ὁδοῦ ἡμερῶν τριῶν. οὐχὶ τὸ μῆκος αὐτῆς τοσοῦτον εἶναι λέγων, ἀλλ᾽ ὡς τοσούτων ἡμερῶν δεομένου τοῦ πᾶσαν αὐτὴν ἐκπεριελθεῖν τε ἐν κύκλῳ καὶ κατιδεῖν, οἵα τίς ἐστι, βουλομένου σαφῶς· ἐπάγει γοῦν.

caret: *Tres adhuc dies et Nineve subvertetur*, quamquam breviter id sic videtur scriptura dicere; sed etiam, ut minaciter, quae eventura erant significaret, nisi poenitentes cives a vitiis recederent. Ideo dicit: *Praedica ibi praedicationem, de qua antea tecum locutus sum.* Quibus verbis universam illi doctrinam innuit, qua superiore sermone praeceperat, ut Ninevitas imbueret. Propheta antem, quippe experientia jam eruditus, festinabat, ut Dei jussa exsequeretur. Ait vero liber, *Urbem illam maximam fuisse Deo;* quibus significat, eam divina providentia fuisse auctam. Atque ita nos docet, nullam humanarum rerum in gloriam venire posse, quin Deus eam sua dignetur cura. — *Erat autem*, inquit, *veluti iter trium dierum*; haud sane intelligens tantam ejus longitudinem sed quod tot diebus opus esset, ad eam circumeundam, atque ad ejus speciem, si quis vellet, curiose observandam. Subdit ergo:

δ΄. Καὶ ἤρξατο Ἰωνᾶς τοῦ εἰσπορεύεσθαι εἰς τὴν πόλιν ὡσεὶ πορείας μιᾶς.

V. 4. *Coepitque Jonas progredi in urbem, quasi itinere unius diei.* Narrat

ἵνα εἴπῃ, ὅτι εἰσεληλυθὼς εἰς τὴν πόλιν ὁ προφήτης, καὶ κατά τινος μέρους ἀρξάμενος τῆς πόλεως ἐκπεριῄει τε αὐτὴν, καὶ ὡσεὶ μίαν ἡμέραν πεποίηκε κηρύττων τε καὶ λέγων, ὅτι „ἔτι τρεῖς ἡμέραι καὶ Νινευὴ καταστραφήσεται," καὶ τὰ λοιπὰ δὴ ὁπόσα λέγειν αὐτὸν καθ' ἕκαστον μέρος τῆς πόλεως πρὸς τοὺς παρόντας ἐπὶ διδασκαλίᾳ τῶν ἀκουόντων ἀκολούθως ἐνῆν. Τούτοις ἐπάγει.

ε' — η'. Καὶ ἐπίστευσαν οἱ ἄνδρες Νινευὴ τῷ Θεῷ. δεικνὺς ὅτι ἐκ τοῦ μέρους τῆς πόλεως ἀρξαμένου τοῦ προφήτου ποιεῖσθαι τὸ κήρυγμα εἰς ἅπαντάς τε ὁ λόγος διεδόθη μετὰ πολλοῦ τοῦ τάχους, καὶ δὴ πάντες ἀναμφίβολον ἐπὶ τοῖς λεγομένοις τὴν γνώμην δεξάμενοι μετὰ πολλοῦ τοῦ φόβου τοῖς λεγομένοις ἐπείθοντο. Δείκνυσι δὲ καὶ τὸ ἐπίστευσαν οἱ ἄνδρες Νινευὴ τῷ Θεῷ, ὅτι οὐχ ἁπλῶς τοῦτο μόνον ἔλεγεν, ὅτι ἔτι τρεῖς ἡμέραι καὶ Νινευὴ καταστραφήσεται· οὐ γὰρ ἀπὸ [1]) μόνης ταύτης τῆς φωνῆς πιστεύειν εἶχον τῷ Θεῷ, ἀνδρὸς ξένου καὶ ἀγνώστου αὐτοῖς παντελῶς τὴν καταστροφὴν μὲν ἀπειλοῦντος, προστιθέντος δὲ οὐδὲν, οὐδ' ὑφ' ὅτουπερ ἀπεσταλμένος εἴη διδάσκοντος τοὺς

hic, prophetam urbem ingressum, atque in ejusdem parte quadam praedicare orsum, circumiisse tamdiu, donec unam veluti insumsit diem praedicans atque dicens: *Tres adhuc dies, et Nineve subvertetur*, et reliqua, quaecunque ab eo dici par erat in singulis urbis partibus ad civium eruditionem. Quibus addit:

V. 5—8. *Et crediderunt Ninevitae Deo.* Coepta per prophetam in quadam urbis parte praedicatione, celeriter admodum inter omnes sermonem cucurrisse, significat; ita ut vulgo homines certam ex dictis suscipientes sententiam consternati magnopere monitis obtemperaverint. Praeterea verba *Crediderunt Ninevitae*, satis indicant, haud simpliciter dixisse prophetam, *Adhuc tres dies et Nineve subvertetur*: neque enim ob hanc unam voculam credere Deo poterant, si homo peregrinus ipsisque prorsus incognitus exitium minatus esset, nihil autem praeterea addidisset, neque docuisset auditores, quo

[1]) Cod. Vindob. ὑπό minus recte.

ἀκούοντας. Ἀλλ' εὔδηλον ὅτι καὶ Θεοῦ ἐμέμνητο τοῦ πάντων κυρίου, καὶ ἀπεστάλθαι ἔλεγε παρ' αὐτοῖς, καὶ τὸ κήρυγμα ἐποιεῖτο τῆς καταστροφῆς πρὸς μεταμέλειαν αὐτοὺς ἐκκαλούμενος· ὧνπεροῦν δεξάμενοι τὴν διδασκαλίαν εἰκότως πιστεύειν ἐλέγοντο τῷ Θεῷ, οὗ τήν τε ἀπόφασιν καὶ τὴν διδασκαλίαν δεξάμενοι κατὰ τὴν τοῦ προφήτου φωνὴν πρὸς τὸ κρεῖττον εἶδον, ὥστε καὶ πολλήν τινα καὶ σύντονον τὴν μεταμέλειαν ἐπιδείξασθαι. Νηστείαν γὰρ ἀνὰ τὴν πόλιν ἐκήρυξαν, ὥς φησι, καὶ σάκκους πάντες ἐνδυσάμενοι μικροί τε καὶ μεγάλοι πενθικῷ κεχρημένοι τῷ σχήματι, ἵλεω γενέσθαι τὸν Θεὸν αὐτοῖς ἐζήτουν. Ἐπειδὴ δὲ καὶ ἄχρι τοῦ βασιλέως ἐληλυθὼς ὁ λόγος, οὐδὲ ἐκεῖνος ἀμελήσας φαίνεται τοῦ πράγματος, ἀλλὰ μικρὰ τοῦ βασιλικοῦ φροντίσας ἀξιώματος τόν τε θρόνον ἀφεὶς τὸν οἰκεῖον καὶ τὴν βασιλικὴν στόλην ἀποῤῥίψας, σάκκον καὶ αὐτὸς περιθέμενος, ἐπὶ σποδοῦ καθεζόμενος διετέλει, προστάγματά τε ἑξῆς παρά τε τοῦ βασιλέως καὶ τῶν κατ' αὐτὴν ἀρχόντων ἐξετέθη, τοῦ μὴ τοὺς ἀνθρώπους μόνον, ἀλλὰ καὶ τὰ πρὸς ὑπηρεσίαν αὐτοῖς τεταγμένα ζῶα παντοίας τε τροφῆς καὶ ποτοῦ διαμένειν ἐκτός. Καὶ οὐ μέχρι τούτων ἔστησαν τὴν μεταμέλειαν, ἀλλὰ γὰρ καὶ

mittente venerit. Sed perspicuum est, prophetam et Dei meminisse omnium Domini, et se missum ab eo confirmavisse, et praeconium exitii fecisse, atque ad poenitentiam esse adhortatum. Quarum rerum notitia imbuti merito dicti sunt credidisse Deo. Decretum enim ejus magisteriumque prophetae voce nuntiatum ad virtutem resipuerunt, ita ut multae vehementisque poenitentiae signa ediderint. Jejunium enim, ut ait, per civitatem indixerunt, saccumque omnis aetas induit, lugubri habitu Dei clementiam implorantes. Quumque ad ipsum usque regem sermo devenisset, ne is quidem rem parvi fecit; sed regia spreta dignitate, throno relicto suo, regiaque stola abjecta, saccum et ipse induit, atque in cinere sedit; scriptumque ab eo edictum est et a proceribus urbis, ut non solum homines, verum etiam jumenta eorum servitio addicta omni pabulo potuque carerent. Neque hactenus eorum poenitentia stetit; sed omni ante actae vitae maleficio omisso, mutuisque imposito injuriis fine, magnopere sperabant, fore

τῶν πάλαι κακῶς αὐτοῖς πραττομένων ἀποστάντες πάσης τε τῆς εἰς ἑτέρους ἀδικίας χωρίσαντες αὐτοὺς, σφόδρα γε ἀνέμενον τὸ καὶ τὸν Θεὸν ἐφ᾽ οἷς ἀπεφήνατο κατ᾽ αὐτῶν μεταγνόντα λῦσαι τὴν ἐξενεχθεῖσαν ἀπόφασιν παντελῶς. Τίς γὰρ, φησὶν, οἶδεν εἰ μετανοήσει καὶ παρακληθήσεται ὁ Θεὸς, καὶ ἀποστρέψει ἀπὸ ὀργῆς θυμοῦ αὐτοῦ, καὶ οὐ μὴ ἀπολώμεθα; ἀπεροῦν οὐχ οἷόν τε λέγειν αὐτοὺς μὴ ἐκ τῶν τοῦ προφήτου δεδιδαγμένους φωνῶν, τοῦτο δὴ καὶ γεγενῆσθαί φησιν ὁ προφήτης. Καὶ ἐπειδήπερ εἶδεν αὐτοὺς ὁ Θεὸς ἀποστάντας μὲν τῶν χειρόνων, νεύσαντας δὲ πρὸς τὸ κρεῖττον, ἔλυσε καὶ αὐτὸς τὴν ἀπόφασιν, ἥνπερ οὖν ἐξενηνόχει κατ᾽ αὐτῶν.

ut ipse quoque Deus poenitens perlatum decretum funditus antiquaret. *Quis enim,* inquit liber, *scit, num forte immutetur mitigeturque Deus, atque ab aestu furoris sui recedat, nobis incolumibus*? Quae sane dici ab eis non potuerunt, nisi prophetae sermonibus fuissent edocti; id quod reapse factum esse dicit propheta. Jam quum eos videret Deus vitiis omissis ad virtutem tendere, decretum ipse quoque, quod in eos tulerat, abrogavit.

Κεφάλαιον Δ'.

Caput IV.

α'. Ἐπὶ τούτοις ἐλυπήθη, φησὶν, ὁ Ἰωνᾶς λύπην μεγάλην καὶ συνεχύθη. εἰκότως, διεταράττετο γὰρ ὡς ἀπατεῶνος καὶ ψεύστου δόξαν μέλλων ἀποφέρεσθαι παρ᾽ αὐτοῖς, ὅτι ὁ μὲν εἴσω τριῶν ἡμερῶν ἠπείλησεν ἔσεσθαι τὴν καταστροφὴν ἐγένετο δὲ οὐδέν. Εἶτα καὶ πρὸς τὸν Θεὸν ἀποβλέψας ἔλεγεν.

V. 1. *Eam ob rem, ait, magnum contraxit Jonas moerorem ejusque animus perturbatus est.* Neque immerito; timebat enim ne vani et mendacis hominis opinionem apud Ninevitas acquireret, quandoquidem ipse quidem futurum intra tres dies excidium minatus erat, nihil autem inde consecutum est. Deinde Deum suspiciciens ajebat:

β'. Οὐχ οὗτοι οἱ λόγοι μου ἦσαν ἔτι ὄντος μου ἐν τῇ γῇ μου; διὰ τοῦτο προέφθασα τοῦ φυγεῖν εἰς Θαρσεῖς, διότι ἔγνων ὅτι σὺ ἐλεήμων εἶ καὶ οἰκτίρμων, μακρόθυμος καὶ πολυέλεος καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις. σαφῶς γὰρ ἐδήλωσεν ὅτι τοῦτο καὶ τῆς φυγῆς αὐτῷ γέγονεν αἴτιον, τὸ εἰδέναι, ὅτι φιλάνθρωπος ὤν, εἰ μεταβαλομένους ἴδοι, τὴν ἀπόφασιν πάντως ἀλλάξει τὴν οἰκείαν, ὅτι τε ἐντεῦθεν αὐτῷ περίεσται τὸ ψεύστου τινὸς καὶ ἀπατεῶνος δόξαν λαβεῖν παρ' αὐτοῖς· ὅθεν ἐπάγει·

γ'. Καὶ νῦν, δέσποτα κύριε, λάβε τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ὅτι καλόν μοι τὸ ἀποθανεῖν με μᾶλλον ἢ ζῆν με. διὰ δὲ τούτου, φησὶ, τὸν θάνατον αἱρετώτερον κρινῶ τοῦ μετὰ δόξης τοιαύτης ζῆν παρὰ τοῖς ἀνθρώποις.

δ'. Ὁ μὲν οὖν θεὸς ὁ καὶ πρὸς τοὺς μετανοοῦντας φιλάνθρωπος καὶ τοῖς οἰκείοις ἥμερος ἄγαν ἐντρεπτικῶς ἐπιτιμῶν τῷ προφήτῃ λέγει· εἰ σφόδρα λελύπησαί συ; ἀντὶ τοῦ, ἔοικας ἀθυμεῖν τοσούτων σεσωσμένων· δέον ἀντισηκοῦν τῇ ὑπολήψει τῇ σαυτοῦ τὴν πάντων σωτηρίαν, καὶ αἱρετώτερον νομίζειν αὐτόν σε

V. 2. *Nonne hic erat sermo meus, dum adhuc in patria terra versarer? Ideoque fugam Tharsin versus maturaveram, quia te clementem noveram et misericordem, patientem admodum et indulgentem, atque obliviscendis injuriis facilem.* Perspicue demonstrat, hanc sibi fugae causam fuisse, quia mutatum iri decretum noverat, si Deus clementissimus immutari videret homines, se vero inde fallacis hominis ac deceptoris famam aucupaturum. Quare addit:

V. 3. *Et nunc potens Domine spiritum mihi eripe, quia mori mihi quam vivere satius est.* Optabilior enim mihi, inquit, mors est, quam in hac hominum opinione versari.

V. 4. Tum Deus poenitentium amans, suisque admodum mitis, pudorem Jonae incutiens increpuit dicens: *An vehementer contristatus es tu?* id est: moerere videris, quod tanta hominum multitudo servata sit. Atqui debebas communem salutem aequi bonique consulere prae fama tua, tuique

τοιοῦτον ὑποληφθῆναι [1]), ἢ τοσούτων ἀπώλειαν γεγενῆσθαι.

ε'. ς'. Ὁ δὲ προφήτης ἐξεληλυθὼς τῆς πόλεως ἐκαθέζετο κατ-αντικρὺ, σκηνὴν ἑαυτῷ ποιήσας καὶ ὑπὸ ταύτην διάγων ἄχρις ἴδοι, τί ποτε ἄρα γένοιτο πλέον περὶ τὴν πόλιν· τῆς γὰρ ἀπειλῆς τὸ μέγεθος ἀναλογιζόμενος, ὑπελάμβανέ τι τὸ τυχὸν καὶ ἔσεσθαι μετὰ τοῦτο. Εἶτα προσέταξεν ὁ θεὸς κολόκυνθαν ἀθρόον ἐκφυεῖσαν, ἅπασαν τὴν σκήνην, ἐν ἧπερ ἦν ὁ προφήτης, πληρῶσαι σκιᾶς ὡς καὶ αὐτὸν δοκεῖν οἰκίας τινὸς σκέπην ἔχειν τῷ πλήθει τῶν φύλλων, καὶ δὴ καὶ τὸν καρπὸν πανταχόθεν ἀθρόον ἐκκρεμάμενον πλείστην τινὰ παρέχειν αὐτῷ τὴν ψυχαγωγίαν. ἦσε [2]) τοῦτο τὸν προφήτην, ὡς εἰκὸς, τερφθέντα τῷ παραδόξῳ τῆς τε θέας καὶ τῆς χρείας τοῦ γεγονότος.

ζ'—θ'. Ὡς δὲ πολλὴν ἐπὶ τῷ πράγματι τὴν ἡδονὴν ἔσχε καὶ ἀρκοῦσάν τινα κομίζεσθαι τὴν ψυχαγωγίαν ἐντεῦθεν ἐδόκει, ἄθροον πάλιν ἐπιτάγματι θείῳ σκώληξ ἐγγεγονὼς τῷ φυτῷ ἅπαν ἀθρόον αὐτὸ ἀνήλωσέ τε καὶ ἐξήρανε παντελῶς. τὸ γὰρ σκώληκι ἑωθινῇ λέγει, ἵνα εἴπῃ, ὅτι ἕωθεν προστάγματι θείῳ

nominis maculam quam tot hominum exitium malle.

V. 5. 6. Propheta vero urbe egressus consedit e regione ejus, sibique tabernaculum fecit; in quo degens, num quid praeterea civitati fieret, observabat. Minarum enim gravitatem secum reputans, existimabat, hinc fortasse aliquid consecuturum. Deinde jussit Deus, cucurbitam repente natam totum tugurium, in quo propheta versabatur, umbra obtegere. Quare Jonas quandam se domum habere putabat, foliorum densitate circumseptam. Et fructus etiam undique dependentes maximam animo praebebant delectationem. His, ut par erat, magnopere laetabatur propheta, miro adspectu et fructuum usu oblectatus.

V. 7—9. Sed dum multa ob id voluptate perfunditur, et hac sibi recreatione beatus videtur, divino repente nutu vermiculus plantae innatus, hanc funditus corrupit et exsiccavit. Jam hunc *vermiculum matutinum* dicit scriptura, quo significet, vermiculum matutino

[1]) Cod. Vindob. male: ὑπολειφθῆναι. — [2]) Maj. ἦσαι.

σκώληξ ἀθρόον ἐκφυεὶς ἐπὶ τοῦ φυτοῦ, ἀπεξήρανεν ἅπαν, ὥστε ἀνατείλαντος τοῦ ἡλίου σφοδροτάτην αὐτῷ τοῦ ἡλιακοῦ καύσωνος ἐπιπεσεῖν τὴν ἀκτῖνα. λέγει γοῦν ὅτι προσέταξεν ὁ Θεὸς πνεύματι καύσωνος συγκαίοντι, καὶ ἐπάταξεν ἐπὶ τὴν κεφαλὴν Ἰωνᾶ, καὶ ὠλιγοψύχει, καὶ ἀπελέγετο τὴν ψυχὴν αὐτοῦ. δεικνὺς ὅτι οὐ κατὰ τὸ εἰωθὸς οὐδὲ ὁ καύσων ἐγένετο, ἀλλὰ προστάγματι θείῳ βαρυτάτην αὐτῷ τὴν φλόγα ἔπεμψεν, ὡς ἂν μείζονα τοῦ συμβάντος τὴν αἴσθησιν λαβὼν, ἔτι μᾶλλον ἀλγήσειεν ὁ προφήτης. Μικροῦ γοῦν ἀφιέναι τὴν ψυχὴν ὑπὸ τοῦ καύσωνος κινδυνεύων (τοῦτο γάρ ἐστι τὸ, καὶ ἀπελέγετο τὴν ψυχὴν αὐτοῦ) ἔφη πρὸς τὸν Θεόν· καλόν μοι τὸ ἀποθανεῖν ἢ ζῆν. τοιοῦτό τι λέγων, ὅτι ψυχαγωγίαν τινὰ τῶν συνεχόντων ἔδοξα κακῶν ἔχειν τὸ φυτόν· εἶτα ἀθρόον τὸ μὲν ἀπελήλυθεν, ἐγὼ δὲ τῇ μοχθηρίᾳ τῆς ὑπολήψεως προσεκτησάμην τοῦ καύσωνος τὴν βαρύτητα καὶ τὸν ἐνοχλοῦντα κίνδυνον ἐντεῦθεν, πῶς οὖν οὐ τοῦ ζῆν βέλτιον τὸ ἀποθανεῖν εἰ τοσούτοις μέλλοιμι παλαίειν κακοῖς; Διὸ δή φησι πρὸς αὐτὸν ὁ Θεός· εἰ σφόδρα λελύπησαι ἐπὶ τῇ κολοκύνθῃ; Τούτου δὲ εἰπόντος, ἕως θανάτου λυπεῖσθαι (οὕτως αὐτῷ

tempore Deo jubente in arbore genitum eam penitus exsiccavisse, ita ut orto mox sole vehemens in Jonam solaris flammae inciderit radius. Pergit scriptura dicere: *Praecepit Deus spiritui calido urenti, ut saeviret in Jonae caput; qui animo deficiens jam vitam respuebat.* Hinc cognoscimus haud consuetum hunc fuisse calorem, sed flammam gravissimam divino consilio immissam; cujus causa majorem solito patiens propheta sensum, vehementius angebatur, parumque aberat, quin vitam amitteret vi caloris. Hoc enim significat, *Vitam respuebat.* Ait igitur Deo: *Melius mihi mori quam vivere*; quibus verbis hoc fere ajebat: malorum mihi solamen haec planta fuit, sed mox defecit; ego vero praeter famam pessimam caloris quoque molestiam et discrimen patior; quidni igitur mori malim quam vivere, qui tantis obtundor malis. Idcirco ait ei Deus: *Num tu magnopere moeres propter cucurbitam?* Quo respondente, se mortalibus angi doloribus, (adeo jucundam fecerat prophetae arborem Deus, idemque tan-

καὶ ἐράσμιον ἔδειξε τὸ φυτὸν ὁ Θεός, καὶ τὴν ἐπὶ τῇ ἀπωλείᾳ τοῦ φυτοῦ λύπην αὐτῷ μείζονα πεποίηκεν ἐγγενέσθαι, ἐπὶ τῷ παραθέσει μειζόνως αὐτοῦ τὴν ἐπὶ τῇ σωτηρίᾳ τῆς πόλεως λύπην ἐλέγξαι κάκιστα γεγενημένην) ἐπάγει·

ι΄. ια΄. Σύ μέν, φησί, τοσοῦτον ὑπὲρ τῆς κολοκύνθης ἠλγήσας οὐδένα κάματον εἰς τὴν σύστασιν αὐτῆς εἰσενεγκών· ἐν νυκτὶ γὰρ ἀθρόον γεγονυῖα ἐν νυκτὶ καὶ τὴν ἀπώλειαν δέδεκται· ἐμοὶ δὲ πῶς οὐ πλείονα ἁρμόττον φειδὼ Νινευὴ τῆς πόλεως ἔχειν, τῆς οὕτω μεγίστης, ὡς δώδεκα μυριάδας αὐτὴν οἰκεῖν ἀνθρώπων οὐκ ἐγνωκότων δεξιὰ ἢ ἀριστερά; ἵνα εἴπῃ νηπίων· τοιούτους γὰρ οὐκ ἐγνωκότας δεξιὰ ἢ ἀριστερὰ λέγει, τοὺς διὰ νηπιότητα οὐκ ἀκριβῆ τῶν πραγμάτων διάκρισιν ἔχοντας, οὐδὲ ἐν ἁμαρτίαις ποτὲ ὡς γεγονότας, ἅτε τῆς ἡλικίας οὐ δεχομένης τοῦτο. Λέγει μὲν γὰρ αὐτὸ εἰς ἀπόδειξιν τοῦ πλήθους τῶν οἰκούντων τὴν πόλιν· ἔνθα γὰρ τοσοῦτον τῶν νηπίων ἦν τὸ πλῆθος, πόσον δὴ τὸ τῶν τελείων ἀνθρώπων ἦν; Τοὺς δέ γε λοιποὺς ἅπαντας παραλιπὼν ὁ Θεός, τὸν τῶν νηπίων εἶπεν ἀριθμόν, οἳ ὁμολογουμένως ἐφαίνοντο οὐκ ὄντες ἄξιοι

tam de illius exitio tristitiam creaverat, ut hoc exemplo moerorem hominis de civitatis salute injustissimam coargueret;) subdit Deus:

V. 10 11. *Tune tantopere cucurbitae causa moeres, qui eidem excolendae nullum laborem impendisti? una enim hac nocte nata, illico una nocte interiit. Me vero cur magis non decuit miserari Nineven, tanti populi urbem, ut duodecim ibi sint myriades hominum qui laevam a dextera non discernunt?* Pueri nimirum infantes intelligendi sunt, qui reapse laevae dextraeque discrimen nullum agnoscunt, quique ob aetatis infirmitatem nulla de re judicare queunt, ideoque ne culpae quidem obnoxii fuerunt, aetate nondum patiente. Haec autem dicit ob declarandam incolarum copiam. Ubi enim tantus infantium erat numerus, quantus demum adultorum cogitandus est? Caeteris vero praetermissis Deus infantium memoravit numerum, qui procul dubio digni non erant poenis, quum

τοῦ τι κακὸν παθεῖν ἅτε μηδὲ ἡμαρτηκότες τι τέως· οὐ γὰρ δὴ, φησὶν, εἴποις ἂν, ὅτι καὶ τοσοῦτον ἀριθμὸν νηπίων οὐθὲν ἡμαρτηκότων ἀπολέσθαι προσῆκον ἦν, ὥστε κἂν εἰ μὴ τῶν τελείων φειδὼ γοῦν τῶν νηπίων μνησθῆναι μᾶλλον ἐχρῆν, ἐπὶ τῷ μηδὲν κακὸν τὴν πόλιν παθεῖν. Προσέθηκε δὲ τὸ τὰ κτήνη πολλὰ, ὡσὰν καὶ τούτων ἀβλαβῶν φυλάττεσθαι ὀφειλόντων δικαίως τοῖς ἐπὶ τῆς πόλεως διασωζομένοις τῶν ἀνθρώπων. —

nihil adhuc peccavissent. Nemo igitur, inquit, dixerit, infantium innocentium tantam multitudinem aequo jure fuisse perdendam; quamobrem etiamsi fortasse adultorum nulla fuisset miseratio, infantium certe recordari oportuit, ne quidquam mali urbs pateretur. — Denique adjecit verba: *Et jumenta multa;* ceu si merito haec quoque servari incolumia debebant, ob civium, quorum miseratio facta erat, commoditatem.

ἙΡΜΗΝΕΙΑ ΜΙΧΑΙΟΥ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

ΠΡΟΟΙΜΙΟΝ.

Παραπλήσια τοῖς περί τε Ὡσηὲ καὶ Ἀμὼς καὶ τοὺς λοιποὺς, ὁπόσοι ταὐτὰ τούτοις προεφήτευσαν, δῆλός ἐστι καὶ ὁ μακάριος προφητεύων Μιχαίας· τὰ γὰρ περὶ τὸν λαὸν ἐσόμενα παρά τε τῶν Ἀσσυρίων καὶ Βαβυλωνίων πνευματικῇ κινούμενος τῇ χάριτι καὶ αὐτὸς προαγορεύειν πειρᾶται, εὐθὺς ἐκ προοιμίων κοινὸν περὶ παντὸς τοῦ Ἰσραὴλ ποιούμενος τὸν λόγον, τῶν τε δέκα λέγω φυλῶν, ὧν τὴν Σαμάρειαν ἐξάρχειν συνέβαινε, καὶ τῶν δύο, ὧνπερ οὖν ἡ Ἱερουσαλὴμ ἡγεῖτο. Φαίνεται δὲ καὶ κατὰ τοὺς αὐτοὺς καιροὺς προφητεύων ἐκείνοις, τουτέστιν ἐν ἡμέραις Ἰωαθὰμ καὶ Ἀχὰζ, καὶ Ἐζεκίου τῶν βασιλέων Ἰούδα· ἐν γὰρ ταύταις ταῖς ἡμέραις γεγενῆσθαι λόγον κυρίου, φησὶ, πρὸς Μιχαίαν τὸν Μω-

COMMENTARIUS IN MICHAEAM PROPHETAM.

PRAEFATIO.

Beatum Michaeam prophetam similia praedicere apparet, quam Hoseam et Amosum caeterosque, qui eadem cum his praedixere. Namque et hic quae circa populum per Assyrios Babyloniosque eventura sint, spiritali gratia concitatus praenuntiare conatur. Et statim in praefatione sua in universum de tota Israelitarum gente, cum de decem tribubus, quarum imperium Samaria tenebat, tum de duabus, quarum Hierosolyma potior erat, sermonem facit. Nec minus eum sub idem cum illis tempus, i. e. *Joathamo et Ahaso, et Ezechia in Juda regnantibus* vaticinia sua protulisse perspicuum est. Eo enim tempore *Domini ser-*

ῥαϊθήτην, τουτέστιν ἐνεργείας τετυχηκέναι θείας. Τίνος ἕνεκεν; ὑπὲρ ὧν εἶδε περὶ Σαμαρείας καὶ περὶ Ἱερουσαλήμ. ἵνα εἴπῃ, παντὸς τοῦ Ἰσραηλιτικοῦ λαοῦ, τῆς τε βασιλείας τῶν δέκα φυλῶν καὶ τῆς τῶν δύο, ὧνπερ ἡγεῖσθαι τὴν Ἰούδα συνέβαινε φυλὴν, τῶν ἐκ τοῦ μακαρίου Δαυὶδ κατὰ τὴν πρὸς αὐτὸν γεγενημένην ἐπαγγελίαν βασιλευόντων αὐτῆς. Ὑπὲρ δὲ τούτων καὶ τῶν περὶ αὐτοὺς ἐσομένων ἐνεργείᾳ θείᾳ τὴν ἀποκάλυψιν δεξάμενος ὁ Μιχαίας λέγει ταῦτα, ἅπερ οὖν εἰπεῖν ἐπὶ τῆς ἀποκαλύψεως ἐδιδάχθη τῆς θείας, ἀρξάμενος οὕτως.

monem ad *Michaeam Moraïthetam datum*, i. e. se divina vi correptum esse, dicit. Idque quamnam ob causam? *Quoniam quae circa Samariam et Hierosolymam futura essent, vidit*, quibus universum populum Israeliticum cum regnum decem tribuum indicat, tum regnum duarum tribuum, quarum Juda tribus potior erat, cui Davidis posteri ex priscis promissis imperitabant. De his et casibus rerum eorum futuris divina efficacia edoctus Michaeas ea annuntiat, quaecunque per divinam revelationem proferre coactus erat. Et id quidem initium est.

Κεφάλαιον Α'.

β'. Ἀκούσατε λαοὶ πάντες λόγους. Ἀκολούθως τὸ λαοὶ πάντες, ἵνα εἴπῃ, πᾶς ὁ Ἰσραὴλ ὁ ταῖς δύο βασιλείαις προσήκων· ὅθεν ἐπάγει· Καὶ προσεχέτω ἡ γῆ, καὶ πάντες οἱ ἐν αὐτῇ. τουτέστιν, ἡ Ἰσραηλιτικὴ χώρα πᾶσα, εἴτ' οὖν οἱ ταύτην οἰκοῦντες ἄνωθεν ἐκ τῆς πρὸς τοὺς πατέρας ἐπαγγελίας τοῦ θεοῦ δεδομένην αὐτοῖς. — Καὶ ἔσται κύριος ἐν ὑμῖν εἰς μαρτύριον. διαλέγεται δὲ, φησὶν, ὑμῖν δι' ἡμῶν ὁ

Caput I.

V. 1. *Audite omnes populi sermones.* Recte dicit, Omnes populi, quum omnes Israelitas, qui ad utrumque pertinent regnum, admonere velit; ideoque addit: *Attende terra omnesque ejus incolae.* i. e. universa terra Israelitica, vel etiam, quicunque eam ex promissis ad patres factis sibi datam incolunt. — *Et erit Dominus vobis in testimonium.* Per nos, inquit, ipse Deus vobiscum inter-

θεὸς διαμαρτυρίαν τινὰ περὶ τῶν ἐσομένων ποιούμενος, ἐπειδὴ πολλάκις ὑμῖν τὰ προσήκοντα διαλεχθεὶς οὐδεμίαν μεταβολὴν δεξαμένους ἐπὶ τὸ κρεῖττον εἶδεν, ὡς ἂν φαίνοιτο ὁ μὲν πάντα τὰ πρὸς ὑμετέραν πεποιηκὼς ὠφέλειαν, ὑμεῖς δὲ οὐδὲν θελήσαντας ἑαυτῶν γενέσθαι βελτίους, ἐφελκυσάμενοι δὲ μόνον ἐφ' ἑαυτοὺς τὰ κακά. — *Κύριος ἐξ οἴκου ἁγίου αὐτοῦ.* Ἀναγκαία ἡ προσθήκη· ἐπειδὴ γὰρ πρὸς ἅπαντας κοινῇ διαλέγεται, πολλὴ δὲ ἦν ἡ περὶ τὰ εἴδωλα τῶν δέκα φυλῶν θεραπεία, ἐφ' ᾗ καὶ οἴκους κατασκευάσαντες ὡς θεοὺς διὰ τῶν εἰδώλων θεραπεύειν ἐπειρῶντο τοὺς δαίμονας, καλῶς προσέθηκε τὸ Κύριος ἐξ οἴκου ἁγίου αὐτοῦ, δηλῶν ὅτι κοινῇ πρὸς ἅπαντας ποιεῖται τοὺς λόγους, παρὰ θεοῦ ταῦτα εἰπεῖν ἀπεσταλμένος τοῦ ἐν Ἱερουσαλὴμ τὸν οἶκον ἔχοντος τὸν ἴδιον, ὃν καὶ ἅγιον διὰ τῆς ἐνεργείας ἀπέφηνε τῆς οἰκείας. Εἶτα καὶ προστίθησι.

loquitur et testimonium futurorum exhibet; quoniam saepe quidem, quae vobis observanda essent, indicavit, neque tamen vos ad bonum reverti vidit; ut clarum fiat, ipsum quidem omnia fecisse, quae vobis commodo esse poterant, vos tamen ad meliorem frugem redire prorsus noluisse, atque malis solum operam dedisse. — *Dominus e domo sua sancta.* Necessarium hoc additamentum; quum enim ad omnes communiter loquatur, inprimis vero decem tribus idolis colendis studerent, et in templis ad id exstructis sub idolorum nomine daemones tanquam deos venerari auderent, bene addita sunt verba Dominus e domo sua sancta; quibus propheta indicat ad omnes communiter se sermonem dirigere et ad haec promulganda missum esse ab ipso Deo, qui Hierosolymae aedem suam habeat, ejusque sanctitatem efficacia sua declaraverit. Deinde haec addit:

γ'. δ'. *Διότι ἰδού, κύριος ἐκπορεύεται ἐκ τοῦ τόπου αὐτοῦ καὶ καταβήσεται καὶ ἐπιβήσεται ἐπὶ τὰ ὕψη τῆς γῆς· σαλευθήσεται τὰ ὄρη ὑποκάτωθεν αὐτοῦ, καὶ αἱ*

V. 3. 4. *Ecce igitur, Dominus egreditur e loco suo, et descendet, et adscendet in loca terrae excelsa; et montes commovebuntur sub eo, vallesque tabescent sicut*

κοιλάδες τακήσονται ὡς κηρὸς ἀπὸ προσώπου πυρὸς, καὶ ὡς ὕδωρ καταφερόμενον ἐν καταβάσει. Προϊὼν γὰρ ἐκ τοῦ ὄρους ἐκείνου, φησὶν, ὁ θεὸς τῆς οἰκήσεως τῆς οἰκείας τόπον ἀπέφηνεν· ἁπάσης μὲν κατακρατήσει τῆς γῆς τῆς Ἰσραηλιτικῆς λέγων, πρὸς ἣν λόγος αὐτῷ, ἐν ταραχῇ δὲ τοὺς ἐν αὐτῇ καταστήσει δυνατοὺς (τούτους γὰρ ὄρη διὰ τὸ ὑπερέχον καλεῖ) καὶ τοὺς λοιποὺς δὲ ἅπαντας (κοιλάδας γὰρ τοὺς ταπεινοτέρους ὀνομάζει), δίκην κηροῦ πυρὶ προσωμιληκότας καταναλίσκων αὐτούς. δῆλουγε ὄντος, ὅτι οὐκ ἐκείνους μὲν σαλεύεσθαι λέγει, τὰς κοιλάδας δὲ τήκεσθαι, ἀλλὰ κατὰ τὸ ἰδίωμα τὸ Ἑβραϊκὸν, ὃ πολλάκις ἐπεδείξαμεν, κατὰ διαίρεσιν λέγων τὸ κοινὸν, ὅτι πάντας καὶ δυνατοὺς καὶ τὸν λοιπὸν δῆμον ἐπελεύσεται ἡ ὀργὴ ἡ θεία, σαλεύουσά τε αὐτοὺς καὶ ἀφανίζουσα δίκην κηροῦ πυρὶ προσωμιληκότος, κατασπάσει τε αὐτοὺς εἰς τιμωρίαν δίκην ὕδατος σφοδροῦ τε καὶ ῥαγδαίου ἐξ ὕψους ἐπὶ τὰ κατώτερα φερομένου. Ἡ δὲ τούτων αἰτία;

cera in igne, et sicut aqua praecipitata in descensu. Ex monte enim isto, inquit, prodiens Deus habitaculi sui locum declaravit. Quae significant; universae terrae Israeliticae, quacum colloquitur, potietur Deus, et potentes (quos propter altitudinem montes apellat propheta) conturbabit pariter ac reliquos omnes (quos, utpote humiliores, valles nuncupat), eos sicut ceram igni admotam absumens. Perspicuum vero est, prophetam non id dicere, illos quidem commotum iri, valles vero absumtum, sed, quod saepius jam demonstravimus, pro Hebraici sermonis natura, per singula dicit quae communiter dicenda erant, nimirum iram divinam ad unum omnes cum potentes tum reliquum populum punituram esse, eos turbando, et sicut ceram igni admotam absumendo eosque in supplicia protrusuram pariter ac si aqua cum impetu et vehementia ex alto in loca inferiora feratur. Et quaenam horum causa?

ε'. *Δι' ἀσέβειαν Ἰακὼβ πάντα ταῦτα, καὶ δι' ἁμαρτίαν οἴκου Ἰσραήλ.* Εἶτα

V. 5. *Propter impietatem Jacobi omnia haec (fient), et propter peccatum*

ἐπάγει· Τίς ἡ ἀσέβεια Ἰακὼβ; οὐχὶ Σαμαρεία; καὶ τίς ἡ ἁμαρτία οἴκου Ἰούδα; οὐχ ἡ Ἱερουσαλήμ; Ἐκείνων τε γὰρ ἡ ἀσέβεια δήλη ἐν Σαμαρείᾳ συλλεγομένων ἐπὶ τῇ τῶν εἰδώλων θεραπείᾳ, οὗ δὴ μάλιστα τοὺς ἐπὶ τούτῳ κατεσκευασμένους εἶχον ναούς· καὶ τούτων δὲ ἡ παρανομία οὐχ ἧττον δήλη, οἳ τὴν Ἱερουσαλὴμ ἔχοντες ἐν ἑαυτοῖς οὐδὲ τὸν ναὸν αἰσχυνόμενοι τῆς τῶν εἰδώλων ἀπείχοντο θεραπείας. Εἶτα τὰς τιμωρίας ἀπαριθμούμενος.

domus Israëlis. Deinde ita pergit: *Quae est impietas Jacobi? nonne Samaria? Et quae est peccatum domus Israëlis? nonne Hierosolyma?* Illorum enim impietas Samariae conspicua erat, ubi ad colenda idola conveniebant, et ubi inprimis templa habebant eum in finem exstructa; nec minus horum scelus clarum, utpote qui Hierosolymam possidentes templo profanato idolis colendis haudquaquam abstinerent. Deinde poenas enumerat propheta.

ς'. *Καὶ θήσομαι Σαμαρείαν εἰς ὀπωροφυλάκιον ἀγροῦ, καὶ εἰς φυτείαν ἀμπελῶνος, καὶ κατασπάσω εἰς χάος τοὺς λίθους αὐτῆς, καὶ τὰ θεμέλια αὐτῆς ἀποκαλύψω.* Καταστήσω δὲ Σαμαρείαν εἰς ἐρήμωσιν πολλὴν, ὥστε χώρας δίκην γεωργεῖσθαι, σκηνάς τε ἐπ' αὐτῆς θεῖναι ἐπὶ φυλακῇ τῶν καρπῶν· ἀφανιῶ γὰρ αὐτῆς τὰς οἰκοδομὰς, παντελῶς ἐκ βάθρων αὐτὰς ἀνασπάσας. —

V. 6. *Et redigam Samariam in pomorum custodiam in agro, et in vineae plantationem, et dejectis in voraginem lapidibus ejus fundamenta ejus detegam.* Tantae Samariam tradam vastitati, ut agri instar colatur, et tabernacula frugum custodiendarum causa in ea defigantur. Aedificia enim ejus radicitus eversa prorsus destruam.

ζ'. *Καὶ πάντα τὰ γλυπτὰ αὐτῆς κατακόψουσι.* τότε δὴ καὶ τῶν ματαίων πόνων ἑαυτῶν ὄψονται τὴν ἀπώλειαν, καθαιρούμενα ὑπὸ τῶν πολεμίων ὁρῶντες ἃ κατεσκεύασαν εἴδωλα. —

V. 7. *Et omnia sculpta ejus simulacra contundent.* Tunc inanium operum suorum deletionem videbunt; quando, quae ipsi sibi fecerunt idola, ab hostibus con-

Καὶ πάντα τὰ μισθώματα αὐτῆς ἐμπρήσουσιν ἐν πυρί. Πάντα τὸν κόσμον τὸν περικείμενον τοῖς τε εἰδώλοις καὶ τοῖς ναοῖς ἀφανιοῦσιν ἐν πυρὶ, ὃν ὥσπερ τινὰ μισθὸν ἐτέλουν τοῖς δαίμοσιν. — *Καὶ πάντα τὰ εἴδωλα αὐτῆς θήσομαι εἰς ἀφανισμὸν διότι ἐκ μισθωμάτων πόρνης συνήγαγε καὶ ἐκ μισθωμάτων πόρνης συνέστρεψε.* Πορνικῇ γὰρ χρησάμενοι γνώμῃ καὶ ἀποστάντες ἐμοῦ, νεύσαντες δὲ πρὸς τὰ εἴδωλα, μισθώματά τινα τῆς ἑαυτῶν ἀθροίζοντές πορνείας, προσέφερον ἐκεῖνα τῇ τῶν εἰδώλων θεραπείᾳ· ἃ δὴ πάντα κατὰ ταὐτὸν ἀφανιῶ.

η'. θ'. *Ἕνεκεν τούτου κόψεται καὶ θρηνήσει, πορεύσεται ἀνυπόδετος καὶ γυμνή,* Ἐν θρήνοις ἔσται καὶ κοπετοῖς αἰχμαλωσίᾳ παραδοθεῖσα μεγίστῃ· τοῦτο γὰρ λέγει τὸ γυμνὴ καὶ ἀνυπόδετος, ὅτι οὕτως αἰχμάλωτος ἀπαχθήσεται, παντὸς ἀφαιρεθεῖσα τοῦ προσόντος αὐτῇ κόσμου. — *Ποιήσεται κοπετὸν ὡς δρακόντων, καὶ πένθος ὡς θυγατέρων σειρήνων· ὅτι κατεκράτησεν ἡ πληγὴ αὐτῆς, διότι ἦλθεν ἕως Ἰούδα, καὶ ἥψατο ἕως πύλης λαοῦ μοῦ, ἕως Ἱερουσαλήμ.* Τὸ ὡς δρακόντων καὶ σειρήνων λέγει κατὰ

fracta erunt. — *Et omnes ejus mercedes igne comburent.* Omnia ornamenta, quibus et idola et fana eorum circumdata sunt, quaeque daemonibus tanquam mercedem obtulerunt, igne delebuntur. — *Et omnia idola ejus ad interitum perducam, namque ex mercede meretricia collecta, et ex mercede meretricia congregata sunt.* Meretricia mente impleti et me derelicto idolis dediti, mercedes quasdam meretricias collegerunt, et colendis idolis obtulerunt; ea vero adunum omnia delebo.

V. 8. 9. *Propterea plangет atque lugebit, incedetque discalceata et nuda.* Captivitati durissimae tradita luctui et planctui immergetur. Hoc enim significant verba *nuda et discalceata*, nimirum ita comparatam omnique ornatu privatam eam captivam abductum iri. — *Luctum edet quasi draconum, et planctum quasi filiarum Sirenum, quia invaluit plaga ejus; venit enim usque ad Judam, et pertigit usque ad portam populi mei, usque ad Hierosolymam.* Draconum et Si-

τὸ μυθολογούμενον παρθενίοις[1]), τοῦτο βουλόμενος εἰπεῖν, ὅτι ἐκεῖνα δὴ τὰ ἐν μύθῳ παρὰ τῶν πολλῶν λεγόμενα[2]) ἐπ' αὐτῶν ὑπομενοῦσι τῶν ἔργων, τῷ βαρεῖαν αὐτοῖς ἐπαχθῆναι παρ' αὐτοῦ τὴν πληγὴν, ἥτις ἀπὸ τῆς Σαμαρείας ἀρξαμένη ἐπὶ τὸν Ἰούδαν μετελεύσεται, ἁπτομένη καὶ τῆς Ἱερουσαλὴμ, ἐπεὶ κἀκείνην ὕστερον εἷλον Βαβυλώνιοι. —

renum mentionem facit ex fabulis, quae ab nonnullis circumferuntur; et per haec significare vult ea: eadem sane, quae in fabulis vulgo solitis narrantur, ipsis rebus gerendis isti patientur, gravi iis ab illo (Deo) plaga incussa, quae a Samaria initium capiens ad Judam transibit, et vel Hierosolymam attinget. Namque etiam haec a Babyloniis deinceps capta est.

ί. Οἱ ἐν Γὲθ μὴ μεγαλύνεσθε, καὶ οἱ ἐν Ἀκεὶμ μὴ ἀνοικοδομεῖτε ἐξ οἴκου καταγέλωτα. Ἐπὶ τοὺς περιοίκους τῶν ἐθνῶν τρέπει τὸν λόγον, περὶ ὧν καὶ ὁ μακάριος Ἀμὼς ἔφη, ὡς τὰ αὐτὰ τοῖς Ἰσραηλίταις πεισομένων ὑπὸ τῶν Ἀσσυρίων κἀκείνων. Οἱ τοίνυν, φησὶν, ἐν ἐκείναις ταῖς πόλεσι μὴ μεγάλα φρονεῖτε τὰς τούτων ὁρῶντες συμφορὰς, μηδὲ πολὺν ἐπ' αὐτοῖς ἐγείρετε γέλωτα. Γῆν καταπάσσασθε εἰς καταγέλωτα ὑμῶν. ἅρμοττον γὰρ, ὑμᾶς καταπάσσασθαι κόνιν ὑπὲρ

V. 10. *Incolae Gethae, nolite superbire, et Acimitae, nolite aedificare e domo derisum.* Jam ad vicinas gentes dirigit sermonem, quas etiam beatus Amosus eadem cum Israelitis ab Assyriis passuras fore praesignificavit. Vos igitur, inquit, qui istas urbes obtinetis, ne efferamini horum videntes calamitates, neve cachinnum de iis tollatis. — *Terram adspergite ad derisum vestrum.* Satius foret, vos pulvere conspergi, propterea quod

[1]) F. l. *παρ' ἐνίοις.* — [2]) Obscurior et solito negligentior haec Theodori nostri interpretatio e THEODORETI, qui in his ut in multis illius premit vestigia verbis lucem accipere videtur, ita sonantibus: *Τὸ δὲ Ποιήσεται κ. τ. λ. εἴρηκεν ἀπὸ τῶν ἐν μύθοις περιφερομένων δεῖξαι τῆς ἀνίας τὴν ὑπερβολὴν βουληθείς. ἐπειδὴ γὰρ εἰώθασι καὶ μετά τινος μέλους οἱ πενθοῦντες θρηνεῖν καὶ δίκην διακόντων συριττόντων ἐκ τῆς πυρπολουμένης καρδίας ἀναπέμπειν τὸ πνεῦμα καὶ μετά τινος βίας τοῦτο προσφέρειν τε καὶ προΐεσθαι, τέθεικεν ἐκείνας τὰς προειρημένας εἰκόνας.*

ὧν ἑτέροις ἔσεσθε γέλως. Πῶς καὶ τίνα τρόπον;

ια΄. Κατοικούσης καλῶς καθελῶ τὰς πόλεις αὐτῆς. Ὅπως γὰρ ἂν νομίσητε εὖ τὰς πόλεις οἰκεῖν τὰς ἰδίας ὡς ἐν ἀσφαλεῖ καθεστῶτες, ὄψεσθε πασῶν τὴν καθαίρεσιν. — Οὐκ ἐξῆλθε κατοικοῦσα Αἰνὰν κόψασθαι οἶκον ἐχόμενον αὐτῆς. Ἀλλὰ κἀκεῖνα, φησὶν, ὁρῶντες, ἐκ γειτόνων ὄντας τοὺς Ἰσραηλίτας καὶ τοιούτοις περιπεπτωκότας κακοῖς, οὐκ ἠβουλήθησαν προελθόντες τῶν ἰδίων κοινωνῆσαι τοῦ πένθους αὐτοῖς, ἡδόμενοι δὲ ἐπὶ ταῖς συμφοραῖς αὐτῶν διετέλουν κἀκεῖνοι. Τί οὖν; Λήψεσθε ἐξ ὑμῶν πληγὴν ὀδύνης. Ἀλλ' ἐπειδὴ τοῖς ἀλλοτρίοις οὐ συνηλγήσατε κακοῖς, αὐτοὶ πληγὴν ὀδυνηρὰν δεξάμενοι δίκην δώσετε τῆς μοχθηρᾶς γνώμης ἐκείνης, καθ' ἣν τοῖς ἀλλοτρίοις ἐφήδεσθε κακοῖς. —

ιβ΄. ιγ΄. Τίς ἤρξατο εἰς ἀγαθὰ κατοικούσῃ ὀδύνας; Οὐδὲ γὰρ οἴονται ἀγαθοῦ τινος μετέχειν τοὺς ἐν ὀδύναις οἰκοῦντας διὰ τὸ μέγεθος τῶν ἐπενεχθέντων αὐτοῖς κακῶν. Εἶτα εἰς ἀπόδειξιν τοῦ ῥηθέντος — ὅτι κατέβη κακὰ παρὰ κυρίου ἐπὶ πύλαις Ἱερουσαλὴμ ψόφος ἁρμάτων καὶ ἱππευόντων. — Τοσαύτη γὰρ, φησὶν,

aliis derisui eritis. Et id quomodo (fiet)?

V. 11. *Quae habitat bene, ejus urbes demoliar.* Ut credatis, vos urbes vestras bene, ut in securitate positos, inhabitare, omnium eversionem videbitis. — *Non egressa est incola Aenan, ut plangat domum sibi vicinam.* Sed ne hoc quidem videntes, nempe Israelitas, qui finitimi ipsis sunt, talibus incidisse calamitatibus, ex aedibus suis egredi luctusque eorum participes fieri nolebant, sed de calamitatibus eorum potius vehementer gaudebant. Quid igitur (fiet)? *Accipietis ex vobis plagam doloris.* Quoniam cum alienis aegritudinis societatem inire nolebatis, ipsi accepta dolorosa plaga poenam luetis de maligna ista mente, qua de alienis calamitatibus gaudebatis.

V. 12. *Quis incepit in bonis habitanti dolores.* Prorsus nullius boni participes esse eos, qui doloribus sunt impliciti, propter gravitatem malorum illis immissorum existimant. Deinde ad demonstranda ea, quae dixit, ita pergit: *Quia descenderunt mala a Domino ad portas Hierosolymae;* V. 13. *soni-*

ἐπὶ πάντας ἔσται ἡ ὀργὴ τοῦ θεοῦ, ὥστε μηδὲ τῆς Ἱερουσαλὴμ τότε γενέσθαι φειδὼ κυκλουμένης ὑπό τε ἁρμάτων καὶ ἵππων καὶ πάσης τῆς πολεμικῆς χειρός. — Εἶτα ἀποστρέφει τὸν λόγον ἐπὶ τὴν Λαχεὶς, πόλιν οὖσαν τῆς Ἰούδα βασιλείας καὶ πολλῶν παρανομιῶν μεστὴν, καὶ φησί. Κατοικοῦσα Λαχεὶς, ἀρχηγὸς ἁμαρτίας αὕτη ἐστὶ τῇ θυγατρὶ Σιὼν, ὅτι ἐν σοὶ ηὑρέθησαν αἱ ἀσέβειαι τοῦ Ἰσραήλ. Ἴσθι δὲ καὶ σὺ, φησὶ, τὰ συμβησόμενά σοι κακά. ἐν τῇ Ἱερουσαλὴμ (θυγατέρα γὰρ Σιὼν ταύτην ὀνομάζει) ἡγεμὼν ἦσθα τῶν κακῶν, οὐδὲ διαλλάττουσα τῶν περὶ τὴν Σαμαρείαν τῇ τῆς ἀσεβείας γνώμῃ. —

ιδ'. Διὰ τοῦτο δώσεις ἐξαποστελλομένους ἕως κληρονομίας Γὲθ, οἴκους ματαίους· οἶκοι ματαίων εἰς κενὸν ἐγένοντο τοῖς βασιλεῦσιν Ἰσραήλ. Ὑπὲρ δὴ τούτων τὴν αὐτὴν αἰχμαλωσίαν ὑπομένεις καὶ σὺ (τὸ γὰρ δώσεις ἐξαποστελλομένους λέγει ἀντὶ τοῦ, ἀποστέλλεις εἰς αἰχμαλωσίαν ἐξ ἑαυτῆς,) τὰ αὐτὰ μὲν πεισομένη τοῖς τὴν Γὲθ οἰκοῦσιν, πάντων δέ σοι τῶν ἐπ' ἀσεβείᾳ κατεσκευασμένων οἴκων διαφθειρομένων, ὅνπερ δὴ τρόπον καὶ τὴν Σαμαρείαν διεφθάρησαν οἶκοι τῶν εἰδώλων. —

tus curruum et equitum. Tantam in omnes Deus iram exhibebit, ut ne Hierosolymae quidem parcatur; sed curribus et equitibus et omni apparatu bellico circumdata erit. — Dein sermonem ad Lachin dirigit, urbem in Judaico regno sitam multisque sceleribus repletam; et ita loquitur; *Habitans Lachis dux est peccati filiae Sion; quia in te inventae sunt iniquitates Israëlis.* Nec te lateant, quae te manent, mala. Hierosolymae (eam enim filiam Sion appellat) malorum princeps eras; nihilque quoad mentis tuae impietatem a Samariae incolis recedis.

V. 14. *Ideo dabis emissarios usque ad hereditatem Gethae, domus vacuas; domus vanorum spem fefellerunt regum Israëlis.* Eam ob causam eandem captivitatem senties etiam tu. Verba enim Dabis emissarios haec significant: Tuos in captivitatem emittis, eadem experta cum Gethae incolis, omnibusque, quas ad implendam tuam impietatem exstruxisti, aedibus destructis, eodem modo, quo Samariae regnum ob idolorum fana deletum est.

ιε'. Ἕως τοὺς κληρονόμους ἀγάγω σου. Ὑπομενεῖς δὲ ταῦτα ἐμοῦ τοὺς πολεμίους ἄγοντος, οἳ τῶν σῶν ἔσονται ἀγαθῶν κληρόνομοι. — Κατοικοῦσα Λαχεὶς κληρονομία, ἕως Ὀδολλὰμ ἥξει δόξα τῆς θυγατρὸς Σιών. οἳ καὶ τὴν Λαχεὶς κτήσονται, καὶ ἄχρις Ὀδολλὰμ τὴν κληρονομίαν ἐκτενοῦσι τὴν οἰκείαν (ἵνα εἴπῃ, πᾶσαν καθέξουσι τὴν γῆν τῆς ἐπαγγελίας)· πρὸς οἷς καὶ ἡ ἐπίδοξος εἶναι δοκοῦσα διὰ τὸν ἐν αὐτῇ ναὸν ληφθήσεται Ἱερουσαλήμ. Τινὲς[1]) δὲ ἔφασαν πρὸς τὴν Λαχεὶς λέγειν ταῦτα τὸν προφήτην, ὡς τὸν Ἀμεσίαν ἀνελοῦσαν τὸν βασιλέα, ἐπειδὴ τοῦτον πρῶτον ἐτολμήθη παρ' αὐτοῖς τὸ οἰκεῖον ἀνελεῖν βασιλέα, πρότερον γε ἐν τῇ τῶν δέκα φυλῶν βασιλείᾳ τούτου γεγονότος πολλάκις. Ἔστι δὲ πανταχόθεν μῦθον καὶ πλάσμα τὸ ῥηθὲν ἰδεῖν, ηὑρημένον ἀπὸ τῶν τὴν προφητικὴν οὐ νενοηκότων φωνήν· οὔτε γὰρ Ἀμεσίας πρῶτος ἐκ τῶν τῆς Ἰούδα βασιλευσάντων φυλῆς ἐξ ἐπιβουλῆς ἀνῃρέθη, Ἰωὰς τοῦ πατρὸς αὐτοῦ πρότερον ἀναιρεθέντος οὕτως, ὡς ἡ τῶν βασιλειῶν ἱστορία δηλοῖ λέγουσα[2]) ὅτι „Ἀνέστησαν οἱ δοῦλοι τοῦ Ἰωὰς καὶ

V. 15. *Donec heredes tuos adducam.* Haec passura es, quoniam ego hostes adducam, qui bonorum tuorum heredes evadent. — *Quae habitat Lachin, hereditas; usque ad Odollam veniet gloria filiae Sion.* Iidem etiam Lachis potientur, possessionemque suam usque ad Odollam extendent i. e. universam possidebunt terram; praeterea etiam Hierosolyma, quae propter templum suum insignis videtur, expugnabitur. Nonnulli quidem haec ad Lachin urbem prophetam loqui putarunt, quae Amesiam regem trucidasset, quum hic rex primus fuerit, quem illi trucidare auderent, quanquam in decem tribuum regno idem jam saepe evenerat. Id vero fabulosum fictitiumque commentum esse, ab iis inventum, qui prophetae sermonem non intelligunt, facile perspicitur. Neque enim Amesias primus inter Judae regni reges per insidias interfectus est, sed ante eum jam, qui eum genuerat, Joas eadem ratione defunctus erat: quod Regum

[1]) Quibus et ipse *Theodoretus* est accensendus, qui alias plerumque Nostrum secutus, h. l. ejusdem interpretationem de industria impugnare videtur. — [2]) IV. Reg. XII, 20.

ἐποίησεν σύνδεσμον, καὶ συνῆψαν ἐπ' αὐτὸν, καὶ ἐπάταξον αὐτόν.“ οὔσπεροῦν καὶ Ἀμεσίας, ὁ τούτου υἱὸς, παρελθὼν εἰς τὴν βασιλείαν εἷλεν ὕστερον, τὸν φόνον ἐκδικῶν τοῦ πατρὸς τοῦ οἰκείου. Περὶ οὗ καὶ αὐτοῦ φησί[1]· „καὶ ἐγένετο ὡς ἐκραταιώθη ἡ βασιλεία ἐν τῇ χειρὶ Ἀμεσίου, ἐπάταξε τοὺς παῖδας αὐτοῦ, τοὺς πατάξαντας τὸν πατέρα αὐτοῦ.“ Καὶ τὸν Ἀμεσίαν οὐχ οἱ ἐν Λαχεὶς ἀνελόντες φαίνονται, λέγει γὰρ οὕτως[2]· „καὶ συνεστράφη σύντριμμα ἐπὶ Ἀμεσίαν ἐν Ἱερουσαλὴμ, καὶ ἔφυγεν εἰς Λαχεὶς, καὶ ἀπέστειλαν ὀπίσω αὐτοῦ εἰς Λαχεὶς, καὶ ἐθανάτωσαν αὐτὸν ἐκεῖ, καὶ ἦραν ἐπὶ τῶν ἵππων, καὶ ἐτάφη ἐν Ἱερουσαλὴμ.“ σαφῶς δηλώσας, ὅτι ἐπανέστησαν αὐτῷ τινες ἐπὶ τῆς Ἱερουσαλὴμ, οἳ καταφυγόντα εἰς Λαχεὶς ἀποστείλαντες ἀνεῖλον, ὥστε οὐ τῶν ἐν Λαχεὶς εἶναι τὸ ἔργον, ἀλλὰ τῶν ἐν Ἱερουσαλὴμ τοῦτο πεποιηκότων, οἳ καὶ πεφευγότα αὐτὸν πέμψαντες ἀνεῖλον. Τοῦτο μὲν οὖν ἀντικρὺς φαίνεται πλάσμα· πρὸς δὲ τὴν Λαχεὶς ὁ προφήτης ποιεῖται τὸν λόγον, ἐξ ἐκείνης ὡς ἀπὸ μέρους τὰ περὶ τὴν Ἰούδα βασιλείαν συμβησόμενα λέγων, ὅνπεροῦν τρόπον καὶ τὰ περὶ Σαμάρειαν

historia diserte testatur, narrans Joasi servos facta conjuratione structisque insidiis, eum occidisse. Quos Amesias, ejusdem filius postquam rerum potitus est, ultionem petens trucidavit. De qua re ita scriptum est: „Postquam firmatum in Amesiae manibus regnum est, servos suos occidit, qui ipsius patrem occiderant.“ Neque a Lachis incolis Amesian interfectum esse, ex eodem libro cognoscimus, qui ita perhibet: „Et conjuratione facta adversus Amesian Hierosolymae, Lachim profugit; illi vero eum prosecuti sunt eo, ibique interfecerunt; sublatusque in equo, sepultus est Hierosolymae.“ Quae docent, Hierosolymitanorum nonnullos rebelles regem Lachim fugientem per emissarios interfecisse. Itaque non Lachensium sed Hierosolymitanorum hoc facinus erat, qui vel etiam miserunt, qui fugitivum occiderent. Commentum igitur istam interpretationem appellandam esse, hinc apparet. Ad Lachim vero propheta orationem si dirigit, per eam ex parte

[1]) IV Reg. XIV, 5. — [2]) Ibid. v. 19.

εἶπεν, ὡς ὑπὲρ ἀμφοτέρων καὶ ἑωρακὼς καὶ λέγων, καθὰ τὸ προοίμιον ἐδήλου σαφῶς· πρὸς ἣν ἀκολουθῶν ὁ προφήτης ἑαυτῷ φησί.

Judae regnum significat, et quae ei eventura sint; sicuti de Samaria jam locutus erat. De utroque enim regno et visiones habuit, et locutus est; id quod in praefatione clare dixerat. Ad eandem sibi constans propheta ita loqui pergit.

ιϛ'. Ξυρῆσαι καὶ κεῖραι ἐπὶ τὰ τέκνα σου τὰ τρυφερὰ, ἐμπλάτυνον τὴν ξύρησίν σου ὡς ἀετὸς, ὅτι ᾐχμαλωτεύθησαν ἀπὸ σοῦ. Πενθεῖν γάρ σου, φησὶν, ἅρμοττον τὴν αἰχμαλωσίαν τῶν σῶν, οἳ πρότερον μὲν ὡς ἐν οἰκείοις μετὰ πολλῆς διῆγον τῆς τρυφῆς, νῦν δὲ τῶν τῆς αἰχμαλωσίας πειρασθήσονται κακῶν. Τὸ δὲ πλάτυνον τὴν ξύρησίν σου ὡς ἀετὸς λέγει, ἐπειδὴ ἅπαντα κατὰ καιρὸν ἀποβάλλειν τουτὶ τὸ ὄρνεον τὰ οἰκεῖα λέγεται πτερά. Εἶτα καὶ λέγει κατὰ τὸ εἰωθὸς τῶν κακῶν τὴν αἰτίαν.

V. 16. *Fac tibi calvitiem et tonde te propter filios tuos delicatos, dilata calvitiem tuam ut aquila, captivi enim de te abducti sunt.* Lugere te decet tuorum captivitatem, qui antea in sedibus propriis magna cum luxuria degerunt; nunc autem captivitatis mala degustabunt. Dilatare autem eam calvitiem suam sicut aquilam jubet, quoniam haec avis certo tempore omnes suas pennas abjicere dicitur. Deinde, ut assolet, etiam causam malorum perhibet propheta.

Κεφάλαιον Β'.

α'. Ἐγένοντο λογιζόμενοι κόπους καὶ ἐργαζόμενοι κακὰ ἐν ταῖς κοίταις αὐτῶν, καὶ ἅμα τῇ ἡμέρᾳ συνετέλουν αὐτά. ἀντὶ τοῦ, διετέλουν τοιαύτας ἐν ἑαυτοῖς στρέφοντες διανοίας, ἀφ' ὧν τούτους ἑαυτοῖς ἀπεγέννησαν τοὺς κόπους, ἀνατυποῦντες μὲν ἐπὶ

Caput II.

V. 1. *Labores moliti sunt et mala operarunt in cubilibus suis, et illucescente die ea patrarunt.* h. e. tales semper in mente sua volverunt cogitationes, quibus hos labores sibi genuerunt, in cubilibus suis impia facinora mente concipientes, et facta dein

τῆς κοίτης τῆς ἰδίας τῶν ἀτόπων τὴν ἐργασίαν, ἡμέρας δὲ γενομένης πέρας τοῖς μοχθηροῖς αὐτῶν ἐπιτιθέντες βουλεύμασι. — Διότι οὐκ ἦραν πρὸς τὸν Θεὸν χεῖρας αὐτῶν, β΄. καὶ ἐπεθύμουν ἀγροὺς, καὶ διήρπαζον ὀρφανοὺς καὶ οἴκους κατεδυνάστευον, καὶ διήρπαζον ἄνδρα καὶ τὴν κληρονομίαν αὐτοῦ. Πρὸς μὲν γὰρ Θεὸν ἀφορᾷν οὐκ ἐβούλοντο οὐδέ τινα λόγον τῶν παρ᾽ αὐτοῦ νενομοθετημένων ποιεῖσθαι, περὶ δὲ τὰς τῶν ἀλλοτρίων ἐπιθυμίας ἠσχολοῦντο, καὶ τῶν ἀποστασιάστων [1]) καὶ πενήτων διήρπαζον τὰ κτήματα εἰς ἄτοπον τῇ ἑαυτῶν καταχεχρημένοι δυναστείᾳ. —

γ΄. Διὰ τοῦτο τάδε λέγει Κύριος· ἰδοὺ ἐγὼ λογίζομαι ἐπὶ τὴν φυλὴν ταύτην κακὰ, ἐξ ὧν οὐ μὴ ἄρητε τοὺς τραχήλους ὑμῶν, καὶ οὐ μὴ πορευθῆτε ὀρθοὶ ἐξαίφνης, ὅτι καιρὸς πονηρός ἐστιν. Ὑπὲρ δὴ τούτων ὑμῶν τῶν τε βουλευμάτων καὶ τῶν πράξεων τοιαύτην ὑμῖν ἐποίσω τιμωρίαν, ἀφ᾽ ἧς οὐδὲ ἀνανεῦσαι ὑμῖν ἔσται δυνατόν· διαμενεῖτε δὲ συγκεκαμμένοι παντελῶς καὶ κάτω νεύοντες ὑπὸ τοῦ μεγέθους τῶν ἐπικειμένων κακῶν.

δ΄. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ

die prava consilia exsequentes. — *Quoniam manus suas non ad Deum tetenderunt, et agros concupiverunt, orbos spoliarunt, domosque oppresserunt et virum cum hereditate sua rapuerunt.* Deum respicere, ullamve mandatorum ipsius rationem habere noluerunt; sed aliena apetierunt, et pauperum omnique ope destitutorum bona diripuerunt potentia sua ad nefaria abusi.

V. 3. *Propterea haec dicit Dominus: ecce ego de tribu ista mala cogito, quibus colla vestra non subtrahetis, nec erecti incedetis subito; quoniam tempus malum est.* Propter haec vestra consilia et facta talem vobis imponam poenam, ut erigere vos nequeatis, sed prorsus convoluti ad terram despicere gravitate malorum vobis impositorum coacti sitis. —

V. 4. *Isto die de vobis*

[1]) F. l. ἀπροστατήτων.

ληφθήσεται ἐφ' ὑμᾶς παραβολὴ καὶ θρηνηθήσεται θρῆνος ἐν μέλει λεγόντων· ταλαιπωρίᾳ ἐταλαιπωρήσαμεν, μερὶς λαοῦ μου κατεμετρήθη ἐν σχοινίῳ, καὶ οὐκ ἦν ὁ κωλύσων αὐτὸν τοῦ ἀποστρέψαι· οἱ ἀγροὶ ὑμῶν διεμετρήθησαν. Τότε δὴ θρῆνος ὀδυνηρὸς ὑμῖν ἁρμόσει (τὸ γὰρ ἐν μέλει τοῦτο λέγει), ὃν ποιήσεσθε, τὴν ἑαυτῶν θρηνοῦντες ταλαιπωρίαν, ὁρῶντες τὴν μερίδα τὴν οἰκείαν, τουτέστι τὴν ὑμῖν προσήκουσαν γῆν ὑπ' ἀλλοτρίων κατεχομένην τε καὶ διαιρουμένην, οὐδενὸς ὄντος τοῦ κωλύειν ταῦτα γινόμενα δυναμένου, τούς τε ἀγροὺς ὑμῶν, οὓς ἐκ πλεονεξίας κατεσχήκατε, ὁρῶντες ὑμῶν μὲν ἀφαιρουμένους ἐν διανομῇ δὲ ἑτέροις παραδιδομένους. Εἶτα ἐπάγει.

parabola sumetur, et planctus plangetur ab iis, qui in naenia dicunt: Miseria deperditi sumus. Pars populi mei mensurata est funiculo, nec erat qui aversionem ejus prohiberet. Agri vestri divisi sunt. Tunc sane planctus luctuosus vos decebit (id significant verba: In naenia). Miseriam enim vestram lugebitis, portionem vestram i. e. terram vestram si ab alienis expugnatam et divisam videritis, nemine haec prohibere pollente; quandoque agros, quos per avaritiam acquisitas possedistis, vobis ademtos, et in distributione aliis traditos videbitis. Deinde ita pergit:

ε'. Διὰ τοῦτο οὐκ ἔσται σοι βάλλων σχοινίον ἐν κλήρῳ. Ἐπεὶ τὸ σχοινίον ἐπὶ τῆς διαμετρήσεως εἴωθε λέγειν ἀπὸ τῶν ἐν τῷ μετρεῖν τοῖς σχοίνοις κεχρημένων, ὡς ὅταν λέγῃ [1]), „Σχοινία ἐπέπεσόν μοι ἐν τοῖς κρατίστοις μου," ἵνα εἴπῃ, ὅτι διεμετρήθη μοι, καὶ ἐπέλαχεν ἐν κλήρῳ τὸ κάλλιστον μέρος τῆς γῆς· τοῦτο λέγει, ὅτι ὄψεσθε τὰ ὑμέτερα ἑτέρους μὲν λαμβάνον-

V. 5. *Itaque non erit, qui tibi funiculum jaciat in sorte.* Funiculum mensuram significare solet, quum qui dimetiuntur funiculis utantur; sicut legimus; „Funiculum cecidit mihi inter optima mea." i. e. dimensa mihi est, sorteque evenit pulcherrima terrae portio. Ita etiam h. l. propheta dicit: Videbitis vestra ab aliis prae-

1) Ps. XV, 6.

τας καὶ διαμετροῦντας, ὑμέτερον δὲ ἐξ ἁπάντων ὑπάρχον οὐδέν. ἐν ὑμῖν οὖν οὐδεὶς ἔσται μετρῶν οὐδὲ κλῆρον βάλλων, ἐπειδὴ πάντα μὲν ὑμῶν ἀφαιρεθήσεται, ἔσται δὲ ἑτέρων· καὶ ὑμεῖς μὲν ἐκ πολλῶν κτημάτων ἔσεσθε κύριοι οὐδενὸς, ὄψεσθε δὲ αὐτὰ ὑπὸ τὴν ἑτέρων γινόμενα δεσποτείαν καὶ ἑτέρους κατ' ἐξουσίαν διανεμομένους τὰ ὑμέτερα. —

ϛ'. Ἐν ἐκκλησίᾳ κυρίου μὴ δακρύετε δάκρυσιν, μηδὲ δακρυέτωσαν ἐπὶ τούτοις· οὐ γὰρ ἀπώσεται ὀνείδη ζ'. λέγων· οἶκος Ἰακὼβ παρώργισε πνεῦμα Κυρίου. Μὴ τοίνυν συνιόντες δάκρυσι κέχρησθε, οὐ μεταμελείας, ἀλλ' ἀλγοῦντες μὲν ἐπὶ τῷ μεγέθει τῶν συμβεβηκότων ὑμῖν κακῶν, τρόπον δέ τινα καὶ αἰτίασιν ἐπάγοντες τῷ θεῷ καὶ λέγοντες, ὅτι οὐχ ἡμεῖς μόνοι τὸν θεὸν παρωργίσαμεν, οὐδὲ παρ' ἡμῶν μόνων τὰ ἄτοπα πέπρακται — τί δήποτ' οὖν ἕτεροι μὲν τὰ δοκοῦντα ποιοῦσιν εἰς ἡμᾶς, ἡμεῖς δὲ πάσχομεν μόνον; Οὐδὲ γὰρ ἔσται τι, φησὶν, ἐκ τούτων ῥημάτων ὄφελος ὑμῖν, οὐδὲ ἐκ τῆς αἰτιάσεως ταύτης διαφεύξεσθε μὲν τῶν κακῶν τὴν πεῖραν, παύσεσθε δὲ ἐπὶ τοῖς συμβεβηκόσιν ὀνειδιζόμενοι κακοῖς. Ταῦτα μὲν οὖν, φησὶ, μὴ ποιεῖτε· τί δέ; — Εἰ ταῦτα τὰ

data et distributa, nihilque vobis relictum; neque inter vos quisquam erit, qui dimetiatur, sortemve jaciat, quia omnia vobis adempta aliisque tradita erunt; vosque antea multorum praediorum domini, nihil habebitis, sed ea in aliorum potestatem redacta et ab iis pro lubitu distributa videbitis.

V. 6. *In conventu Domini nolite lacrimas fundere, nec plorent propter haec. Non enim removebit opprobria,* V. 7. *qui dicet: Jacobi domus spiritum Domini irritavit.* Nolite ergo convenire et lacrimas fundere, non poenitentiae sed doloris de malorum, quae vobis acciderunt, gravitate; in quo vel Deum accusatis, dicentes: Non soli nos Deum irritavimus, neque a nobis solis facta sunt, quae non decent, cur igitur alii quidem pro lubitu nos male tractant, nos vero soli patimur? Nihil enim ejusmodi sermones proderunt, nec propter talem accusationem malorum experientiam effugetis, vel convicia de supplicio vobis parato in vos emissa declinabitis. Haec igitur, inquit, nolite facere, quid vero?

ἐπιτηδεύματα αὐτοῦ ἐστιν, οὐχὶ οἱ λόγοι αὐτοῦ καλοί εἰσι μετ' αὐτοῦ, καὶ ὀρθοὶ πεπόρευνται; Ἐκεῖνο δὲ μᾶλλον ἀποβλέψατε, ὅτι ὁ ταῦτα ἐπάγων ὑμῖν Θεὸς οὐδὲν παραλέλοιπε τῶν δεόντων, ἀλλὰ καὶ λόγοις ἐχρήσατο τοῖς προσήκουσι πρὸς ὑμᾶς, καὶ ἐδίδαξεν ὑμᾶς πολλάκις ἃ δεῖ ποιεῖν, καὶ τῇ μηνύσει τῆς μελλούσης τιμωρίας ἀποστῆσαι τῆς κακοπραγίας ὑμᾶς ἠβουλήθη· ὑμεῖς δὲ οὐκ ἐθελήσαντες προσέχειν τοῖς λεγομένοις τῶν τοῦ Θεοῦ λόγων τὴν ὀρθότητα καὶ τὴν δικαιοκρισίαν ἐπεδείξατε σαφῶς, οἳ πρότερον μὲν ὑμᾶς βελτιοῦν ἐβούλοντο τῇ μηνύσει, ἐπειδὴ δὲ οὐκ ἐπείσθητε, ἀναγκαίως ὑμῖν οὐ μεταμεληθεῖσι τὴν ἀλήθειαν ἐπέδειξαν τὴν οἰκείαν. Εἶτα καὶ ἐπιτείνων τὴν κακηγορίαν. —

Si haec sunt ejus studia, nonne sermones ejus boni sunt cum eo, et recti ambularunt? Id potius reputetis, Deum, qui haec vobis immiserit, nihil eorum, quae fieri potuerunt, praetermisisse, sed etiam clementer ad vos locutum esse, crebroque vos de iis admonuisse, quae facere debebatis. Supplicia enim futura praenuntiando adversam fortunam praecavere voluit; vos vero, quae dicebantur vobis accipere nolentes, rectum aequumque divinorum sermonum judicium clare apparere fecistis, ut qui vaticiniis vos corrigere prius studuerint, dein vero, quum non obtemperaretis, nec poenitentiam ageretis, veritatem suam exhibuerint.

η'. Καὶ ἔμπροσθεν ὁ λαός μου εἰς ἔχθραν ἀντέστη κατέναντι τῆς εἰρήνης αὐτοῦ. Ὑμεῖς δὲ ἄνωθεν ἔχθραν τινὰ καὶ πολεμίαν γνώμην εἵλεσθε πρὸς ἐμέ, πείθεσθαι μὲν τοῖς λεγομένοις οὐκ ἐθέλοντες πολεμοῦντες δὲ τῇ οἰκείᾳ εἰρήνῃ μᾶλλον ἤπερ ἑτέρῳ· τῆς γοῦν ἀπειθείας τῆς ἑαυτῶν κέρδος εἰλήφατε τὸν παρόντα πόλεμον. — Τὴν δορὰν αὐτοῦ ἐξέδειρε τοῦ ἀφελέσθαι ἐλπίδα, συν-

V. 8. *Sed jam pridem populus meus hostili animo restitit contra pacem suam.* Vos jam dudum hostilem inimicamque contra me mentem adoptastis, obsequium erga verba mea recusantes, eoque paci vestrae magis quam cuiquam alii obnixi; praesens ergo bellum tanquam obstinationis vestrae impiae fructum habetis. — *Pellem ei detrahebat, ut spem*

τριμμὸν πολέμου. Πάντα τὰ περιόντα τοῖς πένησιν ἀφῃρεῖσθε καὶ πᾶσαν αὐτῶν ἀγαθὴν ἐξεκόπτετε ἐλπίδα· ὑπὲρ ὧν δὴ τοῦ παρόντος πολέμου τὴν συντριβὴν καθ' ἑαυτῶν κεκινήκατε. Πῶς καὶ τίνα τὸν τρόπον;

θ'. Διὰ τοῦτο οἱ ἡγούμενοι τοῦ λαοῦ μου ἀποῤῥιφήσονται ἐκ τῶν οἰκιῶν τρυφῆς αὐτῶν· διὰ τὰ πονηρὰ ἐπιτηδεύματα αὐτῶν ἐξώσθησαν. Ἅπαντες γὰρ οἱ ἐξάρχειν δοκοῦντες διὰ τὴν δυναστείαν ἐν τῷ λαῷ ὑπὲρ τῆς εἰς τοὺς πένητας ἀδικίας, ἐξωσθήσονται τῶν οἴκων οἷς ἐνετρύφων πλοῦτον ἐκ τῶν πενήτων συλλέγοντες πλεῖστον· οἳ δίκας τῆς μοχθηρᾶς πράξεως δώσουσι τὸ ἔξω γενέσθαι τῆς τούτων δεσποτείας, ἃ κακῶς προσεκτήσαντο. Τί οὖν;

ι'. Ἐγγίσατε ὄρεσιν αἰωνίοις· ἀνάστηθι καὶ πορεύου, ὅτι οὐκ ἔστι σοι αὕτη ἀνάπαυσις· ἕνεκεν ἀκαθαρσίας διεφθάρητε φθορᾷ· κατεδιώχθητε οὐδενὸς διώκοντος. Οὐχ ὑπολέλειπται τοίνυν ὑμῖν οὐδὲ μάχης πρὸς τοὺς πολεμίους πρόφασις ὑπὸ θεοῦ παραδεδομένοις διὰ τὴν μοχθηρίαν τὴν οἰκείαν. Ἄπιτε δὲ ἐπὶ τὰ ὄρια τῶν πολεμίων, ἃ πόῤῥωθεν ὑμῖν ηὐτρέπισεν ὁ θεὸς,

auferret, *contritionem belli* (sibi parabat). Omnia, quae pauperibus erant, abstulistis, omnemque bonam spem eorum perdidistis; ipsi per haec praesentis belli terrores vobis contraxistis. Quomodo, et qua ratione?

V. 9. *Ideo duces populi mei e domibus luxuriae suae ejicientur; propter nefaria studia sua ejecti sunt.* Omnes, qui ob potentiam suam principatum populi obtinere videntur, propter superbiam suam erga pauperes, ex aedibus ejicientur, in quibus divitias pauperibus expressas luxuriose consumscrunt; hanc enim nequitiae suae poenam dabunt, ut possessione depellantur eorum, quae impie corraserunt.

V. 10. *Appropinquate montibus aeternis. Surge et ambula; quia non tibi* (*data*) *est haec requies; propter immunditiam deperditi estis; fugistis nemine persequente.* Propter nequitiam vestram a Deo hostibus traditi, ne pugnae quidem occasionem relictam habetis. Sed ad hostium montes abeatis, quos Deus jam dudum vobis condidit, ut ca-

ὡς ἂν μετὰ αἰχμαλωσίας οἰκοίητε ἐν αὐτοῖς· τυχεῖν γάρ σε τῆς ἐνταῦθα ἀναπαύσεως τῶν ἀδυνάτων, ἐπειδὴ ὑπὲρ ὧν ἀκαθαρσίᾳ συνέζητε πολλῇ κατά τε ἀσέβειαν κατά τε τὴν τῶν πράξεων μοχθηρίαν τῇ τῶν πολεμίων διαφθορᾷ παρεδόθητε, εἰς ἣν συνελαύνεσθε, οὐκ ἀνθρώπων ὑμᾶς ἀπαγόντων, ἀλλὰ θεοῦ τοῦ τὴν τιμωρίαν ὁρίσαντος ταύτην ὑμῖν. Καὶ τὴν αἰτίαν λέγων τῆς τῶν πεπραγμένων αὐτοῖς διαφθορᾶς.

ιαʹ. Πνεῦμα ἔστησε ψεῦδος. γέγονε δέ σοι, φησὶ, πάντων αἴτιον τὸ πιστεύειν τῇ τῶν ψευδοπροφητῶν ἀπάτῃ. — Ἐστάλαξέ σοι εἰς οἶνον καὶ μέθυσμα· Ἐκείνη γὰρ ἐστάλαξέ σοι ταυτηνὶ τὴν τιμωρίαν, ἀφ᾽ ἧς μεθύοντος διενήνοχας οὐδὲν τῇ ποικιλίᾳ περιαγόμενος τῶν κακῶν. Ἐδείξαμεν δὲ καὶ ἑτερώθι ὅτι τὸν οἶνον ἐπὶ τῆς τιμωρίας λέγει. — Καὶ ἔσται ἐκ τῆς σταγόνος τοῦ λαοῦ τούτου συναγόμενος συναχθήσεται ὁ Ἰακὼβ σὺν πᾶσιν. ἐκ δὴ ταύτης τῆς κακῆς ὑμῖν ἐγγενομένης ἀπάτης τῶν ψευδοπροφητῶν ἅπαντες εἰς τὴν παροῦσαν ἠθροίσθητε τιμωρίαν, ἣν οὐδαμῶς διαφυγεῖν ὑμῖν δυνατόν. —

ιβʹ. Ἐκδεχόμενος ἐκδέξομαι τοὺς καταλοίπους τοῦ

ptivi in iis habitaretis; requiem ibi nullam invenire poteris; quoniam immunditiae vos tradidistis multae, et tam propter impietatem, quam propter actionum malitiam interitui ab hostibus parando traditi estis, qui vobis eveniet, non homine vos abducente, sed Deo hoc vobis supplicium destinante. — Et deinde causam ejus interitus e facinoribus eorum derivat.

V. 11. *Spiritum statuit mendacem.* Quia falsorum prophetarum fallaciae credidisti, hinc tibi omnium (malorum) causa. — *Stillavit tibi vinum et ebrietatem.* Ista tibi hancce poenam stillavit, qua factum est, ut calamitatibus multifariis circumactus, ab ebrio non differas. Alias etiam ostendimus, vinum de poena dici. — *Et fiet ut de stilla populi hujus Jacobus colligatur cum omnibus.* Per hanc fraudulentam, quam experti estis, falsorum prophetarum fallaciam omnes in praesentem poenam collecti estis, quam nullo modo effugere poteritis. —

V. 12. *Suscipiam reliquias Israëlis; reditumque*

Ἰσραὴλ, ἐπὶ τὸ αὐτὸ θήσομαι τὴν ἀποστροφὴν αὐτῶν. Ἅπαντας τοίνυν ὑμᾶς, τούς τε πρότερον ληφθέντας ὑπὸ τῶν Ἀσσυρίων καὶ τοὺς ὕστερον, ἀναμενῶ τῇ τοσαύτῃ παραδιδομένους τιμωρίᾳ, εἰς ἣν κατὰ ταὐτὸν τῶν τόπων ἀφαιρεθέντες τῶν οἰκείων ἀποστραφήσεσθε εἰς αἰχμαλωσίαν ἀπαγόμενοι. — Ὡς πρόβατα ἐν θλίψει, ὡς ποίμνια ἐν μέσῳ κοίτης αὐτῶν ἐξαλοῦνται ἐξ ἀνθρώπων. Τοσοῦτο γὰρ ὑμῖν ἐμπεσεῖται δέος ἐκ τῆς ἐφόδου τῶν πολεμίων, ὥστε μηδὲν ὑμᾶς ἀπεοικέναι προβάτων, ἃ καθεύδοντα ἀθρόον ἐπιστάντος λύκου εἰς ταραχήν τε καθίστανται καὶ δέος, περὶ τῆς σωτηρίας ἀγωνιᾶν ἀναγκαζόμενα τῆς οἰκείας.

ιγ'. Ἀνάβηθι διὰ τῆς κοπῆς πρὸ προσώπου αὐτῶν! διέκοψαν καὶ διῆλθον πύλην καὶ ἐξῆλθον δι' αὐτῆς· καὶ ἐξῆλθεν ὁ βασιλεὺς αὐτῶν πρὸ προσώπου αὐτῶν. Ἐπειδὴ γὰρ οἱ Βαβυλώνιοι ἐπὶ πολὺ τὴν Ἱερουσαλὴμ πολιορκοῦντες μηχανήμασι τὴν πόλιν λαβόντες διέτεμον τὸ τεῖχος, οὕτω τε τὴν εἰς τὴν πόλιν εἴσοδον ἑαυτοῖς πραγματευσάμενοι ἅπαντας μετὰ τοῦ βασιλέως λαβόντες διὰ τῆς πύλης ἐπὶ τὴν αἰχμαλωσίαν ἐξήγαγον, τοῦτο λέγει. Ἄνιθι δὴ, φησὶ, καὶ ὅρα τὸ τεῖ-

eorum una collocabo. Vos igitur, et qui prius ab Assyriis, et qui postea captivi deducti sunt, ad unum omnes tantae calamitati incidere jubebo, ut sedibus vestris remoti et in captivitatem abducti in unum congregemini. — *Ut oves in angustiis, ut greges in mediis cubilibus suis ex hominibus desilient.* Tantum vobis hostium adventus injiciet angorem, ut ovibus similes evadatis, qui in somno recubantes, si lupus repente urget, terrore ac metu corripiuntur, de vita sua anxii.

V. 13. *Ascende per ruptum coram facie eorum! Disruperunt et transierunt per portam et exierunt per eam; et exiit rex eorum coram facie eorum.* Quum Babylonii post diuturnam Hierosolymae obsidionem tandem machinis urbem expugnantes, murum rumperent, et ita viam in urbem sibi parantes omnes cum rege captos per portam in captivitatem deducerent; haec propheta dicere vult: Agedum inquit, videque mu-

χός σου διατετμημένον, ὃ διακόψαντες οἱ πολέμιοι ματαίαν σοι τὴν ὑποπτευομένην ἐντεῦθεν ἀσφάλειαν πεποιήκασιν· ἅπαντας γὰρ τοὺς ἐν τῇ πόλει μετὰ τὴν τῶν πεπτωκότων ἀναίρεσιν διὰ τῆς πύλης, ἣν ἀνάγειν οὐκ ἐβούλεσθε, λαβόντες αἰχμαλώτους ἐξῆλθον, προηγουμένου τῆς αἰχμαλωσίας τοῦ βασιλεύειν αὐτῶν[1]) *πρότερον δοκοῦντος.* — *Ὁ δὲ Κύριος ἡγήσεται αὐτῶν. ἐπειδὴ Θεὸς αὐτοῖς ἐν τοῖς καθ' ὑμῶν στρατηγεῖ πολέμοις. Εἶτα καὶ ὑπὲρ ὧν ταῦτα πείσονται πάλιν λέγων.*

rum tuum ruptum ab hostibus, qui illud diruentes securitatem, quam inde sperabas, inanem reddiderunt, omnesque post finitam caedem qui reliqui erant, per eam portam, quam reserare nolebatis, captivos abduxerunt, anteeunte in captivitatem rege, qui antea imperium vestrum obtinuit. — *Dominus autem dux erit eorum.* i. e. Deus eos in iis, quae adversus vos, gerunt bellis, duxit. — Deinde causam rursus affert, de qua talia passuri sint.

Κεφάλαιον Γ'.

α'. Καὶ ἐρεῖ· ἀκούσατε δὴ αἱ ἀρχαὶ τοῦ Ἰακώβ, καὶ οἱ κατάλοιποι οἴκου Ἰσραήλ, οὐχ ὑμῖν ἐστι τοῦ γνῶναι τὸ κρῖμα; Συμπράξει γάρ, φησί, καθ' ὑμῶν τοῖς πολεμίοις ταύτας ὑμῖν τὰς αἰτίας ἐπάγων καὶ πρὸς ἅπαντας τούς τε ἐξάρχοντας ἐν ὑμῖν καὶ τοὺς λοιποὺς λέγων, ὅτι πάντων μάλιστα ὑμᾶς ἐχρῆν διακρίνειν τὸ δέον καὶ ἀποστρέφεσθαι μὲν τὸ χεῖρον, αἱρεῖσθαι δὲ τὸ κρεῖττον, ἅτε ἁπάντων μὲν τοῦτο παρ' ἐμοῦ δεδιδαγμένων διά τε τῆς νομικῆς διατάξεως καὶ τῶν λοι-

Caput III.

V. 1. *Et dicet: Audite principes Jacobi et reliqui domus Israelis, nonne vestrum est, cognoscere judicium?* Adjuvabit enim, inquit, hostes adversus vos belligerantes, has contra vos criminationes afferens, et adversus vos omnes, cum proceres vestros, tum reliquos, loquens: prae omnibus vos decebat, discernere, quid justum sit, ideoque malum fugere, eligere vero bonum; id enim omnes a me edocti estis, cum legis praeceptis,

[1]) F. l. *ὑμῶν*.

πῶν, ὁπόσα δὴ πρὸς τοῦτο πεποίηκα πολλάκις, ἐπὶ τούτῳ δὲ καὶ τῶν ἀρχόντων εἰς τὴν ἐξουσίαν παρεληλυθότων ταύτην. — Οἱ δὲ τί;

β'. *Μισοῦντες τὰ καλὰ καὶ ζητοῦντες τὰ πονηρὰ, ἁρπάζοντες τὰ δέρματα αὐτῶν ἀπ' αὐτῶν καὶ τὰς σάρκας αὐτῶν ἀπὸ τῶν ὀστῶν αὐτῶν.* Οἱ δὲ τοὐναντίον ὧν ἐδιδάχθητε διαπράττεσθε, ἀποστρεφόμενοι μὲν τὰ καλὰ, ἐργαζόμενοι δὲ τὰ χείρω, καὶ πᾶσαν εἰς τοὺς πένητάς τε καὶ εὐτελεστέρους ἀδικίαν ἐπιδεικνύμενοι τῷ πάντα τὰ προσόντα αὐτοῖς ἀφαιρεῖσθαι ποικίλως. Τί οὖν;

γ'. *Ὃν τρόπον κατέφαγον τὰς σάρκας τοῦ λαοῦ μου καὶ τὰ δέρματα αὐτῶν ἀπ' αὐτῶν ἐξέδειραν, καὶ τὰ ὀστᾶ αὐτῶν ἐξέθλασαν, καὶ ἐμέρισαν ὡς σάρκας εἰς λέβητα, καὶ ὡς κρέα εἰς χύτραν.* δ'. *Οὕτω κεκράξονται πρὸς κύριον, καὶ οὐκ εἰσακούσεται αὐτῶν καὶ ἀποστρέψει τὸ πρόσωπον αὐτοῦ ἀπ' αὐτῶν ἐν τῷ καιρῷ ἐκείνῳ, ἀνθ' ὧν ἐπονηρεύσαντο ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν ἐπ' αὐτοῖς.* Ἐπειδὴ γὰρ, φησί, ὑμεῖς πάντα τὰ τῶν πενήτων ἀφῃρεῖσθε ποικίλως αὐτοὺς ἀδικοῦντες καὶ ἄγχοντες καὶ συντρίβοντες, διὰ

tum caeteris, quaecunque eum in finem peregi, neque alia de causa principes hanc nacti sunt potentiam. — Quid vero illi (fecerunt)?

V. 2. *Odio habetis bonum, et malum sectamini; pelles eorum iis aufertis, et carnes eorum de ossibus eorum desecatis.* Contrarium vero eorum, quae edocti estis, peragitis, bona aversati, malis vero incumbentes, et omnem adversus pauperes tenuioresque homines injustitiam eo declarantes, ut eos omnibus privaretis, quae possederunt. Quid igitur (fiet)?

V. 3. *Quemadmodum comederunt carnes populi mei, pellesque iis detraxerunt, ossa eorum confregerunt et dissecarunt, ut carnem in lebetem, et ut carnem in ollam ingesserunt;* V. 4. *ita Dominum invocabunt, neque exaudibit eos, sed faciem suam ab iis avertet isto tempore, propterea quod pessime egerunt in studiis suis.* Quia pauperibus omnia abstulistis, multifariis vexationibus tormentis et minis adhibitis, ideo hostibus incursantibus terrore pressi, Deum quum invocaveritis, nullum ab eo auxilium nanciscemini,

τοῦτο τῆς ἐφόδου τῶν πολεμίων γινομένης καλέσετε μὲν ὑπὸ τῆς ἀνάγκης τὸν Θεὸν, οὐδεμιᾶς δὲ τεύξεσθε τῆς ἐκεῖθεν βοηθείας, ἀλλὰ μενεῖ μηδὲ προσβλέπειν ὑμῖν αἱρούμενος, παντελῶς δὲ τοῖς κατέχουσιν ἐκδιδοὺς κακοῖς, ἐπειδὴ τοιαῦτα ἄτοπα καὶ τοσαύτης κακίας μεστὰ πεπραχόσι συνοῖδεν ὑμῖν. Εἰρηκὼς δὲ, ἅ τε ἔπραττον καὶ ἃ πείσονται ὑπὲρ τούτων τοῖς τῶν ψευδοπροφητῶν πεπιστευκότες λόγοις, ἐπ' αὐτοὺς πάλιν τοὺς ψευδοπροφήτας τρέπει τὸν λόγον καὶ φησί.

έ. Τάδε λέγει Κύριος ἐπὶ τοὺς προφήτας τοὺς πλανῶντας τὸν λαόν μου, τοὺς δάκνοντας ἐν τοῖς ὀδοῦσιν αὐτῶν, καὶ κηρύσσοντας ἐπ' αὐτοῖς εἰρήνην, καὶ οὐκ ἐδόθη εἰς τὸ στόμα αὐτῶν. Ταῦτα δὲ, φησὶ, περὶ τῶν ψευδοπροφητῶν λέγει Θεὸς, οἳ διαφόρως ταῖς ἑαυτῶν ἀπάταις ἐξάγοντες τοῦ προσήκοντος τὸν λαὸν μονονουχὶ κατήσθιον αὐτοὺς αὐτοὶ δι' ὧν ἔλεγόν τε καὶ ἔπραττον, ἐπὶ ταῦτα αὐτοὺς ἐκκαλούμενοι, ὑπὲρ ὧν τοσαύτην ημελλον δέχεσθαι τιμωρίαν· διετέλουν γὰρ εἰρήνην αὐτοῖς ἐπαγγελλόμενοι, καὶ ὡς οὐδὲν ὑπὲρ ὧν ἁμαρτάνουσι πείσονται κακὸν κατὰ τὰ ῥήματα τῶν προφητῶν· ταῦτα δὲ οὐ κατὰ γνώμην φθεγγόμενοι τὴν ἐμὴν ἐπηγ-

sed immutabilem iste retinebit sententiam, ex qua vos plane non respicit, sed instantibus calamitatibus addicit, quum, tot scelesta ac malitia plena facinora vos commisisse, bene sciat. — De iis vero locutus, quae peccaverint, quaeque passuri forent, qui falsorum prophetarum sermonibus fidem habuere, ad ipsos hos falsos prophetas sermonem dirigit, et ita dicit:

V. 5. *Haec dicit Dominus prophetis, populum meum decipientibus, qui mordent dentibus suis, illisque pacem annuntiant, quin hoc in os eorum datum sit.* Haec, inquit de falsis prophetis loquitur Deus, qui fraudibus suis populum multifariam ab aequo seducentes, eos per ea, quae et dixerunt et fecerunt, paene consumserunt, eos ad ea exhortantes, per quae tantam calamitatem futuram sibi pararunt. Non desierunt enim, iis pacem promittere, quasi peccantes nihil eorum passuri essent, quae prophetarum sermones minabantur. Haec, plane non a me jussi, loquentes, meam promiserunt pacem, quam an-

γέλλοντο εἰρήνην, ἣν οὐκ ἐδιδάχθησαν λέγειν παρ' ἐμοῦ. Ἀφ' ὧν δὴ τί πεποιήκασιν; Ἡγίασαν ἐπ' αὐτῶν πόλεμον. Ἐπαγγελλόμενοι γὰρ εἰρήνην πόλεμον αὐτοῖς ἐπήγειραν, ὃν ἀφώρισαν εἰς τὸ κατ' αὐτῶν γενέσθαι.

nuntiare haudquaquam a me edocti erant. Unde quid fecerunt? *Sanctificarunt contra eos bellum.* Qui pacem praedicarunt, bellum moverunt iis, quod adversus inimicos eorum gestum iri dixerant.

ϛ'. Διὰ τοῦτο νὺξ ὑμῖν ἔσται ἐκ μαντείας, καὶ δύσεται ὁ ἥλιος ἐπὶ τοὺς προφήτας, καὶ συσκοτάσει ἐπ' αὐτοὺς ἡ ἡμέρα. ζ'. καὶ καταισχυνθήσονται οἱ ὁρῶντες τὰ ἐνύπνια καὶ καταγελασθήσονται οἱ μάντεις, καὶ καταλαλήσουσι κατ' αὐτῶν πάντες αὐτοί, διότι οὐκ ἔσται ὁ ἐπακούων αὐτῶν. Ὑπὲρ δὴ τούτων ὧν ὁρᾷν τε καὶ μαντεύεσθαι προσεποιοῦντο τὸν λαὸν ἀπατῶντες, σκοτίᾳ αὐτοί τε καὶ οἱ πειθόμενοι περιβληθήσονται πάντες, ὥστε αὐτοῖς μηδὲ τὸν ἥλιον φαίνειν δοκεῖν ὑπὸ τοῦ μεγέθους τῶν κακῶν ἐσκοτισμένους[1]) · αὐτοί τε γὰρ οἱ τὰ τοιαῦτα ὁρᾷν τε προσποιούμενοι καὶ λέγειν, αἰσχύνῃ περιβληθήσονται τῶν πραγμάτων ἐναντίων οἷς ἔφασκον δεικνυμένων, γέλως τε πολὺς ἐπ' αὐτοῖς παρὰ πάντων γενήσεται, οὐδενὸς οὐδὲ προσέχειν ἐπὶ τοῖς παρ' αὐτῶν λεγομένοις ἐθέλοντος διὰ

V. 6. *Propterea nox vobis erit ex vaticiniis (istis), et sol occidet prophetis, diesque iis obscurabitur; V. 7. Et pudore suffundentur, qui vident somnia, et deridebuntur arioli, et ad semet ipsos loquentur omnes isti, quoniam non erit, qui audiat eos.* Propterea quod visiones et vaticinia simularunt, decipientes populum, et ipsi et qui iis paruere ad unum omnes tenebris circumfundentur adeo, ut gravitate calamitatum obcaecatis ne sol quidem lucere videatur. Isti enim, qui talia videre et dicere sibi sumserunt, rebus praedictionibus suis contrariis accidentibus, pudore suffundentur, multumque ab omnibus deridebuntur, neque quisquam ea, quae ab iis dicuntur accipere volet; experientia omnibus satis edoctis, quantae ipsis per frau-

[1]) Leg. ἐσκοτισμένοις.

τὸ τῇ πείρᾳ μαθεῖν, ὅσων αὐτοῖς διὰ τῆς ἀπάτης τῆς ἰδίας γεγόνασιν αἴτιοι κακῶν.

η'. Ἀλλὰ μὴν ἐγὼ ἐνεπλήσθην ἰσχύος ἐν πνεύματι κυρίου, καὶ κρίματος, καὶ δυναστείας, τοῦ ἀπαγγεῖλαι τῷ Ἰακὼβ ἀσεβείας αὐτοῦ, καὶ τῷ Ἰσραὴλ ἁμαρτίας αὐτοῦ. Ἐγὼ δὲ πᾶσαν ἐκείνην τὴν ἀπάτην ἀφεὶς, πνεύματος ἁγίου πλήρης γεγονὼς, διακρίνειν τε ἐπίσταμαι τὸ δέον καὶ μετὰ πολλῆς τῆς ἰσχύος καὶ τῆς παῤῥησίας προάγομαι τὸν λαὸν ὑπὲρ ὧν ἥμαρτέ τε καὶ ἠσέβησεν ἐλέγχειν, εἰδὼς, ὅτι τοῦτο αὐτοῖς λυσιτελήσει μᾶλλον εἰς σωφρονισμὸν τῇ τε μνήμῃ τῶν ἁμαρτηθέντων καὶ τῇ ἀπειλῇ τῶν ἐσομένων πρὸς τὸ δέον ἐνάγεσθαι δυναμένοις. —

θ'. Ἀκούσατε δὴ ταῦτα οἱ ἡγούμενοι οἴκου Ἰακὼβ, καὶ οἱ κατάλοιποι οἴκου Ἰσραήλ. Ὑπὲρ δὴ τούτου, φησὶ, κοινόν τε πρὸς τοὺς ἡγουμένους καὶ τοὺς λοιποὺς ἅπαντας ποιοῦμαι τὸν λόγον, ὀνειδίζων ὑμῖν τὰ πεπραγμένα. Ποῖα δὴ ταῦτα; — Οἱ βδελυσσόμενοι κρῖμα, καὶ πάντα τὰ ὀρθὰ διαστρέφοντες. οἱ τὸ μὲν κεκριμένως διαγινώσκειν ἐκ τοῦ κακοῦ τὸ κρεῖττον ἀποστρεφόμενοι, ἐν διαβολῇ δὲ τιθέμενοι καὶ τὰ παρ᾽ ἑτέρων λεγόμενά τε καὶ

dem suam, calamitatis auctores evaserint.

V. 8. *Ego vero virtute in spiritu Domini repletus sum et judicio ac potentia, ut Jacobo suas inpietates et Israëli peccata sua annuntiem.* Ego vero ab omni fraude ista alienus, spirituque sancto repletus, et quid justum sit cognoscere scio, et multa cum virtute ac libero animo populum peccatorum et impietatum suarum convincam; scio enim hoc ad eos instituendos aptius fore, quum peccatorum commemoratione et futurorum minatione ad bonam frugem reduci possint.

V. 9 *Audite ergo hoc, principes domus Jacobi, caeterique de domo Israëlis.* Propterea ad principes simulque caeteros omnes loquor, facta vestra reprehensurus. Et quaenam sunt haec? *Qui abhorretis judicium et quaecunque recta sunt pervertitis.* E malo bonum cognoscere nolentes calumniis petitis et quae dicuntur et quae peraguntur ab aliis justa; unde etiam prophetarum nostrum ser-

πραττόμενα εἰς δέον, ὥστε καὶ τοῖς ἡμῶν τῶν προφητῶν ἀπειθεῖν λόγοις. ι'. Οἱ οἰκοδομοῦντες Σιὼν ἐν αἵμασι, καὶ Ἱερουσαλὴμ ἐν ἀδικίαις. πεπληρώκατε πᾶσαν αὐτὴν φόνων καὶ ἀδικίας. —

ια'. Οἱ ἡγούμενοι αὐτῆς μετὰ δώρεῶν ἔκρινον, καὶ οἱ ἱερεῖς αὐτῆς μετὰ μισθοῦ ἀπεκρίναντο, καὶ οἱ προφῆται αὐτῆς μετὰ ἀργυρίου ἐμαντεύοντο, καὶ ἐπὶ τὸν κύριον ἐπανεπαύοντο, λέγοντες· οὐχὶ Χριστὸς [1]) ἐν ἡμῖν ἐστίν; οὐ μὴ ἐπέλθῃ ἐφ' ἡμᾶς κακά. Οἱ μὲν γὰρ ἐξάρχοντες οὐδένα τοῦ δικαίου ποιεῖσθαι λόγον ἐθέλοντες, χρημάτων ἐν ταῖς κρίσεσι ἐπώλουν τὸ δίκαιον· οἱ δὲ ἐν τῷ ἱερατεύειν καθεστῶτες ἐξ ἀδικίας χρημάτων [2]) τῇ προφάσει τῆς ἱερατείας ὥσπερ τινὰς μισθοὺς συλλέγειν ἐπειρῶντο. Καὶ μὴν καὶ οἱ ψευδοπροφῆται τοῖς χρήμασιν ἡδόμενοι πρὸς τὸ κεχαρισμένον τοῖς παρέχουσι τὰς μαντείας ἐποιοῦντο· Εἶτα τοσαῦτα καὶ τοιαῦτα ἐργαζόμενοι κακὰ προσεποιοῦντο τῷ Θεῷ ἑαυτοῖς [3]) ἐπιτρέπειν, Θεὸν ἐν ἑαυτοῖς ἔχειν λέγοντος καὶ οὐχ οἷόν τε εἶναι τοιούτων ἠξιωμένους πεῖρα θεῖναι [4]) τῶν κατὰ

monibus morem non gessistis. — V. 10. *Qui Sionem e sanguine extruitis, Hierpsolymamque iniquitatibus.* Caedibus et iniquitate eam plane implevistis.

V. 11. *Principes ejus pro muneribus judicarunt, ejusque sacerdotes pro mercede responderunt, et prophetae ejus pro pecunia vaticinati sunt, et in domino fiduciam secure ponunt, dicentes: Nonne Christus in nobis est? nullum nobis malum eveniet.* Proceres enim justitiae rationem habere nolentes, opibus in jure dicundo justum vendiderunt; quibus vero sacerdotii munus injunctum est, per causam sacerdotii opes tanquam mercedes suas contra fas colligere studuerunt; quin et falsi prophetae pecunia delectati dona ferentibus, quae iis jucunda essent vaticinia protulerunt, et licet in eo tam impie agerent, Deo tamen se parere simularunt, Deum scilicet in se habere mentiti, nec fieri posse, ut, qui talibus (beneficiis) digni habiti sint, eas calamitates

[1]) F. l. κύριος. — [2]) Legendum videtur χρήματα. — [3]) F. l. ἑαυτούς. — [4]) Leg. πειραθῆναι.

γνώμην Θεοῦ παρ' ἡμῶν μηνυομένων κακῶν. Τί οὖν;

revera experturi sint, quas nos ex Dei mandato minitati sumus. Quid igitur (fiet)?

ιβ'. *Διὰ τοῦτο δι' ὑμᾶς Σιὼν ὡς ἀγρὸς ἀροτριαθήσεται καὶ Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον ἔσται, καὶ τὸ ὄρος τοῦ οἴκου εἰς ἄλσος δρυμοῦ.* Ἐπειδὴ τοίνυν τοῖς ἡμετέροις ἀπειθεῖτε λόγοις κατὰ γνώμην Θεοῦ γινομένοις, τοῖς ψευδοπροφήταις δὲ προσέχοντες τοσαύτας ἀσεβείας τε καὶ παρανομίας καθ' ἑκάστην ἅπαντες ἡμέραν ἐπιτελεῖτε, διὰ τοῦτο εἴσεσθε τῶν ἡμετέρων λόγων τὴν ἀλήθειαν, καὶ ὅτι τοσαύτη τις ἐρημία καταλήψεται τό τε Σιὼν ὄρος καὶ τὴν ἐπ' αὐτοῦ πόλιν, ὡς τὸ μὲν ἀγροῦ δίκην γεωργεῖσθαι, τὴν δὲ σκηνῆς διαλλάττειν μηδὲν ἐπὶ ὀπώρων φυλακῇ κατεσκευασμένης, τῶν οἰκοδομημάτων αὐτῆς[1]) πανταχόθεν συντετριμμένων, πᾶν τε συντόμως εἰπεῖν τὸ ὄρος, ἐν ᾧπερ ὁ τοῦ Θεοῦ οἶκός ἐστιν, οὐδὲν διοίσει τόπου συμφύτου, τοσούτων ἐκ τῆς ἐρημίας ἀναδιδομένων αὐτόθι φυτῶν. —

V. 12. *Idcirco vestrum causa Sion tanquam ager arabitur, et Hierosolyma ut casula frugum custodiendarum causa exstructa erit, et in monte templi silva saltusque succrescet.* Quia sermonibus nostris morem non geritis licet ex Dei decreto prolatis, falsis vero prophetis parentes tanta impietate et improbitate singula quaque die vos polluitis; ideo veritatem sermonum nostrorum intelligetis, quando vos cum Sione monte et urbe in eo exstructa adeo devastabimini, ut ille agri instar colatur, haec vero casulae ad fruges custodiendas exstructae, omnibus ejus aedificiis ubique dirutis, similis sit; et brevi ut dicam, totus, in quo Dei templum est, mons nihil differret a campo silvestre, tam multae enim propter vastitatem loci ibi succrescent plantae.

Ἀλλὰ γὰρ ἄχρι τούτου τὰς ἐπαγομένας αὐτοῖς συμφορὰς εἰρηκὼς, λέγει λοιπὸν καὶ οἷα τὰ περὶ αὐτοὺς μετὰ τὴν ἅλωσιν

Hucusque calamitatibus futuris enumeratis, quae post expugnationem iis eventura, et quantopere res eorum in

[1]) In cod. αὐτῇ.

ἔσται, ὅσην τε ἕξει[1]) τὴν ἐπὶ τὸ κρείττω[2]) μεταβολήν· ὅπερ οὖν εἰωθὸς ὂν τοῖς λοιποῖς προφήταις καὶ τῷ μακαρίῳ Δαυὶδ πολλάκις ἐδείξαμεν, τὸ μηνύειν μετὰ τὴν τῶν χαλεπῶν πεῖραν τὰ ἡδέα, εἶτα πάλιν λέγειν τὰ λυπηρὰ, ἵνα τῇ συνεχείᾳ τῆς μνήμης δι' ἀμφοτέρων αὐτοὺς παιδεύωσι, σωφρονίζοντες μὲν τῇ μνήμῃ τῶν λυπηρῶν προτρεπόμενοι δὲ τῇ μηνύσει τῶν χρηστοτέρων τῆς ἐλπίδος ἀντέχεσθαι τῆς θείας. Λέγει τοίνυν.

melius se mutaturae sint, dicit propheta, ex more, ut saepe ostendimus, et caeterorum prophetarum et beati Davidis, qui, post infausta etiam jucunda fore, praedicunt, et deinde tristia rursus vaticinantur, ut conjuncta utriusque memoratione eos per utrumque erudiant, tristium memoratione castigantes, feliciorum vero praedictione in divina spe permanere suadentes. Ita igitur loquitur.

Κεφάλαιον Δ'.

α', Καὶ ἔσται ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐμφανὲς τὸ ὄρος τοῦ οἴκου κυρίου, ἕτοιμον ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων, καὶ μετεωρισθήσεται ὑπεράνω τῶν βουνῶν. Καὶ σπεύσουσιν ἐπ' αὐτῷ λαοὶ, β'. καὶ πορεύσεται ἔθνη πολλὰ καὶ ἐροῦσι· δεῦτε, καὶ ἀναβῶμεν εἰς τὸ ὄρος κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ Ἰακὼβ, καὶ δείξουσιν ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν τοῖς τρίβοις αὐτοῦ. Ὅτι ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ Ἱερουσαλὴμ, γ'. καὶ κρινεῖ ἀνα-

Caput IV.

V. 1. *Et in novissimis diebus mons, in quo templum domini, manifestus erit, stabilitus in verticibus montium, et elatior erit collibus, et properabunt ad eum populi; V. 2. multaeque gentes proficiscentur dicentque: agite, ascendamus ad montem domini et ad aedem Dei Jacobi; ut ostendant nobis viam ejus et incedamus in semitis ejus. E Sione enim lex progredietur, sermoque Domini ex Hierosolyma. V. 3. Et judicabit inter multas gentes, et redarguet nationes fortes usque ad regiones*

[1]) In cod. ἕξειν. — [2]) Leg. κρεῖττον.

μέσον λαῶν πολλῶν καὶ ἐλέγξει ἔθνη ἰσχυρὰ ἕως μακράν. Ἀλλὰ γὰρ μετὰ τὴν πεῖραν τῶν κακῶν, ἣν ἥπερ γενήσονται, πρότερον μὲν ὑπὸ τῶν Ἀσσυρίων αἰχμάλωτοι τεθέντες, ὑπὸ Βαβυλωνίων δὲ ὕστερον, τοσαύτη μεταβολὴ περὶ τὸν τόπον γενήσεται τοῦτον, ὥστε περιφανὲς ἅπασι τὸ ὄρος γενέσθαι, ἐν ᾧπερ οἰκεῖν ἐπείληπται Θεὸς, ἁπάντων τε ὑπερκείμενον δειχθῆναι τῶν ὀρέων, καὶ πλεῖστον ὅσον ὑπεραίρον πάντα μὲν ὄρη πάντας δὲ βουνοὺς, διά τὴν ἐκ τῆς θείας κηδεμονίας ἐν αὐτῷ γινομένην δόξαν. Συναχθήσονται δὲ πολλοὶ πολλαχόθεν καὶ τῶν ἀλλοτρίων, ἐπειγόμενοι τοῦτο δὴ τοῦ Θεοῦ καταλαβεῖν τὸ ὄρος, ἐν ᾧπερ οἰκεῖν δοξάζεται Θεὸς, ἐνταῦθά τε παιδευθῆναι, ὃν δὴ τρόπον προσῆκεν αὐτοὺς πολιτεύεσθαι, ὅπως τε βιοῦν κατὰ τὸ δέον, ὥστε νόμον εἶναι καὶ τοῖς ἑτέρωθι τὸν ἐνταῦθα κρατοῦντα νόμον, φωνῆς τε θείας δοκεῖν ἀκούειν ἅπαντας, ἀφ᾽ ἧς προσῆκε τοῖς Ἱερουσαλὴμ πολιτεύεσθαι νομίμοις. Ταῦτα δὲ οἰήσονται δικαίως, δρῶντες τοῦ Θεοῦ τὴν δύναμιν, ἣν ἐπιδείξεται πολλοὺς τῶν κακῶς διατεθεικότων ἡμᾶς ὑπὸ τὴν κρίσιν ἄγων τὴν οἰκείαν, ἐλέγχων τε καὶ τοὺς ἄγαν εἶναι δοκοῦντας ἰσχυροὺς,

remotas. Post has vero calamitates finitas, quas experturi sunt primum quidem ab Assyriis, dein vero a Babyloniis capti, tanta circa hunc locum sequetur mutatio rerum, ut mons, in quo Deus habitare creditur, omnibus innotescat, et omnibus montibus sublimior evadat, omnesque montes collesque mirum quantum antecellat propter gloriam in eo e divina providentia conspicuam. Multi enim undique peregrini confluent, hunc Dei montem attingere festinantes, in quo Deus habitare existimatur, ibique erudiri, qua ratione se habere debeant, et quomodo juste vivere. Unde lex hic imperium tenens etiam ab exteris pro lege sua accipietur, omnibusque tanquam divinae voci praeceptis iis obtemperare placebit, quibus Hierosolymae obtemperabitur. Et jure hoc arbitrabuntur, cognita Dei potentia, quam eo manifestabit, quod multos eorum, qui valde nos vexaverunt, sub judicium suum vocabit et vel eos, qui validissimi videntur longeque remoti, propter ea mulctabit, quae in nos deliquerunt; eam-

καν εἰ πόῤῥωθεν εἶναι δοκοῖεν, ὑπὲρ ὧν εἰς ἡμᾶς πεπλημμελήκασι· καὶ δὴ καὶ τιμωρίαν αὐτοῖς ἐπάγων τῶν τετολμημένων ἀξίαν. — Ἐθαύμασα δὲ τοὺς εἰρηκότας λελέχθαι μὲν ταῦτα τῷ προφήτῃ ἐπὶ τῶν περὶ τοὺς Ἰσραηλίτας ἐσομένων ἐπειδὰν ἐπανάγεσθαι μέλλωσι τῆς Βαβυλῶνος, φήσαντας δὲ τύπον αὐτά τινα καὶ τῶν κατὰ τὸν δεσπότην ἔχειν Χριστόν· οὓς, ὅτε μὲν τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον τοῦ λαοῦ σημαίνεσθαι ἔφασαν ἐν τούτοις, ὡς κάλλιστά γε εἰρηκότας ἐπαινῶ, ὅτι δὲ τύπον τινὰ τῶν κατὰ τὸν δεσπότην ἔχειν Χριστὸν, οὐκ οἶδα ὅπως προήχθησαν εἰπεῖν, δήλου γε ὄντος ὡς ἅπας τύπος μίμησιν ἔχει τινὰ πρὸς ἐκεῖνο, οὗπερ λέγεται τύπος· τὸ δὲ ἐκ Σιὼν ἐξελεύσεσθαι νόμον καὶ λόγον κυρίου ἐξ Ἱερουσαλὴμ, πολύγε ἀφέστηκε τῆς τοῦ δεσπότου Χριστοῦ διατάξεως, ὃς σαφῶς εἴρηκε πρὸς τὴν Σαμαρεῖτιν[1]· „Πίστευέ μοι γύναι, ὅτι ἔρχεται ὥρα, ὅτε οὔτε ἐν Ἱεροσολύμοις, οὔτε ἐν τῷ ὄρει τούτῳ προσκυνήσετε τῷ πατρὶ“, καὶ τὴν αἰτίαν λέγων· „Πνεῦμα ὁ θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν.“ Σαφῶς γὰρ

que poenam factis eorum consentaneam sumet. — Miratus autem sum eos, qui haec a propheta ad significanda ea, quae circa Israelitas futura essent post reditum eorum e Babylone, dicta esse censuerunt, simulque tamen, eadem imaginem exhibere eorum, quae in Christo facta sunt, contenderunt. Quibus, quatenus hoc loco populi de Babylone reditum significare dicunt, equidem assentior tanquam optime interpretantibus; imaginem vero hic exhiberi eorum, quae in Christo facta sunt domino, non video quomodo a se impetraverint dicere. Clarum enim est, omnem imaginem similitudinem quandam habere oportere cum eo, cujus imago dicitur; legem vero e Sione progressuram esse sermonemque Domini ex Hierosolyma, tantum aberat, ut Christus dominus statuerit, ut mulieri Samaritanae dixerit: „Mulier, crede mihi, adventat hora, quum nec Hierosolymae nec in hoc monte patrem coletis;“ addita causa ea: „Spiritus est

[1]) Joh. IV, 21. et v. 24.

ἀπεφήνατο καταλυθήσεσθαι τὴν περὶ τὸν τόπον ἀκριβολογίαν παντελῶς, καὶ μηδένα λόγον ἔσεσθαι τοῦ ἐν Ἱερουσαλὴμ μᾶλλον ἢ ἑτέρωθι προσκυνεῖν, ἐπειδὴ ἅπαντες παιδευθέντες ἀσώματον εἶναι τὸ θεῖον, μετὰ τοιαύτης αὐτῷ προσκυνεῖν μέλλουσι τῆς διανοίας, ὡς ὅπου ποτ' ἂν αὐτὸ διαπράττωνται οὐδὲν ἀλλοιότερον ποιοῦντες. Περὶ μὲν δὴ τῆς ἐπανόδου τῆς ἀπὸ Βαβυλῶνος ἁρμοττόντως λέγοιτο ἄν· ἐκ Σιὼν ὄρος ἐξελεύσεται νόμος καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλὴμ, ἐπειδήπερ ἀπεδόθησαν τότε τῷ τόπῳ τῷ Σιὼν, ὥστε κατὰ τὴν νομικὴν διάταξιν τὴν διατεταγμένην θρησκείαν αὐτόθι πληροῦν, ἣν ἑτέρωθί γε ὄντες πληροῦν οὐκ ἐδύναντο, ὡς καὶ λέγειν ἐπὶ τῆς Βαβυλῶνος οντας [1]), „Πῶς ᾄσωμεν τὴν ᾠδὴν κυρίου ἐπὶ γῆν ἀλλοτρίαν.“ Τύπον δέ γε πῶς ἂν ἔχοι πρὸς τὰ τοῦ δεσπότου Χριστοῦ, οὗπερ ἡ διάταξις ὁμοίως ἁπανταχοῦ πληροῦσθαι τὴν θείαν βούλεται λατρείαν, τρόπῳ, καὶ οὐ τόπῳ διακρινομένων τῶν εὖ τε καὶ τῶν χεῖρον αὐτὴν πληρούντων; Ἀλλ' ὅ γε προφήτης τῇ προῤῥήσει τῶν προκειμένων ἐπισυνάπτων τάδε φησίν· Ὅτι κατακόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰ

Deus, et qui eum colunt, spiritu et veritate eum debent colere.“ Quibus perspicue, prorsus solutum iri, docuit, anxiam loci venerationem, nec rationem habitam fore, utrum Hierosolymae Deus coletur, an alibi, quando omnes sine corpore Deum esse haud inscii, tali animo eum culturi essent, ut, ubicunque hoc faciant, non impie se agere persuasum habeant. Sed circa reditum e Babylone egregie dicatur e Sione egressuram legem esse sermonemque domini ex Hierosolyma, quia tunc huic loco, Sioni, reddebantur Israëlitae, ut ibi legis mandatis praescriptum persolverent cultum, quem alibi degentes persolvere nequibant; unde Babylone versantes dixerunt: „Quo pacto canamus carmen domini in terra aliena?“ Sed quomodo haec imaginem Christi instituta praefigurantem habere possunt, quum ejus praeceptum, ubivis pari modo numini honorem tribui, jubeat, et discrimen eorum, qui hoc recte et qui male faciant, non in loco, sed in animo po-

[1]) Ps. CXXXVI, 5.

δόρατα αὐτῶν εἰς δρέπανα· καὶ οὐκέτι οὐ μὴ ἄρῃ ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐκέτι οὐ μὴ μάθωσι πολεμεῖν. Δεικνὺς ὅτι παύσεται μὲν ἅπας πόλεμος, εἰρήνη δὲ πάντα καθέξει, ὥστε καὶ τὰ πολεμικὰ ὄργανα εἰς τὴν τῶν γεωργικῶν σκευῶν χρῆσιν τρέπειν λοιπὸν, ὥσπερ ἧττον μενόντων τῶν πολεμικῶν, πεπαυμένου τοῦ πολέμου, τῆς δὲ γεωργίας ὡς ἐν εἰρήνῃ κρατεῖν ὀφειλούσης. Εἶτα λέγει·

nat? — Praedictioni vero futurorum haec adnectens pergit: *Concident gladios suos, ad aratra, et hastas suas, ad falces (inde faciendas); nec gens gentem amplius gladio infestabit, nec bellum amplius discent.* Ostendit hic propheta, omne bellum cessaturum pacemque omnia occupaturam esse, indeque fore, ut belli instrumenta usui pacis accomodentur, neglectis bellicis rebus, quum bellum desierit, agris vero inter pacem omni opera cultis. Deinde addit:

δ'. *Καὶ ἀναπαύσεται ἕκαστος ὑποκάτω ἀμπέλου αὐτοῦ, καὶ ἕκαστος ὑποκάτω συκῆς αὐτοῦ· καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν.* Σημαίνων, ὅτι πάντες ἀπολαύσουσι τῶν οἰκείων πόνων ὡς ἐν εἰρήνῃ, οὐδενὸς ὄντος τοῦ φοβεῖν αὐτοὺς καὶ ἐκταράττειν δυναμένου λοιπὸν καὶ μεθιστάντος τῶν τόπων τῶν οἰκείων. Καὶ ἐπειδὴ παράδοξα τὰ λεγόμενα ἦν, καλῶς ἐπήγαγεν· *τὸ γὰρ στόμα Κυρίου παντοκράτορος ἐλάλησε ταῦτα.* Ἵνα εἴπῃ, ὅτι ταῦτα ἀπεφήνατο θεὸς γενέσθαι, καὶ γενήσεται πάντως. —

V. 4 *Et requiescent unus quisque sub vite, et quisque sub ficu sua, terrente nemine.* Omnes laboribus suis fruituros esse, significat, quum stabilita pace nemo erit, qui eos amplius terrere et turbare atque e sedibus propriis fugare queat. Et quoniam haec praedictio mira erat, egregie addit propheta: *Os enim domini omnipotentis haec locutum est.* i. e. Quia Deus haec ita fore indicavit, revera etiam evenient.

ε'. *Ὅτι πάντες οἱ λαοὶ πορεύσονται ἕκαστος τὴν ὁδὸν αὐτοῦ· ἡμεῖς δὲ πο-*

V. 5. *Omnes quidem populi sua quisque via incedent; nos vero in nomine*

ρευσόμεθα ἐν ὀνόματι κυρίου θεοῦ ἡμῶν, εἰς τὸν αἰῶνα καὶ ἐπέκεινα. Πάντες μὲν γὰρ ὡς ἐν εἰρήνῃ καθεστῶτες τὰ προσήκοντα αὐτοῖς ἔργα διαπράξονται λοιπὸν, οἱ μὲν ἐπὶ γεωργίαν, οἱ δὲ ἐπὶ θαλαττουργίαν τρεπόμενοι, οἱ δὲ ἐφ' ἥντινα δήποτε τέχνην, ἣν ἂν ἕκαστος μετιὼν τυγχάνῃ, κοινὸν δὲ ἅπαντες ἕξομεν ἔργον τὸ κατὰ δοκοῦν τῷ θεῷ πολιτεύεσθαι λοιπὸν εἰς ἅπαντα τὸν ἑξῆς χρόνον. Καὶ ἐπιβεβαιῶν αὐτὰ πάλιν λέγει.

ϛ'. Ἐν ταῖς ἡμέραις ἐκείναις, λέγει Κύριος, συνάξω τὴν συντετριμμένην, καὶ τὴν ἀπωσμένην εἰσδέξομαι, καὶ οὓς ἀπωσάμην. ζ'. Καὶ θήσομαι τὴν συντετριμμένην εἰς ὑπόλειμμα καὶ τὴν ἀπωσμένην εἰς ἔθνος ἰσχυρόν. Καὶ βασιλεύσει Κύριος ἐπ' αὐτοὺς ἐν ὄρει Σιὼν, ἀπὸ τοῦ νῦν καὶ ἕως εἰς τὸν αἰῶνα. Τότε δὴ, φησὶ, τοὺς ὑπὸ τῶν μεγίστων κακῶν συντριβέντας καὶ τῆς τε προνοίας τῆς ἐμῆς καὶ τῶν τόπων ἀποστάντας τῶν ἰδίων ἐπανάξω πάλιν εἰς τοὺς καθήκοντας τόπους· καὶ τοὺς μὲν πρότερον συντετριμμένους οὕτω τῇ ἐμαυτοῦ διαφυλάξω προνοίᾳ ὥστε ἅπαν τὸ γένος τὸ Ἰσραηλιτικὸν ἐξ αὐτῶν αὐξηθῆναι πάλιν (τοῦτο

domini, Dei nostri, incedamus in aeterna et ulteriora tempora. Omnes, utpote in pace degentes, negotia sibi convenientia in futurum facient, alii agriculturae, alii rebus nauticis, alii qualicunque, quam quisque sibi elegerit, arti operam navantes; commune vero omnes id habebimus munus, ut per omnia tempora futura secundum Dei regulam vitam instituamus nostram. Quae ut confirmet, rursus dicit:

V. 6. *Diebus istis, inquit dominus, colligam afflictam, et quam abegeram recipiam et quos depuleram. V. 7. Et efficiam, ut quae afflicta erat, superstes sit, et quae depulsa erat, ut gens valida evadat. Et rex iis erit dominus in monte Sione, in aeternum.* Tunc, inquit, eos, qui maximis calamitatibus afflicti, et cura mea sedibusque propriis privati erant, reducam in regiones suas pristinas; itaque afflictos antea nunc cura mea servabo, ut omne genus Israëliticum ex iis rursus succrescat (hoc indicat loquela *superstes erit*); et tunc multis validiores declarabo eos, qui nunc propter infirmita-

γὰρ λέγει ὑπόλειμμα), δυνατωτέρους τε πολλῶν ἀποφανῶ τοὺς δι' ἀσθένειαν νῦν τῶν τόπων ἀποβληθέντας τῶν οἰκείων διαμενεῖ τε θεὸς ἐπὶ τοῦ ὄρους τοῦ Σιὼν τὸ κράτος ἐπιδεικνύμενος τὸ οἰκεῖον διὰ τῆς περὶ τοὺς ἐνοικοῦντας κηδεμονίας τῆς τε τιμωρίας, ἣν ἐπάγειν μέλλει τοῖς πολεμεῖν ἐθέλουσιν αὐτοῖς. Τὸ γὰρ καὶ ἕως εἰς τὸν αἰῶνα εὔδηλον, ὅτι δι' ὅλου τὸ μέχρι πολλοῦ λέγει. Οὐ γὰρ ἄδηλον ὡς ἐδέξαντο μέν τινα πάλιν ἐπὶ τῶν Μακκαβαίων μεταβολὴν, μεγίστην δὲ καὶ ἀδιόρθωτον παντελῶς, ὅτε κατὰ τοῦ δεσπότου Χριστοῦ τετολμηκότες τὴν ὑπὸ Ῥωμαίων ὑπέμειναν αἰχμαλωσίαν παντελῶς, τῆς τε γῆς ἐξορισθέντες τῆς οἰκείας καὶ ἐν δουλείᾳ καθεστῶτες μακρᾷ. —

tem sedibus suis depulsi sunt. Et perpetuo in monte Sione Deus potentiam suam manifestabit, et providendo iis, qui illic habitant, et puniendis iis, qui illos debellare conabuntur. *In aeternum* vero dicit, in universum tempus significans longum. Neminem enim fugit, jam Maccabaeorum tempore Israëliticas res aliquatenus mutatas esse, maximam vero et perniciosissimam mutationem accidisse tunc, quum post Christum dominum sceleste cruciatum a Romanis turpi captivitate prorsus subigebantur et terra sua ejecti, et diuturno servitio traditi.

Μέχρι μὲν δὴ τούτου τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον λέγει τοῦ λαοῦ τά τε κατ' ἐκεῖνον τὸν καιρὸν αὐτοῖς προσεσόμενα ἀγαθὰ, ἐντεῦθεν δὲ πάλιν τῶν λυπηρῶν ποιεῖται τὴν μνήμην, τὰς ἐπελευσομένας αὐτοῖς συμφορὰς διηγούμενος. — Ὅθεν δὴ πρὸς τὴν Ἱερουσαλὴμ αὐτὴν ἀποστρέφων τὸν λόγον οὕτω φησί.

Praedictis hucusque et populi e Babylone reditu et felicitate isto tempore exspectanda, hinc acerba rursus memorat propheta, calamitates futuras enumerans. Itaque ad Hierosolymam ipsam directo sermone ita loquitur.

η'. Καὶ σὺ πύργος ποιμνίου αὐχμώδης, θυγάτηρ Σιών. Ὅτι θυγατέρα Σιὼν τὴν Ἱερουσαλὴμ ὀνομάζει δῆλον, συνεχῶς καὶ τῶν προφητῶν καὶ τοῦ

V. 8. *Et tu turris gregis squalida, filia Sion.* Filiam Sionis Hierosolymam propheta ex constanti prophetarum more, quem etiam

μακαρίου Δαυὶδ οὕτως αὐτὴν καλοῦντος, ὡς ὅταν λέγῃ [1]· „Ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών“ ὡς ἀναμφίβολον εἶναι τὸ μὴ πρὸς Σεδεκίαν, ὅ τινες οὐκ οἶδ' ὅπως ᾠήθησαν, πρὸς δὲ τὴν Ἱερουσαλὴμ ἀποστρέφοντα ποιεῖσθαι τὸν λόγον ἐνθάδε τὸν προφήτην· ἣν θυγατέρα Σιὼν κατὰ τὸ εἰωθὸς προειπὼν εἰκότως πύργον ὀνομάζει τοῦ ποιμνίου, ἅτε πάντων τῶν Ἰσραηλιτῶν ἐξέχουσαν καὶ πάντων ἐπ' αὐτὴν κατατρεχόντων, διά τε τὴν ἐκτελουμένην αὐτόθι τῷ θεῷ θεραπείαν καὶ τὴν βοήθειαν, ἧς ἤλπιζον ἐκεῖθεν τυγχάνειν, ὡς ἐκεῖ διάγειν ὑπειλημμένου τοῦ θεοῦ. Αὐχμωδῆ δὲ αὐτὴν ὀνειδίζων φησὶν, ὡς δίκην αὐχμοῦ τῇ ἀσεβείᾳ συνεχομένην καὶ δὴ παντὶ τῷ ποιμνίῳ τῶν χειρόνων κατάρχουσαν, δέον ἐν τοῖς κρείττοσιν ἡγεῖσθαι. — Ἐπὶ σὲ ἥξει καὶ ἐπελεύσεται ἡ ἀρχὴ, ἡ πρώτη βασιλεία ἐκ Βαβυλῶνος τῇ θυγατρὶ Ἱερουσαλήμ. Ὑπὲρ γὰρ τῶν οὐ δεόντως ἐν σοὶ πραττομένων ἐπελεύσεταί σοι βασιλεὺς μέγιστος καὶ ἄγαν δυνατὸς, ὁ τῆς Βαβυλῶνος, ὃς διαθήσει σε οἷα εἰκὸς δυνατὸν ἐπεληλυθότα ποιεῖν βασιλέα.

beatus David sequitur, quando dicit: „Ut laudes tuas cunctas enarrem sub portis filiae Sionis,“ apellat. Omni igitur dubio vacat, non ad Sedeciam, ut nonnulli, nescio cur, statuerunt, sed ad Hierosolymam prophetam hic verba sua dirigere, eamque ex consueto Filiam Sionis nuncupare. Cui consentanea est etiam Turris gregis appellatio, quum inter omnes Israelitas emineret urbs, omnesque ad eam confluerent, ut ibi Deo cultum tribuerent, ejusque auxilium, quod illinc sibi evenire sperabant Deum ibi habitare rati, impetrarent. Squalidam vero eam vituperandi causa appellat, quum impietate veluti squalore polluta esset, et universae gregi peccando antecelleret, quamquam virtute ei praecurrere debebat. — *Ad te veniet et ingredietur imperium, primum regnum e Babylone filiae Hierosolymae.* Propter impie penes te facta superveniet tibi maximus et potentissimus rex Babylonis, qui ita te tractabit, ut rex potens et hostilis facere solet.

[1]) Ps. IX, 15.

ϑ'. *Καὶ νῦν ἵνατί ἔγνως κακά; μὴ βασιλεὺς οὐκ ἦν σοι, ἢ ἡ βουλή σου ἀπώλετο, ὅτι κατεκράτησάν σου ὠδῖνες ὡς τικτούσης;* Ἀλλὰ γὰρ ὑπὲρ ὅτου, φησὶν, εἰς τοσαύτην κακῶν κατενέχθης πεῖραν, ἥ γε καὶ βασιλέα ἐκέκτησο στρατηγεῖν ἐν τοῖς ὑπὲρ σοῦ πολέμοις δυνάμενον, ὃν καὶ ἐπ' αὐτῷ γε εἵλου τούτῳ παραγραψαμένη τὸν ἄρχειν παρ' ἐμοῦ τεταγμένον ὑμῶν; Καὶ ἐν συνέσει δὲ πρωτεύοντας ἐκέκτησο πλείστους, ὡς ᾤου, πῶς οὖν ὑπὸ τηλικούτων περιείληψαι κακῶν, ὑφ' ὧν κεκρατημένη διαλάττεις οὐδὲν ἐπὶ τοκετῷ γυναικὸς ὠδινούσης; ὧν οὐκ ἄν ποτε πεῖραν εἰλήφεις, εἰ τοῖς νομίμοις ἐσπούδαζες ἕπεσθαι τοῖς ἐμοῖς. —

V. 9. *Jam vero cur mala cognovisti? Nonne rex tibi erat, aut consilium tuum periit, quod dolores te corripuerunt quasi parturientis (dolores)?* Qua tandem de causa in tantum malorum periculum inducta es, ut quae regem haberes, qui in bellis exercitum tuum ducere poterat, ad id ipsum a te electus spreto eo, quem equidem vobis regem destinaveram? Multosque habebas, quos sapientia insignes censebas, quomodo igitur talibus correpta es calamitatibus, ut nihil differas a muliere partus doloribus excruciata? Nunquam talia experta fores, si in sequendis praeceptis meis studium collocasses.

ι'. *Ὤδινε καὶ ἀνδρίζου καὶ ἔγγιζε θυγάτηρ Σιὼν ὡς ἡ τίκτουσα.* Ὑπόμενε τὰς ἐπικειμένας ὠδίνας, καὶ ἐν αὐταῖς διακαρτέρει δίκην τικτούσης προσεγγίζουσα ταῖς ἐκ τοῦ τίκτειν ὠδῖσι. — *Διότι νῦν ἐξελεύσῃ ἐκ πόλεως, καὶ κατασκηνώσεις ἐν πεδίῳ καὶ ἥξεις ἕως Βαβυλῶνος.* Πέρας γὰρ εἴληφε τὰ κατὰ σὲ, καὶ ληφθήσῃ μὲν ἐκ τῆς πόλεως εἰς αἰχμαλωσίαν, ἀπαγομένη δὲ εἰς τοὺς τύχοντας τόπους ἐῤῥιμ-

V. 10. *Sed dole modo, et viriliter age, et appropinqua, filia Sion, tanquam parturiens.* Tolera impositos tibi dolores, in iis perdura tanquam parturiens adventantibus partus doloribus. — *Quia nunc urbe egressa in campo habitabis, et usque ad Babylonem veniens.* Ad extremum enim venerunt res tuae; ex urbe enim in captivitatem projecta et abducta, quo casus feret jactata de-

μένη διατάξεις[1]) οἷα εἰκὸς, αἰχμάλωτος ἀπαγομένη, ἄχρις ἂν εἰς αὐτὴν γένοιο τὴν Βαβυλῶνα, ἐν ἧπερ διάγειν σε μετὰ τῆς συμφορᾶς ἀνάγκη τῆς οἰκείας. Εἶτα τὴν τιμωρίαν εἰρηκὼς πάλιν λέγει τὴν λύσιν. — Ἐκεῖθεν ῥύσεταί σε καὶ ἐκεῖθεν λυτρώσεταί σε Κύριος ὁ θεὸς σου ἐκ χειρὸς ἐχθρῶν σου. Ἀλλ' ἐπειδὰν εἰς ἐκείνους αἰχμάλωτος ἀφίκῃ τοὺς τόπους, ἀφ' ὧν οὐδεμία σοι λύσεως ἐλπὶς ὑποφαίνεται, παραδόξου τεύξῃ τῆς θείας βοηθείας, ἣ κατὰ τὴν οἰκείαν δύναμιν τῆς τε αἰχμαλωσίας καὶ τῶν κατεχόντων ἀπαλλάξῃ[2]) σε δυναστείας. —

ιά. Καὶ νῦν ἐπισυναχθήσεται ἐπὶ σὲ ἔθνη πολλὰ καὶ λαοὶ, λέγοντες· ἐπιχαρούμεθα, καὶ ἐπόψονται ἐπὶ Σιὼν οἱ ὀφθαλμοὶ ἡμῶν. Τότε δὴ ἔθνη Σκυθικὰ πολλά τε καὶ ἀνήμερα (λέγει δὲ τοὺς περὶ τὸν Γώγ) τὴν εὐπραγίαν οὐ φέροντες καὶ τὴν ἐπάνοδον τὴν σὴν, ἐπελεύσονταί σοι, μάλα προσδοκῶντες ῥᾳδίως τὰ δοκοῦντα ἑαυτοῖς ἐπὶ σοὶ καταπράξασθαι κακά.

ιβ'. Καὶ αὐτοὶ οὐκ ἔγνωσαν τὸν λογισμὸν κυρίου, καὶ οὐ συνῆκαν τὴν βουλὴν αὐτοῦ, ὅτι συνήγαγεν

ges, ut res fert, captiva circumacta usquedum ad ipsam pervenias Babylonem, ubi una cum calamitate tua vivere te oportet. Praedicto autem supplicio etiam ejus finem rursus indicat. *Inde liberabit te, et inde redimet te e manibus hostium tuorum dominus Deus tuus.* Ubi vero ad ista loca captiva perveneris, unde nulla tibi liberationis spes videtur, miri auxilii divini particeps eris, quod pro potentia sua et e captivitate et potestate eorum te solvet, qui te captam tenent.

V. 11. *Jam vero convenient contra te gentes multae et populi, dicentes: Exsultemus, et adspiciant Sionem oculi nostri.* Tunc sane Scythicarum gentium multae et feroces (Gogi autem agmina significat) felicitatem reditumque tibi invidentes te aggredientur, valde sperantes, facile se, quae adversus te mala ceperint consilia, exsequi posse.

V. 12. *Sed ignorant isti decretum domini, nec ejus consilium intellexerunt, qui congregavit eos uti mani-*

[1]) F. l. διαπράξεις. — [2]) Leg. ἀπαλλάξει.

αὐτοὺς ὡς δράγματα ἅλωνος. Πεποίηνται δὲ τὴν ἔφοδον τῷ τε πλήθει καὶ τῇ δυνάμει οἰκείᾳ θαῤῥοῦντες, καὶ οὐκ εἰδότες τοῦ ἡμετέρου θεοῦ τὴν γνώμην, ὃς διὰ τοῦτο συνεχώρησεν αὐτοῖς ἐπὶ τὸν πόλεμον τοῦτον βουληθεῖσιν ἐξελθεῖν, ἵνα τήν τε περὶ ἡμᾶς ἐπιδείξῃ κηδεμονίαν καὶ τὴν οἰκείαν εἰς αὐτοὺς ἐλέγξῃ δύναμιν, δίκην θεριζομένων δραγμάτων καὶ εἰς ἅλωνα ἀποτιθεμένων πάντας αὐτοὺς ταῖς σφαγαῖς τῶν ἡμετέρων χειρῶν ἐκδιδούς. Καὶ ὡς τούτῳ γε πάντως ἐσομένῳ θαῤῥῶν, λέγει πρὸς τοὺς Ἰσραηλίτας.

ιγ'. *Ἀνάστηθι, καὶ ἀλόα αὐτούς, θύγατερ Σιών! Λαβοῦσα δέ, φησίν, αὐτοὺς ὑποχειρίους τῇ δυνάμει τοῦ θεοῦ, πάντας αὐτοὺς ὡς ἐν ἅλωνι διαφόροις σύντριψον καὶ κατανάλωσον ταῖς σφαγαῖς. — Ὅτι τὰ κέρατά σου θήσομαι σιδηρᾶ καὶ τὰς ὁπλὰς σου θήσομαι χαλκάς. Δέδωκα γάρ σοι δύναμιν οὐχ ἧττον σιδηρῶν κεράτων ἀμύνεσθαι τοὺς ἐναντίους ἄρκουσαν, καὶ πατεῖν μᾶλλον ἢ ὁπλαῖς τις χαλκαῖς χρώμενος πατήσειεν ἄν. — Καὶ κατατήξεις ἐν αὐταῖς ἔθνη, καὶ λεπτυνεῖς λαοὺς πολλούς, καὶ ἀναθήσεις τῷ κυρίῳ τὸ πλῆθος αὐτῶν καὶ τὴν ἰσχὺν αὐτῶν τῷ κυρίῳ πά-*

pulos areae. Expeditionem suam copiae et potentiae propriae confisi suscepere, nescii vero decreti a Deo nostro capti, qui ideo eos ad hoc bellum uti ipsis placuit, proficisci sivit, ut et suam de nobis declararet curam, et contra eos potentiam suam manifestaret, eos omnes manipulorum instar, qui demetuntur et in area deponuntur, caedibus per manus vestras faciendis traditurus. Et quasi, haec re vera eventura esse, confisus, Israëlitas alloquitur propheta ita.

V. 13. *Surge et tritura eos, filia Sion.* Per potentiam Dei sub potestatem tuam redactos omnes, tanquam in area, variis necibus interfice atque perime. *Quia cornua tua ferrea efficiam et ungulas tuas aeneas.* Vim tibi dedi ferreis cornibus haud inferiorem, quae sufficit adversariis arcendis et conculcandis, idque magis quam si quis aeneis ungulis usus conculcet. — *Et comminues iis gentes populosque multos, dominoque devovebis multitudinem eorum, et robur eorum universae terrae domino.* Per hanc tibi a Deo porrectam fortitudinem

σης τῆς γῆς. Ταύτῃ δὴ παρὰ τοῦ Θεοῦ χορηγουμένῃ τῇ ῥοπῇ πάντος αὐτοὺς ἀφανιεῖς παντελῶς πλείστους γε ὄντας· καὶ παντὰς τοῦ πλήθους αὐτῶν τὴν ἀπώλειαν ἀναλογιεῖ[1]) τῷ Θεῷ, ὃς ἁπάσης κύριος ὢν τῆς γῆς ἅπασαν αὐτῶν κατὰ τὸ δοκοῦν ἀφανιεῖ τὴν ἰσχύν. — Εἶτα τὴν τῶν ἐναντίων ἐπιχείρησιν λέγων, ὑπὲρ ἧς δὴ τὰ ῥηθέντα ὑπομενοῦσιν. —

cunctos eos plane delebis, quamvis numerosi sint; et universae ejus multitudinis perniciem Deo tribues, qui tanquam universae terrae dominus omne eorum robur pro voluntate sua delebit. — Deinde vero etiam adversariorum conatum depingit, propter quem ista passuri sint.

Κεφάλαιον Ε.

α. Νῦν ἐμφραχθήσεται θυγάτηρ ἐν φραγμῷ· συνοχὴν ἔταξεν ἐφ᾽ ὑμᾶς. ῥάβδῳ πατάξουσιν ἐπὶ τὸν σιαγόνα τὰς φυλὰς τοῦ Ἰσραήλ. Τοιαῦτα δὴ πείσονται, φησίν, ὑπὲρ ὧν τῷ πλήθει καὶ τῇ δυνάμει θαῤῥοῦντες τῇ οἰκείᾳ ἐπεληλύθασι περιφράττοντες ὑμᾶς καὶ περιβάλλοντες ὥσπερ τινὶ φραγμῷ τῷ πλήθει τῷ οἰκείῳ, ὡς ἂν συνέχοντες ἄρδην ἀμέλλοιεν[2]) ἅπαντας, καὶ μόνον οὐκ ἐπ᾽ αὐτὰς ὑμῖν τὰς σιαγόνας τῆς ἑαυτῶν δυνάμεως ἐπάγοντας τὰς πληγάς. Εἶτα καὶ τὸν ἡγούμενον τοῦ πολέμου φησίν, ὡς ἂν δείξειεν ὅτι ταῦτα γενήσεται διὰ τὸ ἄρχειν αὐτῶν τὸν[3]) γνώμῃ Θεοῦ πρὸς τοῦτο ἠγμένον. —

Caput V.

V. 1. *Nunc obsepietur filia sepe: angustiam obduxit vobis; genas percutient tribubus Israelis.* Haec, inquit, patientur, quia multitudine et potentiae suae confisi vos agressi, vos obsederunt et circumdederunt multitudine sua tanquam sepe ut ita obsessos vos penitus everterent, plagis potentiae suae fere genas vestras percutientes. — Deinde etiam belli ducem significat, ut ista iis eventura esse indicet propterea quod regi obtemperent non ex sententia Dei ad hoc munus electo.

[1]) F. l. ἀναλογιεῖς. — [2]) F. l. ἀνέλοιεν. — [3]) Fort. inser. οὐ.

β'. Καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθὰ, μὴ ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα; ἐκ σοῦ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραὴλ, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος. Ὁ γὰρ ἐκ τῆς Βηθλεὲμ νῦν βασιλεύων ὑμῶν, κἂν εὐαρίθμητοί τινες εἶναι δοκοίητε πρὸς τοὺς πολεμίους, τῇ ἐμῇ γε ῥοπῇ τε καὶ δυνάμει μάλα γε πρὸς τὸν τῶν ἐναντίων πόλεμον πολλῶν τε ὄντων καὶ δυνατῶν ἀρκέσει, ἐπειδήπερ ἄνωθεν αὐτοῦ τὴν προβολὴν ταύτην τετάχθαι συμβέβηκεν, ἐξότεπερ πρὸς τὸν Δαυὶδ ἐπηγγείλατο θεὸς, ὅτι τοῖς ἐξ αὐτοῦ κατὰ διαδοχὴν φυλάξει τὴν βασιλείαν, ἐξ ἐκείνης δὲ καὶ οὗτος τῆς ἐπαγγελίας προβεβλημένος εἰς τὴν βασιλείαν ἀρκέσει πρὸς τὸ μέγεθος τῶν παρόντων κακῶν. Λέγει δὲ τὸν Ζοροβάβελ· οὗτος γὰρ ἦν ὁ τότε βασιλεύων τῶν Ἰσραηλιτῶν, ἐκ τοῦ Δαυὶδ καταγόμενος, ὁπηνίκα ἥ τε ἐκ Βαβυλῶνος ἐπάνοδος ἐγένετο καὶ οἱ περὶ τὸν Γὼγ τοῖς κατὰ τὴν Ἰερουσαλὴμ ἐπελθεῖν ἐπεχείρησαν. δηλοῦ γε ὄντος ἐκείνου, ὅτι κἂν περὶ τοῦ Ζοροβάβελ ἐκ τῆς τῶν προκειμένων ἀκολουθίας εἴρηται ταῦτα, ὡς ἐκ τῆς τοῦ Δαυὶδ καταγομένου διαδοχῆς, ἀλλά τόγε ἀληθὲς τῶν

V. 2. *Et tu Bethlehem, domus Ephratae, nonne minor es, quam quae millibus Judae accensearis? Sed ex te ortum habebit, qui princeps sit Israelis, et ortus ejus ab initio, aeternisque temporibus.* Qui nunc Bethlehemo oriundus, vobis imperat, etiamsi admodum exiguus vestrum numerus, respectu habito hostium, videatur, tamen per meam opem ac potentiam ad bellum contra adversarios, licet numerosos ac potentes, gerendum omnino sufficiet. Scilicet quum antiquitus ad id constitutus esset; Davidi enim Deus promiserat, se posteris ejus imperium conservaturum esse. Unde qui ex hac promissione imperium obtinet, ob id ipsum magnitudini praesentis calamitatis par erit. Zorobabelem vero dicit propheta; is enim tunc Israëlitarum imperium tenebat e Davidica stirpe natus, quum post reditum e Babylone Gogi agmina Hierosolymitanos aggredi conabantur. Id vero non minus perspicuum est, quamvis haec de Zorobabele dicta sint, quod e causis modo expositis consequitur, de Davidica

εἰρημένων πέρας τὴν ἔκβασιν εἴληφεν ἐπὶ τοῦ δεσπότου Χριστοῦ· ἐπεὶ καὶ πᾶσα ἡ πρὸς τὸν Δαυὶδ ἐπαγγελία περὶ τοῦ βασιλεύσειν τοὺς ἐξ αὐτοῦ γενομένη δοκεῖ μὲν κατὰ πρῶτον λόγον σημαίνειν τοὺς κατὰ διαδοχὴν ἐξ αὐτοῦ γεγονότας βασιλέας τοῦ Ἰσραὴλ, τῇ ἀληθείᾳ δὲ τὸν δεσπότην Χριστὸν τὸ κατὰ σάρκα μηνύει, ὃς ἐκ τῆς τοῦ Δαυὶδ διαδοχῆς γεγονὼς ἀληθῆ καὶ ἀπαρασάλευτον ἔχει τῶν ἁπάντων βασιλείαν. Καὶ τοῦτο γε ἀπὸ τοῦ ὀγδοηκόστου καὶ ὀγδόου ψαλμοῦ σαφέστερον γνοίη τις ἄν· ἔνθα δὴ σημαίνει μὲν τὸ τὰς τῆς βασιλείας ἐπαγγελίας τοῖς ἐξ αὐτοῦ κατὰ διαδοχὴν ἐσομένης [1]) προσήκειν, περὶ ὧν δή φησιν [2]), „Ἐὰν ἐγκαταλίπωσιν οἱ υἱοὶ αὐτοῦ τὸν νόμον μου, καὶ τοῖς κρίμασί μου μὴ πορευθῶσι, καὶ τὰ δικαιώματά μου βεβηλώσωσι, καὶ τὰς ἐντολάς μου μὴ φυλάξωσιν, ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν, καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐτῶν· τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἐπ᾽ [3]) αὐτῶν.“ Ταῦτα γὰρ εὔδηλον ὅτι τοῖς καθεξῆς ἀπὸ τοῦ Δαυὶδ καταγομένοις καὶ μέλλουσι βασιλεύειν τοῦ Ἰσραὴλ ἁρμόσειεν ἂν, οὓς παιδεύει [4]) μὲν ἁμαρτάνοντας ὑπι-

illo nato stirpe, re vera, quae h. l. dicta sunt, eventum suum finemque habere in Christo domino. Universa enim ista Davidi facta promissio, regium munus posteris suis mansurum esse, mihi quidem primo loco significare videtur eos qui per successionem ex eo orti sunt, reges Israëliticos, re vera autem Christum dominum pro naturali sua origine, ut qui a Davidis stirpe natus verum ac inconcussum omnium imperium obtineat. Id quod e psalmo octavo et octogesimo quilibet etiam facilius cognoscere possit, ubi David imperii promissiones ad eos pertinere ostendit, qui de stirpe ipsius oriundi sint, tali modo de iis locutus: „Quod si ex eo prognati relicta mea lege non se gesserint, ut meae sententiae postulant, si profanatis meis placitis mea praecepta non conservaverint, eorum equidem noxam virga, eorum culpam plagis vindicabo. Sed meam erga eum benignitatem non iis auferam.“ Haec a Davide per successionem oriundis et Israëli imperaturis apte con-

[1]) F. l. ἐσομένοις. — [2]) Ps. LXXXVIII, 31—34. — [3]) F. l. ἀπ᾽. — [4]) Leg. παιδεύειν.

σχνεῖται, οὐ μὴν παντελῶς ἐξωθεῖσθαι τῆς βασιλείας. Μηνύει δὲ προβαίνων τὸ κατὰ σάρκα δεσπότην Χριστὸν, ἐφ' οὗπερ τῶν ἐπαγγελιῶν τῶν οἰκειῶν ἀληθὲς ἔδειξε τὸ πέρας ὁ θεός. τὸ γὰρ[1]) „Θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ", καὶ „τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ, καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου, καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς αἰῶνα" — πρόδηλον ὡς ἐπ' οὐδενὸς μὲν τῶν διαδόχων ἕξει χώραν λεγόμενα, σαφῶς δὲ τοῦ δεσπότου Χριστοῦ δείκνυσι τὴν βασιλείαν διηνεκῆ τε καὶ ἀσάλευτον, μετὰ πολλῆς μὲν τῆς δυνάμεως πολλῆς δὲ τῆς λαμπρότητος εἰς τὸν ἔπειτα διαμένουσαν χρόνον. Οὕτω καὶ τὴν παροῦσαν μαρτυρίαν ἁρμόττουσαν μὲν κατὰ τὸ ἀληθὲς καὶ ἀναντίῤῥητον τῶν πραγμάτων ἴδοι τις ἂν ἐπὶ τοῦ δεσπότου Χριστοῦ κατὰ τὴν ἐν τοῖς εὐαγγελίοις φωνὴν, λεγομένην δὲ καὶ ἐπὶ τῶν κατὰ καιρὸν γινομένων ἐκ τοῦ Δαυὶδ βασιλέων τοῦ Ἰσραὴλ διὰ τὴν ἐπαγγελίαν τὴν θείαν. Ὅθεν δὴ καὶ νῦν ὁ προφήτης ἐπὶ τοῦ Ζοροβάβελ αὐτὴν ἐξείληφεν εἰκότως· ἐπειδὴ

venire, facile apparet, quos, ubi peccaverint, castigare quidem, neque tamen omnino imperio ejicere promittit Deus. Ulterius vero progressus etiam Christum dominum pro humano suo ortu significat, in quo firmum promissionum suarum finem declaravit Deus. Quae enim sequuntur psalmi laudati verba: — „Et ejus semen in aeternum, soliumque ejus per dies caelorum propagabo," et dein, „Semen ejus in aeternum manebit, et solium ejus ut sol coram me et ut luna duratura in aeternum" in neminem e posteris ejus cadere posse, apparet, sed Christi domini regnum perpetuum atque inconcussum multa cum potentia ac majestate per omnia tempora mansurum fore, iis indicatur. Ita etiam praesens testimonium in Christum dominum cadere ex vero certoque et indubitato rerum eventu cognosci potest, eandem vero etiam reges Israëliticos a Davide natos spectare divina testatur promissio. Recte igitur propheta eam de Zorobabele intellexit. Dictis enim iis,

[1]) Ps. LXXXVIII, 30. 37—38.

γὰρ τὰ μετὰ τὴν ἐπάνοδον ἔλεγε τὴν ἀπὸ Βαβυλῶνος, καὶ τὴν ἔφοδον τῶν περὶ τὸν Γώγ, τήν τε ἐπενεχθεῖσαν αὐτοῖς παρὰ τοῦ θεοῦ τιμωρίαν, ἀκολούθως μέμνηται καὶ τοῦ κατ' ἐπαγγελίαν θείαν ἐκ τῆς τοῦ Δαυὶδ διαδοχῆς τὴν ἀρχὴν αὐτῶν τότε πεπιστευμένου, ὡς ἂν δείξειεν καὶ τὰ διὰ τούτου περὶ τὸ ἔθνος κατορθωθέντα διὰ τὴν ἤδη γεγενημένην πρὸς τὸν Δαυὶδ ἐπαγγελίαν τοῦ θεοῦ τὴν ἰσχὺν εἰληφέναι. ὅθεν καὶ εἶπε τὸ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος, ἵνα εἴπῃ, ὅτι τὰ ἄνωθεν εἰρημένα τε καὶ ἐπηγγελμένα παρὰ τοῦ θεοῦ προεβάλετο τοῦτον εἰς τὴν ἀρχὴν[1]*) δυνηθῆναι πεποίηκε τοιαῦτα. Εἶτα ἐπάγει·*

γ'. Διὰ τοῦτο δώσει αὐτοὺς ἕως καιροῦ τικτούσης τέξεται. Ὠδίνειν καὶ τίκτειν πολλάκις ἡ θεία γραφὴ λέγει τὸ ἐν μέσῳ τῶν δεινῶν παράδοξον τὴν θείαν ἀναφαίνεσθαι βοήθειαν. οὕτω λέγει τὸ[2]*) „Διὰ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας, ὃ ἐποίησας ἐπὶ τῆς γῆς,“ ἵνα εἴπῃ, ὅτι ὑπὲρ ὧν ἐφοβούμεθά σε συνελάβομεν ἐν αὐτοῖς τὴν ἀπόῤῥητόν σου χά-*

quae post reditum e Babylone eventura essent, Gogi et agminum ejus incursus, et poenam a Deo iis ob hoc inflictam dico, convenienter etiam ejus mentionem injicit, qui tunc regnum tenebat ex divina promissione a Davide natus, ut etiam res ab eo gestas ad populum restaurandum propter promissionem Dei Davidi factam prospere cessisse, perspicuum faceret; quamobrem etiam addidit: *Ortus ejus ab initio et antiquissimis temporibus.* i. e. Prisca vaticinia et Dei promissa eum ad imperium promoverunt, eique talia faciendi potestatem pararunt.

V. 3. *Et tradet eos usque ad tempus parturientis; (quo) pariet.* Eos, qui mediis in diris calamitatibus miram divinam repente nanciscuntur opem, parturire et parere dicit scriptura divina; cujusmodi est illud, „Propter timorem tuum, domine, concepimus, et parturivimus et peperimus spiritum salutis, quem super terram efflasti.“ i. e. quoniam te veriti sumus, concepimus mente nostra in-

[1]) Addendum videtur *καί*. — [2]) Ps. XXVI, 18.

ριν, ἀφ' ἧς διὰ πολλῶν ὠδινῶν ἐν τῷ μεγέθει τῶν κακῶν σωτηρία ἡμῖν ἀπετέχθη παράδοξος. Κἀνταῦθα τοίνυν ὡσὰν τῆς Ἱερουσαλὴμ συλλαβούσης τε ἐκ τῆς θείας χάριτος καὶ τὴν δωρεὰν ἀποτεκούσης ταύτην ἀφ' ἧς αὐτοί τε περιεσώθησαν καὶ παντελῆ τὴν ἀπώλειαν ἐδέξαντο οἱ πολέμιοι, τοῦτο λέγει, ὅτι τοὺς ἐναντίους παραδώσει ἀπωλείᾳ, ἐπειδὴ τῇ Ἱερουσαλὴμ μετὰ πολλῶν ὠδινῶν, ἅς ὑπέμεινεν ἐν τῇ τῶν πολεμίων ἐφόδῳ, ἡ παράδοξος ἀπετέχθη τοῦ θεοῦ δωρεά. — *Καὶ οἱ ἐπίλοιποι τῶν ἀδελφῶν αὐτοῦ ἐπιστρέψουσιν ἐπὶ τοὺς υἱοὺς Ἰσραήλ.* Τότε γὰρ δὴ πάντες οἱ ἀπὸ τῆς αἰχμαλωσίας ἐπανελθόντες κοινὸν ἡγήσονται βασιλέα τὸν Ζοροβάβελ, οὐκέτι ἰδίᾳ μὲν ἀρχομένων τῶν δέκα φυλῶν, τῆς τε Ἰούδα μόνης μετὰ τῆς Βενιαμὶν τοὺς ἐκ τοῦ Δαυὶδ βασιλέας κατὰ τὸ πρόσθεν ἐχούσης, ἀλλὰ πάντων ἕνα βασιλέα τὸν Ζοροβάβελ ἡγουμένων λοιπόν. Οὕτω καὶ ὁ μακάριος Ὡσηὲ λέγει[1]· „Καὶ συναχθήσονται οἱ υἱοὶ Ἰούδα καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐπὶ τὸ αὐτὸ, καὶ θήσονται ἑαυτοῖς ἀρχὴν μίαν.“ Καὶ μακάριος δὲ Δαυὶδ[2]· „Ἰδοὺ δὴ τί καλὸν καὶ τί τερπνόν,

effabilem tuam gratiam, a qua per multos dolores mediis in magnis calamitatibus salus nobis nata est mirabilis. Quasi igitur Hierosolyma, e divina gratia postquam conceperat, id pepererisset donum, ut et ipsi Israelitae conservarentur, et hostes plane everterentur, propheta hoc loco haec dicit: Adversarios Deus perniciei tradet, ubi Hierosolymae multis cum doloribus, quos ab hostibus incursionem facientibus passa est, mirabile natum erit Dei auxilium. — *Et de fratribus ejus superstites revertentur ad filios Israelis.* Tunc omnes, qui e captivitate revertuntur eundem communem suum regem Zorobabelem celebrabunt, nec decem tribus seorsim regnum constituent amplius, nec Judae cum Benjamini tribu, sicut antea solae e Davidica stirpe reges habebunt, sed omnes unum regem Zorobabelem agnoscent. Idem etiam beatus Hoseas dicens, „Et congregabuntur, inquit, filii Israëlis filiique Judae in unum, et unum sibi constituent regnum;“ et bea-

[1]) Hos. I, 11. — [2]) Ps. CXXXII, 1.

αλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό!" τὴν ὁμόνοιαν αὐτῶν τὴν ἐσομένην κατὰ τὸν τῆς ἐπανόδου καιρὸν ἐν τούτῳ σημαίνων, ἣν ἀπέσωζον ὑφ' ἑνὶ τῷ βασιλεύοντι καθεστῶτες λοιπόν. Ὁμοίως οὖν κἀνταῦθα ὁ προφήτης λέγει, ὅτι καὶ οἱ λοιποὶ τῶν ἀδελφῶν, ἵνα εἴπῃ, ὅτι πάντες καὶ οἱ τῆς Ἰούδα φυλῆς ἐκτὸς συναχθήσονται τοῖς λοιποῖς υἱοῖς τοῦ Ἰσραὴλ, ἕνα καὶ τὸν αὐτὸν ἡγούμενοι βασιλέα.

δ'· *Καὶ στήσεται καὶ ὄψεται, καὶ ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ ἐν ἰσχύι κύριος· καὶ ἐν τῇ δόξῃ ὀνόματος κυρίου τοῦ θεοῦ αὐτῶν ὑπάρξουσι, διότι νῦν μεγαλυνθήσεται ἕως ἄκρων τῆς γῆς.* Ἔσται δὲ, φησὶν, ὁ διὰ τοῦ τότε βασιλεύοντος ἅπαντας τῇ οἰκείᾳ κηδεμονίᾳ ποιμαίνων ὁ θεὸς, ὃς καὶ ἐπιδόξους αὐτοὺς διὰ τὴν ὀνομασίαν, ἐργάσεται τὴν οἰκείαν, διαμενεῖ τε κατὰ πάσης τῆς γῆς μετὰ πολλοῦ τοῦ θαύματος ἀνυμνούμενος ἐφ' οἷς τοσαῦτα καὶ τηλικαῦτα πεποίηκε περὶ τοὺς τὴν αὐτοῦ μετιόντας ὀνομασίαν, λέγω δὴ τοὺς υἱοὺς Ἰσραὴλ, νῦν μὲν αὐτοὺς ἐκ τῆς αἰχμαλωσίας παρὰ πᾶσαν ἐπανάγων ἐλπίδα, μετ' ἐκεῖνο δὲ ἐν ὀλίγοις αὐτοῖς νίκην καταπραττόμενος αὐτὴν, ἀφ' ἧς ἀναρίθμητόν τι πλῆθος ἐῤῥω-

tus David, „Ecce quid pulcrius aut jucundius quam fratres una habitantes!" quibus concordiam eorum tempore reditus futuram significat, quam sub unum regem coacti ostenderunt. Similiter etiam h. l. propheta ait superstites de fratribus (i. e. omnes), Judae contribules cum reliquis filiis Israëlis conjunctos, unum sibi constituturos esse regem.

V. 4. *Et ille stabilitus circumspiciet et pascet gregem suam, a domino corroboratus; ipsi vero in gloria nominis domini Dei sui degent; nam usque ad terrae fines magna ejus celebrabitur fama.* Per eum autem, qui tunc in omnes regnabit, inquit, Deus, quasi pastor curam geret, eosque propter nomen suum insignes reddet; laudibus et admiratione multa ab universa terra celebratus in perpetuum, qui tanta et tam multa beneficia cumulaverit in eos, qui nomen suum honore prosequuntur, Israëlitas dico. Namque e captivitate praeter omnem spem primum reductis, dein, licet paucissimi sint talem parabit victoriam, ut innumerabilis fortium,

μένων ἀνδρῶν καὶ εἰς πολεμικὴν ἐμπειρίαν παρεσκευασμένων διὰ τῶν εὐτελῶν τούτων καὶ εὐαριθμήτων παντελῶς κατὰ τὴν οἰκείαν τροπώσεται δύναμιν. —

Ἀλλὰ γὰρ οὕτω τὰ μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον ὑπάρξοντα αὐτοῖς εἰρηκὼς, ἃ τοῦ Ζοροβάβελ κατ' ἐπαγγελίαν θεοῦ ἐκ τοῦ Δαυὶδ αὐτῶν βασιλεύοντος περιγενέσθαι πάντως ἤμελλεν αὐτοῖς, ἐπειδὴ ταῖς ἐπαγγελίαις ταῖς οἰκείαις προσέχοντα τὸν θεὸν ὁ προφήτης ἠβουλήθη δεῖξαι, πολλὴν τοῖς κατὰ τὸ αὐτὸ[1]) γε δοκοῦν γενομένοις παρέχοντα τὴν ἰσχὺν, ἀποδείξει τοῖς κατὰ τὸν Ζοροβάβελ χρησάμενος, ἐδόκει δὲ μετὰ πολὺ ταῦτα γενέσθαι, τά τε τῆς ἐπανόδου λέγω τῆς ἀπὸ Βαβυλῶνος καὶ τὰ μετὰ τὴν ἐπάνοδον ἐκείνην εἰς τοὺς περὶ τὸν Γὼγ γεγονότα, μέμνηται τῶν ἐγγὺς καὶ μετ' οὐ πολὺ τὴν ἔκβασιν λαμβανόντων, λέγω δὴ τῶν περὶ τοὺς Ἀσσυρίους ἐπὶ τοῦ Ἐζεκίου συμβάντων, ἵν' ἐκ τῶν ἔγγυθεν καὶ μετ' οὐ πολὺ γινομένων τῶν μετὰ μακροὺς ἐσομένων τοὺς χρόνους παράσχηται τὴν πίστιν. Εὔδηλον γὰρ, ὅτι ταῦτα προηγόρευεν ὁ προφήτης, ὡς ἡ βίβλος δηλοῖ, ἐν ἡμέραις Ἰωαθὰμ, καὶ Ἀχὰζ, καὶ Ἐζεκίου, ὥστε οὐ πόῤῥωθεν

eorumque bellum egregie expertorum virorum exercitus per admodum paucos et tenues ope sua roboratos in fugam vertatur.

Ita propheta, quae iis post reditum e Babylone eventura essent, praedixerat, nempe ea quae Zorobabele, a Davide prognato ex Dei promissis iis imperante omnino percepturi forent bona. Propheta enim, ut Deum promissis suis stare, et ea, quae decretis suis convenienter peragantur, felici successu ornare, ostendat, iis quae Zorobabele regnante fiebant, utitur. At quoniam haec post longum demum tempus futura erant — reditum e Babylone dico, et, quae post eum de Gogi catervis facta sunt — etiam ea commemorat, quae propius aderant, et brevi post eventum habebant, Assyriorum sub Ezechia casus; ut ex iis, quae prope aderant et brevi post accidebant, iis quae post longum tempus eventura erant, fidem faciat. Haec enim prophetam, uti etiam liber docet, Joathami et Achasi Ezechiaeque diebus vatici-

[1]) Leg. αὐτῷ.

ἡ πρόῤῥησις ἦν τῶν κατὰ τὸν Ἐζεκίαν (ἀλλὰ γὰρ ἐμήνυε τότε) καὶ παρὰ πόδας ἐλάμβανε τὴν ἔκβασιν, πάντων, οἳ πρὸ τῶν πραγμάτων τῆς προφητείας ἔτυχον διδαγμένοι φωνὴν, ἔγγυθεν ὁρώντων τὴν ἔκβασιν, ἵν᾽ οὕτω δείξῃ τῶν κατὰ τὸν Ἐζεκίαν ἔγγυθεν ὄντων πρὸς τὰ τοῦ Ζοροβάβελ μετὰ πολὺν τὸν χρόνον ἐσόμενα τὴν συγγένειαν, δῆλόν τε διὰ ἀμφοτέρων τε ποιήσῃ, πόση τις ἦν τῆς ἐπαγγελίας ἡ ἰσχὺς τῆς θείας· ἀφ᾽ ὧν οὐ τότε μόνον τετύχηκεν ὁ Ἰσραὴλ ἡγουμένου τοῦ Ζοροβάβελ ἀλλὰ καὶ πρότερον, ὅτεπερ ὁ Ἐζεκίας αὐτῶν ἐβασίλευε, κατὰ τὴν ἐπαγγελίαν τὴν θείαν καὶ αὐτὸς εἰς τὴν ἀρχὴν παρελθὼν, στρατοπέδου μὲν ἐπεληλυθότος τοσούτου τῇ Ἱερουσαλὴμ, ἀνῦσαι δὲ δυνηθέντος οὐδὲν διὰ τὸ τὴν θείαν προσεῖναι ῥοπὴν τῷ κατὰ τὴν ἐπαγγελίαν τοῦ θεοῦ τὴν βασιλείαν ἔχοντι τοῦ Ἰσραὴλ, καίτοι γε τῆς τῶν δέκα φυλῶν βασιλείας οἱ αὐτοί γε μετὰ πολλῆς κεκρατήκασι τῆς εὐμαρείας, οἳ μετὰ τὴν κατ᾽ ἐκείνων νίκην ἐπεληλυθότες τῇ Ἱερουσαλὴμ μεγίστην ἐκ τῆς τοῦ ἀγγέλου ἐδέξαντο τὴν τιμωρίαν[1]). Φαίνεται γὰρ καὶ ἐν ἐκείνοις λέγων ὁ θεὸς, ὅτι „Ὑπερασπιῶ τῆς πό-

natum esse, in propatulo est; itaque praedicta non admodum ab Ezechia distabant (tunc enim vaticinabatur propheta noster), eventumque proximum habebant, quum omnes, qui ante res prophetica institutione edocti erant, iidem etiam e propinquo exitum viderent; ut inde rerum sub Ezechia gestarum cum rebus sub Zorobabele gerendis affinitas eluceret, et per utrasque gravitas divinae promissionis perspicua fieret. Propterea non modo factum est, ut Israel Zorobabelem regem deinceps assequeretur, sed etiam antea, regnante Ezechia, qui et ipse ex divina promissione ad regnum perveniebat, ut ingens exercitus Hierosolymam aggrederetur quidem, nihil vero proficeret contra eam, adjuvante divina ope eum, qui ex Dei promissione imperium Israëlitarum habebat, et qui regni decem tribuum absque omne difficultate potiti erant iidem post suam de illis victoriam Hierosolymam aggressi gravissimam per angelum contraherent cladem. Namque etiam tunc

[1]) Cf IV Reg. XIX, 35. sqq.

λεως ταύτης δι' ἐμὲ καὶ διὰ Δαυὶδ τὸν δοῦλόν μου[1])", δεικνὺς ὅτι τῶν ἐπαγγελιῶν τῶν πρὸς ἐκεῖνον μεμνημένος καὶ τὰ νῦν αὐτὸς διαπράττεται, συνεργῶν τῷ τότε τὴν βασιλείαν ἔχοντι τοῦ Ἰσραὴλ, λέγω δὴ τῷ Ἐζεκίᾳ. — Εἰρηκὼς τοίνυν τὰ κατὰ τὸν Ζοροβάβελ, ὡς ἔφην, πόῤῥωθεν ὄντα, ἀναγκαίως διὰ τὴν τῶν πραγμάτων συγγένειαν εἰς τὴν τοῦ προκειμένου σύστασιν μέμνηται τῶν κατὰ τὸν Ἀσσύριον ἐπὶ τοῦ Ἐζεκίου γεγονότων, καί φησι.

Deus dicebat: „Defendam hanc urbem praesidio meo propter me et propter Davidem meum servum," quibus indicabat, se promissorum Davidi memorem res praesentes moderare adjuvando eum, qui tunc Israëlitis imperabat, Ezechiam dico. — Praedictis igitur rebus Zorobabelis tempore et per eum gerendis, remotisque adhuc longe, propter earum et proxime instantium affinitatem necessario etiam ea commemorat propheta, quae de Assyriis Ezechia imperante facta sunt.

ε'. Καὶ ἔσται αὐτὴ ἡ εἰρήνη, ὅταν Ἀσσύριος ἐπέλθῃ ἐπὶ τὴν χώραν ὑμῶν. Τοῦτο γὰρ δὴ, φησὶν, ὅπερ τότε διὰ τοῦ Ζοροβάβελ πεποίηκεν ὁ Θεὸς, παύσας μὲν τοσοῦτον πόλεμον, εἰρήνην δὲ ἰσχυρὰν δεδωκὼς τοῖς οἰκείοις, τοῦτο δὴ καὶ κατ' ἐκεῖνον ἐργάσεται τὸν καιρὸν μετ' οὐ πολὺ γενησόμενον, ὁπηνίκα ἂν ὁ Ἀσσύριος ἐπέλθῃ τῇ Ἱερουσαλὴμ· τότε γὰρ δὴ παραδόξως τὸ τοσοῦτο τροπώσεται πλῆθος, παράδοξον δὲ τοῖς οἰκείοις παρέξει τὴν εἰρήνην, Ἐζεκίου βασιλεύοντος ἐκ τῆς τοῦ Δαυὶδ διαδοχῆς κατὰ τὴν ἐπαγ-

V. 5. *Et erit haec pax, quum Assyrius terram vestram supervenerit.* Quod tunc per Zorobabelem effecit Deus data suis post finitum tantum bellum firma pace, idem etiam tempore brevi post futuro facturus est, ubi Assyrius Hierosolymam aggressus fuerit; tunc enim post mire fugatum tantum istum exercitum, miram suis dabit pacem, imperante ex divina promissione Ezechia, Davidica stirpe oriundo. Deinde, quae futura sunt, exponit. — *Et exsurgent ad-*

[1]) Cf. IV Reg. XIX, 34.

γελίαν τὴν θείαν. Εἶτα λέγων τὰ ἐσόμενα· — Καὶ ἐπεγερθήσονται ἐπ' αὐτὸν ἑπτὰ ποιμένες καὶ ὄκτω δήγματα ἀνθρώπων καὶ ποιμανοῦσι τὸν Ἀσσοὺρ ἐν ῥομφαίᾳ καὶ τὴν γῆν τοῦ Νεβρὼδ ἐν τῇ τάφρῳ αὐτῆς. Τὸ ἑπτὰ ποιμένες καὶ ὄκτω δήγματα ἀνθρώπων, μυθωδέστερόν τινες νενοήκασιν, ἑπτὰ μὲν ποιμένας προφήτας ἀριθμοῦντες ἑπτὰ, ὄκτω δὲ δήγματα, Ἐζεκίαν μετὰ τῶν ὑπηρετουμένων αὐτῷ πρὸς τὴν βασιλείαν λέγοντες· οὓς οὐ δὴ τίνες εἰσὶν οἱ ὄκτω δεδύνηνται λέγειν, ἀποφάσει δὲ τὸν λόγον ἐπιστώσαντο τὸν οἰκεῖον. Εἰ δὲ τοὺς ὑπηρετουμένους τῇ βασιλείᾳ τις λέγειν ἐθέλοι, καὶ πόλλῳ πλείους τῶν ὄκτω γενέσθαι δυνήσονται. Ἀλλὰ πεποίηκε τὴν πλάνην τοῖς οὕτω νενοηκόσι τὸ μὴ πρὸς τὸ ἰδίωμα τῆς θείας γραφῆς ἀπιδεῖν, ἀναγκασθῆναι δὲ ἐντεῦθεν μύθους ἀναπλάσαι γρᾳώδεις, ἵνα τι δόξωσι λέγειν. Ἰδίωμα δέ ἐστι τῆς θείας γραφῆς τὸ τὸν τέλειον ἀριθμὸν ἐνίοτε καλεῖν ἑπτὰ, τὸ δὲ ὑπὲρ τοῦτο ἀνθ' ὑπερβολῆς λαμβάνειν. Ἐπειδὴ γὰρ ἐν ἓξ ἡμέραις ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, τῇ δὲ ἑβδόμῃ κατέπαυσεν, ὥστε καὶ ἄγειν Ἰουδαίους τὰ σάββατα διὰ ταύτην τὴν αἰτίαν, ἁπᾶς τε τῶν ἡ-

versus eum septem pastores et octo plagae hominum; Assyriumque pascent gladio, et in fovea ipsius Nimrodis terram. Verba Septem pastores et octo plagae hominum, fabulosius a nonnullis explicata sunt, septem pastores totidem prophetas significare ratis, octo plagas vero Ezechiam cum imperii sui ministris. Quinam autem fuerint octo illi quum dicere nequiverint, ita statuendo sententiam suam satis probasse sibi visi sunt. Sin vero quis imperii ministros intelligere vult, multo plures quam octo inveniri poterunt. Omnis autem ita interpretantium error inde natus est, quod idiomate sacrae scripturae non respecto fabulas aniles sibi effingere cogerentur, ut aliquid certe dixisse viderentur. Idioma vero illud scripturae sacrae id est, ut numerus perfectus nonnunquam *Septem* dicatur, quod vero eum excedit, significandae cuivis hyperbolae inserviat. Quum enim Deus sex diebus mundum, terram, coelumque creaverit, septima vero quieverit, — unde etiam Judaei hanc ob causam Sabbatum celebrant, et totus dierum

μερῶν ὁ ἀριθμὸς ἐν ταῖς ἑπτὰ ταύταις ἀνακυκλοῦσθαι εἴωθε, πάντων ἀρχομένων ἀπὸ τῆς πρώτης ληγόντων δὲ εἰς τὴν ἑβδόμην, μετὰ δὲ τὴν ἑβδόμην αὖθις ἐπὶ τὴν πρώτην ἀνατρεχόντων, διὰ ταύτην ἡ θεία γραφὴ τὴν αἰτίαν ἑπτὰ μὲν τὸ τέλειον καὶ ἀπηρτισμένον καλεῖ, ὄκτω δὲ, ὡς εἶπον, τὴν ὑπερβολήν. Οὕτως ὁ θεὸς λέγει τὸ „Ἑπτὰ ἐκδικούμενα παραλύσει[1]),“ ἵνα εἴπῃ, ὅτι ὁ ἀναιρῶν αὐτὸν ὑπὲρ ἀνηκέστων πταισμάτων μεγίστην τινὰ καὶ ἀπηρτισμένην αὐτῷ τιμωρίαν ἐπικειμένην εὑρεθήσεται λύων. Τοιοῦτόν ἐστι καὶ παρὰ τῷ Ἐκκλησιάστῃ[2]) τὸ „Δὸς μερίδα τοῖς ἑπτὰ καί γε ὄκτω“ ἵνα εἴπῃ, Φιλοτίμως δίδου τοῖς δεομένοις, μηδὲ ὑπερβολῇ περὶ τοῦτο χρῆσθαι παραιτούμενος. Ἐντεῦθεν ὁ μακάριος ἔφη Πέτρος[3])· „Ποσάκις ἐὰν ἁμαρτήσῃ εἰς ἐμὲ ὁ ἀδελφός μου ἀφήσω αὐτῷ, ἕως ἑπτάκις;“ ὡς ἀρκούντως τὸν τέλειον εἰπὼν ἀριθμὸν, ὃν ὑπερβῆναι κατὰ πολλὴν περιουσίαν βουλόμενος ὁ Κύριος ἐπήγαγε τό· „Οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά.“ Τοιοῦτο δή τι κἀνταῦθά φησιν· ἐπεληλυθότα γὰρ τὸν Ἀσσύριον μετὰ τοῦ στρατοπέδου τοῦ οἰκείου

numerus in his septem semper revolvi solet, omnes enim a primo incipiunt et in septimo desinunt, post eum ad primum rursus reversi, — eam ob causam per Septem id quod perfectum absolutumque est, per Octo vero, uti modo dicebam, hyperbolen significat. Ita Deus „Septuplam vindictam solvet“ inquit i. e. Qui eum propter delicta sua inexpiabilia interfecerit, maximam et perfectam sibi impositam poenam solvere debebit. Ejusmodi est etiam illud Ecclesiastis: „Da portionem septem vel etiam octo hominibus;“ i. e. clementer largire egenis, ne nimium quidem in eo facere deprecatus. Ideo beatus Petrus: „Quoties peccanti in me fratri meo ignoscere debeo, ad septiesne?“ inquit, perfectum numerum sufficienter dixisse sibi visus, quem ut perquam abundanter exaggeret Dominus respondit: „Non dico tibi ad septies, sed ad septuagies septies.“ Tale aliquid etiam hoc loco dicitur. Assyrium enim cum exercitu suo, Hierosolymam aggredientem

[1]) Gen. IV, 15. — [2]) Eccles. XI, 2. — [3]) Mat. XVIII, 21. 22.

μεγάλῃ μέν τινι καὶ βαρυτάτῃ διὰ τῆς ὑπουργίας τοῦ ἀγγέλου περιβέβληκεν ὁ θεὸς τῇ τιμωρίᾳ, πολλῶν δὲ ἀναιρεθέντων εἰς φυγήν τε ἐτράπησαν οἱ λοιποὶ καὶ τοῖς κατὰ τόπους εὐάλωτοι γεγονότες, πλεῖστα ὅσα πεπόνθασι ἐν διαφόροις καὶ παρὰ διαφόρων τῶν ὡς ἂν φεύγωσι μετὰ πολλῆς ἐπιόντων τῆς εὐμαρείας καὶ τοὺς ἐμπίπτοντας ἀναιρούντων. τὸ τελευταῖον δὲ μετὰ πολλῆς τῆς ἀτιμίας ὁ βασιλεύων αὐτῶν εἰς τὴν χώραν ἀπεληλυθὼς τὴν οἰκείαν ὑπὸ τῶν υἱῶν ἀνῃρέθη τῶν ἰδίων, ὡς φαίνεσθαι τὴν τιμωρίαν αὐτοῖς ἐπαχθεῖσαν παρὰ τοῦ θεοῦ βαρυτάτην, οὐ μόνον διὰ τῶν ὑπὸ τοῦ ἀγγέλου πληγέντων περὶ τὴν Ἱερουσαλὴμ, ἀλλὰ καὶ διὰ τῶν λοιπῶν μετὰ πολλοῦ τοῦ δέους ὑπεκπεφευγότων τε ἐκεῖθεν καὶ ποικίλως ἀναιρεθέντων. Περὶ ὧν καὶ ὁ μακάριος λέγει Δαυὶδ[1]· „Ὅτι θήσεις αὐτοὺς νῶτον. ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν“ — τοῦτο δηλῶν, ὅτι τραπήσονται ἅπαντες μὲν εἰς φυγὴν, κινήσει δὲ τὴν ὀργὴν τὴν οἰκείαν καὶ κατὰ τῶν ὑπολελειμμένων ὁ θεός. Τοῦτο τοίνυν ἐνθάδε βούλεται λέγειν, ἑπτὰ μὲν ποιμένες ἐπεγερθήσεσθαι λέγων,

Deus ingenti atque gravissima per angeli ministerium affecit clade, ita ut interfectis multis caeteri in fugam versi et ab insidiantibus passim facile capti, admodum cruciarentur variis locis et ab variis, qui, quoquo fugerent, eos facile oppresserunt, obviosque occiderunt. Postremo vero eorum rex, in suam multa cum ignominia reversus terram, a filiis suis trucidatus est. Gravissimum igitur jure dicendum est supplicium a Deo iis illatum, non modo quod ab angelo prope Hierosolymam multi caederentur, sed etiam quod reliqui turpiter inde fugerent et varia nece interimerentur. De qua re beatus quoque David „Collocatis eis retrorsum, inter superstites tuos faciem eorum parabis,“ inquit, hoc significans, omnes quidem in fugam versum iri, Deum autem etiam contra eos, qui superstites fuerint, iram suam concitaturum esse. Hoc etiam h. l. adhibitis verbis *Septem pastores consurgent* indicare vult, ut gravitatem divinae declaret poenae, ut quam, caede per an-

[1]) Ps. XX, 13.

ἵνα δηλώσῃ τῆς θείας τιμωρίας τὴν βαρύτητα, ἣν τέλειάν τε καὶ ἀπηρτισμένην διὰ τῆς τοῦ ἀγγέλου πληγῆς ἐπήγαγεν αὐτοῖς ὁ θεός, ὀκτὼ δὲ δήγματα ἀνθρώπων, ἵνα τὴν ὑπερβολὴν εἴπῃ τῶν καταληψομένων αὐτοὺς κακῶν μετὰ τὴν ἐκεῖθεν φυγὴν, διαφόρως τῶν τε κατὰ τόπον ἀνθρώπων καὶ τῶν πρὸς αὐτῇ γε αὐτῶν τῇ χώρᾳ καθεστώτων τούς τε φεύγοντας ἀπολλύντων καὶ τοὺς ἐν τοῖς τόποις καταπεφευγέναι δοκοῦντας τοῖς ἰδίοις, μεθ' ὧν ἀναιρεθῆναι καὶ τὸν βασιλέα ὑπὸ τῶν υἱῶν συνέβη τῶν ἰδίων· ὃ καλῶς ἀνθρώπων εἶπε δήγματα, ἀντιδιαστέλλων αὐτὰ τῇ διὰ τοῦ ἀγγέλου τιμωρίᾳ. — Εἶτα ἐπάγει. ς'. Καὶ ποιμανοῦσι τὸν Ἀσσοὺρ ἐν ῥομφαίᾳ καὶ τὴν γῆν τοῦ Νεβρὼδ ἐν τῇ τάφρῳ αὐτῆς. Ἵνα εἴπῃ ξίφει τε καταναλωθήσεται ὁ Ἀσσύριος καὶ τὴν γῆν τὴν οἰκείαν ὄψεται δηλουμένην, ὅπερ οὖν καὶ πέπονθεν ὑπὸ τῶν Βαβυλωνίων ὕστερον. Γῆν γὰρ τοῦ Νεβρὼδ ἐκείνην ὀνομάζει, ὡς ἐν ἐκείνοις τοῖς τόποις τοῦ Νεβρὼδ γενονότος, τὰ βασιλεῖά τε ἔχοντος τὰ οἰκεῖα, καὶ δὴ καὶ τὸν τόπον ἐξάρχοντος ἐκείνων, ὃς καὶ μέγα ἐφαίνετο παρὰ τοὺς τότε ἀνθρώπους ἐπὶ δυνάμει φρονῶν. Οὕτω γὰρ ἡ

gelum facta, perfectam omnibusque numeris absolutam Deus iis intulerit: *Octo vero plagas hominum* dicit, ut cumulum malorum significet, quibus illapsuri essent post fugam istam captam; ubique enim per totam viam et in ipsa patria eorum terra fore, qui fugitivos ipsosque eos, qui in propria sua terra securi sibi viderentur, necaturi sint. Nec non factum est ut cum his ipse etiam rex a filiis suis interficeretur. Et recte hoc propheta hominum plagas dixit, comparato ex altera parte supplicio eo, quod ab angelo sumtum est. — Deinde pergit. *Assyriumque pascent gladio, et Nimrodis terram in fovea ipsius.* i. e. Assyrius gladio ipse interimetur, terramque suam devastatam videbit; id quod ei postea per Babylonios accidebat. Nimrodis enim terram istam appellat, quia istis regionibus Nimrod versatus est, ibique regiam suam habuit, tractus istius imperium tenens, et prae caeteris tunc temporis hominibus de potentia sua gloriatus. Ita enim in libro Geneseos legimus: „Hic erat

τῆς κτίσεως βίβλος φησίν[1]). Οὗτος ἦν γίγας κυνηγὸς ἐναντίον τοῦ Θεοῦ. καὶ ἐγένετο ἡ ἀρχὴ τῆς βασιλείας αὐτοῦ Βαβυλών." Ἐπειδὴ τοίνυν ἐξ ἐκείνου μέγα ἐφρόνουν οἱ Ἀσσύριοι, ὡς μεγάλοι τὴν δύναμιν, ἅτε ἐκ τοιούτου καταγόμενοι, τοιοῦτό τι ὁ προφήτης εἰπεῖν ἠβουλήθη, ὅτι ἡ τῶν δοκούντων ἀνδρείων εἶναι χῶρα πᾶσα ἐν τοῖς οἰκείοις τόποις ὑπὸ τῶν πολεμίων ἀναιρεθήσεται, οὐδὲν ὑπὸ τῆς ἰσχύος ὠφελουμένων τῆς οἰκείας, ἐφ' ᾗ μέγα ἐφρόνουν, διὰ τὴν ὀργὴν τὴν θείαν. — Ἀκολούθως μέντοιγε τοῖς εἰρημένοις ὁ προφήτης καὶ ῥύσεται, φησίν, ἐκ τοῦ Ἀσσοὺρ, ὅταν ἐπέλθῃ ἐπὶ τὴν γῆν ὑμῶν, καὶ ὅταν ἐπιβῇ ἐπὶ τὰ ὅρια ὑμῶν. Εἶτα εὐαγγελισάμενος τοῖς Ἰσραηλίταις τὸ μηδὲν ὑπὸ τοῦ Ἀσσυρίου πείσεσθαι κακὸν, ἐπάγει.

fortissimus coram Deo venator; et regni ejus caput erat Babylon." Quoniam igitur propter illum Assyrii, quasi potentia insignes sua, superbiebant, ut qui a tali viro originem ducerent, propheta hoc dicere vult, terram eorum, licet fortissimi sibi videantur, universam intra ipsos suos fines, ab hostibus devastatum iri, neque potentiam suam de qua superbiverint, quidquam iis, propter divinam iram, profuturam esse. — Dictis hucusque convenienter nunc propheta, *Et liberabit, inquit, ab Assyrio, quum supervenerit terram vestram, et quum adscenderit in fines vestros;* et dein laetum Israelitis nuntium dicturus, nihil ipsos ab Assyrio passuros fore, pergit ita:

ζ'. Καὶ ἔσται τὸ ὑπόλειμμα τοῦ Ἰακὼβ ἐν τοῖς ἔθνεσιν, ἐν μέσῳ πολλῶν λαῶν ὡς δρόσος παρὰ Κυρίου ἐπιπίπτουσα, καὶ ὡς ἄρνες ἐπ' ἄγρωστιν, ὅπως μὴ συναχθῇ μηδεὶς, μηδὲ ὑποστῇ ἐν υἱοῖς ἀνθρώπων. Οἱ γὰρ ἐκ τοῦ Ἰσραὴλ ὑπολειφθέντες ἐπὶ τῆς Ἰουδαίας εἴτ' οὖν Ἱερουσαλὴμ τούτων γεγονό-

V. 7. *Et erunt reliquiae Jacobi inter gentes, inter medios populos multos, sicut ros a domino demissus, et sicut agni super herbam; ut non congregetur quispiam, neque subsistat inter filios hominum.* Quae postquam facta erunt, reliquiae Israelitarum in Judaea vel Hierosolymae venerabiles vi-

[1]) Gen. X, 9. 10.

των αἰδέσιμοι φανοῦνται πᾶσι τοῖς ἐκτὸς καὶ πολλῆς ἄξιοι σπουδῆς, οὐχ ἧττον ἢ δρόσος ἐστὶ ποθεινὴ τοῖς γεωργοῖς κατὰ καιρὸν κατὰ φερόμενος [1]) τὸν οἰκεῖον, διοίσουσί τε οὐδὲν προβάτων ἄγρωστιν νεμομένων, οὕτως ἅπαντα τῶν ἀπολωλότων τε καὶ πεφευγότων ἐπίοντες τὰ λάφυρα, ὡς καὶ δέος ἅπασιν ἐγγενέσθαι τοῖς ἀνθρώποις τοῦ μηδένα ποτὲ ἐπιχειρῆσαι τῷ κατ᾽ αὐτῶν πολέμῳ.

η'. Καὶ ἔσται τὸ ὑπόλειμμα τοῦ Ἰακὼβ ἐν τοῖς ἔθνεσιν, ἐν μέσῳ λαῶν πολλῶν ὡς λέων ἐν τοῖς κτήνεσι τοῦ δρυμοῦ, καὶ ὡς σκύμνος ἐν ποιμνίοις προβάτων, ὃν τρόπον ὅταν διέλθῃ καὶ διαστείλας ἁρπάσῃ, καὶ μὴ ᾖ ὁ ἐξαιρούμενος. θ'. ὑψωθήσεται ἡ χείρ σου ἐπὶ τοὺς θλίβοντάς σε, καὶ πάντες οἱ ἐχθροί σου ἐξολοθρευθήσονται. Καὶ διοίσετε, φησὶν, οὐδὲ λέοντος φοβεροῦ τοῖς κτήνεσιν, οὕτως ἅπασι τοῖς ἀλλοτρίοις ὄντες φοβεροὶ λοιπὸν διὰ τὴν τῶν Ἀσσυρίων ὑπὲρ ὑμῶν ἐγγενομένην πληγήν. Ὡς γὰρ ἂν εἴ τις λέων (σκύμνον γὰρ πάλιν τὸ αὐτὸ λέγει, τὸ τοῦ λέοντος γέννημα οὕτω καλῶν) ποίμνῃ προβάτων ἀθρόον

debuntur cunctis peregrinis multoque studio digni, haud secus ac ros agricolis est acceptus suo demissus tempore; nec ab ovibus differrent herbam depascentibus, adeo interfectorum et fugitivorum spolia praedati, ut eos omnes homines inde vereantur neque quisquam eos bello vexare audeat.

V. 8. *Et erunt reliquiae Jacobi inter gentes, mediosque inter populos multos sicut leo inter animalia sylvestria, et sicut leo catulus in pecorum gregi, quando per eam grassatur et dissipat et rapit, defendente nemine. V. 9. Elevabitur manus tua adversus eos, qui torquent te, et omnes inimici tui exscindentur.* Neque leone absimiles eritis animalibus terribili, terribiles ipsi in futurum omnibus exteris propter caedem Assyriorum vestrum causa factam. Tanquam si leo (σκυμνὸς enim leo est catulus idem igitur est) in ovium gregem repente irrumpens, quaecunque vult atrociter rapiat, ita

[1]) Leg. καταφερομένη.

ἐμπεσὼν, ὁπόσα βούλεται ἐξ αὐτῶν κατὰ τὴν ἰσχὺν ἁρπάσῃ τὴν οἰκείαν, οὕτω τοῖς ἐχθροῖς τοῖς ὑμετέροις δυνατώτεροι νομισθήσεσθε τοῦ λοιποῦ, ἅτε τοιαύτης ἀπωλείας ἐπενεχθείσης τοῖς ἐπικεχειρηκόσιν ὑμῖν ἐπελθεῖν.

ι' — ιε'. Ταῦτα περιέσεσθαι τοῖς Ἰσραηλίταις διὰ τῆς τῶν Ἀσσυρίων πληγῆς εἰρηκὼς ὁ προφήτης ἐφεξῆς καὶ τὴν κατ' αὐτῶν τῶν Ἀσσυρίων τιμωρίαν πλατύτερον λέγει. Κατὰ γὰρ ἐκεῖνον δὴ τὸν καιρὸν, φησὶ, πάντας τούς τε ἵππους σου καὶ τὰ ἅρματα ἀφανιεῖ — ἵνα εἴπῃ τὴν ὁπλιτικὴν παρασκευὴν ἄχρηστον ἀποφανεῖ πᾶσαν — ἀπολεῖ δέ σου καὶ τὰς πόλεις ἁπάσας κἂν εἴ τινες ἰσχυραί τε καὶ μετὰ πολλῆς τετειχισμέναι τῆς ἀσφαλείας ἐν αὐταῖς εἶναι δοκοῖεν· συναπολέσει δὲ αὐταῖς καὶ πάντα ὁπόσαπερ διὰ τῆς δαιμονικῆς μετίεις[1]) θεραπείας· τὰ γὰρ φάρμακά σου τοῦτο λέγει ἵνα εἴπῃ τὰς ἐπῳδὰς καὶ τοὺς οἰωνισμοὺς καὶ ὁπόσα δὴ τοιαῦτα ἔθος ἦν γίνεσθαι παρ' αὐτοῖς· οὐ τοίνυν οὐδὲ τοὺς ἀποφθεγγομένους ἐξῆς[2]) ἔτι τοὺς ταῖς μαντείαις καὶ χρησμοῖς κεχρημένους, ἐπειδὴ καὶ τὰ εἴδωλά σου πάντα καὶ τὰς στείλας[3]) ἀφανισμῷ παντελεῖ παραδώσει,

vos in futurum hostibus vestris superiores habebimini, post interitum eorum, qui vos aggredi audebant.

V. 10—14. Dictis Israelitarum post deperditos Assyrios casibus, etiam ipsum Assyriorum supplicium propheta fusius describit. Isto nimirum, inquit, tempore cunctos tuos equos currusque (Deus) delebit — i. e. totum apparatum bellicum inutilem reddet, nec non cunctas tuas, quaecunque firmae et multa cum securitate munitae videntur, urbes evertet, simul deperditis etiam iis omnibus, quaecunque daemonum cultui voveras. Eum enim *venena* appellat, quibus indicantur incantationes, et auguria, et caetera ejus generis, quae ab iis fieri solebant. Neque tales habebis (pergit), qui divinantur et vaticinia loquuntur; et statuae tuae idolaque omnia omnino deperdentur, adeo ut, licet volueris eadem facere quam antea, adorando opera, manibus tuis fabricata,

1) Leg. μετήεις. — 2) Leg. ἕξεις. — 3) Leg. στήλας.

ὡς μηδὲ βουλομένῳ σοι δυνατὸν εἶναι τὰ αὐτὰ τοῖς πρόσθεν ποιεῖν καὶ προσκυνεῖν τοῖς ἔργοις τῶν χειρῶν τῶν ὑμετέρων. Ἐκκοπήσεται δὲ καὶ τὰ ἄλση, ἐν οἷς τὰς θρησκείας ἐπιτελεῖτε τὰς οἰκείας, τάς τε πόλεις ὑμῶν ἁπάσας ἀφανιῶ, καὶ συντόμως εἰπεῖν ὀργῇ καὶ θυμῷ χρησάμενος μεγίστην καὶ βαρυτάτην ὑμῖν τήν τε τιμωρίαν ἐποίσω καὶ τὴν ἀπώλειαν; ὑπὲρ ὧν ἀποσχέσθαι τῆς χώρας [τῆς ἐμῆς] οὐκ ἠβουλήθητε τῆς ἐμῆς, ἀλλὰ γὰρ ἠλπίσατε παρὰ τὸ ἐμοὶ δοκοῦν ἐρημίᾳ παραδιδόναι καὶ ταύτην.

id nequeas. Et luci tui destruentur, in quibus religionibus vestris operam navatis; urbesque vestras cunctas perdam, et brevibus ut dicam, vehementi ira excitatus gravissimum de vobis sumam supplicium, quod mea terra abstinere nolueritis, eam quoque me invito penitus devastari posse sperantes.

Καὶ ἐπειδὴ συνεπέρανε τὴν ἐπαχθησομένην τοῖς Ἀσσυρίοις τιμωρίαν ὑπὲρ ὧν ἐπελθεῖν τετολμήκασι τῇ Ἱερουσαλὴμ, τρέπει πρὸς τὸν λαὸν τὸν λόγον, ἐν καιρῷ νῦν μάλιστα τὴν ἀγνωμοσύνην αὐτῶν ἐλέγχειν ὑπειληφώς. Καὶ δὴ καὶ κριτήριόν τι καθίζων ὁ προφήτης οὕτω φησίν.

Et finita hac calamitatum praedictione Assyriis infligendarum propterea quod Hierosolymam invadere ausi fuerint, ad populum rursus directa oratione eorum ignorantiam nunc imprimis conspicuam objurgat propheta, et quasi judicium constituens ita loquitur.

Κεφάλαιον ς'.

α'. Ἀνάστηθι, κρίθητι πρὸς τὰ ὄρη, καὶ ἀκουσάτωσαν βουνοὶ φωνήν σου. β'. Ἀκούσατε βουνοὶ τὴν κρίσιν τοῦ κυρίου, καὶ αἱ φάρυγγες θεμέλια τῆς γῆς, ὅτι κρίσις τῷ κυρίῳ πρὸς τὸν λαὸν αὐτοῦ καὶ μετὰ τοῦ Ἰσραὴλ διελεγχθήσε-

Caput VI.

V. 1. *Surge et judica ad montes, et audiant colles vocem tuam.* V. 2. *Audite colles litem domini, et valles, fundamenta terrae; nam litem habet dominus cum populo suo, et cum Israële contendet.* Quum Israëlitae, inquit, tantorum Dei erga se

ται. Ἀλλ' ἐπειδὴ τοιούτων, φησὶ, τῶν παρὰ Θεοῦ γεγονότων εἰς αὐτοὺς οὐθὲν ἧττον ἐπὶ τῆς ἀγνωμοσύνης μένουσι τῆς οἰκείας, ὑπὲρ ὧν δὴ καὶ τὴν ἐκ Βαβυλῶνος ὑπομένουσιν αἰχμαλωσίαν, ἥδιστα ἂν κρίσιν ποιησαίμην τοῦ τε Θεοῦ κἀκείνων, καὶ δέξομαι κριτὰς τά τε ὄρη καὶ τοὺς βουνοὺς καὶ τὰς φάρυγγας, ἃ πρότερον μὲν ἐδέξατο τὸ ἀναρίθμητον ἐκεῖνο τῶν Ἀσσυρίων πλῆθος ἐπεληλυθὸς τῇ Ἰερουσαλὴμ καὶ κατὰ πάντας τοὺς ἔξωθεν διεσπαρμένον τόπους, ἀφ' οὗ δὴ καὶ φόβος τοῖς κατὰ τὴν πόλιν ὡς εἰκὸς ἐπέκειτο πλεῖστος, εἶτα ἀθρόον νεκρὰ τὰ τοσαῦτα σώματα ἔσχεν ἐν ἑαυτοῖς ἐῤῥιμμένα τῶν πρὸ βραχέος μεγάλα φρονούντων. ἀξιόπιστοι γὰρ οὗτοι πρὸς τὴν κρίσιν ἔσονται ταύτην, οἳ καὶ θεαταὶ τῶν γεγονότων. Εἶθ' ὡσὰν κριτήριον καθίσας καὶ δὴ πρόδηλον τῶν Ἰσραηλιτῶν τὴν ἀγνωμοσύνην ποιήσας ὑπὸ κριταῖς τοῖς καὶ μάρτυσι τῶν γεγονότων, εἰσάγει λοιπὸν ἐκ περιουσίας τὸν Θεὸν λέγοντα πρὸς αὐτούς.

beneficiorum immemores in iniquitate sua permaneant, propter quam etiam captivitatem Babylonicam experiuntur, lubentissime litem instituam illos inter Deumque, judicesque constituam montes et colles ac valles, quae quondam tam innumerabiles Assyriorum receperunt copias Hierosolymam aggredientes atque per omnia extrinsecus circumspersas loca, ut inde summus etiam intrinsecus subiret terror; deinde autem repente tot in se continuerunt cadavera eorum qui paulo antea adeo superbiverant. Justissimi enim in hac lite erunt, qui iidem rerum tunc gestarum testes erant. Deinde quasi tribunal judiciale constituens, et Israëlitarum iniquitatem deferens ad judices eosdemque testes, in sequentibus ex abundanti etiam Deum inducit loquentem ad eos ita:

γ' Λαός μου, τί ἐποίησά σοι, ἢ τί ἐλύπησά σε, ἢ τί παρηνόχλησά σοι; Ἀλλὰ γὰρ τὰ μὲν κατὰ τὸν Ἀσσύριον δῆλα, φησὶν, ὅπως ἔσχεν, ὅσην τε τῆς κηδεμονίας μου τῆς περὶ ὑμᾶς

V. 3. *Mi popule, quid tibi feci? aut qua in re tristitiam tibi commovi? aut qua in re molestus tibi fui?* Quae attinent ad Assyrium, quomodo se haec haberent,

παρέσχη τε [1]) τὴν ἀπόδειξιν. Ἐπιτρέπω δὲ ὑμῖν λέγειν, εἴ τι μικρὸν ἢ μέγα πώποτε λελύπησθε παρ᾽ ἐμοῦ, εἰ πεποίηκά τι βλάπτειν ὑμᾶς, εἰ λελύπηκα καθάπαξ, εἰ φορτικὸς ἔν τισιν ὤφθην ὑμῖν; — Εἶθ᾽ ὡσὰν οὐδὲ πρὸς ταῦτα φωνὴν ἐχόντων, Ἀποκρίθητί μοι, φησὶν, ἵνα εἴπῃ· λέγε εἴ τι ἔχεις, δέξομαι γὰρ, ἂν ἀληθεύων λέγῃς. — Εἶθ᾽ ὡς σεσιωπηκότων καθάπαξ διὰ τὴν συνείδησιν καὶ διὰ τὸ μὴ ἔχειν τῶν εἰρημένων ὑπὸ τοῦ θεοῦ ἐλέγχειν ψευδὲς, ἐπάγει.

quantumque curae meae in vos argumentum exhiberent in propatulo est. Permitto enim vobis dicere, si qua exigua aut ingenti molestia unquam a me affecti fueritis, si quid in noxam vestram fecerim, si contristaverim semel tantum, aut molestus in qua re vobis visus sim? Deinde quasi nihil habeant, quod ad hoc dicant, *Responde mihi*, inquit, i. e. dic, si quid habes, accipiam enim, sin verum dicas. Dein quasi omnibus prorsus silentibus, propter conscientiam mali, et quoniam non habeant, quo Dei accusationem mendacem declarent, addit:

δ΄. Διότι ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου, καὶ ἐξ οἴκου δουλείας ἐλυτρωσάμην σε, καὶ ἐξαπέστειλα πρὸ προσώπου σου τὸν Μωϋσῆν καὶ Ἀαρὼν καὶ Μαριάμ. Ἀλλὰ μὴ τοῦτό μοι ἐγκαλεῖς ὅτι σε παρὰ πᾶσαν ἐλπίδα τῆς οὕτω πικρᾶς ἀπήλλαξα δουλείας, Μωσῇ τε καὶ Ἀαρὼν καὶ Μαριὰμ ὑπηρέταις τε καὶ προηγουμένοις τῆς δωρεᾶς χρησάμενος ταύτης;

V. 4. *Immo vero ex Aegypti terra te eduxi, et e domo servitutis te redemi, et praemisi tibi duces Mosen et Aaronem et Mariam.* Nonne me ideo accusabis, quod praeter omnem spem e tam dura servitute te liberaverim, Mose et Aarone et Maria ministris atque ducibus ejus doni usus?

ε΄. Λαός μου μνήσθητι δὴ, τί ἐβουλεύσατο κατὰ σου Βαλὰκ βασιλεὺς Μω-

V. 5. *Recordare, mi popule, quid consilii contra te inierit Balacus, Moabitarum*

[1]) Leg. παρέσχε.

ἀβ, καὶ τί ἀπεκρίθη αὐτῷ Βαλαὰμ, υἱὸς τοῦ Βεὼρ, ἀπὸ τῶν σχοίνων ἕως τοῦ Γαλγὰλ, ὅπως γνωσθῇ ἡ δικαιοσύνη τοῦ κυρίου. Ἀλλὰ γὰρ ὑπομνήσθητι καὶ τὴν κατὰ τὸν Βαλὰκ¹), τὸν Μωαβιτῶν βασιλέα, ὃς ἀπέστειλε μὲν καλῶν τὸν Βαλαὰμ καθ' ὑμῶν· ὁ δὲ πρότερον μὲν οὐδὲ ἀπελθεῖν διὰ τὸ ἐπίταγμα ἐβούλετο τὸ ἐμὸν, ἀπεληλυθὼς δὲ ὕστερον κατηράσατο μὲν οὐ δόλως, ηὐλόγησε δὲ κατὰ τὸ ἐμοί γε δοκοῦν, ὥστε διὰ πάντων εὔδηλον ὑμῖν εἶναι ὅτι ἀεὶ τὸ δίκαιον ὑπὲρ ὑμῶν ἐκίνησα κατὰ τῶν ἀδίκων²) ὑμᾶς ἐπιχειρούντων, πάντας τε αὐτοὺς μετὰ πολλῆς ἐτιμωρησάμην τῆς ἀφειδίας. — Καὶ ἐπειδὴ μηδεμίαν ἀντίῤῥησιν ἐδέχετο τὰ εἰρημένα, ὡσὰν συνηγόρου τινὸς τάξιν τῷ λαῷ πληρῶν ὁ προφήτης ἐκ τοῦ ἐκείνων προσώπου τοιάδε λέγει.

rex, et quid ei responderit Balaamus, Beoris filius, inde a funibus usque ad Galgalem, ut cognoscatur (a te) justitia domini. Recordare potius, quid Balaco, Moabitarum regi evenerit, quum misso legato Balaamum contra vos evocaret; qui venire propter mandatum meum primum aspernatus, deinde, quum veniret, non turpiter vobis maledicebat, sed a me monitus benedicebat. Quibus omnibus vobis clarum fieri oportebat, me semper, quae vobis justa erant, adversus eos obtinuisse, qui injuste vos laedebant, eosque omnes gravissime punivisse. — Et quum contradici his dictis nequiret, propheta populo patronum causae agens illorum nomine ita loquitur.

ϛʹ. Ἐν τίνι καταλάβω τὸν κύριον; ἀντιλήψομαι θεοῦ μου ὑψίστου; Ὡς γὰρ τοῦ λαοῦ ταυτὶ λέγοντος, οὕτω φησὶν, ὅτι ἐπειδὴ διὰ πάντων ἐλέγχομαι ἐπὶ πολλαῖς ταῖς εὐεργεσίαις ἀγνώμων γεγονὼς τί δὴ με ποιῆσαι προσῆκεν, ἵνα νῦν γοῦν ἐπιλάβωμαι τοῦ θεοῦ, οὐ-

V. 6. *Quomodo dominum apprehendam, Deumque meum altissimum percipiam?* Quasi populo haec dicente, postquam, inquit, omnia me multorum beneficiorum immemorem fuisse ostenderunt, quid me facere oportet, ut nunc saltem Deum

¹) Hic vocem desiderari apparet; fort. inser. ἐμοῦ βουλήν, vel τιμωρίαν, vel simile aliquid. — ²) F. l. ἀδίκως.

περ ἐμαυτὸν διὰ τῶν τρόπων ἐχώρισα τῶν οἰκείων, καὶ πῶς φανῶ τῶν αὐτῷ δοκούντων ἀντεχόμενος; Εἰ καταλήψομαι αὐτὸν ἐν ὁλοκαυτώμασιν, ἐν μόσχοις ἐνιαυσίοις; ζ. εἰ προσδέξεται κύριος ἐν χιλίασι κριῶν, ἢ ἐν μυριάσι χιμάρων πιόνων, εἰ δώσω πρωτότοκά μου ὑπὲρ ἀσεβείας μου, καρπὸν κοιλίας μου ὑπὲρ ἁμαρτίας ψυχῆς μου; Ὡς γὰρ διαπορούντων αὐτῶν ὅ, τι καὶ ποιῆσαι προσῆκεν αὐτοὺς ἐπὶ θεραπείᾳ τῆς τοσαύτης ἀγνωμοσύνης, οὕτω φησίν· ἐξιλάσομαι, φησὶν, αὐτὸν. ἆρα εἰ προσαγάγοιμι ὁλοκαυτώματα μόσχων ἐνιαυσίων, ἢ εἰ χιλιάδας καὶ μυριάδας κριῶν τε αὐτῷ προσαγάγοιμι καὶ προβάτων, ἢ εἰ τὰ πρωτότοκα τῶν ἐμῶν γεννημάτων αὐτῷ προσαγάγω, ὡς ἂν τῆς ψυχῆς ἀφελῶ τὴν ἁμαρτίαν τῆς ἐμῆς; — Πρὸς δὴ ταύτην τοῦ λαοῦ τὴν ἀπορίαν ἀποκρινόμενος ὁ προφήτης φησίν.

η'. Ἀπηγγέλη σοι, ἄνθρωπε, τί καλὸν καὶ τί κύριος ἐκζητεῖ παρὰ σοῦ, ἀλλ' ἢ τοῦ ποιεῖν κρῖμα καὶ ἀγαπᾶν ἔλεον, καὶ ἕτοιμον εἶναι τοῦ πορεύεσθαί σε ὀπίσω κυρίου τοῦ θεοῦ σου. Πάρες δὴ, φησὶν, ὁλοκαυτώματα, καὶ θυσιῶν πλῆθος καὶ πρωτοτόκων προσκομιδήν. Εἰ δέ σοι

comprehendam, a quo morum pravitate ipse me segregavi, et quomodo praeceptis suis satisfaciam? *An apprehendam eum holocaustis, vitulisve anniculis?* V. 7. *Num delectabitur dominus arietum millibus, aut myriadibus hircorum pinguium? Num dare debeam primogenita mea pro impietate mea, vel fructum ventris mei pro peccato animae meae?* Quasi nesciis illis, quid tandem ad tantam beneficiorum ingratam oblivionem expiandam facere debeant, ita dicit: Propitium eum reddam. Num igitur holocausta vitulorum anniculorum, vel millia et myriades arietum oviumque ei offeram, vel etiam primogenitos liberorum meorum, ut animae meae peccatum abstergam? — Populo ita consilio carenti propheta jam respondet.

V. 8. *Indicatum tibi est, o homo, quid bonum sit, et quid dominus a te requirat; (nempe nihil) nisi ut facias, justum, et misericordiam diligas, et paratus sis ad sequendum dominum Deum tuum.* Mitte, inquit, holocausta et sacrificiorum copiam, primogenitorumque oblationem. Sin

φροντὶς ἐξιλάσεσθαι τὸ θεῖον, ἐκεῖνα διαπράξαι ἅπερ ἄνωθέν σοι προσέταξε διὰ Μωσέως ποιεῖν ὁ θεός. Ποῖα δὴ ταῦτα; Ἵν' ὀρθὴν ἐφ' ἁπάντων ποιῇ[1]) τὴν κρίσιν καὶ τὴν δοκιμασίαν, καθ' ἣν ἐκλέγειν ὀφείλεις ἀπὸ τοῦ χείρονος τὸ κρεῖττον, καὶ ἵνα πᾶσαν τὴν δυνατήν σοι φιλανθρωπίαν τε καὶ συμπάθειαν ἐπιδεικνύμενος εἰς τοὺς πέλας διατελῇς, καὶ ἵνα παρεσκευασμένος ᾖ[2]) εἰς τὸ παντὶ τρόπῳ τὰ δοκοῦντα μετιέναι θεῷ. λέγει δὲ, συντόμως εἰπεῖν, τὸ „Ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας καὶ ἐξ ὅλης τῆς διανοίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν," ὅπερ εἴρητο πάλαι διὰ Μωσέως[3]). Ταῦτα δὴ μέτιθι, φησὶ, προτιμότερα θυσιῶν ὄντα θεῷ.

θ'. Φωνὴ κυρίου τοῦ θεοῦ τῇ πόλει ἐπικληθήσεται καὶ σώσει φοβουμένους τὸ ὄνομα αὐτοῦ. Εἰ γὰρ δὴ ταῦτα, φησὶ, ποιοίης, φωνή τις θεοῦ φανήσεται ἡ πόλις τὰ δοκοῦντα αὐτῷ ποιοῦσα, ἔργῳ τε τὸν νόμον ἐπιδεικνῦσα τὸν θεῖον, ὥστε καὶ ἐπὶ παντὸς κινδύνου τῆς θείας ἀξιουμένους κηδεμονίας τοὺς ἐν αὐτῇ καθεστῶτας μηδενὸς λυπηροῦ δέχεσθαι πεῖραν. Εἶτα παρ-

vero numen placare cordi tibi est vere, ea fac, quae antiquitus tibi mandavit Deus per Mosen. Et quaenam haec? Ut aequum omnibus judicium feras ac aestimationem facto discrimine malum inter et bonum; et ut, quoad ejus fieri potest, caritatem et mitem animum erga alios semper ostendas; nec minus, ut paratus sis ad ea omni modo exsequenda, quae Deus praecepit. Uno verbo igitur praeceptum commendat a Mose antiquitus datum: „Amato dominum Deum tuum, toto corde, toto animo tuo, tota mente tua, et, Amato alterum ut te ipsum." Haec, inquit sequere, utpote Deo sacrificiis gratiora.

V. 9. *Vox domini urbi clamabit, et servabit timentes nomen ejus.* Quodsi, inquit, haec feceris, vox quaedam Dei videbitur esse urbs, ut quae praecepta ejus sequatur, divinamque legem faciendo manifestet. Unde fiet, ut, divino praesidio muniti contra omnia pericula, ejus incolae nihil experiantur mali. — Deinde horta-

[1]) Leg. ποιῇς. — [2]) Leg. ᾖς. — [3]) cfr. Mal. XXII, 37.

[3]) Deut. VI, 5. Levit. XIX, 18.

αινετικῶς πάλιν ὁ προφήτης τρέπει πρὸς αὐτοὺς τὸν λόγον. — Ἄκουε, φυλὴ, τίς κοσμήσει πόλιν; ι'. μὴ πῦρ καὶ οἶκος ἀνόμου θησαυρίζων θησαυροὺς ἀνόμους καὶ μετὰ ὕβρεως ἀδικίας; Οὔτε γὰρ πῦρ οἷόν τε κοσμῆσαι πόλιν, τοὐναντίον γὰρ αὐτὴν ἀφανίζει· οὔτε γὰρ παράνομος ἀνὴρ καὶ μετὰ πολλῆς τῆς ἐπιμελείας τὴν παρανομίαν ἐργαζόμενος καὶ πολλῇ μὲν ὕβρει πολλῇ δὲ ἀδικίᾳ συζῶν κερδανεῖ τὴν τιμωρίαν· ἀφανιοῦσι γὰρ οὐχ ἧττον πυρὸς οἱ τοιοῦτοι τὴν πόλιν οἰκοῦντες.

ια'. ιβ'. Εἰ δικαιωθήσεται ἐν ζυγῷ ἄδικος, καὶ ἐν μαρσίππῳ στάθμια δόλου, ἐξ ὧν τὸν πλοῦτον αὐτῶν ἀσεβείας ἔπλησαν; καὶ ἐνοικοῦντες αὐτὴν ἐλάλησαν ψευδῆ, καὶ ἡ γλῶσσα αὐτῶν ὑψώθη ἐν τῷ στόματι αὐτῶν. Ὡς γὰρ οὐχ οἷόν τε ἐν ἀνωμάλῳ τε καὶ ἀνίσῳ ζυγῷ φανῆναι τὸ δίκαιον ἢ στάθμια δεδουλωμένα[1]) καὶ διεστραμμένα εὐπαράδεκτα γενέσθαι, οὕτως οὐδ' οἱ τὸν πλοῦτον τὸν οἰκεῖον ἐκ παρανομιῶν αὔξοντες ἀπολαῦσαι δυνήσονται τῶν προσόντων. Πάντες γὰρ οἱ τοιοῦτοι πόλιν οἰκοῦντες ψευδεῖ τε συζῶντες καὶ ὑπερηφάνῳ κεχρημένοι διανοίᾳ;

torium rursus ad eos dirigit propheta sermonem suum. *Audi, tribus, quis ornabit urbem?* V. 10. *Num forte ignis et iniqui domus, quae divitias colligit impias, et cum audacia impietates?* Neque ignis urbem ornare potest, sed e contrario eam delet, neque vir improbus, qui admodum studiose iniquitatem peragit et audacter, contumeliosumque degit vitam, poenam evitabit. Nam si qui tales in urbe sunt, ignis instar eam deperdent.

V. 11—12. *Num quis justus aestimabitur, qui trutina improbus (est), et in crumena pondera (habet) dolosa, quibus divitias suas impias sibi cumularunt? Et qui habitant in ea (urbe), mendacia loquuntur, eorumque lingua elata est in ore suo.* Uti non fieri potest, ut in trutina inaequali et adulterata justum appareat, vel pondera depravata ac adulterata accipiantur facile; ita neque ii, qui opes suas impie corraserunt, iis frui poterunt. Omnes enim, quotquot ejus generis homines in urbe habitant, mendacio

[1]) Leg. δεδολωμένα.

ὡς μηδένα τοῖς[1]) ἐπὶ τούτοις τιμωρίας τοῦ Θεοῦ ποιεῖσθαι λόγον, ἐξ ἀνάγκης ὑπὸ τὴν τιμωρίαν γενήσονται τὴν θείαν.

indulgentes, superboque inflati animo, quasi Deus talia facinora nunquam puniturus sit, necessario divinam experientur mulctam.

ιγ. Καὶ ἐγὼ ἄρξομαι τοῦ πατάξαι σε. ἀφανιῶ ὑμᾶς ἐν ταῖς ἁμαρτίαις αὐτῶν. Τοιαῦτα γὰρ ποιοῦντας τῇ τιμωρίᾳ πλήξας τῇ ἐμῇ ἅπαντας ὑμᾶς ἀνάλογον ταῖς ἁμαρτίαις ἀπολῶ ταῖς ὑμετέραις.

V. 13. *Et ego te percutere incipiam. Deperdam vos in peccatis vestris.* Quum adeo peccaveritis, poenam de vobis repetam convenientem peccatis vestris eam, ut omnes vos deleam.

ιδ'. Σὺ φάγεσε[2]) καὶ οὐ μὴ ἐμπλησθῇς. Ἐπ' ὀλίγον γὰρ τῶν προσόντων μετασχὼν οὐκ εἰς τέλος ἕξεις αὐτῶν τὴν ἀπόλαυσιν, ἀφαιρούμενος αὐτῶν διὰ τῆς τιμωρίας. — *Καὶ συσκοτάσει ἐν σοὶ, καὶ ἐκνεύσεις, καὶ οὐ μὴ διασωθῇς.* Ὡς σκότῳ γὰρ περιβληθήσῃ τῇ παρ' ἐμοῦ τιμωρίᾳ, καὶ βουλόμενος ἐγκλίνειν[3]) τῶν κακῶν τὴν πεῖραν οὐδαμῶς δυνήσῃ. — *Καὶ ὅσοι ἂν διασωθῶσιν, εἰς ῥομφαίαν παραδοθήσονται.* Κἂν γὰρ πρὸς βραχύ πως διαφεύγειν δόξῃς, τῇ τῶν πολεμίων τιμωρίᾳ καταληφθήσῃ πάντως.

V. 14. *Tu comedes, at non satiaberis.* In breve tantum tempus tua possidebis; non enim usque ad finem iis frui poteris, per mulctam iis privatus. — *Et tenebris obductus internis declinabis, nullam naotus salutem.* Tanquam tenebris supplicio meo involveris, et, quamvis id cupias, malorum periculum evitare nequaquam poteris. — *Et quicunque forte evaserint, ii gladio tradentur.* Etiamsi in breve tempus effugisse te putaveris, ab hostium caede certo comprehenderis.

ιε'. Σὺ σπερεῖς, καὶ οὐ μὴ ἀμήσῃς, σὺ πιέσεις ἐλαίαν, καὶ οὐ μὴ ἀλείψῃ ἔλαιον, καὶ ποιήσεις οἶνον, καὶ οὐ μὴ πίῃς οἶνον. Ὑπο-

V. 15. *Seminabis, sed non metes, calcabis olivam, nec ungeris oleo, vinum promes, nec bibes vinum.* Bellicae caedi ubi incideris, nul-

[1]) Leg. τῆς. — [2]) Leg. φαγέσαι. — [3]) F. l. ἐκκλίνειν.

πεσὼν γοῦν τῇ σφαγῇ τοῦ πολέμου οὐδὲ τῶν πόνων ἀπολαύσεις ὡς εἰκὸς τῶν οἰκείων, ἐπειδὴ πάντας αὐτοὺς ἀφανιοῦσιν ὡς εἰκὸς οἱ πολέμιοι. τοῦτο γὰρ βούλεται δι' ὅλου λέγειν.

ιϛ'. Καὶ ἀφανισθήσεται νόμιμα τοῦ λαοῦ μου καὶ πάντα ἔργα Ἀχαάβ· καὶ ἐπορεύθητε ἐν ταῖς ὁδοῖς αὐτῶν, ὅπως παραδῶ σε εἰς ἀφανισμὸν, καὶ τοὺς οἰκοῦντας αὐτὴν εἰς συρισμὸν, καὶ ὀνείδη λαοῦ μου λήψονται. Τότε γοῦν ἅπαντα, ἃ ἐπὶ τῇ τῶν εἰδώλων θρησκείᾳ ἐφυλάττετε μιμούμενοι τά παρά τε τοῦ Ἀχαὰβ καὶ τῶν κατ' ἐκεῖνον βασιλέων ἐπεισαχθέντα ὑμῖν, ἀφανισθήσεται σὺν ὑμῖν, ὥστε ἅπαντας τοὺς ἔξωθεν ὁρῶντας ὑμῶν τὴν ἀπώλειαν συριγμῷ κεχρῆσθαι, θαυμάζοντας τὴν τοσαύτην ὑμῶν ἐπὶ τὸ χεῖρον μεταβολὴν, ὀνειδίζειν τε ὑμῖν, ἐφ' οἷς ὑπὲρ τῆς παρανομίας πεπόνθατε τῆς οἰκείας.

Ἐν δὴ τούτοις τῆς ἐπαχθησομένης αὐτοῖς τιμωρίας τὴν ἀπειλὴν εἰρηκὼς, ἑξῆς πάλιν κατὰ τὸ εἰωθὸς λέγει τὰς αἰτίας τῶν ἐπάγεσθαι μελλόντων αὐτοῖς, ἐν σχήματι θρήνου τὴν ἀφήγησιν αὐτῶν ποιούμενος, ἐπεὶ καὶ σφόδρα ἥρμοττε τῷ προφήτῃ ἀλγοῦντί τε ἐφ' οἷς πάσχουσι καὶ τὰ πλημμελήματα αὐτῶν οἰκειουμένῳ

lum laborum tuorum, ut par est, percipies fructum; omnibus ab hostibus plane deletis. Ea enim in universum prophetae verbis subest sententia.

V. 16. *Et abrogabuntur instituta populi mei et opera Achaabi; quorum vestigia pressistis, ut interitui vos tradam et incolas ejus (urbis) ludibrio, et probrum populi mei ferant.* Tunc sane omnia, quae venerandorum idolorum causa, imitati ea, quae ab Achaabo et regibus ei similibus vobis injuncta sunt, observastis, cum ipsis vobis delebuntur, ita ut omnes exteri interitum vestrum intuentes et tantam rerum vestrarum in pejora mutationem mirantes, sibilaturi sint et probris vos increpaturi, quod de improbitate vestra poenas lueritis.

In his omnibus inferenda iis supplicia comminatus, in sequentibus, ut assolet, causas eorum dicit, sub threni forma eas recitans; omnino enim prophetam calamitates populi sui dolentem ejusque delicta sua facientem lamentationis forma in eo uti, decuit.

μένῳ τῶν ὀδυρμῶν τὸ σχῆμα Τί οὖν φησιν;

Κεφάλαιον Ζ'.

α'. Οἴμοι ὅτι ἐγενήθην ὡς συνάγων καλάμην ἐν τῷ ἀμητῷ, καὶ ὡς ἐπιφυλλίδα ἐν τρυγήτῳ, οὐχ ὑπάρχοντος βότρυος· τοῦ φαγεῖν τὰ πρωτόγονα ἐπεθύμησεν ἡ ψυχή μου. Ἀλλὰ γὰρ θρηνεῖν ἔπεισί μοι τοσαύτην τὴν ἐπὶ τὸ χεῖρον ῥοπὴν βλέποντι τοῦ λαοῦ, ὡς μηδένα δικαιοσύνης ἐν αὐτοῖς ἀναφαίνεσθαι καρπόν. τοιοῦτο γοῦν τι πάσχειν ἐπ' αὐτοῖς προάγομαι, οἷον ἂν εἴ τι πάθοι γεωργὸς, ἢ ἐν καιρῷ θερισμοῦ παντελῶς τῶν καρπῶν ἀπολωλότων καλάμην τινὰ ἀντὶ δραγμάτων εὐτελῆ συλλέγειν ἀναγκαζόμενος, ἢ ἐν ταῖς τῶν καρπῶν εὐφορίαις ἐκπίπτειν εἴωθε τῶν δραγμάτων, ἢ τρυγήτου παρόντος βότρυας μὲν οὐχ εὑρίσκων ἐπιφυλλίδας δέ τινας βραχείας συλλέγων, — ἐπεὶ καὶ νῦν τοῦ καιροῦ μετὰ τοσαύτην κηδεμονίαν τε καὶ ἐπιμέλειαν τὴν παρὰ τοῦ θεοῦ γεγενημένην εἰς αὐτοὺς ἀναγκαίως τῆς τε θεοσεβείας καὶ τῆς ἀρετῆς τοὺς καρποὺς ζητοῦντος, σπανίζον ἐν ἅπασιν αὐτοῖς εὑρίσκω τὸ καλόν. Οὐδὲ γοῦν ἀπαρχήν τινα ἐν αὐτοῖς ἀναφαινομένην ἐστὶν ἰδεῖν, ἐπιθυμία δέ μοι πλείστη καθέστηκε τουτὶ τοι-

Caput VII.

V. 1. *Vae mihi, qui factus sum ei similis, qui colligit spicas in messe, aut racemos in vindemia, quum non sit botrus. Primitias edere concupivit anima mea.* Lacrimae mihi oboriuntur, quum populum meum ad malum adeo propensum videam, ut nihil bonae justaeque frugis in eo appareat. Et accidit mihi circa eos quod accidit agricolae, quem, tempore messis, deletis prorsus fructibus, spicas singulas tenuesque, quae fertili tempore manipulis excidere solent, pro manipulis colligere oportet, aut racemos paucissimos, quum tempore vindemiae botros non inveniat. Nam post beneficia in eos a Deo curâ suâ collata, tempore nunc necessario pietatis ac virtutis fructus requirente, rarum tamen penes omnes reperio bonum. Imo ne primitias apud eos invenire poteris quantacunque tibi eas videndi insit cupido. Quum enim de praestantissimis frugibus primitias sumere soleamus, eaeque e-

οὗτον ἰδεῖν. Ἐπειδὴ γὰρ ἐκ τῆς τῶν καρπῶν τελειότητος εἰώθαμεν ἀπαρχὰς λαμβάνειν, τοῦτο δὲ ἐστι καὶ τὰ πρωτότοκα, — ὅθεν ὁ μακάριος λέγει Δαυίδ [1]· *„Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτου, ἀπαρχὴν παντὸς πόνου αὐτῶν ἐν σκηνώμασι Χάμ“ — τοῦτο βούλεται εἰπεῖν, ὅτι διὰ τὴν ὑπερβολὴν τῆς ἀκαρπίας ἐπιθυμία με κατέσχεν εὑρεῖν τι ἐν αὐτοῖς ἀπαρχῆς τάξιν ἐπέχειν δυνάμενον. Καὶ ἐπιμένων τοῖς ὀδυρμοῖς.*

tiam primogenita audiant — unde beatus David „Et interemit, inquit, omne primogenitum in terra Aegyptiorum, primitias omnis laboris eorum in habitationibus Chami“ — id dicere vult propheta: propter nimiam sterilitatem cupido me tenuit, aliquid saltem inveniendi, quod primitiarum loco haberi possit. Et perseverat in lamentationibus.

β'. γ'. Οἴμοι ψυχή, ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς, καὶ κατορθῶν ἐν ἀνθρώποις οὐκ ὑπάρχει. πάντες εἰς αἵματα δικάζονται, ἕκαστος τὸν πλησίον ἐκθλίβουσιν ἐκθλιβεῖ [2]*), ἐπὶ τὸ κακὸν τὰς χεῖρας ἑτοιμάζουσιν· ὁ ἄρχων αἰτεῖ, καὶ ὁ κριτὴς εἰρηνικοὺς λόγους ἐλάλησε, καταθύμιον ψυχῆς αὐτοῦ ἐστί. Πῶς γὰρ οὐ θρηνεῖν ἄξιον, ὅτι φόβος μὲν θεοῦ παρ' αὐτοῖς οὐδαμοῦ, ὅθεν οὐδέ ἐστιν εὑρεῖν τὸν ἐπιμελεῖσθαι τοῦ προσήκοντος θέλοντα, πάντα δὲ αὐτοῖς περὶ φόνων γυμνάζεται τὰ ἐγκλήματα, οὐκ ἀνεχομένων μικρὰ πταίειν, ἀλλ' ἄχρι φόνων τὰς χεῖρας ἐκτεινόντων τὰς ἰδίας, ἕκα-*

V. 2.—3. *Vae mihi, anima! periit enim pius de terra, neque invenitur inter homines, qui recte agat. Omnes letifera judicant, alter alterum vexationibus excruciat, et ad malum manus paratas habent. Princeps (munera) poscit, judex pacifica verba loquitur; quod animae suae desiderium est.* Quomodo non lacrimis dignum est quod Dei timor apud eos nullus sit, neque quisquam inveniatur, qui aequi justique rationem habere velit, omnes vero actiones penes eos de caedibus instituantur; minoribus criminibus enim non contenti ad caedes perpetrandas ex-

[1]) Ps. CV, 36. — [2]) F. l. *ἐκθλιβῇ*.

στός τε αὐτῶν ὡς ἂν ἔχῃ δυνάμεως, ὀδύναις καὶ ἀνάγκαις περιβάλλειν τὸν ἔγγυς πένητα πειρᾶται, παρεσκευασμένοι τε περὶ τὴν τῶν κακῶν εἰσιν ἐργασίαν. εἶτα ἐπὶ τούτοις ὁ μὲν ἐν τῷ ἄρχειν καθεστὼς ἀμελῶν τοῦ προσήκοντος χρήματα ζητεῖ, καὶ τούτοις διακρούεται τῶν ἁμαρτανόντων τὰς ἀδικίας, ὁ δὲ τοῦ κρίνειν εἰληφὼς τὴν ἐξουσίαν, ἀφεὶς τὸ δίκαιον ὁρίζειν θεραπευτικοῖς κέχρηται ῥήμασιν, ὡς ἂν διὰ τούτων ἑαυτῷ περιποιήσειεν ἄδικα κέρδη, πρὸς ἃ δὴ τεταμένον ἔχει τὸν λογισμὸν τῆς ψυχῆς.

δ'. Καὶ ἐξελοῦμαι τὰ ἀγαθὰ αὐτῶν ὡς σὴς ἐκτρώγων καὶ βαδίζων ἐπὶ κανόνος, ἐν ἡμέραις σκοπιᾶς σου. Ὑπὲρ δὴ τούτων ἐν παντελεῖ σε καταστήσω τῶν ἀγαθῶν ἐνδείᾳ, δίκην σητὸς διὰ τῶν πολεμίων πᾶν ἀφανίζων ὅ, τι καλόν ἐστιν ἐν σοί. ὡς γὰρ ὁ σὴς ἐν κανόνι ξύλου γεγονὼς ὁδῷ βαδίζων ἅπαν αὐτὸ καθεστίει καὶ ἀναλίσκει ταῖς κατὰ μέρος διαφοραῖς[1]*), οὕτω κατὰ μικρὸν ἅπαντα ὑμῶν ἀφελῶ τὰ ἀγαθὰ κατὰ τὸν καιρὸν, ἐν ᾧ δὴ τὸ μέγεθος περισκοπήσας τῶν ἁμαρτημάτων τῶν ὑμετέρων ἀνάλογον ἐπάξω τοῖς πραττομένοις τὴν τιμωρίαν. — Οὐαὶ, οὐαὶ αἱ ἐκ-*

tendunt manus suas; et quilibet eorum, quoad ejus potestatem habet, pauperem doloribus et angustiis impedire studet, et ad mala patranda parati sunt. Quibus accedit quod qui principatum tenet, neglecto decoro, pecunias poscit et pro iis scelestorum propellit flagitia; qui vero judicandi praeditus est munere, missa justitia, adulatoriis utitur verbis, ut per ea commoda acquirat injusta, quo omnis mentis suae tendit cogitatio.

V. 4. *Et auferam bona eorum, quasi tinea quae in trabe repens eam comedit, diebus spectationis tuae.* Eam ob causam omnium bonorum inopia te occupabit, me tineae instar per hostes omnia, quae tibi sunt pulchra consumente: sicut enim tinea infra trabem ligneam gradiens totam corrodit et absumit singulas perdendo partes, ita equidem singulatim omnia vobis delebo bona eo tempore, quo, perlustrata copia peccatorum vestrorum, poenam factis consentaneam de vobis sumam. — *Vae, vae! ultiones tuae*

[1]) Leg. *διαφθοραῖς*.

δικήσεις σου ἥκασι, νῦν ἔσονται κλαυθμοὶ αὐτῶν. Παραγέγονεν ἡ ἡμέρα τοῦ δοῦναί σε δίκην τῶν πλημμελημάτων, ὑπὲρ ὧν δὴ νῦν προσῆκε δακρῦσαι, διὰ τῶν ἐπαγομένων κακῶν αἰσθανόμενον, ὁπόσον ἐλυμαίνου σεαυτῷ τῇ περὶ τὸ χεῖρον ῥοπῇ. — Καὶ δεικνὺς τῶν ἐπελευσομένων αὐτοῖς κακῶν τὸ μέγεθος.

venerunt! Nunc erunt fletus eorum. Adventavit dies, qua delictorum tuorum poenam solves; ideoque nunc lacrimas te decet fundere ex impositis tibi miseriis cognoscentem, quantopere tibi nocueris tuo malitiae studio. — Et dein malorum iis infligendorum magnitudinem ostendit.

ε΄. ς΄. *Μὴ καταπιστεύετε ἐν φίλοις, μηδὲ ἐλπίζετε ἐπὶ ἡγουμένοις, ἀπὸ τῆς συγκοίτου σου φυλάξαι τοῦ ἀναθέσθαι τι αὐτῇ. διότι υἱὸς ἀτιμάζει πατέρα, θυγάτηρ ἐπανέστηκεν ἐπὶ τὴν μητέρα αὐτῆς, ἐχθροὶ ἀνδρὸς πάντες οἱ ἐν τῷ οἴκῳ αὐτοῦ.* Οὐδεμία δὴ, φησὶν, οὐδενὶ παρ᾽ οὐδενὸς ἔσται τότε ἡ βοήθεια, οὐ φίλῳ παρὰ φίλου, οὐκ ἀρχομένῳ παρὰ ἄρχοντος, οὐκ ἀνδρὶ παρὰ γυναικὸς, οὐχ υἱῷ παρὰ πατρὸς, οὐ μητρὶ παρὰ θυγατρὸς, οὐ νύμφῃ παρὰ πενθερᾶς· ἡ γὰρ ὑπερβολὴ τοῦ κακοῦ περὶ τῆς ἰδίας ἕκαστον ἀναγκάζουσα ἀγωνιᾷν σωτηρίας ἀναγκαίως πάντας ἐχθροὺς ἀλλήλων ἀποδείκνυσιν, οὐδενὸς τὸ τῷ πέλας χρήσιμον σκοπεῖν δυναμένου διὰ τὸ μέγιστον ἡγεῖσθαι εἰ ἑαυτῷ τινὰ περιποιήσειε σωτηρίαν. — Εἶτα μετὰ τὴν τῶν κακῶν μήνυσιν εὐαγγελιζόμενος

V. 5.—6. *Ne credatis amicis, neque confidatis principibus, imo uxori tuae quidquam concredere caveas; quia filius patrem vilipendit, filia adversus matrem surrexit, patri familias inimici sunt omnes domestici.* Nemini tunc a quopiam erit auxilium, non amico ab amico, nec civi a principe suo, nec marito ab uxore, nec filio a patre, nec matri a filia, nec sponsae a socru; nimia enim miseria singulos, ut suam quisque quaerat salutem, cogente, omnes sibi invicem inimici evaserunt, nec quisquam, quid alteri utile sit, spectare potest, quia id summum putat, ut suae ipsius saluti consulat. — Deinde post indicata mala, ex consueto laetum rursus mutationis rerum pro-

πάλιν συνήθως τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν.

ζ. Ἐγὼ δὲ ἐν τῷ Κυρίῳ ἐπιβλέψομαι, ὑπομενῶ ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου, ἐπακούσεται ὁ Θεός μου. Ἀλλὰ γὰρ καὶ τοσούτων ὄντων καὶ τηλικούτων τῶν κακῶν οὐκ ἀπογνώσομαι τοῦ Θεοῦ τὴν κηδεμονίαν, μενῶ δὲ πρὸς αὐτὸν ὁρῶν καὶ παρ᾽ αὐτοῦ τὴν σωτηρίαν ἀναμένων, ἣν καὶ παρέξει μοι πάντως, ἐν ταῖς ἀνάγκαις ἐκείναις αἰτοῦντος αὐτοῦ τὴν βοήθειαν ἀκούσας.

η. Μὴ ἐπίχαιρέ μοι ἡ ἐχθρά μου, ὅτι πέπτωκα καὶ ἀναστήσομαι, διότι, ἐὰν καὶ πορευθῶ ἐν τῷ σκότει, κύριος φωτιεῖ μοι. Ἔξεσται δή μοι τότε καὶ πρὸς τοὺς πολεμίους τοὺς ἐμοὺς, καὶ μάλιστά γε πάντων πρὸς τοὺς Ἰδουμαίους λέγειν — ὡς περιττὸν ὑμῖν τὸ ἐφήδεσθαι ἐμοὶ πεσούσῃ, ἀναστήσομαι γὰρ τοῦ πτώματος τῇ ῥοπῇ τῇ θείᾳ, ὥστε εἰ καὶ δίκην σκότους ἐν μέσῳ πεπόρευμαι τῶν κακῶν, ἀλλὰ φωτός μοι λαμπροτέρα γενήσεται τοῦ Θεοῦ ἡ βοήθεια.

θ'. Ὀργὴν κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ, ἕως ἂν δικαιώσῃ τὴν δίκην μου, καὶ ποιήσῃ τὸ κρῖμά μου, καὶ εἰσάξει με εἰς τὸ φῶς, καὶ ὄψομαι τὴν δικαιοσύ-

sperae adnectit propheta nuntium.

V. 7. *Ego vero dominum respiciam, exspectabo Deum salvatorem meum, et exaudiet me Deus meus.* Licet tot tantaque me obruerint mala, non desperabo Dei providentiam, sed eum intuiturus, et ab eo exspectaturus manebo salutem, quam mihi etiam certissime porriget; namque qui ejus auxilium intra miserias imploraverit, eum exaudiet.

V. 8. *Noli de me laetari, inimica mea, quod ceciderim; (nam) etiam surgam (rursus), et quamvis in tenebris degam, dominus lucem mihi porriget.* Tunc etiam adversariis meis, et praecipue Idumaeis, ita dicere licebit — supervacaneum vobis est, quod de lapsu meo laetemini, nam divina ope adjutus surgam de eo; et quamvis malis tanquam tenebris involutus incesserim, luce clarius me juvabit Dei auxilium.

V. 9. *Iram domini sustinebo, quia peccavi contra eum, donec causam meam justificet, litemque meam disceptet; tunc educet me in lucem ejusque justitiam vi-*

νην αὐτοῦ. Τῆς μὲν γὰρ ὀργῆς αὐτοῦ καὶ τῶν ἐντεῦθεν λυπηρῶν ὡς ἡμαρτηκὼς ἐπειράθην, παρέξει δέ μοι τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν, αὐτός μοι δικάσας, ὑπὲρ ὧν πέπονθα παρὰ πάντων τῶν ἐχθραινόντων ἀδίκως, καὶ δὴ καὶ ἀπονείμας μοι τὸ δίκαιον ἐν τῷ κρίσει, οὕτω τέ με ἐν τῇ λαμπρότητι τῶν οἰκείων καθιστὰς ἀγαθῶν, ὥστε πρόδηλον καὶ ἀναμφίβολόν μοι γενέσθαι τὴν γνώμην τοῦ θεοῦ, καθ' ἣν τοῦ δικαίου φροντίσας ἐμὲ τῶν περιεχόντων ἀπήλλαξε κακῶν καὶ τοὺς ἠδικηκότας με μάτην ἐτιμωρήσατο δικαίως· τοῦτο γὰρ λέγει τὸ Ὄψομαι τὴν δικαιοσύνην αὐτοῦ.

ι΄. ια΄. Καὶ ὄψεται ἡ ἐχθρά, καὶ καλύψει αὐτὴν αἰσχύνη, ἡ λέγουσα πρός με — ποῦ κύριος ὁ θεός σου; Τότε δὴ αἰσχυνθήσεται, ἐφ' οἷς ὠνείδιζέ μοι ὡς οὐδεμιᾶς τυγχάνοντι τῆς παρὰ τοῦ θεοῦ βοηθείας, ὁρῶν αὐτοῦ τῆς περὶ ἐμὲ κηδεμονίας τὸ ἀπόρρητον. — Οἱ ὀφθαλμοί μου ἀπόψονται αὐτήν. Οὐ γὰρ αὐτὸς μόνον ἀπαλλαγήσομαι τῶν κακῶν, ἀλλὰ γὰρ καὶ τὰς τῶν ἐχθραινόντων μοι τιμωρίας ὄψομαι. — Νῦν ἔσται εἰς καταπάτημα ὡς πηλὸς ἐν ταῖς ὁδοῖς. ἡμέρα ἀλοιφῆς πλίνθου, ἐξάλειψίς σου ἡ ἡμέρα ἐκείνη.

debo. Iram Dei et, quae hinc prodierunt, mala expertus sum, quod peccaverim; ipse vero res meas feliciter restituet, cognita causa mea, quod ab omnibus adversariis meis injusta passus sim, justumque mihi tribuet in lite, tanto meorum bonorum mihi concesso splendore, ut clara et indubitata inde eluceat Dei sententia, ex qua pro sua quae est justi cura et me e praesentibus calamitatibus liberaverit, et eos, qui me temere vexaverint, jure puniverit. Id enim indicant verba, ejus justitiam videbo.

V. 10. 11. *Quod quum mea inimica viderit, pudore suffundetur, illa, quae mihi dicebat.— Ubi est dominus Deus tuus?* Tunc pudore suffundetur, quod contumelias mihi ingesserit, utpote divino auxilio plane carenti, ineffabilem ejus erga me curam ubi viderit. — *Oculi mei eam videbunt.* Non solum enim ipse e malis liberabor, sed etiam adversariorum meorum calamitatem videbo. — *Conculcata nunc erit ut lutum viarum; dies, qua lateres fingentur, — deletio tua ista dies.* Con-

Καταπατηθήσῃ γὰρ ὑπὸ τῶν πολεμίων πηλοῦ δίκην ἐν ὁδοῖς τε ὑπὸ τοῦ πλήθους τῶν ὁδοιπορούντων πατουμένου καὶ ἐπὶ πλίνθων ἐργασίᾳ διαμαλαττομένου ποικίλως· ὅπερουν τοῖς τὰ τοιαῦτα ἐργαζομένοις ἔθος ἐπὶ πλεῖστον ποιεῖν, ὡς ἂν λεανθεὶς πρὸς τὴν προκειμένην ἐπιτηδειότερος γένοιτο χρείαν. τοιαύτη καὶ σοῦ, φησί, κατ' ἐκεῖνον τὸν καιρὸν ἐξάλειψις ἔσται, τουτέστιν οὕτως ἐξαλειφθήσῃ ὑπὸ τῶν ἐπιόντων σοι πολεμίων ποικίλως καταπατούντων τέ σε καὶ συντριβόντων μετὰ πολλῆς τῆς ἀφειδίας. — Ἀπώσεται νόμιμά σου ἡ ἡμέρα ἐκείνη. Ἐρήμωσιν, φησιν, ὑπομενεῖς παντελῆ. τοῦτο γὰρ δηλοῖ τῶν νομίμων ἡ ἀφαίρεσις, ἐπειδὴ πάσης πολιτείας τε καὶ ἀρχῆς συνεστώσης μὲν ἀνάγκη τὰ νόμιμα κρατεῖν, οἵσπερουν εἰώθασιν οἱ κατ' αὐτὴν κεχρῆσθαι, ἐρημίας δὲ καὶ αἰχμαλωσίας καταλαβούσης ἀφανίζεσθαι τῶν νόμων ἀνάγκη τὴν τάξιν. Ἐπάγει γοῦν·

culcaberis enim ab hostibus quasi lutum in via a viatoribus conculcatum, vel laterum ducendorum causa multifariam subactum. Id enim facere iis admodum in more est, qui hoc negotium habent, ut nempe lutum hac ratione levigatum tractatu facilius sit. Talis etiam tua, inquit, deletio erit, i. e. eadem ratione ab hostibus deleberis te impetuose aggredientibus, crudelissime ab iis conculcata et confracta. — *Statuta tua ista dies retrudet.* Prorsus, inquit, devastaberis. Hoc enim statutorum abolitio indicat; quum stante civitate, statuta valere oporteat, quibus ejus cives utuntur; devastata vero ea, vel capta, legum etiam ordinem evanescere par est. Itaque addit.

ιβ. Καὶ αἱ πόλεις σου ἥξουσιν εἰς συγκλεισμὸν καὶ διαμερισμὸν Ἀσσυρίων. Τὴν γὰρ αἰτίαν τῆς τῶν νομίμων ἀφαιρέσεως δηλοῖ εἰρηκὼς ὅτι οἱ Ἀσσύριοι καθελοῦσί τε τὰς πόλεις καὶ διαμεριοῦνται κατὰ τὸ δοκοῦν ἑαυτοῖς. — Καὶ αἱ πόλεις σου αἱ ὀχυραὶ

V. 12. *Et urbibus tuis adventavit obsidio et distributio Assyriorum.* Hic causam abolitorum statutorum indicat, Assyrios urbes captas inter se invicem distributuros esse, dicens, pro lubitu suo. — *Urbesque tuae munitae distribuentur a Tyro*

ἔσονται εἰς διαμερισμὸν ἀπὸ τοῦ Τύρου ἕως τοῦ ποταμοῦ Συρίας, καὶ ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ τοῦ ὄρους ἕως τοῦ ὄρους. ἵνα εἴπῃ, ὅτι πάντων τούτων κρατήσουσιν οἱ Ἀσσύριοι τῶν πόλεων. Τοῦτο δὲ καὶ ὁ προφήτης Ἀμὼς δηλοῖ, τὰ καταληψόμενα ὑπὸ τῶν Ἀσσυρίων κακὰ τοὺς περιοίκους λέγων.

ιγ΄. Ἡμέρα ὕδατος καὶ θορύβου· καί ἐστιν ἡ γῆ εἰς ἀφανισμὸν μετὰ τῶν κατοικούντων αὐτὴν ἀπὸ καρπῶν ἐπιτηδευμάτων. Ἐπελεύσεται γὰρ ὑμῖν πλῆθος πολεμίων δίκην ὕδατος ἐπικλύζον ἅπαν τοὺς [1]), ἀφ᾽ οὗπερ αὐτοί τε πολλῆς πληρωθήσεσθε τῆς ταραχῆς καὶ πάντα δὲ τὰ ὑμέτερα σὺν ὑμῖν ἀφανισθήσεται, ἐπειδὴ τῶν πραττομένων ὑμῖν τιμωρίαν ταύτην ὑφέξετε δικαίαν.

Εἰρηκὼς δὲ τῶν ἐχθραινόντων αὐτοῖς πολυτρόπως τε αὐτοὺς λελυπηκότων ἐν τούτοις τὴν τιμωρίαν, τρέπει λοιπὸν πρὸς τὸν λαὸν τὸν λόγον.

ιδ΄. ιε΄. Ποίμαινε τὸν λαόν σου ἐν ῥάβδῳ φυλῆς σου, πρόβατα κληρονομίας σου κατασκηνοῦντα κατὰ μονὰς δρυμόν. Ἀλλὰ γὰρ σύ, φησίν, ἀπηλλαγμένος μὲν θορύβου καὶ

usque ad Syriae flumen, et a mari usque ad mare, et a monte usque ad montem. i. e. earum omnium urbium potituri sunt Assyrii. Id quod etiam Amosus propheta indicat, calamitates praedicens vicinis regionibus eventuras.

V. 13. *Dies aquae ac tumultus! Et terra (haec) cum habitatoribus suis devastabitur propter operum suorum fructum.* Instar aquae omnia inundantis hostium copiae vos supervenient, per quas et ipsi admodum perturbabimini, omnesque res vestrae vobiscum devastabuntur. Eamque ob actiones vestras jure solvetis mulctam.

Supplicio in his dicto adversariorum, qui vario modo Israëlitas vexarunt, in sequentibus ad populum rursus dirigit sermonem propheta.

V. 14. 15. *Pasce populum tuum pedo tribus tuae, (pasce) oves tuae hereditatis, quae habitant in saltu solitarie.* Tu vero, inquit, e turbis et tumultu bellisque

[1]) Leg. ἅπαντα.

ταραχῆς καὶ πολέμων, ἐν εἰρήνῃ δὲ τυγχάνων, κατὰ τὸ δέον ἄγειν σπούδαζε σαυτὸν, ἐπειδή σε κτῆσιν οἰκείαν λογισάμενος ὁ Θεὸς ἀφεῖλέ τε τῶν πολεμίων καὶ κεχωρισμένους ἁπάντων δίκην προβάτων σὺν ἀδείᾳ νέμεσθαι δέδωκεν ἐν τοῖς οἰκείοις. — Ἐν μέσῳ τοῦ Καρμήλου νεμήσονται τὴν Βασανῖτιν καὶ τὴν Γαλααδῖτιν κατὰ τὰς ἡμέρας τοῦ αἰῶνος· καὶ κατὰ τὰς ἡμέρας τῆς ἐξοδίας σου ἐκ γῆς Αἰγύπτου δείξω αὐτοῖς θαυμάσια. Ἀπολήψονται, φησὶ, τοὺς τόπους τοὺς οἰκείους καθὰ καὶ πρότερον ἐξεληλυθότες τῆς Αἰγύπτου μετὰ πολλῆς κατέσχον αὐτοὺς τῆς δυναστείας· οὐ γὰρ ἔλαττον τῶν τότε καὶ νῦν ἄξια θαύματος ἔσται τὰ περὶ αὐτοὺς γινόμενα παρ' ἐμοῦ.

ιϛ'. Ὄψεται ἔθνη καὶ αἰσχυνθήσεται ἐκ πάσης τῆς ἰσχύος αὐτῶν. Ἱκανὰ γὰρ ἔσται τὰ περὶ αὐτοὺς γινόμενα καὶ τοὺς πολεμεῖν πρότερον αὐτοῖς ἐγνωκότας εἰς πολλὴν περιβαλεῖν αἰσχύνην, ὁρῶντας τῇ θείᾳ κηδεμονίᾳ τοσαύτης ἐπειλημμένους δυνάμεως. — Ἐπιθήσουσι χεῖρας ἐπὶ τὸ στόμα αὐτῶν — θαυμάζοντες ἐπὶ τῷ μεγέθει τῶν γινομένων. — Τὰ ὦτα αὐτῶν ἀποκωφωθήσεται — οὐδὲ ἀκοῇ φέρειν δυνήσονται τῶν γινομένων τὸ μέγεθος.

liberatus, pace qui frueris, ut aequum est degere, studeas. Deus enim suum te facere dignatus, hostibus vos eripuit, et, ab omnibus separati, ut tanquam oves in propriis sedibus secure agere possitis, effecit. — *Medio in Carmelo pascent Basanitin et Galaaditim, uti olim diebus antiquis; et uti diebus, quum Aegypto exirent, mira iis ostendam.* Regiones suas proprias recuperaturi sunt, quemadmodum antea Aegypto egressi multa cum potentia eas obtinuerunt. Non minus enim rebus tunc gestis, quae nunc circa eos accident me auctore, miratione digna sunt.

V. 16. *Videbunt hoc gentes, et toto animo suo pudore suffundentur.* Quae iis eventura sunt, tanta erunt, ut vel ii, qui antea bella contra illos moliti sunt, pudore multo suffundantur, quum eos divina providentia ad tantum robur provectos viderint. — *Manus ori suo imponent;* nimirum ea mirati, quae fiunt. *Aures eorum obsurdescent.* Vel ne audire quidem factorum magnificentiam sustinebunt.

ιζ΄. Λείξουσι χοῦν ὡς ὄφις σύροντες γῆν. Ἀνύειν δὲ ἐπὶ τοῖς περὶ ὑμᾶς γινομένοις δυνάμενοι πλέον οὐδὲν, ὄφεων δίκην εἰς γῆν πεσοῦνται περὶ ταύτην εἰλούμενοι. — Συγχυθήσονται ἐν συγκλεισμῷ αὐτῶν. ὑπομενοῦσι συνοχὴν οὐ τὴν τύχουσαν, συγκλειόντων αὐτοὺς εἰς σφαγὴν τῶν πολεμίων. — Ἐπὶ κυρίῳ τῷ Θεῷ ἡμῶν ἐκστήσονται, καὶ φοβηθήσονται ἀπὸ σοῦ. Ἐπὶ γάρ τοι τῷ μεγέθει τῶν παρὰ τοῦ Θεοῦ γινομένων εἰς ἔκστασίν τινα πεπτωκότες φοβεροὺς καὶ ὑμᾶς λοιπὸν νομιοῦσι τοσαύτης ἠξιωμένους τῆς παρὰ τοῦ Θεοῦ προνοίας. — Εἶτα μετὰ τὴν μήνυσιν τῶν προσεσομένων αὐτοῖς ἀγαθῶν ὡς ἐν[1]) εὐχαριστίαν τινὰ ἐξ ἁπάντων προσάγει τὰ ἑξῆς τῷ Θεῷ.

ιη΄. Τίς Θεὸς ὥσπερ σύ, ἐξαίρων ἀδικίας καὶ ὑπερβαίνων ἀσεβείας τοῖς καταλοίποις τῆς κληρονομίας αὐτοῦ; Νῦν εἴπερ ποτὲ ἄλλοτε ἐξ αὐτῶν δέδειξαι τῶν πραγμάτων μέγας Θεός, δυνάμει τε καὶ φιλανθρωπίᾳ πάντας νικῶν καὶ λύων μὲν ἁμαρτήματα, παραπεμπόμενος δὲ ἀσεβείας, εἰς δὲ τοὺς ὑπολοίπους τῶν οἰκείων τὴν φιλοτιμίαν ἐπιδεικνύμενος τὴν οἰκείαν. — Οὐ συνέσχεν εἰς

V. 17. *Lingent pulverem, uti serpentes in terra repentes.* Quum vero adversus ea, quae circa vos fiunt proficere amplius nihil possint, serpentum instar, humum prolapsi in ea volutabuntur. — *Confundentur in carcere suo.* Angore conficientur haud mediocri, hostibus eos ad caedem usque includentibus. — *Ob Dominum Deum nostrum obstupescent, teque formidabunt.* Ob Dei operum splendorem stupore correpti, timendos vobis deinceps existimabunt, ut quos tanta dignatus sit Deus benevolentia. — Deinde praedictis prosperis, in sequentibus omnium nomine Deo agit gratias.

V. 18. *Quis est, Deus, tui similis, qui ignoscis culpae et condonas impietates iis, qui reliqui sunt de heredibus tuis?* Si quo alio tempore nunc e rebus gestis majestas tua divina intelligitur, ut qui et potentia et benignitate omnes superes, et peccata remittas et impietatibus condonatis,, iis, qui reliqui sunt de tuis, munificentiam tuam ostendas. —

[1]) F. l. ᾠδῇ.

μαρτύριον ὀργὴν αὐτοῦ, ὅτι θελετὴς ἐλέους ἐστίν. Οὐδὲ γὰρ τὴν ὀργὴν ἣν δικαίαν εἶχε καθ' ἡμῶν κατέχειν ἐπὶ πλεῖστον ἠνέσχετο, καίτοιγε δικαίως ἂν αὐτῇ χρησάμενος, ἐπειδὴ πολλάκις μὲν ἡμῖν διεμαρτύρετο [1]) περὶ ὧν δεῖ πεισόμεθα πταίοντες, οὐδαμῶς δὲ τῷ σωφρονισμῷ τῶν ἀπειλῶν προσεσχήκαμεν. τῷ ἐλέῳ δὲ ἅπαντα νενίκηκε τῷ οἰκείῳ, ὃν ἔργον αὐτῷ πάντων ὑπερτιθέναι πάντοτε.

Non retinebat in testimonium iram suam, nam misericordia delectatur. Justam, quam adversus nos habebat, iram diutius retinere noluit, quamquam jure ei deflagraverat, saepius qui nos criminum nostrorum poenas minatus erat, quin unquam sapienter monita audissemus; misericordia autem omnia superavit, quam omnibus semper praeponere amat.

ιθ'. Αὐτὸς ἐπιστρέψει καὶ οἰκτειρήσει ἡμᾶς, καταδύσει τὰς ἁμαρτίας ἡμῶν, καὶ ἀποῤῥιφήσονται εἰς τὰ βάθη τῆς θαλάσσης πᾶσαι αἱ ἁμαρτίαι ἡμῶν. Ὁ γὰρ ἀποπέμψας ἡμᾶς εἰς τὴν αἰχμαλωσίαν, οἰκείῳ πάλιν ἐλέῳ χρησάμενος ἡμᾶς ἐπανήγαγε παντελῶς ἡμῶν ἀφανίσας τὰς ἁμαρτίας καὶ ὥσπερ εἴς τινα βυθὸν αὐτὰς ἀποῤῥίψας, ἀφ' οὗπερ αὐτὰς ἀνανεῦσαί τε καὶ ἰσχύσαι καθ' ἡμῶν οὐκ ἔνεστι τοῦ λοιποῦ. — Καὶ τὴν αἰτίαν ἁπάντων λέγων.

V. 19. *Ipse (ad nos) redibit et miserebitur nostrûm, peccataque nostra demerget, et omnia nostra delicta in fundum maris abjicientur.* Qui nos in captivitatem protruderat, idem misericordia sua ductus nos reduxit, deletis plane peccatis nostris et quasi in abyssum abjectis, unde emergi et nos condemnare amplius nequibunt. — Et horum omnium causam eam dicit.

κ'. Δώσεις ἀλήθειάν σου τῷ Ἰακὼβ, ἔλεον τῷ Ἀβραὰμ καθάπερ ὤμοσας τοῖς πατράσιν ἡμῶν κατὰ τὰς ἔμπροσθεν. Ἅπαντα γὰρ ταῦτα, φησὶ, πεποίηκας τῶν ἐπαγ-

V. 20. *Veritatem tuam praestabis Jacobo, et Abrahamo misericordiam, prout majoribus nostris diebus pristinis id jure jurando promisisti.* Haec omnia, inquit,

[1]) Inserendum h. l. videtur ὅτι.

γελιῶν μνησθεὶς τῶν οἰκείων, ὧν πρὸς τοὺς πατέρας τοὺς ἡμετέρους κατὰ τοὺς ἄνωθεν πεποίησαι χρόνους, φιλοτιμίᾳ τινὶ βεβαίᾳ καὶ τὰς πρὸς ἐκείνους ὑποσχέσεις τότε πεποιημένος καὶ νῦν ἐφ᾽ ἡμῶν τῶν ἐξ ἐκείνων εἰς ἔργον αὐτὰς ἐκβαλών. —

fecisti, promissionum tuarum memor, quas majoribus nostris temporibus praeteritis dedisti, ea quae illis tunc firmiter et munificenter pollicitus eras, nunc nobis, ab istis prognatis persolvens.

ΕΡΜΗΝΕΙΑ ΝΑΟΥΜ ΤΟΥ ΠΡΟΦΗΤΟΥ. [1])

ΠΡΟΟΙΜΙΟΝ.

α΄. Ἡ Νινευὴ πόλις ἦν μεγάλη πλήθει τε κομῶσα καθὼς ἡ θεία διδάσκει γραφὴ, καὶ τῶν ἐν Ἀσσυρίοις περιφανεστάτη πασῶν, ἐν ᾗ τά τε βασιλεῖα ἐτύγχανεν ὄντα καὶ ὁ τῶν Ἀσσυρίων βασιλεὺς τὰς πλείστας ἐποιεῖτο διατριβάς. Ἀλλὰ γὰρ οὗτοι — λέγω δὲ τοὺς οἰκοῦντας τὴν Νινευὴ — βουλομένου μὲν τοῦ θεοῦ τῆς οἰκείας χάριτος ποιήσασθαι τὴν ἀπόδειξιν, καθὼς σαφέστερον ἐπὶ τῆς τοῦ μακαρίου Ἰωνᾶ προφητείας ἔφθημεν εἰπόντες, ἀπὸ μόνης ἀπειλῆς ὑπὸ ἀγνώστου γενομένης ἀνδρὸς τοσούτῳ κατεσχέθησαν τῷ δέει, ὥστε μετὰ πολλοῦ τοῦ τάχους μεταβληθέντες πρὸς τὸ κρεῖττον ἰδεῖν. Ἐπειδὴ δὲ ἐνδεδωκεν αὐτοῖς ὁ θεὸς τὴν προαίρεσιν ἐπιδεῖξαι τὴν οἰκείαν, το-

COMMENTARIUS IN NAHUMUM PROPHETAM.

PRAEFATIO.

1. Nineve urbs magna fuit populi numero abundans, uti scriptura sacra docet, eaque Assyriacarum omnium illustrissima, ubi regia erant palatia, rexque Assyriorum plurimo anni tempore versabatur. Hi vero (Nineves intellige incolas), volente Deo suae gratiae exemplum exhibere, sicut jam planius diximus dum ad beati Jonae oracula commentaremur, ob unius ignoti hominis minas adeo metu correpti fuerant, ut celerrime resipiscentes ad virtutem spectaverint. Postquam vero indulsit eis Deus, quominus propositum exsequeretur, tanta usi sunt pravitate animi, tanta crudeli-

[1]) Cfr. Maji collect. nova I. p. 74 sqq.

σαύτῃ μὲν ἐχρήσαντο μοχθηρίᾳ γνώμης τοσαύτῃ δὲ ὠμότητι καὶ τρόπου· κακίᾳ, ὥστε πάντας μὲν τοὺς τῶν δέκα φυλῶν ἐπιστρατεύσαντες αἰχμαλώτους λαβεῖν, πορθήσαντές τε αὐτῶν τὰς πόλεις καὶ τὰ προσόντα αὐτοῖς δι᾽ ἁρπαγῆς ποιησάμενοι πάντα, ὁρμῆσαι δὲ καὶ μέχρι τῆς Ἱερουσαλὴμ, ἣν καὶ εὑρήσειν ἔσπευδον, οὐδεμίαν αἰδῶ τοῦ τε ναοῦ καὶ τῆς αὐτόθι γινομένης τοῦ θεοῦ λαμβάνοντες θεραπείας. Καί τι γέγονε παραπλήσιον τοῖς ἐν Αἰγύπτῳ ποτὲ γεγονόσιν, ὅτε Φαραώ τε ὁ βασιλεύων ἐν αὐτοῖς καὶ πάντες δὲ οἱ Αἰγύπτιοι διὰ σπουδῆς εἶχον τόν τε Ἰακὼβ καὶ τὸν Ἰωσὴφ καὶ πάντας τοὺς προσήκοντας αὐτοῖς κατὰ γένος, ἄχρι ταύτην αὐτοὺς ἀποσώζειν τὴν γνώμην παρεσκεύαζεν ὁ θεός· ὡς δὲ ἐπιδέδωκε μὲν εἰς πλῆθος ὁ λαὸς, ἤπειγε δὲ ὁ τῆς ἐξόδου καιρὸς, ἐνδέδωκε τῷ τε Φαραὼ καὶ τοῖς Αἰγυπτίοις τὴν ἑαυτῶν περὶ ἐκείνους ἐπιδεῖξαι κακίαν, ὥστε καὶ πάσῃ χρήσασθαι σπουδῇ πάντας αὐτοὺς ἄρδην ἀνελεῖν, ἀφορμῇ δὲ ταύτῃ χρησάμενος οὕτως αὐτοὺς ἐξήγαγεν ὁ θεὸς τῆς Αἰγύπτου[1]. *Τοῦτο γοῦν ὁ μακάριος λέγων Δαυὶδ, „Ἀπέστειλε βασιλεὺς,“ φησὶν*[2]), *„καὶ*

tate et malitia morum, ut suscepta bellica adversus decem tribus expeditione, omnes in captivitatem abduxerint, vastatisque horum urbibus et opibus ubique direptis, ad usque Hierosolymam propinquaverint, eam capere nitentes, sine ulla vel templi vel religionis, qua Deus ibidem colebatur, reverentia. Tunc simile quid contigit atque olim in Aegypto versantibus, ubi principio quidem Pharao rex omnesque Aegyptii studio impenso Jacobum et Josephum cunctamque horum cognationem fovebant, quoad eis hanc mentem Deus conservavit. Sed postquam in multitudinem excrevit populus instabatque demigrandi tempus, Pharaoni permisit Deus atque Aegyptiis, ut suam expromerent contra Hebraeos malitiam, quo sic illos dedita opera exscinderet, hos autem Aegypto educeret. Rem his verbis beatus narrat David: „Dimisit rex, inquit, et solvit eum princeps populi, et dimisit eum. Constituit eum dominum domus suae

[1]) Ita Maji editionem secuti legimus; cod. Vindob. omissis nonnullis verbis male: *ὥστε καὶ πᾶσι χρήσασθαι σπουδῇ παντη χρησάμενος οὕτως αὐτοὺς ἐξήγαγεν* etc. — [2]) Ps. CIV, 20—24.

ἔλυσεν αὐτὸν, ἄρχων λαοῦ καὶ ἀφῆκεν αὐτόν· κατέστησεν αὐτὸν κύριον τοῦ οἴκου αὐτοῦ τοῦ παιδεῦσαι πάντας τοὺς ἄρχοντας αὐτοῦ ὡς ἑαυτὸν, καὶ τοὺς πρεσβυτέρους σοφίσαι." λέγει δὲ τὴν περὶ τὸν Ἰωσὴφ τιμήν τε καὶ σπουδὴν ὑπὸ τοῦ Φαραὼ γεγονυῖαν· οἷς ἐπάγει· „Καὶ εἰσῆλθεν Ἰσραὴλ εἰς Αἴγυπτον, καὶ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χάμ· καὶ ηὔξησε τὸν λαὸν αὐτοῦ σφόδρα καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτοῦ." Καὶ ἐπειδὴ καὶ τοῦ Ἰακὼβ εἶπε τὴν εἴσοδον, καὶ ὁπόσον εἰς πλῆθος ἐπιδεδώκασιν οἱ τοῦ λαοῦ πάντες, ἐπάγει. „Μετέστρεψε τὴν καρδίαν αὐτοῦ, τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ, τοῦ δολιοῦσθαι ἐν τοῖς δούλοις αὐτοῦ." δῆλον ὅτι τοῦ θεοῦ ἐνδόντος μετεβλήθησάν οἱ Αἰγύπτιοι σὺν τῷ βασιλεῖ πάντες, ὥστε καὶ διὰ μίσους ἔχειν τοὺς Ἰσραηλίτας καὶ βούλεσθαι παντελῶς αὐτοὺς ἀνελεῖν· οἷς τὰ τῆς ἐξόδου λοιπὸν ὁ μακάριος ἐπάγει Δαυίδ.

β'. Τὸν αὐτὸν δὴ τρόπον κἀνταῦθα πρότερον μὲν τῆς οἰκείας χάριτος ἐπίδειξιν ποιούμενος ὁ θεὸς ἀθρόαν τοῦ τε βασιλέως τῶν Ἀσσυρίων καὶ πάντων δὴ τῶν κατὰ τὴν Νινευὴ τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν γενέσθαι πεποίηκε, μετ' οὐ πολὺ δὲ ἐνδοὺς αὐτοῖς τὴν οἰκείαν ἐκφῆναι κα-

et principem omnis possessionis suae; ut erudiret principes ejus sicut se ipsum, et seniores ejus sapientiam edoceret." Loquitur scilicet de Josepho deque honoribus et officiis, quibus eum prosecutus est Pharao. Posthaec addit (David): „Et ingressus est Israël in Aegyptum, et Jacob habitavit in terra Chami; auctumque populum admodum adversus inimicos ejus roboravit." Et ubi narravit Jacobi commigrationem, quantumque in numerum populus universus crevisset, subdit: „Corrupit cor illius, ut populum suum odisset, servisque suis strueret insidias;" significans Deo permittente immutatos animos Aegyptiorum cum rege suo, qui jam deinceps oderant Israëlitas, eosque interneccioni destinabant. Exin vero demigrationem narrat beatus David.

2. Eadem ratione nunc quoque Deus primum quidem gratiae suae edidit demonstrationem, dum Assyriorum regem cunctosque Ninevitas repente ad meliora convertit; haud multo post autem, quum iis concessisset, ut suam malitiam declara-

κίαν εἴασε τοιαῦτα περὶ τοὺς Ἰσραηλίτας παρ᾿ αὐτῶν γενέσθαι, ἀφ᾿ ὧν ἐπόρθησάν τε τὰς δέκα φυλὰς καὶ ἐπεστράτευσαν τῇ Ἱερουσαλὴμ μετὰ πολλῆς ὁρμήσαντας τῆς ἀπονοίας, ὡς καὶ αὐτῷ γε μικροῦ πολεμήσοντες τῷ Θεῷ. Ἀλλὰ γὰρ εὐθὺ μὲν βαρυτάτην αὐτοῖς διὰ τοῦ ἀγγέλου τὴν πληγὴν ἐπήγαγεν ὁ Θεὸς, τρέψας δὲ τοὺς λοιποὺς εἰς φυγὴν πολυτρόποις περιβέβληκε τοῖς κακοῖς. καὶ τελευταῖον ἐπὶ τῆς οἰκείας χώρας γεγονὼς μετὰ πολλῆς τῆς ἀτιμίας Σενναχηρεὶμ ὁ τότε τῶν Ἀσσυρίων βασιλεὺς τὴν ὑπὸ τῶν ἰδίων υἱῶν ὑπομεμένηκε σφαγήν. Εἶθ᾿ ὕστερον καὶ παντελῶς αὐτῶν τὴν βασιλείαν καθεῖλε διὰ τῶν Βαβυλωνίων, πολιορκηθῆναί τε καὶ ἀφανισθῆναι παρ᾿ αὐτῶν παρασκευάσας τὴν Νινευὴ, ὥστε τὴν πολυανθρωποτάτην καὶ περιφανῆ καὶ βασιλίδα αἰχμάλωτόν τε γενέσθαι καὶ εἰς ἐρημίαν καταστῆναι παντελῆ. Ὥσπερ γὰρ ἐν τοῖς προτέροις, ἅπερ ὁ μακάριος Ἰωνᾶς ὁ προφήτης διηγεῖται, τῆς χάριτος τὴν ἐπίδειξιν ὁ Θεὸς ἐποιήσατο τῆς οἰκείας, ἅπαντας αὐτοὺς ἀθρόον μεταθεὶς ἐπὶ τὸ κρεῖττον, οὕτως ἐνταῦθα τὴν κακίαν ἐπιδειξαμένους τὴν οἰκείαν μεγίστῃ τινὶ καὶ φοβερᾷ περιβέβληκε τῇ¹) τιμωρίᾳ, δι᾿ ἀμφοτέρων

¹) In cod. deest τῇ.

rent, sivit eos arma contra Israëlitas commovere, ita ut decem tribus devastarent, Hierosolymamque obsiderent, tanta insania ruentes, quasi ipsi Deo bellum quodammodo inferrent. At is statim illis gravissimam per angelum inflixit plagam, versosque in fugam reliquos variis irretivit calamitatibus, quoad in terram suam summa cum ignominia regressus Sennacherimus, Assyriorum ista aetate rex, necem a propriis liberis perpessus est. Deinde eorum quoque imperium funditus delevit Deus, qui per Babylonios obsidendam Niniven vastandamque curavit: adeo ut innumero populo frequens civitas et nobilissima atque regina, captiva fuerit et desertissimae solitudini tradita. Nam sicuti prioribus temporibus, de quibus beatus Jonas propheta loquitur, suae gratiae indicium fecit Deus, dum repente Assyrios omnes ad virtutem convertit, ita nunc eosdem sceleribus iterum deditos maximo et horrendo ultionis genere adfecit; utraque re generatim homines erudiens, ut gratiae ejus noscant ma-

ἅπαντας παιδεύων ἀνθρώπους, ὡς ἂν καὶ τὸ τῆς χάριτος αὐτοῦ μέγεθος εἰδεῖεν, ὁπόταν ἐθέλῃ περὶ τοὺς ἀνθρώπους τὴν οἰκείαν ἐπιδείκνυσθαι φιλοτιμίαν καὶ τῆς τιμωρίας τὸν φόβον, ὅταν ταύτης ἀξίους εἶναι νομίζῃ τοὺς ἀδιόρθωτον ἐπὶ τῷ πταίειν ἔχοντας τὴν γνώμην.

γ'. Ἐκεῖνα μὲν οὖν Ἰωνᾶς ὁ προφήτης δηλοῖ, ταυτὶ δὲ ὁ Ναοὺμ, τὴν τιμωρίαν λέγων τὴν ποικίλως αὐτοῖς ἐπάγεσθαι μέλλουσαν, ὑπὲρ ὧν τοσούτῳ φρονήματι κατά τε τῶν Ἰσραηλιτῶν ἐχρήσαντο καὶ τῆς Ἱερουσαλὴμ τοῦ τε ἐν αὐτῇ θεραπευομένου τῶν ὅλων θεοῦ. Δι' ὧν ἅπασιν ἐγένετο δῆλον, ὅτι οὔτ' ἂν ἐκεῖνα παθεῖν συνεχώρησε παρ' αὐτῶν τοὺς Ἰσραηλίτας, εἰ μὴ τοῦ τοιαῦτα παθεῖν δι' ὧν ἠσέβουν[1]) αὐτοὶ παρέσχον ἑαυτοὺς ἀξίους. καὶ ἐπειδὴ πεπόνθασιν οὗτοι τὰ παρ' ἐκείνων αὐτοῖς ἐπαχθέντα, καὶ τὴν αἰχμαλωσίαν ὑπομεμενήκασιν ἐκείνην, δίκας τῆς ἀσεβείας διδόντες τῆς οἰκείας, ἀκολούθως ὁ θεὸς ἐπὶ τοὺς τοιαῦτα πεποιηκότας μετάγει τὴν ὀργὴν τιμωρούμενος αὐτοὺς, ὑπὲρ ὧν μοχθηρίᾳ γνώμης πεποιήκασί τε καὶ τετολμήκασι κατά τε τοῦ θεοῦ καὶ τῶν αὐτῷ προσηκόντων. Τούς μὲν γὰρ Ἰσραηλίτας ὡς ἀξίους τοιούτων ὑπὲρ ὧν ἠσέ-

[1]) Mai. ἐσέβουν.

gnitudinem, siquando vult suam in homines benivolentiam expromere, et vindictae terrorem, siquando hac dignos existimat, qui pervicacem peccandi sententiam retinent.

3. Illud igitur Jonas propheta declarat, hoc vero Nahumus, ultionem vaticinans multifariam in eos exserendam, qui tanta superbia adversum Israëlitas ac Hierosolymam usi fuerant, nec non contra universorum, qui colebatur ibidem Deum. Unde omnibus claruit, haud permissurum Deum fuisse, haec Israëlitis mala ab Assyriis accidere, nisi ob suam impietatem, qui haec perpeterentur, dignos se praebuissent. Age vero postquam Hebraei passi sunt mala ab Assyriis impacta, illam pertulerunt captivitatem dum impietatis suae poenas solverent, consequenter Deus ad eos, qui calamitates illas conflaverant, iram suam transtulit, consilii vesaniam puniens, quo ausi fuerant contra Deum ejusque familiares arma capere. Itaque Israëlitas qui-

βουν[1]) τε καὶ ἡμάρτανον εἶα παθεῖν, τοὺς δὲ ἐκ τῆς οἰκείας μοχθηρίας τοιαῦτα κατ᾽ αὐτῶν πεποιηκότας ἀναγκαίως ὑπῆγε τῇ τιμωρίᾳ δίκας αὐτοὺς εἰσπραττόμενος, ὑπὲρ ὧν ἀπονοίᾳ τε καὶ μοχθηρίᾳ γνώμης εἱλόμενοι πρὸς τοσοῦτον ἐξώκειλαν ἀσεβείας, ὥστε καὶ ἐπὶ τὸν Θεὸν ἄρασθαι πόλεμον τό γε ἐπ᾽ αὐτοῖς. Ὥσπερ γὰρ ὁ Ἀβδιοῦ τὴν κατὰ τῶν Ἰδουμαίων λέγει τιμωρίαν, ἣν ὑπομένειν ἤμελλον ὕστερον μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον τοῦ λαοῦ ὑπὲρ ὧν πεπλημμελήκεσαν εἰς τὴν Ἱερουσαλὴμ εἴς τε τοὺς οἰκοῦντας αὐτὴν κατὰ τὸν καιρὸν ἐκεῖνον, δῆλον τῇ μηνύσει ποιῶν, ὅτι κατὰ γνώμην Θεοῦ τὰ περὶ αὐτοὺς γενήσεται τότε· οὕτως ὁ μακάριος Ναοὺμ ἐπὶ τῆς βίβλου ταύτης τὴν ἐπαχθησομένην τοῖς Ἀσσυρίοις παρὰ τοῦ Θεοῦ τιμωρίαν φησὶν, ἥνπερ οὖν καὶ διὰ Βαβυλωνίων ὑπέμειναν ὕστερον, δηλῶν καὶ αὐτὸς, ὅτι κατὰ γνώμην Θεοῦ καὶ παθεῖν ταῦτα οἱ Ἰσραηλῖται διὰ τὴν οἰκείαν συνεχωρήθησαν ἀσέβειαν, καὶ Ἀσσύριοί γε τῆς ἀπονοίας τῆς ἑαυτῶν κατὰ καιρὸν ἀνάλογον οἷς πεπλημμελήκεσαν δώσουσι δίκην. — Τὰ μὲν δὴ τῆς ὑποθέσεως τοῦ βιβλίου ταῦτα· προσεκτέον δὲ τοῖς κατὰ μέρος λοιπόν.

dem, ceu poena obnoxios ob impietatem et peccata sua, sic adfligi permisit; Assyrios autem, qui crimine proprio Hebraeis molesti fuerant, necessario punivit ac ultus est, propterea quod animi vesania ac pravitate educti in tantum sceleris venerant, ut quantum in ipsis erat Deo bellum indixerint. Jam sicuti Abdias Idumaeis vaticinatur punitionem, quam deinde passuri erant, post Hebraei populi Babylone reditum, ob ea quae adversus Hierosolymam ejusque incolas antea deliquerant; significans omnino fore, ut haec Dei voluntate illis eveniant; ita beatus hoc libro Nahumus superventuras Assyriis a Deo poenas recitat, quas reapse a Babyloniis perpessi sunt postea; ipse pariter ostendens, quemadmodum Dei nutu et haec contingere Israëlitis permissum fuerit, et ipsi demum Assyrii scelera sua tempore idoneo suppliciis expiaturi essent. — De libri argumento haec hactenus. Nunc ad singula explananda incumbendum est.

[1]) Maj. rursus ἐσέβουν.

Κεφάλαιον Α.

α'. Λῆμμα Νινευή. βιβλίον ὁράσεως Ναοὺμ τοῦ Ἐλκεσαίου. Τοῦτο μὲν οὖν ἡ εἰωθυῖα ἐπιγραφὴ τῶν βιβλίων τῶν προφητικῶν. Τοῦ λήμματος δὲ σαφηνίσαι προσῆκε τὴν διάνοιαν. Ἓν μὲν γὰρ ἦν τὸ πνεῦμα τὸ ἅγιον, ὃ τοῖς τῶν τοιούτων ἠξιωμένοις τὴν οἰκείαν παρείχετο χάριν, καθὼς ὁ μακάριος Παῦλός φησίν [1]· „Ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως κατὰ τὸ γεγραμμένον Ἐπίστευσα, διὸ καὶ ἐλάλησα, καὶ ἡμεῖς ἐπιστεύσαμεν διὸ καὶ λαλοῦμεν" — δεικνὺς ὅτι τῆς αὐτῆς τοῦ ἁγίου πνεύματος χάριτος οἵ τε παλαὶ μετεῖχον καὶ οἱ τῷ τῆς καινῆς διαθήκης ὑπηρετούμενοι μυστηρίῳ, διάφοροι δὲ πρὸς τὸ κατεπεῖγον τῆς χρείας ἐπετελοῦντο αἱ ἐνέργειαι. „Διαιρέσεις γάρ φησι χαρισμάτων εἶναι, τὸ δὲ αὐτὸ πνεῦμα [2]," διάφορα μὲν εἶναι τὰ δεδόμενα λέγων, ἓν δὲ τὸ παρέχον ἅπαντα πνεῦμα. εἰπὼν γοῦν καὶ τὸν τῶν χαρισμάτων κατάλογον. „Ὧι μὲν γὰρ διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ πνεῦμα" καὶ τὰ ἑξῆς, ἐπάγει „Ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα

Caput I.

V. 1. *Lemma Ninives. Liber visionis Nahumi Elcesaei.* Hic quidem consuetus librorum propheticorum titulus est. Vocabuli tamen *lemma* notionem enucleare operae pretium est. Unus erat Spiritus sanctus, qui eorum munerum dignis suam gratiam suppeditabat, teste beato Paulo, qui „Habebant, inquit, eundem spiritum fidei, sicut scriptum est, Credidi, ideo locutus sum; et nos credidimus, ideo etiam loquimur." Quibus verbis significat, eadem Spiritus sancti gratia tum veteres illos potitos, tum etiam recentiores, qui novi testamenti mysterio operam suam locaverunt. Diversa vero pro instantia operis praestabantur facultates. „Discrimina enim, inquit (Paulus), gratiarum sunt, idem tamen spiritus." Diversa dona ait, unum nihilominus, qui haec suppeditet, spiritum. Immo et gratiarum catalogum recitat: „Huic enim per spiritum datur oratio sapientiae, illi oratio scientiae per eundem spiritum." Et sub-

[1]) II Cor. IV, 13 — [2]) I Cor. XII, 4 sqq.

διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται," δεικνὺς ὅτι ὑφ' ἑνὸς τοῦ ἁγίου πνεύματος ἅπαντα ἐνηργεῖτο, πολύτροποι δὲ καὶ κατὰ τὴν χρείαν ἐνεγίνοντο αὐτοῖς αἱ ἐνέργειαι, καθ' ἃς τὴν ἀποκάλυψιν ἐδέχοντο τῶν ἀναγκαίων. Ἐκστάσει μὲν οὖν ἅπαντες ὡς εἰκὸς τῶν ἀποῤῥητοτέρων ἐδέχοντο τὴν γνῶσιν, ἐπείπερ ἐχρῆν αὐτοὺς ταῖς ἐννοίαις πόῤῥω που τῆς παρούσης καταστάσεως γεγονότας, οὕτω δυνηθῆναι τῇ τῶν δεικνυμένων θεωρίᾳ προσανέχειν μόνῃ. Εἰ γὰρ ἡμᾶς οὐχ οἷόν τε ἀκριβῆ παρὰ τῶν παιδευόντων δέχεσθαι τὴν μάθησιν, εἰ μὴ πάντως ἑαυτοὺς ἀποσπάσαντες σὺν ἀκριβείᾳ πολλῇ προσέχοιμεν τοῖς λεγομένοις, ἦ πού γε τὰς οὕτω φοβεράς τε καὶ ἀποῤῥήτους θεωρίας δυνατὸν ἦν αὐτοῖς ὑποδέχεσθαι, μὴ τῷ λογισμῷ πρότερον κατὰ τὸν τῆς θεωρίας καιρὸν ἐξισταμένοις τῶν παρόντων; Οὕτω τὸν μακάριον Πέτρον λέγει¹) ἐν ἐκστάσει γεγονότα τὴν σινδόνα ἰδεῖν ἐκ τοῦ οὐρανοῦ καταφερομένην, ἐπειδὴ ἡ τοῦ πνεύματος χάρις πρότερον αὐτοῦ τὴν διάνοιαν ἀποσπάσασα τῶν παρόντων τότε προσανέχειν τῇ θεωρίᾳ παρεσκεύασε τῶν δεικνυμένων, ἵν' ὥσπερ ἔξω τῆς παρούσης γινόμενοι κατα-

dit: „Haec autem omnia unus idemque efficit spiritus, dispertiens privatim cuique sicut vult," omnia scilicet ab uno spiritu fieri confirmat, caeterum varias, prout res postulat, facultates dari, quarum ope gravissimarum rerum notitiam excipiebant prophetae. Ecstasi quidem omnes ut rerum fert natura, ad sublimiorum rerum cognitionem comparabantur. Oportebat enim eorum mentes a praesenti natura procul abesse, ut uni possent revelatarum rerum contemplationi vacare. Nam si fieri nequit, ut nos accurate a praeceptoribus imbuamur doctrina aliqua, nisi, animis ab aliis rebus abstractis, multa cum diligentia dictis attendamus, num prophetae terrificas adeo atque inenarrabiles visiones percipere potuissent, nisi mentem antea, nempe sub ipsum visionis tempus abalienatam terrenis habuissent? Sic beatum Petrum, legimus, in ecstasi positum vidisse sindonem de caelo demissam. Spiritus enim gratia mentem ejus primum abstraxit terrestribus,

¹) Act. X, 10.

στάσεως καθ᾽ ὕπνους τῶν ἀποκαλυπτομένων δεχώμεθα [1]) τὴν θεωρίαν οὕτω πως τῇ μεταστάσει τῆς διανοίας ὑπὸ τῆς τοῦ ἁγίου πνεύματος καθιστάμενοι χάριτος τῶν δεικνυμένων ὑποδέχοιντο τὴν θεωρίαν. Ἀλλὰ γὰρ ἐν τοιαύτῃ καταστάσει γινομένοις αὐτοῖς ποτὲ μὲν τοιαύτην [2]) τινὰ παρεῖχετο τὴν διδασκαλίαν τοῦ ἁγίου πνεύματος ἡ χάρις, ὥστε δοκεῖν αὐτοὺς ὥσπερ τινὸς λαλοῦντος ἀκούειν τε καὶ παιδεύεσθαι, οὕτω τε δέχεσθαι τῶν ἀναγκαίων τὴν γνῶσιν. ὥσπερ οὖν καὶ ὁ μακάριος Πέτρος ἐπὶ τῆς σινδόνος φωνῆς ἀκούειν ἐδόκει λεγούσης πρὸς αὐτὸν, „Ἀναστὰς Πέτρε θῦσον καὶ φαγέ.“ ἐντεῦθεν καὶ ὁ προφήτης Ἡσαΐας φησιν [3])· „Κύριε τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;“ ἀκοὴν καλέσας τὴν παρασχεθεῖσαν ἀποκάλυψιν αὐτῷ θεόθεν, ἐπειδὴ ὥσπερ τινὸς λέγοντος ἀκούειν ἐδόκει. Ἔστι δὲ ὅτι καὶ τινα ὀπτασίαν ὁρῶντες μετ᾽ ἐκείνης ἤκουον τῶν λεγομένων· ὡς ὅτε μακάριος Πετρος ὁμοῦ καὶ τὴν σινδόνα ἑώρα καὶ τῶν λεγομένων πρὸς αὐτὸν ἐδέχετο τὴν διδασκαλίαν. καὶ μὴν καὶ ὁ μακάριος Ἡσαΐας ὅτε λέγει μὲν ἑωρακέναι τὸν θεὸν καὶ τὰ σεραφὶμ, ἤκουε δὲ καὶ τῶν πρὸς αὐτὸν γινομένων φω-

tum idoneum reddidit demonstratarum rerum intuitui. Ac veluti in somno, dum tantisper a praesenti corporis conditione digredimur, revelationum imagines anima recipimus: sic prophetae migratione quadam mentis sub sancti spiritus constituti gratia oblatas res fere contemplantur. Jam vero in hac positis conditione interdum quidem tale exhibebat magisterium spiritus sancti gratia, ut sibi viderentur audire quodam modo aliquem loquentem eosque erudientem; eoque pacto imbuebantur rerum, quae opus erant, cognitione. Sicuti revera beatus Petrus animadversa sindone audire insuper existimabat vocem sic dicentem: „Consurge, Petre, caede et manduca.“ Hinc etiam Jesajas propheta ait: „Domine, quis credidit auditui nostro?“ auditus nomine appellans exhibitam sibi divinitus revelationem, siquidem ceu loquentem aliquem auscultare se arbitrabatur. Interdum etiam post aliquam visionem sibi oblatam, loquentis vocem exaudiebant, veluti bea-

[1]) cod. δεχόμεθα. — [2]) cod. ποτὲ μέντοι αὐτήν τινα. — [3]) Jes. LIII, 1.

νῶν[1]). Διὰ τοῦτο ποτὲ μὲν λέγει — Λόγος κυρίου, ὃς ἐγένετο πρὸς τόνδε ἢ τόνδε, λόγον καλῶν τὴν ἐνέργειαν καθ' ἣν ἐδόκει φωνῇ τινὶ διδασκόμενος παιδεύεσθαι τὸ δέον, ποτὲ δὲ — Ὅρασις ἣν εἶδεν ὅδε ἢ ὅδε, τὴν ἀποκάλυψιν οὕτω καλῶν, καθ' ἣν ὁρᾷν τι δοκῶν ἐπαιδεύετο τὸ προσῆκον. Τὸ αὐτὸ σημαίνει, κἂν Ἐγένετο ἐπ' ἐμὲ χεὶρ κυρίου λέγῃ· καὶ γὰρ κἀνταῦθα χεῖρα κυρίου τὴν ἐνέργειαν τοῦ ἁγίου πνεύματος ὀνομάζει, καθ' ἣν ὥσπερ ἐφαπτομένη τῆς τοῦ προφήτου διανοίας τὴν διδασκαλίαν αὐτῇ παρείχετο τῶν ἀναγκαίων. Τοιοῦτο δή τι βούλεται καὶ τὸ Λῆμμα. ἐκπλήξεως γάρ τι γέμον πολλάκις ὑποδεῖξαι τοῖς προφήταις βουλόμενος ὁ θεὸς, ἀθρόαν αὐτῶν τῆς διανοίας τὴν μετάστασιν ἐποιεῖτο, ὡς ἂν ἅμα τῇ τοιαύτῃ καταστάσει μετὰ μείζονος τοῦ φόβου τῶν μελλόντων δέχοιντο τὴν γνῶσιν. λῆμμα οὖν τοῦτο καλεῖ, ἐπειδὴ τοῦ πνεύματος ἡ χάρις ὥσπερ ἀθρόον ἐπιλαμβανομένη τῆς τοῦ προφήτου διανοίας πρὸς τὴν ἀποκάλυψιν αὐτὴν μεθίστη τῶν δεικνυμένων· τὸ αὐτὸ δὲ κἀνταῦθά φησι Λῆμμα Νινευῆ, βιβλίον ὁράσεως Ναοὺμ τοῦ Ἐλκεσαίου, ἵνα εἴπῃ, ὅτι ὑπὸ τῆς τοῦ ἁγίου

tus Petrus sindonem simul cernebat, et rerum, quae sibi dicebantur, doctrinam excipiebat. Quin adeo beatus quoque Jesajas, quum ait, se Deum Seraphosque vidisse, voces pariter ad se missas audiebat. Propterea scriptura modo ait, Sermo Domini, qui factus est huic vel illi, sermonem appellans eam vim, qua ille qui erudiebatur, putabat, se a voce quadam necessariis informari notionibus. Modo eadem scriptura dicit, Visio, quam vidit hic vel ille; revelationem hac appellatione designans, secundum quam propheta spectare aliquid ratus id quod sibi opus erat discebat. Idem significat locutio, Et fuit manus domini super me. Nam hic etiam manus domini dicitur pro sancti spiritus virtute, qua Deus veluti attingens prophetae mentem doctrinam ei tradebat necessariam. Ejusmodi quid significat etiam vox *Lemma* (correptio). Namque admirabile aliquid saepenumero demonstrare prophetis volens Deus, subitam eis mentis faciebat conversionem, ut hoc animi

[1]) Jes. VI, 1. sqq.

πνεύματος χάριτος ἀθρόον ἡ τοῦ προφήτου ληφθεῖσα διάνοια προφήτου ληφθεῖσα διάνοια πρὸς τὴν θεωρίαν ἐκείνων μετέστη, δι' ὧν τὰ τῇ Νινευὴ συμβησόμενα μαθὼν τὴν ἐκ τῶν δειχθέντων αὐτῷ διδασκαλίαν παρείχετο τοῖς ἀκούουσι, διὰ τοῦτο καὶ λῆμμα καὶ ὅρασιν εἰρηκώς, ἵνα τῷ μὲν τὸν τρόπον τῆς ἐνεργείας τοῦ ἁγίου πνεύματος δηλώσῃ, τῇ ὁράσει δὲ τῶν δειχθέντων αὐτῷ τὴν θεωρίαν. Ἄρχεται δὲ οὕτως.

β'. Θεὸς ζηλωτὴς καὶ ἐκδικῶν κύριος, καὶ ἐκδικῶν κύριος μετὰ θυμοῦ, καὶ ἐκδικῶν κύριος τοὺς ὑπεναντίους αὐτοῦ, καὶ ἐξαίρων αὐτὸς τοὺς ἐχθροὺς αὐτοῦ. Ζῆλον καλεῖ τοῦ θεοῦ τὴν ὀργήν, ἣν ἐπὶ τοῖς ἄγαν ἀτόπως γινομένοις παροξυνόμενος δέχε-

habitu adfecti, majore cum religione futurorum scientiam acciperent. Lemma s. correptionem igitur hanc dicit, quia spiritus sancti gratia tanquam repente corripiens prophetae mentem convertit eam ad rei demonstratae contemplationem. Pari ratione hic quoque dicitur Correptio Ninives, liber visionis Nahumi Elcesaei. Nempe intelligitur prophetae mens a sancti spiritus gratia repente correpta atque ad contemplationem rei revelatae conversa, unde cognitis futuris Ninives casibus scientiae oblatae nuntium propheta audientibus impertivit. Idcirco autem correptionem et visionem simul ait, ut priore nimirum vocabulo declaret modum, quo spiritus sancti vis se prodiderit; posteriore autem vocabulo demonstratorum oraculorum intuitum significet. Incipit autem sic.

V. 2. *Deus aemulus est, et ultor dominus; iracundus ultor dominus; de inimicis suis ultionem exigit dominus, eosque de medio tollit.* Aemulum dicit Deum ob iram, quam Deus vesanis hominum actibus exacerbatus concipit adversus impios.

ται κατὰ τῶν ἀσεβούντων. οὕτως λέγει τὸ[1]· „Εἶδε κύριος καὶ ἐζήλωσε καὶ παροξύνθη δι' ὀργὴν υἱῶν αὐτοῦ καὶ θυγατέρων.“ Κἀνταῦθα τοίνυν, ἐπειδὴ ὀργὴν ἤμελλε λέγειν παρὰ θεοῦ κατὰ τῶν Νινευιτῶν κινηθεῖσαν εἴτ' οὖν τῶν Ἀσσυρίων (ἐν γὰρ τῇ βασιλευούσῃ πόλει τὸ ἔθνος ἅπαν δηλοῖ), ὑπὲρ ὧν ἀσεβείᾳ τε καὶ παρανομίᾳ πλείστῃ χρησάμενοι τοσαῦτα καὶ τηλικαῦτα κακὰ πολλούς τε ἑτέρους διέθηκαν καὶ πρὸς ἅπασί γε τοὺς Ἰσραηλίτας, ἐπεληλυθότες δὲ καὶ τῇ Ἱερουσαλὴμ μικροῦ γε πρὸς αὐτὸν ἤραντο πόλεμον τὸν θεόν, καλῶς ἐντεῦθεν ἤρξατο Θεὸς ζηλωτὴς λέγων, ἀντὶ τοῦ σφόδρα παροργίζεσθαι ἐπὶ ταῖς ἀσεβείαις, εἰδὼς καὶ μετὰ πολλῆς μὲν ἐκδικῶν τῆς ὀργῆς τὰς παρὰ τῶν ἀνθρώπων ἐπιτελουμένας ἀσεβείας, πάντας δὲ τοὺς ἐχθρὰν καὶ ἐναντίαν πρὸς αὐτὸν γνώμην αἱρουμένους τιμωρούμενός τε καὶ παντελῶς ἀφανίζων. εἶτα, ἐπειδὴ νῦν ταῦτα, φησὶ πολλὴν θεοῦ φιλανθρωπίαν περὶ αὐτοὺς ἐπιδεδειγμένου, ὁπηνίκα τῷ τοῦ μακαρίου Ἰωνᾶ κηρύγματι πεισθέντες πρὸς μετάνοιαν εἶδον.

γ'. Κύριος μακρόθυμος

Sic dicitur: „Vidit dominus aemulusque factus est atque ad iram concitus contra filios filiasque suas.“ Par est nunc quoque scripturae locutio dum iram Dei recitatura est contra Ninevitas sive Assyrios commotam (namque in urbe dominatrice universam gentem designat), quia summa impietate ac scelere usi tot tantaque mala tum aliis multis intulerant populis, tum denique etiam Israëlitis, quin adeo Hierosolymam adorti, ipsum propemodum Deum bello lacessiverant. Quam ob rem praeclarum fecit initium propheta Deum appellans aemulum, nempe ut diceret, qui magnopere irasci criminibus solet, multaque irae vi, quae patrantur ab hominibus scelera vindicare, atque eos omnes, qui hostili et adverso in eum sunt animo poenis irretitos exitio addicere. Deinde, quae quum ita essent, multam Dei erga Assyrios dicit benivolentiam, quam tunc iis ostenderat, quum beati Jonae adhortationibus obtemperantes resipuerint.

V. 3. *Dominus ad iram*

[1]) Deut. XXXII, 19.

καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ ἀθῴων οὐκ ἀθωώσει κύριος. Ὥσπερ γάρ, φησίν, ἀνεξικακεῖν οἶδε καὶ παρορᾷν ἁμαρτημάτων τε καὶ ἀσεβημάτων πλῆθος, ἐπειδὰν νεύσαντας ἴδῃ πρὸς μεταμέλειαν, οὕτως ἀρκοῦσαν ἐπιδείκνυται τὴν ἑαυτοῦ δύναμιν τῷ μεγέθει τῆς τιμωρίας, ἐπειδὰν ἀμετανόητα πταίοντας ἴδῃ καὶ πρὸς ἄκρον ἀσεβείας ἐληλακότας, οὓς οὐκ ἀπαλλάττει τῶν ἐγκλημάτων οὐδὲ τῆς ἐπὶ τοῖς ἁμαρτήμασι τιμωρίας, ἅτε ἐκ τῶν οἰκείων πράξεων κατακρινομένους. Καὶ τίς ἡ τούτων ἀπόδειξις; Ἐν συντελείᾳ καὶ ἐν συσσεισμῷ ἡ ὁδὸς αὐτοῦ. Ὁδὸν καλεῖ τοῦ θεοῦ τὴν πρᾶξιν· τὸ αὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῶν ἀνθρώπων φησὶ πολλάκις, ὡς τὸ [1]) „Γινώσκει κύριος τὰς ὁδοὺς τῶν ἀμώμων.“ ἐνταῦθα οὖν τοῦτό φησιν, ὅτι νῦν τοῦτο πράττειν ἔγνωκε, καὶ ἐπὶ τούτῳ δὴ τὴν ὁρμὴν ἔχει τὴν καθ' ὑμῶν, ὥστε ἅπαντα μὲν τὰ παρ' ὑμῖν συσσεῖσαι, παντελῆ δὲ ὑμῖν ἐπαγαγεῖν τὴν ἀπώλειαν. — Καὶ νεφέλαι κονιορτὸς ποδῶν αὐτοῦ. Ἀκολούθως τῷ ὁδὸς εἰπεῖν ἐπήγαγε τὸ Νεφέλαι κονιορτὸς ποδῶν αὐτοῦ. ἐπειδὴ γὰρ ἕπεται τῷ μετὰ πολλῆς ὁρμῶντι τῆς κινήσεως τὸ κονιορτὸν βα-

tardus, et robur ejus magnum; at neminem impunem sinit dominus. Quantum enim, inquit, patienter ferre et dissimulare peccata ac scelera novit, siquando homines ad meliora converti viderit, tantundem demonstrat vires suas in poenae magnitudine, siquando sine poenitentiae spe lapsos senserit atque in malitiam summam provectos. Nimirum eos neque a criminibus liberat neque a culparum poena, quippe qui jam suismet actionibus damnati sint. Quaenam porro est harum rerum demonstratio? *In consummatione et in turbine via ejus.* Viam dicit Dei actum; quam locutionem de hominibus quoque saepius usurpat scriptura, veluti „Novit dominus viam immaculatorum.“ Hoc loco ait, sibi id nunc propositum esse, atque idcirco in vos ruere, ut vestra omnia usque quaque commoveat, vobisque exitium inferat. — *Et nubes sunt pulvis pedum ejus.* Consequenter, qui viam dixerat, addit, nubes pulverem pedum ejus esse. Nam sicuti accidit, ut is, qui multo cum

[1]) Ps. XXXVI, 19.

δίζοντα κινεῖν, τούτου, φησὶ, κονιορτὸς ποδῶν νεφέλαι, ἵνα εἴπῃ, ὅτι ὁρμῶν ἐφ᾽ ὑμᾶς τὸν ἀέρα πάντα καθ᾽ ὑμῶν συστρέφει.

impetu currit, pulverem in incessu excitet, ita divinorum, inquit, pedum pulvis nubes sunt. Nempe significat a Deo in vos irruente universum aërem in vosmet convolvi.

δ΄. ε΄. Ἀπειλῶν θαλάσσῃ, καὶ ξηραίνων αὐτὴν, καὶ πάντας τοὺς ποταμοὺς ἐξερημῶν. Αὐτάρκης δὲ καὶ μόνη φωνῇ θάλασσάν τε ξηρᾶναι καὶ ποταμοὺς σὺν ἐκείνῃ. δηλῶν ὅτι οὐδεὶς πόνος αὐτῷ τὸ ὑμέτερον σύστημα καὶ τὸ πλῆθος τὸ παρ᾽ ὑμῖν ἀνελεῖν βουληθέντι. Εἶτα καὶ τοῦ γινομένου τὴν ἀπόδειξιν παρεχόμενος. Ὠλιγώθη ἡ Βασανίτις καὶ ὁ Κάρμηλος καὶ πάντα τὰ ἐξανθοῦντα τοῦ Λιβάνου ἐξέλιπε. Τὰ ὄρη ἐσείσθη ἀπ᾽ αὐτοῦ, καὶ οἱ βουνοὶ ἐσαλεύθησαν, καὶ ἀνεστάλη ἡ γῆ ἀπὸ προσώπου αὐτοῦ ἡ σύμπασα καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. Καὶ γὰρ καὶ ὁπόσα, φησὶν, ὑμῶν ἐργαζομένων ἔπασχον οἱ Ἰσραηλῖται, κατὰ τὴν αὐτοῦ γνώμην ἐγίνετο, ὃς κατεγνωκὼς αὐτῶν διὰ τὴν ἀσέβειαν εἴασεν αὐτοὺς πάσχειν ἅπερ αὐτοῖς ἐπάγειν ἐβούλεσθε· ὥστε οὐχ ὑμετέρας δυνάμεως ἦν οὐδ᾽ ἐκεῖνα, ἀλλὰ γνώμης ἔργα τῆς θείας. Καὶ διὰ τοῦτο καὶ ἡ Βασανίτις καὶ ὁ Κάρμηλος καὶ τὰ σεμνὰ τοῦ Λιβάνου πρὸς ἀπώ-

V. 4. 5. *Increpat mare et arefacit, cunctaque flumina exsiccat.* Unius vocis ope mare fluviosque pariter exsiccare valet. Quibus verbis Deus declarat, perfacile sibi vestrum populum quantum libet numero ingentem exscindere, siquando voluerit. Deinde rei gestae demonstrationem proferens, *Imminuta est, ait, Basanitis et Carmelus, et omnis flos Libani defecit. Montes per eum concussi sunt collesque commoti et tellus e conspectu ejus confugit tota cum omnibus colonis suis.* Enimvero, quidquid, inquit, vestris manibus perpessi sunt Israëlitae, ejusdem id omne voluntate contigit, qui illorum sceleri infensus sivit eos pati, quaecunque vobis patrare collibuit; quare haud vestrarum virium illa fuerunt, sed divini consilii opera. Proptereaque et Basanitis et Carmelus et Libani decor exitio dati sunt, montesque propemodum et colles simul

λειαν εἶδεν, ὄρη τε καὶ βουνοὶ μικροῦ συνεκινήθησαν πάντες, καὶ συντόμως εἰπεῖν ἅπασαν τῆς προσόψεως τῆς οἰκείας ἀφεῖλε τὴν γῆν ἐκείνην σὺν τοῖς οἰκοῦσιν αὐτὴν, μισήσας αὐτοὺς διὰ τὴν ἀσέβειαν.

ϛʹ. Πρὸ προσώπου ὀργῆς αὐτοῦ τίς ὑποστήσεται, καὶ τίς ἀντιστήσεται ἐν ὀργῇ θυμοῦ αὐτοῦ; ὁ θυμὸς αὐτοῦ τήκει ἀρχὰς, καὶ πέτραι διεθρύβησαν ἀπ' αὐτοῦ. Ἔχετε τοίνυν ἐξ ἐκείνων τὴν ἀπόδειξιν, ὅτι οὐδεὶς ὁ ἀνθίστασθαι δυνάμενος τῇ ὀργῇ τῇ θείᾳ αὐτάρκως ἔχοντι καὶ τοὺς ἐν μεγάλαις δυναστείαις καὶ τοὺς ἐν πλείστῃ καθεστῶτας ἰσχύι διαθρύβειν τε καὶ παντελῶς ἀφανίζειν. Καὶ τὰ ὅμοια τῶν πρόσθεν λέγων.

ζʹ. Χρηστὸς κύριος ὑπομένουσιν αὐτὸν ἐν ἡμέρᾳ θλίψεως, καὶ γινώσκων τοὺς εὐλαβουμένους αὐτόν. Ἔστι μὲν γὰρ, φησὶν, ἄγαν φιλάνθρωπος καὶ ἄγαν εἰδὼς εὐεργετεῖν τοὺς πρὸς αὐτὸν ὁρῶντας καὶ τὴν ἀπειλὴν αὐτοῦ δεδοικότας.

ηʹ. Καὶ ἐν κατακλυσμῷ πορείας συντέλειαν ποιήσεται, τοὺς ἐξεγειρομένους καὶ τοὺς ἐχθροὺς αὐτοῦ διώξεται σκότος. Ἐπειδὰν δὲ πρὸς ὀργὴν νεύσῃ ταύτης τινὰς

omnes commoti. Atque, ut summatim dicam, cunctam ab adspectu suo terram illam cum incolis ejus submovit Deus, vitia illorum abominans.

V. 6. *Iram ejus quis perferet, et furori ejus maximo quis resistet? Furor ejus liquat principatus, et petrae ab eo destruuntur.* Hinc igitur nobis constat neminem posse irae Dei resistere, quae quidem par est conterendis imperiis maximis ac potentissimis, iisque funditus destruendis. Tum similia priorum dicens:

V. 7. *Bonus est dominus confidentibus ei, quum angustiae ingruerint, et novit eos qui eum pie colunt.* Est, inquit, clemens admodum et valde beneficus erga eos, qui spem suam in eo collocant, ejusque minas revereantur.

V. 8. *Inundatione viae deletionem efficiet; qui eum irritaverint atque oderint, eos persequentur tenebrae.* Verumtamen ubi ad iram spectaverit, dignosque hac

εὑρηκὼς ἀξίους, κατακλυσμόν τινα διὰ τῆς ὁρμῆς ἐπάγει τῆς οἰκείας, δι' ἧς παντελῆ μὲν ἐργάζεται τὸν ἀφανισμὸν τῶν μοχθηρῶν, ἅπαντας δὲ τοὺς ἐπανισταμένους αὐτοῦ, καὶ τολμῶντας αὐτῷ τι βούλεσθαι ἐναντίον, σκότῳ περιβάλλει καὶ ἀπορίᾳ πολλῇ, τῷ μεγέθει τῶν ἐπαγομένων αὐτοῖς κακῶν.

θ'. *Τί λογίζεσθε ἐπὶ τὸν κύριον;* Ὁποίαν τοίνυν, φησὶν, ἔχετε περὶ αὐτοῦ τὴν ἔννοιαν, ἢ μὴ νομίζετε δυνατὸν ὑμῖν εἶναι πολεμεῖν τῷ τοιούτῳ, ἀφ' οὗ δὴ καὶ πρότερον ἐπεληλύθατε τῇ Ἱερουσαλὴμ οὕτω τε βλασφήμους εἰς τὸν θεὸν ἐξετείνατε λόγους; — *Συντέλειαν αὐτὸς ποιήσει, καὶ οὐκ ἐκδικήσει δὶς ἐπὶ τὸ αὐτὸ ἐν θλίψει.* Δοκιμάσας γὰρ ὑμῶν παντελῆ ποιῆσαι τὸν ἀφανισμὸν, οὕτως ἀθρόον τὸ δοκοῦν αὐτῷ καθ' ὑμῶν ἀπεργάζεται, ὥστε μὴ δεηθῆναι δευτέραν αὐτὸν πληγὴν ἐπενεγκεῖν, ἀθρόαν δὲ ὑμῖν ἀπὸ τῆς πρώτης πληγῆς τὴν ἀπώλειαν ἐγγενέσθαι.

ι'. *Ὅτι ἕως θεμελίου αὐτῶν χερσωθήσονται.* ὥστε εἰς παντελῆ καταστῆναι πάντα τὰ παρ' ὑμῖν ἐρημίαν. — *Καὶ ὡς σμίλαξ περιπλεκομένη βρωθήσονται, καὶ ὡς καλάμη ξηρασίας μεστή.* Δίκην δὲ ἐκείνης τῆς βοτάνης τῆς

aliquos nactus fuerit, inundationem impetu suo convehet, quod summam cladem improborum edet; cunctosque sibi adversantes sibique resistere audentes tenebris multisque angustiis circumveniet per impositarum calamitatum magnitudinem.

V. 9. *Quid contra dominum machinamini?* Quaenam, inquit, in ipsum consilia molimini? Num bellum adversus Deum geri posse putatis? Sane ex quo primum Hierosolymam oppugnare coepistis, his Deum blasphemiis lacessitis. — *Perniciem ipse inducet; neque vindicabit bis rem eandem in tribulatione.* Decreta quippe suprema pernicie vestra, adeo vehementer suam in vos voluntatem exsequetur, ut opus ei non sit iterato ictu ferire; subitum enim vel prima plaga interitum vobis pariet.

V. 10. *Quoniam usque ad fundamenta destruentur*; ita ut omnia apud vos solitudo fiant. — *Et tortilis more smilacis devorabuntur, et sicut calamus aridus admodum.* Ejus instar herbae, quae sepibus circumplicatur

τοῖς φραγμοῖς περιπλεκομένης, εἶτα ὑπὸ πάντων τῶν προσπεσόντων ἀναλισκομένης κτηνῶν, καταναλωθήσεσθε πάντες ὑπὸ πολεμίων, καλάμης τε δίκην ξηρᾶς ὑπὸ πυρὸς ἀφανισθήσεσθε τῶν ἐπιόντων ὑμῖν, οὐδαμῶς ἀρκεῖν πρὸς τὴν ἔφοδον αὐτῶν οἷοί τε ὄντες.

ια'. Ἐκ σοῦ ἐξελεύσεται λογισμὸς κατὰ τοῦ κυρίου πονηρὰ βουλευόμενος ἐναντία. Εἶτα δὴ τετόλμηκας τοιαῦτα βουλεύσασθαι κατὰ τοῦ θεοῦ, καὶ δὴ καὶ διαπράξασθαι ἐπελθὼν τῇ πόλει τῇ τὸν ναὸν ἐχούσῃ τὸν θεῖον. οὕτω τε πρόχειρον ἐνόμισας αὐτὴν ἀνελεῖν, ὡς οὐθὲν ὑπὸ τοῦ θεοῦ βοηθεῖσθαι δυναμένην. Τί οὖν;

ιβ. Τάδε λέγει Κύριος κατάρχων ὑδάτων πολλῶν. Ἄκουε τοίνυν ἅτινα ὑπὲρ τοῦ τολμήματος ἐκείνου νῦν ἀποφαίνεται θεὸς ὁ πάντων κύριος τῶν κατὰ γῆν ἐθνῶν. Τοῦτο γὰρ λέγει τὸ Ὑδάτων πολλῶν. — Καὶ οὕτω διασταλήσονται. Ὡς γὰρ ἂν εἴ τις, φησὶν, ὕδωρ ἐξ ὕδατος ἔν τινι τόπῳ συνεστὼς μετὰ πολλῆς διαστήσειεν εὐμαρείας, οὕτω πάντων ὑμᾶς ἀφοριεῖ τῶν ἐθνῶν ὁ θεὸς, παραδοὺς ἀπωλείᾳ. — Καὶ ἀκοή οὐκ ἐνακουσθήσεται ἔτι. ὡς μηκέτι σου μηδὲ ἀκοὴν εἶναι τοῦ παντελῶς ἀπολωλότος.

atque ab obviis quibusque animalibus consumitur, cuncti ab hostibus absumemini; aridique instar calami ab aggressoribus vestris quasi igne destruemini, quorum incursibus sustinendis pares non eritis.

V. 11. *Ex te egressa est machinatio contra dominum quae improba et hostilia molita est.* Deinde haec ausus es facinora mente agitare et agere contra Deum, armis urbem adoriens divino templo praeditam; eamque facile te capturum existimasti, quasi nihil a Deo adjuvanda foret. Quid ergo?

V. 12. *Haec ait dominus rector multarum aquarum.* Audi porro quasnam ausibus illis nunc poenas decernat Deus cunctorum in orbe populorum dominus; eos enim dicit multas aquas. — *Et ita dissipabuntur.* Ut enim cuiquam, inquit, aquas, alicubi congregatas perquam facile separare, sic vos ab gentibus discernet Deus, quum vos exitio tradet. — *Neque exaudietur amplius auditus.* Ne fama tui quidem amplius erit omnino exstincti.

ιγ', *Καὶ νῦν συντρίψω τὴν ῥάβδον αὐτοῦ ἀπὸ σοῦ, καὶ τοὺς δεσμούς σου διαῤῥήξω.* Πάντα γάρ σου τὰ σκῆπτρα καὶ τὴν βασιλείαν, ἣν ἔχειν ἐδόκεις συγκόψω, καὶ πᾶσαν τὴν δυναστείαν, ἣν κατὰ τῶν ὑποχειρίων εἶχες, ὥσπερ τισὶ δεσμοῖς αὐτοὺς τῇ ἐξουσίᾳ περιβάλλων τῇ οἰκείᾳ, παντελῶς διατεμῶ, ἅτε μετὰ τῆς ἀπωλείας, ἣν ὑπομένεις, πάσης σου τῆς βασιλείας καὶ τοῦ κράτους καὶ τῆς ἐξουσίας, ἣν καθ' ἑτέρων εἶχες, ὡς εἰκὸς ἀφανιζομένης.

ιδ'. *Καὶ ἐντελεῖται περὶ σοῦ Κύριος.* Ταῦτα γὰρ περὶ σοῦ γενέσθαι κεκέλευκεν ὁ Θεός. — *Οὐ σπαρήσεται ἐκ τοῦ ὀνόματός σου ἔτι.* Ἐπειδὴ οἱ ὑπὸ βασιλείας ὄντες εἰώθασιν ἐπὶ τοὺς βασιλέας ἅπαντα ἀναφέρειν καὶ ἐκ τῆς ἐκείνων καλεῖσθαι προσηγορίας, ὡς ὑπὸ τὴν ἐξουσίαν ὄντες τὴν ἐκείνων, οὐκέτι σου, φησὶν, ἡ ὀνομασία οὐδαμοῦ φανήσεται παντελῶς ἀπολλυμένου. — *Ἐξ οἴκου Θεοῦ σου ἐξολοθρεύσω γλυπτὰ, καὶ χωνευτὰ θήσομαι ταφήν σου, ὅτι ἠτιμώθης.* Συναφανιῶ γάρ σοι καὶ τὰ εἴδωλα οἷς πολλὴν ἀπένεμες τὴν τιμὴν, ἅπερ ὥσπερ τις ταφή σοι γενήσεται, συναπολλύμενα καὶ συναφανιζόμενα καὶ μονονουχὶ συνθαπτόμενα τῇ ἀτιμίᾳ τῇ σῇ.

V. 13. *Et nunc confractam avertam virgam ejus a te, et vincula tua disrumpam.* Cuncta enim sceptra et imperium, quod habere videbaris, comminuam; universam potentiam tuam, quam in subditos exercebas, et qua ceu vinculis populum hunc in tua ditione retinebas, omnino praecidam; omni scilicet ditione spoliaberis; vires atque potestas, quas in alias gentes exercebas merito evanescent facto tuo exitio.

V. 14. *Haec de te jubebit dominus.* haec tibi fieri jussit dominus. *Haud seretur de tuo diutius nomine.* Quoniam regum subditi solent ad reges suos omnia referre atque ab illorum vocitari nominibus, quorum ditioni parent; ideo haud diutius, inquit, nomen tui funditus pereuntis exstabit. — *De domo Dei tui ejiciam sculptilia, et fusa simulacra sepulcrum tuum faciam, quia dehonestatus es.* Destruam tecum idola quibus multum tribuebas honorem; atque haec, inquam, fient tanquam tumulus tibi, tecum scilicet destructa et perdita, ac propemodum contumeliae tuae contumulata. —

Κεφάλαιον Β'.

α'. *Διότι ἰδοὺ ἐπὶ τὰ ὄρη πόδες εὐαγγελιζομένου καὶ ἀπαγγέλλοντος εἰρήνην.* Τότε δὴ, φησὶν, ἔσονται πολλοὶ οἱ ἀνὰ τὰ ὄρη τῆς Ἱερουσαλὴμ ἀνατρέχοντες καὶ τὴν ἀπώλειαν εὐαγγελιζόμενοι πᾶσι τὴν σὴν, καὶ τὴν ἐντεῦθεν καθέξουσαν αὐτοὺς εἰρήνην. — *Ἑόρταζε Ἰούδα τὰς ἑορτάς σου, ἀπόδος τῷ Θεῷ τὰς εὐχάς σου, διότι οὐ μὴ προσθῶσιν ἔτι τοῦ διελθεῖν εἰς παλαίωσιν.* Ἔσο δὲ καὶ σὺ λοιπὸν ἐν ἡδοναῖς, καὶ τὰς καθηκούσας ἑορτάς τε καὶ εὐχὰς τῷ Θεῷ μετὰ πάσης ἐκπλήρου τῆς σπουδῆς πάνυγε θαῤῥῶν, ὡς οὐκ ἂν ἐπελθοῖεν ἔτι ἐπὶ τῷ τι διαφθεῖραι τῶν προσηκόντων ὑμῖν, ἀπολωλότες ἅπαξ. διὸ ἐπάγει· *Συντετέλεσται, ἐξῆρται.* ἠφάνισται γὰρ, φησὶν, ὁ ταῦτα τολμῶν.

β'. *Ἀνέβη ἐμφυσῶν εἰς πρόσωπον αὐτοῦ ἐξαιρούμενος ἐκ θλίψεως.* Θεία γάρ τις ὀργὴ ὥσπερ ἐμφυσήματί τινι παντελῶς αὐτὸν ἔσβεσε καθ' ὑμῶν ἐξαπτόμενον, ὥστε σε μηδεμίαν θλίψιν ἐντεῦθεν ὑποπτεύειν λοιπόν. — Ταῦτα ὡς πρὸς τὸν Ἰούδαν εἰρηκὼς ἑορτάζειν ὀφείλοντα ἐπὶ τῇ τοῦ τοιαῦτα τετολμηκότος κατ' αὐτῶν ἀπολείᾳ, τρέπει δὴ λοιπὸν πρὸς τοὺς Νι-

Caput II.

V. 1. *Quamobrem ecce in montibus pedes laeta nuntiantis, pacemque praedicantis.* Tunc, ait, multi per Hierosolymae montes discurrent, cladem tuam palam nuntiantes suamque inde consecuturam pacem. — *Age Juda festa tua, solve Deo vota tua, quia jam nemo amplius te aggredietur.* Esto et tu deinceps in deliciis, legitimaque festa ac vota Deo persolve cum omnimoda solemnitate ac laetitia; neque enim amplius supervenient, qui res vestras pessumdent, quandoquidem in perpetuum perierunt. — *Exstinctus est atque sublatus.* Deletus, inquit, qui haec audebat.

V. 2. *Adscendit, qui insufflet in faciem ejus, qui de calamitate eripiat.* Divina ira ceu flatu quodam prorsus eum extinxit, qui contra vos accensus fuerat; quare jam nullam hinc cladem suspicari poteritis. — His Judam verbis adlocutus, quibus eum festum agere jussit propter adversariorum perniciem, sermonem deinceps

νευίτας τὸν λόγον. *Σπεῦσον ὁδόν.* Ὅρα δή, φησί, τοὺς ἐπιέναι σοι μέλλοντας. — *Κράτησον ὀσφύος.* σύσφιξον πρὸς τοσαύτην ἔφοδον εἰ δύνῃ σεαυτόν. — *Ἀνδρίσαι τῇ ἰσχύϊ σφόδρα.* νῦν σου τὴν μεγάλην ἐκείνην ἐπίδειξαι δύναμιν. —

ad Ninevitas vertit. *Speculare viam.* Videsis, quinam tibi superveniant. — *Lumbos robora.* Ad ejusmodi incursionem, si vales, sustinendam praecingitor. — *Auge vires tuas admodum.* Nunc tuas ingentes illas ostende vires.

γ΄. δ΄. *Διότι ἀπέστρεψε κύριος τὴν ὕβριν Ἰακὼβ καθὼς ὕβριν τοῦ Ἰσραήλ.* Ἀλλὰ γὰρ οὐ δυνατόν σοι τὰ ἐπιγινόμενα κακὰ διαφυγεῖν, ἐπειδὴ ἃ πεποίηκας εἰς τὸν Ἰσραὴλ εἰς τὴν κεφαλὴν ἔτρεψε τὴν σὴν ὁ θεός. — *Διότι ἐκτινάσσοντες ἐξετίναξαν αὐτοὺς καὶ τὰ κλήματα αὐτῶν διέφθειραν, ὅπλα δυναστείας αὐτοῦ ἐξ ἀνθρώπων.* Τοσαύτη γὰρ ἔσται κατὰ σοῦ τῶν πολεμίων ἡ δύναμις, ὥστε σε δίκην τῶν ἐκτινασσόντων ἐσθῆτα τῆς ἀξίας ἀποβαλῶν τῆς οἰκείας, ἀπολέσαι τε ἅπαντας, ἐφ᾽ οἷς ὡς κεκυκλωκόσι σε καὶ περὶ τὴν θεραπείαν ἠσχολημένοις τὴν σὴν μέγα ἐφρόνεις, καὶ συντόμως εἰπεῖν πᾶσαν σου τὴν πολεμικὴν ἐμπειρίαν καὶ πᾶσαν τὴν δύναμιν ἐξ ἁπάντων ἀπολέσουσι τῶν ἀνθρώπων. — Εἶτα καὶ τὴν παλαιὰν αὐτῶν ἐντίθεται δύναμιν, ἧπερ οὐκ εἰς δέον ἐχρήσαντο, ὡς οὐδὲν αὐτοὺς ὠφελήσουσαν ἐν τῷ παρόντι καιρῷ. *Ἄνδρες*

V. 3. 4. *Quoniam abstulit contumeliam Jacobi aeque ac contumeliam Israëlis.* Profecto haud poteris eventura mala evitare, nam quae tu Israëli fecisti eadem Deus in caput tuum retorsit. — *Quare excutiendo excusserunt eos, palmitesque eorum corruperunt, arma potentiae ejus ex hominibus.* Tantae erunt adversus te hostium vires, ut ritu eorum, qui vestem excutiunt, dignitate tua proterrendus sis, atque omnia amissurus, quibus tu olim stipatus ac veluti famulitio cultus superbiebas. Prorsus, breviter ut dicam, bellica omnis peritia tua cunctaque vis ex incolatu hominum exterminabitur. — Deinde veterem eorum potentiam memorat, quae ab illis contra fas exercita nihil in praesenti profutura erat. *Viri strenui ignem decidentes.* Vos quondam, ait, tan-

δυνατοὶ ἐμπαίζοντες ἐν πυρί. Ὑμεῖς ἦτε, φησὶν, οἱ δι' ὑπερβολὴν ἰσχύος οὐδὲ πυρὸς κατατολμᾷν ὀκνοῦντες. — *Αἱ ἡνίαι τῶν ἁρμάτων αὐτῶν ἐν ἡμέρᾳ ἑτοιμασίας αὐτοῦ, καὶ οἱ ἱππεῖς θορυβηθήσονται ἐν ταῖς ὁδοῖς.* Οἱ μέγα ἐφ' ἵπποις τε φρονοῦντες καὶ ἅρμασιν, ἃ δὴ πάντα νῦν ὑμῖν ἄχρηστα φανεῖται, ἐν γὰρ τῷ καιρῷ, καθ' ὃν παρεσκεύασται παρὰ τοῦ θεοῦ τὰ τῆς τιμωρίας ὑμῖν, θόρυβος καὶ τὰ ἅρματα καὶ τοὺς ἱππεῖς καθέξει οὐθὲν ἐπιτελεῖν διὰ τὸ δέος τῶν πολεμίων οἵους τε ὄντας.

tis viribus pollebatis, ut ipsi flammae certare non dubitaretis. — *Habenae curruum eorum die praeparationis ejus, et equites turbabuntur in viis.* Equis olim curribusque confisi estis, qui nunc inutiles sunt; nam quo tempore Deo visum est poenam vobis infligere, trepidatio currus et equites occupabit, ita ut metu hostium nihil agere queant.

ε'. *Συγχυθήσεται τὰ ἅρματα, καὶ συμπλακήσονται ἐν ταῖς πλατείαις.* Πρὸς φυγὴν γὰρ, φησὶν, ὁρμήσουσι πάντες, ὥστε ὑπὸ τῆς κατεχούσης αὐτοὺς ἀπορίας ἀλλήλοις συμπλεκομένους πρὸ τῆς ἐφόδου τῶν πολεμίων ἑαυτοὺς ἀπολλύειν. — *Ἡ ὅρασις αὐτῶν ὡς λαμπάδες πυρὸς καὶ ὡς ἀστραπαὶ διατρέχουσαι.* Εἰρωνικῶς ἐπὶ διασυρμῷ τοῦτο λέγει. καίτοιγε, φησὶν, οὐδὲν ἀστραπῶν καὶ πυρὸς διαλλάττειν ἐνομίζεσθε, ἐκλάμποντές τε τοῖς ὅπλοις καὶ μετὰ πολλῆς τῆς σφοδρότητος ἐπιόντες τοῖς ἐναντίοις.

V. 5. *Confundentur currus et in plateis collidentur.* In fugam, inquit, se conjicient omnes: hac autem trepidatione inter se collisi ante hostium adventum pessum ibunt. — *Adspectus eorum est sicuti facium ignearum, et ut fulgurum discurrentium.* Ironice et ludibrii causa haec dicit, nempe vos nihil fulgure differre vosmet putavistis, qui lucentibus armis praediti vehementi impetu in hostes ferebamini.

ς'. ζ'. *Καὶ μνησθήσονται οἱ μεγιστᾶνες καὶ φεύ-*

V. 6. 7. *Fugae interdiu memores erunt optimates, et*

ξονται ἡμέρας καὶ κρατήσουσιν ἐν τῇ ἀπορίᾳ αὐτῶν, καὶ σπεύσουσιν ἐπὶ τα τείχη, καὶ ἑτοιμάσουσι τὰς προφυλακὰς αὐτῶν. Τὰ μὲν δὴ τῆς παρασκεύης ὑμῖν ἐκείνης καὶ τῆς δυνάμεως περιττὰ γενήσεται πάντα· τὸ πολεμεῖν δὲ ἀφέντες φυγῆς λήψεσθε μνήμην, καὶ οὐδὲ ταύτῃ χρώμενοι ῥᾳδίως, ἀλλὰ γὰρ μετὰ πολλῆς τῆς ἐκλύσεως ἐπὶ τῆς φυγῆς κεχρημένοι τῷ δρόμῳ διὰ τὴν ὑπερβολὴν τοῦ ἐπικειμένου δέους τῶν πολεμίων ὑμῖν. ἀναδραμεῖσθε δὴ λοιπὸν ἐπὶ τὰ τείχη τὸν μὲν πόλεμον διὰ πολλὴν ἀπόγνωσιν ἀφέντες τὴν ἐξ ἐκείνων δὲ προσδοκῶντες ἕξειν ἀσφάλειαν, καὶ δὴ καὶ περὶ τὰς εἰωθυίας ἐπὶ τῶν τειχῶν φυλακὰς πᾶσαν ἕξετε τὴν ἀσχολίαν. Καὶ τὸ δὴ μεῖζον. Πύλαι τῶν πόλεων διηνοίχθησαν καὶ τὰ βασίλεια διέπεσε, Καὶ ἡ ὑπόστασις ἀπεκαλύφθη, καὶ αὕτη ἀνέβαινε καὶ αἱ δοῦλαι αὐτῆς ἤγοντο καθὼς περιστεραὶ φθεγγόμεναι ἐν καρδίᾳ ἑαυτῶν. Ἀλλὰ γὰρ οὐδὲ τῆς περὶ τὰ τείχη σπόυδῆς ὄφελός τι γέγονεν ὑμῖν. κρατήσουσι γὰρ τῆς πόλεως οἱ πολέμιοι καὶ διά γε τῶν πυλῶν μετὰ πολλῆς εἰσελεύσονταί τῆς ἀδείας, τὰ βασίλειά τε παντελῶς ἀφανιοῦσι, πᾶσάν τε σου τὴν ὕπαρξιν καὶ

in trepidatione festinabunt moenia tenere, et praesidia disponent. Vester ille apparatus atque armatura incassum fiet. Itaque omisso proelio fugam meditabimini; neque hac ipsa expedite utemini, sed cum ingenti consternatione currentes ob ingruentem hostium motum ad moenia, quae sola reliqua erunt, festinabitis pugna ob desperationem relicta; atque hinc tutelam exspectabitis, et ad consuetam murorum custodiam, studio omni incumbetis. Quod vero gravius est: *Portae urbium patuerunt, regia palatia conciderunt. Opes detectae sunt. Ipsa adscendit ancillae suae praecedebant, ceu columbae loquentes in corde suo.* Sed ne perfugii quidem ad muros vobis ulla utilitas est, potientur enim urbe hostes, perque portas multa cum securitate ingredientur; regias domos funditus evertent; opes tuas omnes et thesauros, dum tibi eripiunt, publicos facient, quaecunque scilicet diligenti olim et arcana custodia servabas. Verba et ipsa adscendes, Ninivae dicit propheta, sed pro *adscen-*

πάντας τοὺς περιόντας σοι θησαυροὺς δι᾽ ἁρπαγῆς ποιησάμενοι καταφανῆ πᾶσιν ἐργάσονται καὶ τὰ πάλαι σοι διὰ πολλῆς τε ὄντα φυλακῆς καὶ κεκρύφθαι δοκοῦντα. Καὶ αὐτὴ μὲν ἀναβήσῃ πρὸς τὴν Νινευὴ δὲ ὁ προφήτης φησιν, ἀντὶ τοῦ ἀναβήσῃ τὸ ἀνέβαινεν εἰπὼν, καθὼς ἐναλλάττειν εἴωθε τὸν χρόνον· ἀναβήσῃ γὰρ, φησὶν, ἐπὶ τὸν τῶν πολεμίων ἀγομένη βασιλέα ὡς αἰχμάλωτος οὖσα λοιπὸν, καὶ πᾶσαι δέ σου αἱ ὑπήκοοι πόλεις τε καὶ χῶραι (δούλας γὰρ ταύτας ὠνόμαζε) μακρὰ χαίρειν εἰποῦσαι τῇ προσούσῃ σοι πρότερον βασιλείᾳ ἐπὶ τὴν αἰχμαλωσίαν ἀχθήσονται πᾶσαι σὺν σοὶ κατ᾽ ἔννοιαν περιστερᾶς δίκην τὰς ἑαυτῶν τε καὶ σοῦ στενάζουσαί τε καὶ ὀδυρόμεναι συμφοράς. — Εἶτα τὴν παλαιὰν εὐπραγίαν αὐτῶν φησὶ, διαιρῶν εἰς ταῦτα τὸν λόγον καὶ ποτὲ μεν ἐν οἵοις ἐξετασθήσεται κακοῖς διδάσκων, ποτὲ δὲ τὴν πάλαι προσοῦσαν αὐτοῖς ἐκτιθέμενος δυναστείαν, ὡς ἂν καὶ τούτῳ τὸ συμβαῖνον αὐτῇ πάθος αὐξήσειεν, εἰ ἀπὸ τοιούτων εἰς τοιαῦτα ἀφικνεῖσθαι μέλλει.

des ait *adscendit*, more suo tempora commutans. Adscendes igitur, inquit, ad inimicum regem deducta, captiva deinde mansura, cunctaeque tibi subditae urbes atque pagi (his enim ancillarum nomen dat) multum valere jubentes pristinum imperium tuum, servitio tecum addicentur, tacita cogitatione columbae more suam pariter atque tuam maerentes calamitatem. — Deinde pristinam felicitatem dicit, sic distributo sermone, ut modo mala, quibus illa crucianda sit, narret, modo veterem commemoret dignitatem; nimirum ut incidens infortunium ideo gravius fiat, quod talis urbs ad talia devenerit.

η᾽. Καὶ Νινευὴ ὡς κολυμβήθρα ὕδατος τὰ ὕδατα αὐτῆς, καὶ αὐτοὶ φεύγοντες οὐκ ἔστησαν καὶ οὐκ ἦν ὁ ἐπιβλέπων. Πάλαι μὲν γὰρ

V. 8. *Ninives aquae piscinae aquis similes. Ipsi accepta fuga nusquam substiterunt, nec erat qui adspiceret.* Olim quidem a

κολυμβήθρας μεγίστης διήλλαττον οὐδὲν ὑπερχεομένης τῷ ὕδατι πανταχόθεν καὶ πολλοὺς ἐν ἑαυτῇ τρεφούσης ἰχθύας, οὕτω πολλοῦ μὲν γέμουσα πλήθους οἰκείου πολλοὺς δὲ ἐκ τῶν πολέμων αἰχμαλώτους ἔχουσα παρ' ἑαυτῇ. νῦν δὲ εἰς τοῦτο κατέστησαν ταλαιπωρίας ὡς μηδὲ βραχύτατον στῆναι πρὸς τοὺς πολεμίους δυνάμενοι πρὸς φυγὴν ἰδεῖν, εὑρίσκετο δὲ οὐδεὶς τοῖς τοσούτοις ἐφορῶν κακοῖς ἤ τινα διόρθωσιν ἀτοῖς ἐπάγων.

piscina maxima non differebant, aquis undiqne affusis piscium multitudine ibidem alita. sic videlicet Nineve multitudine populi redundabat, multos quoque bello captos homines apud se habens. Nunc vero tanta adversitate sunt oppressi, ut ne brevissime quidem contra hostes in acie stare possint, sed fugae se statim committant. Porro autem nemo inventus est, qui his malis mentem intenderet, aut iisdem medicinam aliquam faceret.

ϑ'. Διήρπαζον τὸ ἀργύριον, διήρπαζον τὸ χρυσίον. Ἅπαντα λοιπὸν δι' ἁρπαγῆς οἱ πολέμιοι τὰ παρ' αὐτοῖς ἐποιοῦντο. — Καὶ οὐκ ἦν πέρας τοῦ κόσμου αὐτῆς. Ἀναρίθμητόν τινα πλοῦτον αὐτῶν ἀφαιρούμενοι, ᾧπερ ἐκοσμοῦντο τὸ πρόσθεν. — Βεβάρυνται ὑπὲρ πάντα τὰ σκεύη αὐτῆς τὰ ἐπιθυμητά. Πολλὴν γοῦν μάλιστα τὴν σπουδὴν ἐποιοῦντο τὰ δοκοῦντα τίμια εἶναι καὶ ἃ μετὰ πολλῆς ἔσχον τῆς ἐπιθυμίας ἀφελέσθαι παρ' αὐτῶν. τὸ γὰρ βεβάρυνται ὅμοιόν ἐστι τοῦ ἐν ταῖς βασιλείαις [1]) „Ἐβαρύνθη ὁ πόλεμος ἐπὶ Σαούλ," ἵνα εἴπῃ, ὅτι κατ' ἐκεῖνο τὸ μέρος ἐπέκειν-

V. 9. *Diripuerunt argentum diripuerunt aurum.* Cunctas horum opes praedae habuerunt hostes. — *Neque erat finis ornamentorum ejus.* Innumeras divitias iis eripuerunt, quibus antea ornabantur. *Gravati sunt super omnem supellectilem ejus desiderabilem.* Vehementi studio ad pretiosissima quaeque ruerunt, multamque diripiendi ea cupiditatem prae se tulerunt. Nam vox *gravati sunt* idem significat atque in regnorum libris „Gravatum est bellum in Saulum;" ut significetur, illa potissimum parte vires hostium sese

[1]) I Reg. XXXI, 3.

το μάλιστα οἱ πολέμιοι· οὕτω κἀνταῦθα τὸ βεβάρυνται λέγει, ἵνα εἴπῃ, ὅτι πλείων περὶ ἐκεῖνα ἡ σπουδὴ τοῖς πολεμίοις ἐγίνετο.

ι'. Ἐκτιναγμὸς, καὶ ἀνατιναγμὸς, ἐκβρασμὸς καὶ καρδίας θρανσμὸς, καὶ ὑπόλυσις γονάτων, καὶ ὠδῖνες ἐπὶ πᾶσαν ὀσφὺν. καὶ τὸ πρόσωπον αὐτῶν, ὡς πρόσκαυμα χύτρας. Βούλεται εἰπεῖν, ὅτι ποικίλοις ἐκ τῶν πολεμίων περιβληθήσονται τοῖς κακοῖς ἐκτιναττόμενοι καὶ ἐκβραζόμενοι ὡς παντελῶς μὲν αὐτοῖς τῆς διανοίας σβεσθῆναι τὸν λογισμὸν, ἐκλελυμένους δὲ ὑπὸ τοῦ δέους μηδὲ στῆναι δύνασθαι ῥᾳδίως, ἐν ὀδύναις τε κοιναῖς ἅπαντας εἶναι, καὶ συντόμως εἰπεῖν τοιούτους ἐκ τῆς τῶν κακῶν ἀπορίας εἶναι, ὡς μηδὲν ἀπεοικέναι κεκαυμένης χύτρας ὑπὸ πυρός. — Καὶ πάλιν ἐπὶ τὴν μνήμην ἄγων αὐτοὺς τῆς παλαιᾶς δυναστείας.

ια'. Ποῦ ἐστὶν τὸ κατοικητήριον τῶν λεόντων, καὶ ἡ νομὴ ἡ οὖσα τοῖς σκυμνοῖς; Ἀλλὰ γὰρ οἴχεται μὲν τῶν λεόντων τὸ κατοικητήριον, οἴχεται δὲ αὐτῶν καὶ ἡ νομὴ πᾶσα. καὶ γὰρ σκυμνοὺς τὸ αὐτὸ λέγει, τουτέστι τοὺς λέοντας. βούλεται δὲ εἰπεῖν, ὅτι πάλαι μὲν οἱ τὴν Νινευὴ κατοικοῦντες λεόντων δίκην ἦτε πᾶσι τοῖς λοιποῖς φοβε-

intendisse. Ita hic etiam *gravati sunt* dicitur, ut intelligamus, circa opes potissimum hostium studium esse versatum.

V. 10. *Excussus et recussus, ebullitio et cordis confractio, et genuum solutio, et dolores omnium renum, et facies eorum ut olla adusta.* Significat, fore ut eos inimici variis adfecturi sint malis, crebro excutientis et ejicientes, ita ut universum iis extinguatur mentes ratiocinium. Timore autem enerves ne stare quidem facile poterunt, et communibus quatientur angoribus; atque, ut breviter dicam, tantis ob has clades prementur angustiis, ut ferventis ab igne ollae haud dissimiles visuri sint. — Iterumque eis pristinam potentiam in memoriam vocans pergit.

V. 11. *Ubi est leonum habitaculum, et pascua catulorum.* Periit leonum habitaculum, perierunt etiam omnia eorum pascua. Catuli enim iidem sunt atque leones. Significat autem, Niniveves olim incolas leonum instar cunctis populis fuisse terribiles, et undequaque bellis sibi opes parasse. Nunc

ροὶ καὶ τὰ πανταχόθεν ἐκ τῶν πολεμίων λαμβάνοντες ἠθροίζετε παρ' ἑαυτοῖς. νῦν δὲ καὶ Νινευὴ τὸ κατοικητήριον ὑμῶν οἴχεται καὶ πάντα σὺν αὐτῇ, ὁπόσα τε ἠθροισμένα παρ' ἑαυτοῖς τὸ πρότερον εἴχετε. — Ποῦ ἐπορεύθη λέων τοῦ εἰσελθεῖν; Σφόδρα διασυρτικῶς· ὡς γὰρ ἂν πολεμοῖς αὐτῶν πάντοτε ὄντων καὶ ἀεί πού τισιν ἐπιόντων ὡς ἐπί τινα θήραν, ποῦ δή, φησίν, νῦν ἀπελήλυθεν ὁ κρατῶν ὑμῶν, ἐπὶ ποίαν ἀπελήλυθε θήραν, ἵνα εἴπῃ, ὅτι πέπαυται τοῦ πολεμεῖν, ἀπέθετο τὴν ἐξουσίαν καὶ τὴν δύναμιν τὴν πρόσθεν. Διὸ ἐπάγει· Ἐκεῖ σκυμνοὶ λεόντων, καὶ οὐκ ἦν ὁ ἐκφοβῶν. ιβ'. λέων ἥρπασε τὰ ἱκανὰ τοῖς σκυμνοῖς αὐτοῦ καὶ ἀπέπνιξε τοῖς λέουσιν αὐτοῦ, καὶ ἔπλησε θήρας νοσσιὰν αὐτοῦ καὶ τὸ κατοικητήριον αὐτοῦ ἁρπαγῆς. Πρότερον μὲν γὰρ λεόντων δίκην ἐπῄειτε πᾶσι καὶ φόβος ὑμᾶς τοῦ τοιαῦτα ποιεῖν ἐπεῖχεν οὐδείς, δι' ἁρπαγῆς δὲ τὰ ἑτέρων ποιούμενοι πλοῦτον ἑαυτοῖς συνελέγετε πλεῖστον, αὐτάρκη καὶ τοῖς ἐξ ὑμῶν εἰς ἀπόλαυσιν, ἀναιροῦντες τε καὶ συμπνίγοντες ἑτέρους ὥσπερ τινὰ θήραν τοῖς γεννήμασι συνελέγετε τοῖς οἰκείοις ἐξ ἁρπαγῆς καὶ παρανομίας τὸν πλοῦ-

vero etiam Ninive, inquit, habitaculum vestrum, periit, simulque quidquid opum illuc antea congessistis. — *Quonam abiit leo, ut ingrederetur?* Valde hoc irridenter. Nam quia Assyrii perpetuis in bellis versati erant semperque aliquos veluti venando persecuti, quonam, inquit, dux vester abiit, in quam venationem profectus est? Utique dicit, finem bellandi factum, et potentiam vimque pristinam fuisse depositam. Idcirco addit: *Ibi leones catuli erant, nemine terrente. Leo catulis suis, quantum satis erat, rapiebat, et leonibus suis suffocabat; replebat antra sua rapta praeda, et cubile suum rapinis.* Antea quidem, ait, leonum more passim vim faciebatis, nullusque vos ab ea violentia deterrebat metus. Direptis alienis ingentes vobis opes comparavistis, quibus vestri quoque liberi fruerentur. Occidistis, suffocastis populos, atque hos praedae instar soboli vestrae utendos objecistis; rapina et scelere divitias vestras exaggerastis. Quid porro?

τον αὔξοντας τὸν οἰκεῖον. Τί οὖν;

ιγ'. Καὶ ἰδοὺ ἐγὼ ἐπὶ σὲ, λέγει κύριος παντοκράτωρ, καὶ ἐκκαύσω ἐν κάπνῳ πλῆθός σου, καὶ τοὺς λέοντάς σου καταφάγεται μάχαιρα, καὶ ἐξολοθρεύσω ἐκ τῆς γῆς τὴν θήραν σου, καὶ οὐ μὴ ἀκουσθῇ ἔτι τὰ ἔργα σου. Ὑπὲρ δὴ πάντων ἐκείνων ἀπεφήνατο κατὰ σοῦ νῦν ὁ θεὸς, ὅτι ἐν πυρὶ μὲν ἀναλωθήσεται καὶ στενοχωρίᾳ πλείστῃ τὸ πλῆθος τὸ σὸν, τοὺς δὲ ἐν σοὶ δοκοῦντας εἶναι δυνατοὺς ἀνελοῦσιν οἱ πολέμιοι, ἀφανισθήσεται δὲ πάντα ὁπόσα συνέλεξας κακῶς, ὡς πᾶσαν μέν σου καταλυθῆναι τὴν δύναμιν, ἀκουσθῆναι δὲ περὶ σοῦ μηκέτι μηθὲν, ὥς τι πεποιηκότος καὶ ἀπολωλότος καθάπαξ. — Εἶτα τὴν τιμωρίαν εἰπὼν, ὀνειδίζει πάλιν τὴν κακίαν.

V. 13. *En ego in te ferar, ait dominus omnipotens; incendam fumo multitudinem tuam; leones tuos gladius absumet, exscindam e terra rapinam tuam. Nec amplius fama tuorum facinorum exaudietur.* Ob ea scelera omnia nunc ita adversus te edixit dominus; flammis atque angustiis plurimis consumptum iri populum tuum; fortissimumque quemque civium tuorum ab hostibus caesum, quaecunque improbe coacervasti vastatum, destructum iri denique dominatum tuum nullamque tui mentionem deinceps futuram, velut hominis, qui aliquid fecerit, idemque mox perierit. — Deinde punitione dicta malitiam rursus objurgat.

Κεφάλαιον Γ'.

α'. Ὦ πόλις αἱμάτων, ὅλη ψευδὴς, ἀδικίας πλήρης. Πείσεσθε δὴ ταῦτα, φησὶν, ὑπὲρ ὧν περὶ φόνους ἅπασαν εἴχετε τὴν σχολὴν, καὶ πολλοὺς ψεύδει τε καὶ ἀπάτῃ κεχρημένοι ἀδικεῖν ἐπειρᾶσθε τὰ ἀνήκεστα, οἷόν τι ὁ Ῥαψάκης ἐπὶ τῆς Ἱερουσαλὴμ ἐποίει ὑποσχέσεσιν ἀγαθῶν αὐ-

Caput III.

V. 1. *Heu urbem sanguinariam, totam mendacem injustitia plenam!* Patiemini haec, inquit, quia semper caedibus indulsistis, multosque mortales per fraudem et mendacium injustis necibus irretire conati estis; veluti Rabsaces falsis promis-

τοὺς ἐξαγαγεῖν βουλόμενος. — Οὐ ψηλαφηθήσεται θήρα. ἵνα εἴπῃ, ὅτι οὐκέτι θήρας ἕξεις καιρὸν, καὶ πολλὰ ζητήσας οὐκ ἰσχύσεις τι διαπράξασθαι, τοιοῦτον ἐκ μεταφορᾶς αὐτὸ τῶν ἐπιμελῶς τι ψηλαφίᾳ ζητούντων εἰρηκώς. Διὰ τί;|

β'. Φωνὴ μαστίγων καὶ φωνὴ σεισμοῦ τροχῶν καὶ ἵππου διώκοντος καὶ ἅρματος ἀναβράσσοντος, γ'. ἱππέως ἐλαύνοντος· καὶ στιλβούσης ῥομφαίας, καὶ ἐξαστραπτόντων ὅπλων, καὶ πλήθους τραυματιῶν, καὶ βαρείας πτώσεως. Ταῦτα γὰρ ὑμᾶς ἀντὶ ἐκείνων διαδέξεται, φησὶ, μάστιγες καὶ κτύπος τροχῶν καὶ ἵππων ἐλασία καὶ ἁρμάτων θόρυβος πολὺς, καὶ ἱππέων δίωξις, καὶ ξίφη μετὰ τῶν λοιπῶν ὅπλων, φοβερὰ καὶ ἰδεῖν τῇ λαμπρότητι τῇ οἰκείᾳ, ἀφ' ὧν δὴ πολλοὶ μὲν πληγήσονται πολὺς δὲ θάνατος ἔσται τῶν ἀναιρουμένων. — Καὶ οὐκ [ἦν (πέρας)] τοῖς ἔθνεσιν αὐτῆς. Καὶ οὐδὲ στήσεται τοῖς ὑπηκόοις αὐτῆς τὰ κακὰ, ἀλλ' ἀεί τι τὸ πρῶτον ἕτερον διαδέξεται κακόν. — Καὶ ἀσθενήσουσιν ἐν τοῖς σώμασιν αὐτῶν ἀπὸ πλήθους πορνείας. Πολλῶν δὲ, φησὶν, ἀναιρουμένων εἰς ὀλι-

sionibus nisus est Hierosolymae cives urbe deducere. *Non contrectabitur venatio.* i. e. non amplius venandi occasio suppetet, multaque moliens nihil efficere poteris. Idque ait sumpta metaphora ab iis, qui curiosa aliquid contrectatione vestigant. Et cur?

V. 2. *Sonus verberum, et sonus actarum rotarum, et equi persequentis, et currus salientis,* V. 3. *equitis advenientis, gladiique flammantis et armorum fulgentium et multitudinis caesorum, gravisque ruinae.* Haec vos, ait, pro superiore fortuna manent, verbera et rotarum sonitus, et equorum persecutio et enses cum caeteris armis vel ipso splendore terribiles; unde multi caedentur, multaque interfectorum funera erunt. — *Non erat (finis) gentibus ejus.* Subditorum ejus calamitates non interquiescent, sed aliud semper prius excipiet. — *Infirmabuntur in corporibus suis a multa fornicatione:* Multis interfectis, ad paucos admodum redigetur illorum numerus. Hic enim significatus est verborum, Infirmabuntur in corporibus

γίστους ἄγαν αὐτῶν ὁ ἀριθμὸς περιστήσεται. τοῦτο γὰρ λέγει τὸ Ἀσθενήσουσιν ἐν τοῖς σώμασιν αὐτῶν, ἵνα εἴπῃ, ὅτι ὀλίγα περιλειφθήσεται σώματα. Καὶ τὴν αἰτίαν λέγων ἀπὸ πλήθους πορνείας, ταῦτα γὰρ πείσονται, φησὶν, ὑπὲρ ὧν πλεῖστον ὅσον ἐξετράπησαν τοῦ θεοῦ, καὶ τουτὶ πράττειν ἄξιον τῶν δοκούντων αὐτῷ. Εἶτα ὀνειδίζων ἐπάγει·

δ'. Πόρνη καλὴ καὶ ἐπίχαρις ἡγουμένη φαρμάκων Σὺ δὲ, φησὶν, ἦσθα ἡ τοῦ προσήκοντος ἐκτετραμμένη, εὐπρεπὴς μὲν ἑαυτῇ φαινομένη διὰ τὴν περιοῦσαν δυναστείαν, ἐπίχαρις δὲ διὰ τοὺς ταύτης ἕνεκέν σε θεραπεύειν ἐσπουδακότας καὶ δὴ καὶ πάντων ἔξαρχος τῶν τῆς ἀσεβείας ἐθῶν ἑτέροις ἐγίνου. — Ἡ πωλοῦσα ἔθνη ἐν τῇ πορνείᾳ αὐτῆς, καὶ φυλὰς ἐν τοῖς φαρμακοῖς αὐτῆς. Ὁλόκληρα γὰρ ἔθνη καὶ φυλὰς οἵας τῇ ἐξουσίᾳ κατακεχρημένη τῇ οἰκείᾳ εἰς τὴν αὐτήν σοι συμμετῆγες ἀσέβειαν καὶ πᾶσαν δὴ τὴν περὶ τὰ τοιαῦτα σπουδήν.

ε'. Ἰδοὺ ἐγὼ ἐπὶ σὲ, λέγει κύριος ὁ θεὸς ὁ παντοκράτωρ, καὶ ἀποκαλύψω τὰ ὀπίσω σου ἐπὶ τὸ πρόσωπόν σου, καὶ δείξω ἔθνεσιν τὴν αἰσχύνην σου καὶ βασιλείαις τὴν ἀτιμίαν σου, ς'. καὶ ἐπιῤῥίψω ἐπὶ σὲ βδε-

suis: pauca, inquit, supererunt corpora; causamque rei tradit multitudinem fornicationum. Haec, ait, patientur, quia mirum quantum a Deo recesserunt. Atque haec Dei placita merito ad exitum ducenda sunt. Deinde convitians pergit.

V. 4. *Meretrix pulcra et venusta, veneficiorum perita.* Tu inquit, illa es, quae ab officio recessisti, quaeque speciosa tibi ob imperium videbaris, et venusta propter eos, qui dominatus sui causa te colere certabant; et quidem caeteris quoque impiorum morum auctor fuisti. — *Quae vendit gentes fornicatione sua, et tribus veneficiis suis.* Gentes integras tribusque totas, potestate tua abutens ad impietatis tuae societatem pellexisti.

V. 5. *Ecce ego adversus te ferar, ait dominus Deus omnipotens; retegam dorsum tuum in faciem tuam, et ostendam gentibus verenda tua, et regnis obscoena tua.* V. 6. *Et conjiciam in te sordem tuam et immun-*

λυγμὸν καὶ τὰς ἀκαθαρσίας σου. Τοιγαροῦν ἐγώ σοι, φησὶν ὁ Θεὸς, ἀνάλογον ταῖς τοιαύταις ἀτοπίαις ἐπάξω τὴν τιμωρίαν. περιβαλῶ γάρ σε, φησὶν, αἰσχύνῃ παντοίᾳ, ὥσπερ ἂν εἴ τις αἰκίζεσθαί τινα μέλλων ἀφελὼν τὴν ἐσθῆτα ἐπὶ τὸ πρόσωπον ἑλκύσειεν ἅπασαν, ὡς αἰσχρὰν μὲν εἶναι τῆς γυμνώσεως τὴν θέαν πικρὰν δὲ τοῦ αἰκισμοῦ τὴν προσδοκίαν, περιβεβλημένος δὲ τῇ ἐσθῆτι τὸ πρόσωπον μηδὲ διορᾷν τὰ προκείμενα δύνασθαι· οὕτω δὴ φησὶν, ἅπαντά σου τὸν κόσμον ἀφελὼν εἰς ἀτιμίαν καταστήσας τὴν ἐσχάτην τῇ τῶν πολεμίων ἐκδώσω τιμωρίᾳ, ὥστε πᾶσι μὲν τοῖς ἁπανταχοῦ περιφανῆ σου τὴν αἰσχύνην καὶ τὴν ἀτιμίαν γενέσθαι, βδελυκτὴν δέ σε διὰ τῆς ἀκοῆς ἅπασι φαίνεσθαι μόνης, ὑπὲρ ὧν εἰς τοσαύτην εὐτέλειαν κατενήνεξαι, πάτημά τε γεγονυῖα πάντων καὶ παράδειγμα τῆς ἐσχάτης ἀτιμίας ἀποδειχθεῖσα τῇ ὑπερβολῇ τῶν κακῶν.

ζ. Καὶ ἔσται πᾶς ὁ ὁρῶν σε καταβήσεται ἀπὸ σοῦ, καὶ ἐρεῖ, δειλαία Νινευὴ, τίς στενάζει ἐπ' αὐτήν; πόθεν ζητήσω παράκλησιν αὐτῇ; Οἱ δὴ ταῦτα λοιπὸν ὁρῶντες καὶ τὴν προσοῦσάν σοι πρόσθεν εὐπραγίαν εἰδότες σαφῶς, ἀποστάντες τῆς ὑπολήψεως ἐκεί-

ditiam. Quamobrem, ait Deus, congruas huic vesaniae poenas imponam. Cooperiam, inquit, te ignominia omnimoda, velut ac si quis aliquem ignominia adfecturus detractam ei vestem in vultum congerit universam, ut turpe sit nuditatis spectaculum, amara ei autem contumeliae exspectatio, siquidem capite vestibus obvoluto ne rem quidem praesentem cernere potest: prorsus ita, ait, detracto omni ornatu tuo, in extrema te ignominia constituam, hostibusque puniendam tradam. Sic omni genti probrum tuum ac turpitudo exploratissima fiet, tuique nominis vel sola auditio cunctis erit abominabilis, postquam in tantam vilitatem decideris, proculcata ab omnibus excessuque malorum ad summae ignominiae exemplum proposita.

V. 7. *Et erit, quicumque te viderit, descendet a te dicetque, Nineve infelix, quis ei ingemiscet? unde ei solamen quaeram?* Qui haec deinceps viderint, ac superioris tuae gloriae probe meminerint, omissa illa de te aestimatione, odium mi-

νης ἧς εἶχον περὶ σοῦ, εἰς ἔλεον τὸ κατὰ σοῦ μεταστήσουσι μῖσος (τοῦτο γὰρ λέγει τὸ Καταβήσεται ἀπὸ σοῦ), ὥστε καὶ ἐλεεῖν σε τῶν κατεχόντων κακῶν, συλλογιζομένους, ὡς οὔτε δυνατόν τινα ἀξίως ὀδύρασθαι τὴν ἐπιγεγονυῖάν σοι συμφοράν· ἀλλ' οὐδὲ παράκλησίν τινα καὶ θεραπείαν εὑρεθῆναι οἷόν τε τῶν τοσούτων κακῶν.

sericordia commutabunt, (id enim ajunt verba, Descendet a te), tuaque mala miserabuntur, mente reputantes, fieri non posse, ut digne quis inflictam tibi calamitatem deploret. Sed solamen vel remedium aliquod tantis malis inveniri nequibit.

η'. Ἁρμόσαι χορδὴν, ἑτοιμάσαι μερὶς Ἀμμὼν κατοικοῦσα ἐν ποταμοῖς, ὕδωρ κύκλῳ αὐτῆς· ἧ ἡ ἀρχὴ θάλασσα καὶ ὕδωρ τὰ τείχη αὐτῆς. Τινὲς Ἀμμὼν ἔφασαν ἐνταῦθα λέγεσθαι τὴν νῦν ὀνομαζομένην Ἀλεξάνδρειαν ἐπὶ τῆς Αἰγύπτου. καίτοιγε δῆλον, ὅτι ἐγγύς που μετὰ τετρακόσια ἔτη τῆς προφητείας ταύτης Ἀλέξανδρος ὁ Μακεδονίας γέγονε βασιλεὺς, ὃς σὺν πολλοῖς ἑτέροις κατεσχηκὼς τῆς Αἰγύπτου, ἐπώνυμον ἑαυτῷ τὴν Ἀλεξάνδρειαν πεποίηκεν, εἰ μὴ ἄρα τις ἐκεῖνο λέγοι, ὅτι καὶ πρὸ τούτου πόλις ἦν αὐτόθι Ἀμμὼν λεγομένη, περὶ ἧς τὰ νῦν ὁ προφήτης φησίν. Ἀλλὰ γὰρ, ὃ πολλάκις ἔφην, περιττὴν εἶναι τῶν τοιούτων ἡγοῦμαι τὴν ἀκριβολογίαν, ὁπόταν μηδὲν εἰς φανέρωσιν τῆς προκειμένης συντελῇ διανοίας· ὥστε καὶ ἐπίδειξίν τινα κενὴν εἶναι τὴν περὶ τὰ τοιαῦτα ἀκριβολο-

V. 8. *Apta chordam, expedita fac ut sis, pars Ammon, quae incolis flumina, aquis circumdata, cujus principatus mare, cujusque murus aquae marinae.* Nonnulli dixerunt, Ammonem hic nominari Alexandriam Aegypti. Atqui compertum est quadringentis circiter annis post hanc prophetiam Alexandrum Macedoniae regem vixisse; qui occupata cum aliis multis regionibus Aegypto, cognominem sibi condidit Alexandriam. Quodsi quis dicat, ante hunc quoque exstitisse eo in loco urbem nomine Ammonem, deque hac modo loqui prophetam; profecto, quod saepe jam monui, supervacaneam esse arbitror de his rebus curiositatem, siquidem nihil ea confert ad rei propositae intelligentiam. Quare subtilior

γίαν, ἵνα δὴ δοκῶσι τοὺς ἀδηλοτέρους ταῖς ὀνομασίαις ἑρμηνεύειν τόπους. μυθωδέστερον δὲ ἔτι τὸ παρ᾽ αὐτῶν λεγόμενον, ὅτι τῆς Ἀλεξανδρείας τὴν ἀπώλειαν ὁ προφήτης λέγει, ὡς ἂν δείξειεν, ὅτι μηδὲν θαυμαστὸν, εἰ καὶ περὶ τὴν Νινευή τι γέγονε τοιοῦτο. Οὐ γὰρ ψυχαγωγεῖν ἐν τοῖς λόγοις ὁ προφήτης πειρᾶται τὴν Νινευὴ, ψυχαγωγίας δὲ ἦν τὸ ἑτέρων συμφορᾶς μέμνησθαι, ὡς ἂν ἐκ ταύτης ὁ πεπονθὼς παρακαλοῖτο. εἰώθαμεν γοῦν ἀεὶ τοὺς πενθοῦντας τῇ μνήμῃ παρακαλεῖν τῶν ὁμοίων, ὡς ἂν μὴ ἄγαν ἀθυμοῖεν καινόν τι τὰ κατ᾽ αὐτοὺς νομίζοντες εἶναι. Τοὐναντίον μὲν οὖν διὰ πάντων δῆλός ἐστιν ὁ προφήτης τῇ μηνύσει τῶν προσεσομένων τῇ Νινευὴ κακῶν τὴν παλαιὰν αὐτῆς συνάπτων εὐπραγίαν, ἀφ᾽ ἧς δὴ μάλιστα τὸ συμβαῖνον αὐτῇ κακὸν αὔξάνεσθαι ἤμελλεν. Ἀλλὰ γὰρ ταῦτα ἐκ περιουσίας εἰρήσθω· ὁ δὲ νοῦς τῶν εἰρημένων οὗτός ἐστιν. εἰσελήλυθεν ἄχρι τῆς Αἰγύπτου ὁ Ἀσσύριος πλεῖστα καὶ τοὺς αὐτόθι διατιθεὶς κακὰ, ὥστε καὶ τοὺς ἐκπεφευγότας τῶν Ἰσραηλιτῶν καὶ αὐτόθι διάγοντας μεγίσταις περιβαλεῖν συμφοραῖς, ὡς προφήτης δείκνυσιν Ὡσηέ [1])· „Διὰ τοῦ-

de his disputatio vana est ostentatio hominum, qui videri volunt incertiorum locorum nomina interpretari. Illud vero apud eos est ineptius, quum ajunt de Alexandriae exitio prophetam loqui, ut ostendat, nil mirum esse, si idem quoque Ninevae accidat. Neque enim solari verbis Nineven propheta vult; nam ad solamen pertinet alienae calamitatis commemoratio, quasi haec malis pressus recreet. Revera maestos consolari solemus mentione paria patientium, ne plus aequo animis concidant, quasi aliquid inusitati iis acciderit. Contra omnino exploratum est, prophetam eventuris Ninevae malis veterem illius felicitatem adjungere, qua calamitas ejus comparatione gravior evadebat. Sed haec satis et abunde dicta sint. Loci vero sententia est: venit usque in Aegyptum Assyrius, multa ibi quoque mala patravit, et quidem profugos illuc Israëlitas ibidemque degentes maximis incommodis adfecit, ut Hoseas propheta demonstrat, qui „Id-

[1]) Cf. Hos. IX, 6.

το ἰδοὺ πορεύσονται ἐκ ταλαιπωρίας Αἰγύπτου καὶ ἐκδέξεται αὐτοὺς Μεμφὶς, καὶ θάψει αὐτοὺς Μαχμάς.“ δηλοῖ δὲ ἅπερ ὑπὸ τῶν Ἀσσυρίων εἰσεληλυθότων εἰς τὴν Αἴγυπτον πάσχειν ἤμελλον οἱ ἐπ᾽ αὐτὴν καταπεφευγότες τῶν Ἰσραηλιτῶν. Ὥσπερ τοίνυν ἐν τοῖς ἀνωτέροις[1]) τὰ καταληψόμενα τοὺς Ἀσσυρίους λέγων κακὰ ἐπὶ τὸν Ἰούδαν ἀπέστρεψε τὸν λόγον, ἑορτάζειν αὐτῷ κελεύει ὡς ἐν εἰρήνῃ καθεστῶτι λοιπὸν τῷ τὸν ἐπεληλυθότα αὐτῇ πολέμιον ἀνῃρῆσθαι, οὕτω κἀνταῦθα ἐπὶ τὴν Ἀμμὼν, πόλιν οὖσαν τῆς Αἰγύπτου, τρέπει τὸν λόγον καὶ φησίν· ἀνάλαβε κιθάραν καὶ μετὰ πολλῆς τῆς ἡδονῆς παρασκευάσαι διὰ ταύτης τοῦ μὲν ᾄδειν τὴν ἀπώλειαν σοῦ δὲ τὴν εἰρήνην, ἣ πανταχόθεν ὕδατι περιβεβλημένη θαλάττῃ τε ὠχυρωμένη καὶ ποταμοῖς ὄνησαι ἐκ τούτων οὐδὲν ἐπεληλυθότος τοῦ Ἀσσυρίου. νῦν μέντοιγε πᾶσα τῆς ἐκείνου κακίας λέλυταί σοι ἡ ὑπόνοια. — Εἶτα ἐπάγει·

θ'. Αἰθιοπία ἡ ἰσχὺς αὐτῆς καὶ Αἴγυπτος, καὶ οὐκ ἔστι πέρας τῆς φυγῆς σου. Φοὺτ καὶ Λίβυες ἐγένοντο βοηθοὶ αὐτῆς, ι'. καὶ αὐτὴ εἰς μετοικεσίαν πορεύσε-

circo ecce, ait, prodibunt e miseria Aegypti et excipiet eos Memphis et Machmas eos sepeliet.“ Significat autem, quae ab Assyriis Aegyptum ingressuris perpessuri essent profugi Israëlitae. Sicut ergo in superioribus, postquam, correptura Assyrios mala recitavit, ad Judae tribum verba convertit, jubens eam festa agere, et pace in posterum frui, quandoquidem adgressori ejus extingui contigerat; ita et nunc ad Ammonem Aegypti urbem sermone conversa ait: sume citharam, multoque cum gaudio para te ad canendum fidibus Assyrii exitium tuamque pacem, tu, quae aquis undique cincta, mari fluviisque vallata, nihil inde protecta fueras ab Assyrii incursione, nunc demum universa tibi maleficii ab eo patiendi formido sublata est. — Deinde addit.

V. 9. *Aethiopia atque Aegyptus robur ejus; neque est terminus fugae tuae. Phut et Libyes auxiliares ejus sunt.* V. 10. *Ipsa tamen captiva abibit in exilium. Parvulos ejus solo allident in viarum*

[1]) Cap. II. init.

ται αἰχμάλωτος, καὶ τὰ νήπια αὐτῆς ἐδαφιοῦσιν ἐπ' ἀρχαῖς τῶν ὁδῶν αὐτῆς. Καὶ γὰρ καὶ οὗτοι, φησὶν, Αἰθίοπές τε καὶ Λίβυες καὶ πάντες δὴ, ὧν πεποίημαι μνήμην, συμμαχίαν ἔθεντο πρὸς σὲ ἐν ἁπάσαις βοηθεῖν ἐπαγγελλόμενοί σοι ταῖς ἀνάγκαις· ὠφέλησαι δὲ οὐδὲ ἀπὸ τούτων οὐδὲν περὶ φυγήν τε ἀσχολουμένη καὶ αἰχμάλωτος ταῖς τῶν πολεμίων ἀπαγομένη χερσὶν, οἳ οὐδὲ τῶν νηπίων τῶν παρὰ σοὶ φειδὼ ποιησάμενοι ἐῤῥίφασιν αὐτὰ νεκρὰ κατὰ πᾶσαν ὁδὸν πολυτρόποις ὑποβαλόντες σφαγαῖς. εὔδηλον δὲ ὅτι Αἰθίοπας οὐ τοὺς πόῤῥω πως ἀπῳκισμένους φησὶν, ἀλλὰ τοὺς ὅσους ὁμόρους εἶναι συνέβαινεν Αἰγυπτίοις. — *Καὶ ἐπὶ πάντα τὰ ἔνδοξα αὐτῆς βαλοῦσι κλήρους, καὶ πάντες οἱ μεγιστᾶνες αὐτῆς δεθήσονται χειροπέδαις.* Ἅπαντα μὲν γὰρ τὰ παρὰ σοὶ τίμια ἀφελόντες οἱ πολέμιοι διενείμαντο κλήρους καὶ τοὺς μέγα δὲ τῶν ἐν σοὶ δύνασθαι νομιζομένους χειροπέδαις ἐμβάλοντες ἐπὶ τὴν αἰχμαλωσίαν εἷλκον.

capitibus. Nam et hi, inquit, Aethiopes et Libyes, caeterique, quorum mentionem feci, foedera tecum inierant, seque tibi in omni bellica necessitate adfuturos receperant. Verumtamen nihil opis hinc retulisti; dumque fugam maturares, capta es hostium manibus et abducta; qui sane ne parvulorum quidem tuorum miserti exanimes abjicient passim in compitis, vario suppliciorum genere enecatos. Constat autem hic Aethiopas dici, non illos longe dissitos, sed Aegyptiis qui sunt finitimi. *De praeclaris, quae ei sunt, sortem jacient, cunctique optimates ejus manicis vincientur.* Omnia tibi pretiosa eripientes hostes sorte inter se distribuerunt; cunctosque, qui apud te potentia pollebant, manicis injectis in captivitatem abduxerunt.

ια'. *Καὶ σὺ μεθυσθήσῃ.* Ἐπειδὴ τὸν οἶνον ἐπὶ τιμωρίας λαμβάνειν εἴωθε, βαρυτάτην, φησὶν, ὑπομενεῖς τὴν τιμωρίαν, ὥστε δίκην μεθύοντος τῇδε κἀκεῖσε περιαντλεῖσθαι τοῖς κακοῖς. —

V. 11. *Et tu inebriaberis.* Quia vino significare punitionem scriptura solet, gravissimam illi ait inflictum iri poenam, ut ebrii instar hinc inde obruatur adversi-

Καὶ ἔσῃ παρεωραμένη. λόγος δὲ οὐδενὶ γενήσεται τῶν κατὰ σέ. — *Καὶ σὺ ζητήσεις σεαυτῇ στάσιν ἐξ ἐχθρῶν σου.* Ἐπιθυμήσεις δέ τινα ἄνεσιν τῶν κακῶν λαβεῖν, ὁπόσα δή σοι παρὰ τῶν πολεμίων κατὰ τὸν καιρὸν ἐκεῖνον ἐπάγεσθαι μέλλει. —

tatibus. — *Et despicieris.* Nemo tui rationem habebit. — *Et tu quaeres tibi requiem ab inimicis tuis.* Optabis levamine aliquo malorum potiri, quae tibi eo tempore ab hostibus accident.

ιβ', *Πάντα τὰ ὀχυρώματά σου ὡς σύ.* Καταλυθήσεται γὰρ παραπλησίως σοι πάντα ὁπόσα δὴ πρὸς ἀσφάλειαν οἰκείαν πρότερον εἶχες. *Καὶ σκοποὺς ἔχουσαι ἐὰν σαλευθῶσι καὶ πεσοῦνται εἰς στόμα ἐσθίοντος.* Πειράσῃ δὴ διὰ πολλῶν ἀποσκοπεῖν τὰ ἐσόμενα ἐπειδὰν τῆς παρουσίας τῶν πολεμίων δέξῃ τὴν ἀκοὴν, οἱ δὲ ὀνήσουσί σε οὐδέν, ἐκτραπέντες γὰρ τῶν ἐντεταλμένων πεσοῦνται ὑπὸ τοῖς πολεμίοις. —

V. 12. *Omnes munitiones tuae sicut tu.* Aeque ac tu corruent omnia, quae olim tutelae tuae gratia tenebas. — *Etiamsi speculatores habent, nihilominus quassatae corruent in os vorantis.* Conaberis quidem multis exploratoribus ventura pernoscere statim ac propinquantem hostem audieris; sed tamen custodum nullus fructus erit, namque ab imperatis stationibus dejecti in hostium potestatem incident.

ιγ'. *Ἰδοὺ, λαός σου ὡς γυναῖκες ἐν σοὶ, τοῖς ἐχθροῖς σου ἀνοιγόμεναι ἀνοιχθήσονται πύλαι τῆς γῆς σου, καὶ καταφάγεται πῦρ τοὺς μοχλούς σου.* Πάντες σου, φησὶν, οἱ κατὰ τὴν πόλιν ὑπήκοοι γυναικῶν δίκην ἐν ὀλολυγαῖς γενήσονται καὶ δέει, ἐπειδὰν τὰς μὲν πύλας ὑπὸ τῶν πολεμίων ἴδωσιν ἀνοιγείσας, κεκρατημένην δὲ ὑπ' αὐτῶν τὴν πόλιν πάσης τῆς πρότερον αὐ-

V. 13. *Ecce, populus tuus tanquam feminae apud te. Hostibus patefient portae terrae tuae; et ignis consumet vectes tuos.* Omnes qui mandatis tuis obtemperant in urbe cives, feminarum more ululatibus indulgebunt atque formidini, statim ac portas hostibus patentes viderint captamque ab his urbem, cujus vetus omnis munitio tan-

τῇ δοκούσης ἀσφαλείας προσεῖναι ὡς ὑπὸ πυρὸς ἀθρόον ἀναλωθείσης. —

ιδ'. Ὕδωρ περιοχῆς ἐπίσπασαι σεαυτῇ καὶ κατακράτησον τῶν ὀχυρωμάτων σου. Πολλοῖς ἔθος ἐστὶ πρὸ τῶν τειχῶν τάφρους ἐργάζεσθαι μεγίστας καὶ πληροῦν ταύτας ὕδατος, ὡς μὴ ῥᾳδίαν ἐπὶ τὰ τείχη τοῖς πολεμίοις εἶναι τὴν διάβασιν· τοῦτο οὖν λέγει κἀνταῦθα, ὅτι ἐφέλκυσαι τὴν ἐκ τοῦ ὕδατος βοήθειαν καὶ περίβαλε τούτῳ τὸ τεῖχος τὸ οἰκεῖον, καὶ πάντων τῶν εἰς ἀσφάλειαν σοι κατεσκευάσθαι δοκούντων πολλὴν πρίησαι τὴν ἐπιμέλειαν, εἴ πού τι ἐκ τούτων ὄφελος δέξαιο. λέγει δὲ αὐτὰ εἰρωνικῶς διασύρων ὡς οὐδενὶ βοηθεῖσθαι κατ᾽ ἐκεῖνον τὸν καιρὸν οἵων τε ὄντων. Ἐπάγει γοῦν· Ἔμβηθι εἰς πῆλον καὶ συμπάτηθι ἐν ἀχύροις, κατακράτησον ὑπὲρ πλίνθον, ιε'. ἐκεῖ καταφάγεταί σε πῦρ, ἐξολοθρεύσει σε μάχαιρα, καὶ καταφάγεταί σε ὡς ἀκρὶς, καὶ βαρυνθήσῃ ὡς βροῦχος. ιϛ'. ἐπλήθυνας ἐμπορίας σου ὑπὲρ τὰ ἄστρα τοῦ οὐρανοῦ. Ἀλλ᾽ οὐδὲν ἔσται σοι πρὸς σωτηρίαν μηχάνημα τότε, τοὐναντίον μὲν οὖν ὥσπερ εἴς τινα πηλὸν ἐμπέσῃ τὸ μέγεθος τῶν κακῶν, δίκην ἀχύρων ἐμποιήσει πλίνθον

quam igne subito absumpta evanescet.

V. 14. *Aquam obsidionis compara tibi et obtine propugnacula tua.* Multis mos est, prae moenibus foveas maximas effodere, easque aquis complere, ne sit expeditus hostibus ad moenia accessus. Id utique nunc ait: pete ab aqua praesidium atque hac circumda muros tuos, nihilque eorum praetermitte, quae tutelae prodesse videntur, num forte hinc aliquid opis impetrare queas. Ergo addit: *Ingredere lutum, conculcare in paleis, roborare super laterem.* V. 15. *Ibi vorabit te flamma, gladius te perdet, comedet te quasi locusta, gravaberis ut bruchus. Multiplicasti negotiationes tuas super astra coeli.* Verumtamen nulla tunc tibi ad salutem machinatio proderit. Immo vero ceu quoddam in lutum in malorum barathrum incides. Palearum instar conficies tu quoque laterem conculcatum atque concretum luto nempe cunctis tunc haerentibus malis. Quippe ignis instar absumet te hostis; caedibus variis peribis;

συμπατούμενόν τε καὶ συναναφυρόμενον τῷ πηλῷ ἐν ἅπασι τοῖς τότε φυρομένοις κακοῖς καὶ αὐτός. ἀναλώσει μὲν γάρ σε δίκην πυρὸς ὁ πολέμιος, ἀφανισθήσῃ δὲ σφαγαῖς ποικίλοις, βρούχου τε καὶ ἀκρίδος δίκην ἐπελεύσεταί σοι τῶν πολεμίων τὸ πλῆθος, καταναλίσκοντές σε καὶ βαρεῖαν ἐξεργαζόμενοί σοι τῶν κακῶν τὴν πεῖραν. ἄπρακτος δέ σοι πᾶς ὁ πλοῦτος ἐκεῖνος γενήσεται, ὃν συνέλεξας ὡσπερεὶ τοῖς ἄστροις ἁμιλλώμενος τοῦ οὐρανοῦ.

bruchi et locustae more superveniet tibi hostium agmen, qui te consument, acerbumque tibi malorum sensum efficient. Otiosae autem tibi erunt opes illae, quarum numerum stellis coelestibus parem congesseras.

ιζ΄. Βροῦχος ὥρμησε καὶ ἐξεπετάσθη, ἐξήλατο ὡς ἀττέλεβος ὁ συμμικτός σου, ὡς ἀκρὶς ἐπιβεβηκυῖα ἐπὶ φραγμὸν ἐν ἡμέρᾳ πάγου. ὁ ἥλιος ἀνέτειλε, καὶ ἀφήλατο, καὶ οὐκ ἐγνώσθη ὁ τόπος αὐτῆς. Πάντες, φησὶν, οἱ ὑπήκοοί σου, οὓς πολλαχόθεν συνήγαγες αὔξων ὡς ᾤου τὴν δύναμιν ἑαυτῷ (τοῦτο γὰρ λέγει σύμμικτον), ὥσπερ τις βροῦχος ἀπέπτη[1]*) παντελῶς καὶ ἐξεπήδησεν ἀττελέβου δίκην, ἐμιμήσατό τε ἀκρίδα ἐν πάγῳ ἐπιβεβηκυῖαν φραγμῷ, ἣ ἀκίνητος ἐκ τοῦ κρίους ἐπὶ τῆς στάσεως μένουσα τῆς οἰκείας ἡλίου φανέντος τε καὶ διαλύσαντος τὸν πάγον ἀθρόον τῆς πτήσεως τῆς οἰκείας ἀπειληφυῖα τὴν δύναμιν*

V. 17. *Bruchus irruit et evolavit, exsiliit quasi attelabus commixtus tuus, ut locusta, quae insidit in sepe die frigido, orto vero sole avolat, ita ut locus, quo fuerit, non appareat.* Omnes, inquit, subditi tui, quos multis e locis contraxeras, incrementum, ut arbitrabaris, virium tuarum (id enim significat vox Commixtus), bruchi more avolaverunt quaqua versus, diffugeruntque instar attelabi; imitati sunt locustam, quae hora gelida sepem insidet; haec enim manet in statione immobilis a frigore, donec orto sole geluque resoluto vim volandi recuperans, exsilit, nullo sui

[1]) Ita apud Majum; cod. Vindob. ἀπέστη, at male.

ἀφίσταται οὐδὲν ἴχνος τῆς στάσεως καταλιποῦσα τῆς πρότερον. οὕτω γάρ, φησὶ, καὶ οὗτοι πρότε ν μὲν ὑπὸ σοὶ καθεστήκεσαν τῷ δέει, καταλαβούσης δέ σε τῆς συμφορᾶς, ὥσπερ ἐν ἐλευθερίᾳ τινὶ γεγονότες τὸν ἐκ σοῦ χωρισμὸν ἀγαπήσουσιν ἅπαντες. — Εἶτα θρηνητικῶς ἐφ' ἅπασιν ὁ προφήτης λέγει·

vestigio relicto. Dicit autem: hi pariter, qui tibi antea metus causa obtcmperabant, mox ubi adversa fortuna laboraveris, tanquam libertate recepta cuncti a te ovantes recedent. — Deinde lugubriter generatimque propheta exclamat.

ιη'. Οὐαὶ αὐτοῖς. ἐνύσταξαν οἱ ποιμένες σου, βασιλεὺς Ἀσσύριος ἐκοίμισε τοὺς δυναστάς σου. Θρήνων, φησὶν, ἄξιοι πάντες ὑμεῖς· οἱ μὲν γὰρ ἡγούμενοι ὥσπερ ὕπνῳ τινὶ τῇ τιμωρίᾳ κατενεχθέντες πεπτώκασι (τοιοῦτον δέ ἐστι καὶ τὸ παρὰ τῷ μακαρίῳ Δαυὶδ [1]) „Ἐνύσταξαν οἱ ἐπιβεβηκότες ἵππους") ὁ δὲ βασιλεὺς ὁ ὑμέτερος ἀπωλείᾳ παραδοθεὶς συναπώλεσεν ἑαυτῷ πάντας τοὺς παρ' αὐτῷ δυναστεύοντας πρότερον. — Ἀπῆρεν ὁ λαός σου ἐπὶ τὰ ὄρη, καὶ οὐκ ἦν ὁ ἐκδεχόμενος. Πρὸς φυγὴν ἅπαντες εἶδον λοιπὸν, ἐπεὶ μηδεὶς ἦν ὁ βοηθεῖν δυνάμενος τοῖς παροῦσι κακοῖς.

V. 18. *Vae illis! Dormitaverunt pastores tui, rex Assyrius consopivit potentes tuos.* Flebiles, ait, vos omnes; nam duces ceu sopore quodam punitione correpti occubuerunt; (tale est etiam illud a beat. Davide dictum „Dormitaverunt, qui equis vehuntur"); regi vero vestro neci tradito commortui sunt omnes, qui apud eum dignitate praestabant. — *Diffugit ad montes populus tuus, nemine eum ibi excipiente.* Cuncti jam ad fugam spectabant, quoniam nemo reliquus erat, qui praesenti malo suppetias ferret.

ιθ'. Οὐκ ἔστιν ἴασις τῆς συντριβῆς. Πᾶσα γὰρ θεραπεία τε καὶ διόρθωσις τῶν σῶν ἀφῄρηται κακῶν. — Ἐφλέγμανεν ἡ πληγή σου. Ηὐξήθη

V. 19. *Non est cladis medela.* Cura omnis atque emendatio malorum tuorum frustra tibi est. — *Vulnus tuum intumuit.* Crevit cala-

[1]) Ps. LXXV, 6.

γάρ σου τὸ κακὸν, ὥστε καὶ μένειν ἀνίατον. — Πάντες οἱ ἀκούσαντες τὴν ἀγγελίαν σου κροτήσουσι χεῖρας ἐπὶ σὲ, διότι ἐπὶ τίνα οὐκ ἐπῆλθεν ἡ κακία σου διαπαντός; Ἀλλὰ γὰρ οἱ πανταχοῦ τῶν περὶ σὲ κακῶν δεξάμενοι τὴν ἀκοὴν ἡσθήσονται τῷ κρότῳ τῶν χειρῶν τῶν οἰκείων ἐπιδεικνύμενοι τῆς σῆς ἀπωλείας τὴν ἡδονήν. ἐπειδὴ γὰρ κοινὸν πρὸς ἅπαντας ἦρω τὸν πόλεμον καὶ πάντα ὁντιναοῦν βλάπτειν καὶ κακοῦν κατὰ τὴν δύναμιν ἔσπευδες τὴν οἰκείαν, διὰ τοῦτο κοινὴν ἅπασιν ἡδονὴν ἐκ τῆς ἀπωλείας γενέσθαι συνέβη τῆς σῆς. —

mitas tua adeo, ut insanibilis sit facta. — *Omnes, qui de te nuntium audient, manus complodent super te; nam quem malitia tua perpetua non lacessivit?* Populos sane omnes fama calamitatum tuarum oblectabit, hique manuum plausu quantopere pernicie tua laetentur, significabunt. Tu enim bellum adversus omnes susceperas, neminemque pro viribus molestia ac detrimento non adficiebas. Hinc tuus interitus commune omnibus gaudium attulit.

ἙΡΜΗΝΕΙΑ ἈΜΒΑΚΟΥΜ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

COMMENTARIUS IN HABACUCUM PROPHETAM.

ΠΡΟΟΙΜΙΟΝ.

Ἤδη τοῦ Ἀσσυρίου τοὺς μὲν τῶν δέκα φυλῶν αἰχμαλώτους εἰς τὴν οἰκείαν ἀπάγοντος χώραν, ἐπεληλυθότος δὲ τῇ Ἱερουσαλὴμ, καὶ τὴν φοβερὰν ἐκείνην διὰ τοῦ ἀγγέλου πληγὴν δεξαμένου, μετὰ πολλῆς τε ὡς εἰκὸς ἐντεῦθεν τῆς ἀτιμίας ὑποστρέψαντος εἰς τὰ οἰκεῖα, ὁ μακάριος Ἀμβακοὺμ ἐπὶ τῆς Ἰουδαίας τὴν προφητείαν ποιεῖται ταύτην, εἰς δύο μερίζων τὸν λόγον, εἴς τε τὴν αἰτίασιν τῶν ἐν τῷ λαῷ δυναστευόντων τε καὶ κρινόντων οἳ πολλαῖς τε καὶ διαφόροις ταλαιπωρίαις τοὺς πένητας περιέβαλον, ὑπὲρ ὧν δὴ μάλιστα ἐπαχθήσεσθαι τὰ παρὰ τῶν Βαβυλωνίων αὐτοῖς μνημονεύει κακὰ, — καὶ εἰς τὴν αὐτῶν τῶν Βαβυλωνίων κατηγορίαν, ὡς κεκρατηκότων μὲν τῆς Ἱερουσαλὴμ, οὐκ εἰς δέον δὲ τῷ

PRAEFATIO.

Postquam Assyrii decem tribuum cives in suam terram captivos abduxerant, et dein obsessa Hierosolyma terribili ista per angelum clade adfecti, magnaque, ut credibile est, ignominia contracta, dehinc in sua redierant, beatus Amosus in Judaea hoc protulit vaticinium. Et in duas quidem sermonem suum divisit partes: unam, quae potentes judicantesque in populo increpat, qui pauperes multis variisque calamitatibus obruerunt, quam ob rem ipsos a Babyloniis malis obrutum iri monet; — alteram, quae ipsos Babylonios increpat, quod Hierosolyma expugnata, non eo, quo par erat, modo potentia sua usi fuerint nimiam in illos ad-

κράτει χρησαμένων, πολλὴν δὲ τὴν ἀμετρίαν τῆς ὠμότητος κατ' αὐτῶν ἐπιδεδειγμένων, ὑπὲρ ὧν δὴ καὶ τούτοις τιμωρηθήσεσθαι λέγει. Ὥστε κατά γε τὴν διαίρεσιν ταύτην ἐοικέναι τῷ ἐννάτῳ ψαλμῷ δοκεῖν αὐτοῦ τὴν προφητείαν, ὅς ἐστι μὲν εἷς τῷ ἀριθμῷ ἐπὶ τῆς ἑλληνικῆς ἐκφωνήσεως, δύο δὲ ἐπὶ τῆς Ἑβραίων γλώττης, ἰδίαν ἑκατέρου τὴν ὑπόθεσιν ἔχοντος, ὡς τοῦ μὲν προτέρου ἀρχὴν μὲν εἶναι τὸ „Ἐξομολογήσομαί σοι, κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσια σου,“ πέρας δὲ τὸ „κατάστησόν με κύριε νομοθέτην αὐτοῖς, γνώσθωσαν ἔθνη, ὅτι ἄνθρωποί εἰσι,“ τοῦ δευτέρου δὲ ἀρχὴν μὲν τὸ „Ἱνατί, κύριε, ἀφέστηκας μακρόθεν, ὑπερορᾷς ἐν εὐκαιρίαις ἐν θλίψεσι,“ τέλος δὲ τὸ „Τὴν ἑτοιμασίαν τῆς καρδίας αὐτῶν προσέσχε τὸ οὖς σου, κρῖναι ὀρφανῷ καὶ ταπεινῷ, ἵνα μη προσθῇ ἔτι τοῦ μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς.“ τούτων δὲ ἐν μὲν τοῖς προτέροις τοὺς ἀλλοτρίους αἰτιᾶται, λέγω δὲ τοὺς περιοίκους, ὡς πολλῇ τῇ κατ' αὐτῶν ὠμότητι χρησαμένους, ὑπὲρ ὧν δὴ καὶ τιμωρίαν αὐτοῖς ἐπῆχθαι λέγει παρὰ τοῦ θεοῦ, ἐν δὲ τοῖς δευτέροις τοὺς ἐν τῷ λαῷ τῷ τε πλούτῳ καὶ τῇ δυναστείᾳ ἐπ'

bibentes crudelitatem, quamobrem et his futuram indicat punitionem. Hac igitur divisione hoc Habacuci vaticinium nono comparandum videtur psalmo, qui numero quidem unus est in Graeca versione, in Hebraeo vero textu duo sunt psalmi, quorum suum quisque habet (ab altero diversum) argumentum. Prior autem ita incipit: „Confitebor te, domine tota mente, narrabo omnia tua miracula;“ et in haec verba exit: „Constitue me eis, domine, legislatorem; gentes, se homines esse, intelligant:“ et alterius initium sic habet: „Cur, domine, procul abes, et lates in temporibus bonis et adversis?“ finis vero ita: „Molimina cordis eorum audivit auris tua, ut judicares pupillo et tenui, ne amplius superbiant homines in terra.“ Et in priore quidem peregrinos, i. e. vicinos objurgat David, quod multa adversus eos (Judaeos) usi fuerint crudelitate, ob quam iis etiam poenam a Deo inflictam esse dicit; in altero vero, eos e populo Judaeorum, qui divitiis suis et potentia sua ad injuriam et noxam pauperibus ciendam ab-

ἀδικίαν καὶ βλάβην καὶ ἐπήρειαν τῶν πενήτων κεχρημένους, οὓς καὶ αὐτοὺς οὐκ ἔξω τιμωρίας ἔσεσθαί φησι. Τοιοῦτο γάρ τι καὶ νῦν ὁ μακάριος Ἀμβακοὺμ ὁ προφήτης ποιεῖ, μερίζων τὸν λόγον εἴς τε τούς παρ' αὐτοῖς ἐπ' ἀδικίᾳ τῶν πενήτων τῇ προσούσῃ κεχρημένους δυναστείᾳ, τούτους γὰρ ἐν τοῖς προτέροις αἰτιασάμενος λέγει καὶ τὴν ἐπαγομένην αὐτοῖς ὑπὲρ τούτου τιμωρίαν, — καὶ εἰς τοὺς Βαβυλωνίους, ὧν καὶ αὐτῶν πλεῖστα ὅσα διατεθεικότων κακὰ τὸν λαὸν τὴν ἐπαχθησομένην ὕστερον τιμωρίαν μηνύει. —

Ἀλλὰ γὰρ τοιαύτης τινὸς οὔσης τῆς ὑποθέσεως τῶν τοῦ προφήτου ῥημάτων τὰ κατὰ μέρος σκοπητέον λοιπόν. Προκεῖται μὲν οὖν ἡ εἰωθυῖα προγραφὴ τοῦ βιβλίου, Τὸ λῆμμα ὃ εἶδεν Ἀμβακοὺμ ὁ προφήτης. Ἄρχεται δὲ οὕτως.

usi erant, castigat, nec ipsos impunes mansuros minitatur. Tale aliquid etiam beatus Habacucus nunc facit dividens sermonem suum, tum ad eos locutus, qui potentia sua ad iujuriam pauperibus faciendam utebantur; eos enim in priore parte objurgat, eorumque mulctam futuram dicit: — tum ad Babylonios, ut qui et ipsi saepius populum dureque vexaverint; nec non ideo eis infligendam indicat poenam.

Hoc ergo est prophetici sermonis argumentum; jam vero singula sunt spectanda. Praemisso enim consueto libri titulo, *Correptio, quam vidit Habacucus propheta,* ita exorditur.

Κεφάλαιον Α'.

β'. Ἕως τίνος κύριε κεκράξομαι καὶ οὐ μὴ εἰσακούσῃς, βοήσομαι πρὸς σὲ ἀδικούμενος καὶ οὐ μὴ σώσῃς. Οὐχ ὡς αἰτίασίν τινα τῷ Θεῷ προσάγων ὁ προφήτης ταῦτά φησιν, ἀλλὰ καθὼς ἔθος αὐτοῖς ἐπὶ τῶν τινὰ διαπόρησιν ἐχόντων ἢ καὶ ἀγανάκτησιν κινούν-

Caput I.

V. 2. *Quousque, domine, clamabo, ad te non exaudientem, et vociferabor ad te injusta patiens, quin mihi succurras?* Non quo accuset Deum haec dicit propheta; sed sicuti sacris scriptoribus in more est, in rebus, quae dubitationem in-

των δικαίαν κατὰ τῶν ποιούντων ἐν αἰτιατικῷ λέγειν σχήματι τῶν πραττομένων τὴν ἀτοπίαν, οὕτω κἀνταῦθα δή φησιν· ὥσπεροῦν ὁ μακάριος λέγει Δαυὶδ τὸ [1]) „Ἱνατί κύριε ἀφέστηκας μακρόθεν, ὑπερορᾷς ἐν εὐκαιρίαις ἐν θλίψεσιν, ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ ἐμπυρίζεται ὁ πτωχός" καὶ τὰ ἑξῆς· οὐ γὰρ τὸν θεὸν αἰτιώμενος ταῦτα λέγει, ἀγανακτῶν δὲ κατὰ τῶν ταῦτα ποιούντων καί τινα τρόπον ἀπορῶν ἀνθ' ὅτου μὴ δίκας διδόασιν ὀξέως. Οὕτω καὶ ἀλλαχοῦ [2]) „Ἱνατί ὁ θεὸς ἀπώσω εἰς τέλος, ὠργίσθη ὁ θυμός σου ἐπὶ προβάτων νομῆς σου; διαπορῶν γὰρ ἐπὶ τῷ μεγέθει τῶν γεγονότων εἰς τὸν λαὸν κἀνταῦθά φησι· Καὶ πολλὰ δὲ τοιαῦτα εὕροι τις ἄν, ὥσπεροῦν καὶ ὁ μακάριος Ἱερεμίας φησίν [3]), „Τί, ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται, ηὐθήνησαν πάντες οἱ ἀθετοῦντες ἀθετήματα." Οὐδὲ γὰρ οὐδ' οὗτος τὸν θεὸν αἰτιώμενος λέγει, ἀγανακτῶν δὲ ἐφ' οἷς ἔπραττον, ὅτι μὴ διδόασιν δίκας, ἐπείπερ οἱ προφῆται πάντες ὁμοίως ἦσαν πεπεισμένοι τὸ ἐκεῖνο δὴ παρὰ τοῦ μακαρίου Δαυὶδ λεγόμενον [4]) „Κύριε ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου, ἡ ἀλήθεία σου ἕως τῶν νεφελῶν, ἡ

jiciunt, vel etiam justam cient indignationem adversus talia facientes criminose dicere factorum pravitatem, ita noster etiam dicit. Eodem modo beatus David „Cur, domine, inquit, procul abes, et lates in temporibus bonis et adversis? Superbiente admodum impio, pauper exstinguitur etc.;" non enim Dei accusandi causa haec dicit, sed indignatus eos, qui haec faciunt, et quasi nescius et dubius, cur non statim poenas luerint. Ita etiam alibi, „Cur Deus, inquit, rejecisti oves pascuorum tuorum plane, iraque tua contra eos exarsit?" quasi ambigens propter magnitudinem calamitatum populi haec dicit. Multaque his similia invenire poteris, veluti, si beatus quoque Jeremias, „Cur prospera est impiorum via, cur fortunati sunt omnes, qui admodum pvaevaricantur?" Neque hic enim Deum accusare vult, sed haesitans animo, cur talia facientes non poenas solvant. Omnes enim prophetae persuassissimum habebant illud beati Davidis,

[1]) Ps. IX, 22. — [2]) Ps. LXXIII, 1. — [3]) Jerem. XII, 1. — [4]) Ps. XXXV. 6. 7.

δικαιοσύνη σου ὡς ὄρη θεοῦ, τὰ κρίματά σου ἄβυσσος πολλή.“ ἀπεροῦν ἔφη καὶ τὴν φιλανθρωπίαν ἐκπληττόμενος τοῦ θεοῦ ὡς ἀμέτρητον οὖσαν καὶ τοῦ δικαίου τὴν φροντίδα, ὅτι πολλήν γε ποιεῖται ταύτην, ἀνέφικτον δὲ εἶναι λέγων τοῦ θεοῦ τὴν δοκιμασίαν καὶ τὴν κρίσιν, καθ᾽ ἣν οὐκ ὀξείας ἐπάγει τοῖς πταίουσι τὰς τιμωρίας, ἀναβάλλεται δὲ αὐτὰς πολλάκις, καίτοιγε ἐν ἀνθρώποις πολλῶν παθόντων κακῶς. Τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ προφήτης ἐνταῦθά φησιν ἀγανακτῶν ἐπὶ τῇ ἀδικίᾳ τῶν ἐν τῷ λαῷ δυναστευόντων καὶ πολλήν τινα καὶ πολύτροπον τοῖς πένησι τὴν ἐπήρειαν ἐπαγόντων· καὶ σφόδρα μὲν εἰδὼς, ὡς τιμωρίας ἄξια τὰ πραττόμενα, ἀθυμῶν δὲ ὅτι τὴν τιμωρίαν ἀναβαλλομένου τοῦ θεοῦ πολλή τις ἡ κατὰ τῶν πενήτων γίνεται ἀδικία. Διὰ τοῦτο ὡσὰν πολλάκις αἰτήσας τοῦ θεοῦ τὴν τιμωρίαν ἐπενεχθῆναι τοῖς οὕτω διαπραττομένοις κακῶς ἀνύσας δὲ πλέον οὐδὲν, Ἕως τίνος, φησὶ, κύριε κεκράξομαι καὶ οὐ μὴ εἰσακ. κ. τ. λ., ἀναλαβὼν γὰρ τὸ τῶν ἀδικουμένων πρόσωπον οὕτω φησὶν, ὅτι ἄχρι τίνος ἐν ταλαιπωρίαις πολλαῖς ἐξεταζόμενος βοῶ μὲν αὐτῶν τὴν σὴν βοήθειαν, οὐ τυγχάνων δὲ αὐτῆς;

„Misericordia tua, domine, in coelo, fidesque tua quousque nubes (grassantur), et justitia tua tanquam montes Dei, et judicia tua abyssus alta;“ quibus verbis et benignitatem Dei celebrat, utpote immensam, et justitiae studium, quod summum sit; ejus vero judicia et sententias neminem posse assequi, dicit, quod scilicet non statim a peccantibus sumat poenas, sed eas saepenumero differat, quamvis multi ex hominibus laborent. Eadem ratione etiam h. l. propheta loquitur, pravitatem indignatus eorum, qui populo elati, pauperibus multas multiplicesque faciebant injurias; nec ignorat, haec facinora punitione digna, sed fractus est animo, quod cunctante divina ira injuria adversus pauperes adeo crescat. Itaque, quasi saepe jam Deum, ut supplicium expetat ab illis, qui impie faciebant, imploraverit, nil vero eo effecerit, Quousque, inquit, domine, clamabo ad te, non exaudientem etc. Quibus pressorum personam agens haec dicit: quousque summis calamitatibus implicitus clamabo, tuum auxilium

γ'. Ἱνατί μοι ἔδειξας κόπους καὶ πόνους, ἐπιβλέπειν ἐπὶ ταλαιπωρίαν καὶ ἀσέβειαν. Οὐδὲν γὰρ ἕτερον καθ' ἑκάστην ἡμέραν ὁρῶ ἀλλ' ἢ πόνον καὶ συντριβὴν, ἣν οὐ [1]) δυναστεύοντες ἀσεβεῖ τῇ γνώμῃ τοῖς πένησιν ἐπάγειν πειρῶνται. — Ἐξ ἐναντίας γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει, δ'. διὰ τοῦτο διασκεδάσεται νόμος καὶ οὐ διεξάγεται εἰς τέλος κρῖμα. Αἰτιῶμαι γοῦν ὃ πολλάκις εἶδον, ὅτι δίκης συγκεκροτουμένης παρορᾶται μὲν παντελῶς τὸ δίκαιον, πρὸς χρήματα δὲ ὁρῶν ὁ δικαστὴς τοῦτο τὸ πέρας ποιεῖται τῆς δίκης, ἐπαύξων τῷ ἠδικημένῳ τὴν βλάβην. ἐντεῦθεν γοῦν ἠμέληται μὲν τῶν νόμων τῶν σῶν ἡ ἀκρίβεια καὶ λόγος τούτων οὐθεὶς οὐδενὶ, δίκη δὲ οὐδεμία πέρας δέχεται χρηστὸν, ἀλλ' εἰς ἀδικίαν πρόδηλον καταντᾷ. — Ὅτι ἀσεβὴς καταδυναστεύει τὸν δίκαιον. Οἱ γοῦν ἀσεβείᾳ συζῶντες καὶ τῶν σῶν νομίμων οὐδένα ποιούμενοι λόγον πᾶν εἶδος ἐπηρείας κατὰ τὴν οἰκείαν δυναστείαν ἐπάγουσι τοῖς πενομένοις. Δίκαιον γὰρ ἐνταῦθα τὸν ἀδικούμενον πένητα καλεῖ, ὡς δικαίας γε τῆς ἐκδι-

[1]) Leg. οἱ.

expetens, nec vero nanciscens?

V. 3. *Cur mihi labores et dolores ostendisti, et me miseriam et iniquitatem videre voluisti?* Nihil quotidie video, nisi dolorem et angustias, quibus potentes pro impia sua mente pauperes adficere student. — *Perverse factum est judicium, et judex accipit*; V. 4. *Propterea etiam lex dissipabitur, et lis non ad finem perducitur.* Id conqueror crimen a me saepe visum, quod lite instituta, justi nulla fit ratio, sed ex muneribus oblatis judex litis fert dijudicationem, aucta etiam noxa ei, qui injuriam passus est. Unde fit, ut legum tuarum cura negligatur, nec ullus earum sit respectus, nullaque lis bonum habeat finem, sed ad injustitiam quaeque redeat claram. — *Quia impius justum opprimit.* Qui impie vivunt, spreto mandatorum tuorum respectu, quovis noxae genere pro potestate sua egenos torquent. Justum enim hic egenum appellat injuriam patientem, ut qui justam sui ultionem nacturus sit. — *Ideo superveniet ju-*

κίας τευξόμενον. — Ἕνεκεν τούτου ἐπελεύσεται τὸ κρῖμα διεστραμμένον. Ἐντεῦθεν οὐδὲ παρὰ τοῦ κριτοῦ γενόμενόν τι μὴ διεστραμμένον ἴδοι τις ἄν, ἐπειδὴ κἀκεῖνος ἀμελῶν τοῦ δικαίου πρὸς τὸν δυναστεύοντα τὴν πᾶσαν ἔχει ῥοπήν. —

dicium perversum. Hinc fit, ut a judice nihil nisi perversa fiant; nam et is, neglecto jure, omni studio colit potentem. —

Εἶτα τῶν πραττομένων αἰτιασάμενος τὴν ἀτοπίαν ἐν τούτοις, ἐπάγει λοιπὸν τὴν τιμωρίαν ὡσὰν μετὰ τὴν ἔντευξιν τὴν πρὸς τὸν θεὸν ἐξ ἀποκαλύψεως ἐγνωκώς τε αὐτὴν καὶ μηνύων ἅπασι δικαίως. ε'. Ἴδετε οἱ καταφρονηταὶ καὶ ἐπιβλέψετε καὶ θαυμάσατε καὶ ἴδετε θαυμάσια, καὶ ἀφανίσθητε, διότι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, οὐ μὴ πιστεύσητε ἄν τις ἐκδιηγῆται. Ἀλλὰ γὰρ οὐκ εἰς τὸ παντελὲς ὑμῖν ἔξεσται τοιαῦτα ποιεῖν τῆς κρίσεως καταφρονοῦσι τῆς θείας, ὄψεσθε γὰρ θαυμαστήν τινα τιμωρίαν ἐπαγομένην ὑμῖν καὶ πρὸς ἀφανισμὸν ἀρκοῦσαν παντελῆ, ἐπειδὴ τοιαῦτα ὑμῖν ἐπάξει θεὸς (τοῦτο γὰρ λέγει, Ἔργον ἐγὼ ἐργάζομαι), ὃ καὶ ἄπιστον ἂν ἐκ μόνης διηγήσεως γένοιτο πρὸ τῆς πείρας. Ποῖον τοῦτο λέγων·

Dein post increpatam factorum pravitatem, in sequentibus supplicium iis minitatur, quasi facta ad Deum precatione hoc ex revelatione cognoverit justeque omnibus patefaciat. V. 5. *Videte, contemtores, et attendite et stupete et videte mira, et perdimini; faciam enim diebus vestris aliquid, quod non credetis alicui narranti.* Non perpetuo hoc facere vobis licebit, divinum aspernantibus judicium; miram enim quandam videbitis poenam vobis impositam, quae etiam vobis plane delendis sufficit; talia enim vobis Deus imponet (hoc innuunt verba, Faciam aliquid), ut ex sola eorum narratione priusquam ea experti fueritis, incredibilia videantur. Et quid significat?

ς'. Διότι ἰδοὺ ἐγὼ ἐξεγείρω τοὺς Χαλδαίους, τὸ ἔθνος τὸ πικρὸν καὶ τὸ ταχὺ, τὸ πορευόμενον ἐπὶ τὰ

V. 6. *En enim, ego excitabo Chaldaeos, gentem fortem et velocem, late se per terram diffundentem, ut oc-*

πλάτη τῆς γῆς, τοῦ κατακληρονομῆσαι σκηνώματα οὐκ αὐτοῦ. Ἐπάξω γὰρ ὑμῖν τοὺς Βαβυλωνίους τῆς τοσαύτης ὑμῶν ἕνεκεν παρανομίας, ἔθνος ὠμότατον καὶ μετὰ πολλοῦ τοῦ τάχους ἐπιτελοῦν ἃ βούλεται, ὃ πᾶσαν διὰ τὴν προσοῦσαν αὐτῷ δύναμιν μικροῦ γε ἐπελεύσεται τὴν γῆν, ὡς ἂν περιβάλοιτο κτῆσιν τὴν μηδαμόθεν αὐτοῦ προσήκουσαν μηδαμῶς.

ζ'. Φοβερὸς καὶ ἐπιφανής ἐστι, πολλοῦ γέμων τοῦ φόβου καὶ καταφανὴς ἅπασιν ἐκ τοῦ δύνασθαι μεγάλα. ἐξ αὐτοῦ τὸ κρῖμα αὐτοῦ ἔσται, καὶ τὸ λῆμμα αὐτοῦ ἐξ αὐτοῦ ἐξελεύσεται. Οὐδὲν τῆς ἑτέρου δεόμενος συμμαχίας, ἀλλ' αὐτὸς οἰκείᾳ τῇ δυνάμει πάντα διαπραττόμενος, ὥστε καὶ κρίνειν καὶ κατακρατεῖν ὧν βούλεται, ἀθρόον τε ἣν ἂν ἐθέλῃ τιμωρίαν ἐπάγειν αὐτοῖς.

η'. Ἐξαλοῦνται ὑπὲρ παρδάλεις οἱ ἵπποι αὐτοῦ καὶ ὀξύτεροι ὑπὲρ τοὺς λύκους τῆς Ἀραβίας, καὶ ἐξιππεύσονται οἱ ἵπποι αὐτοῦ καὶ ὁρμήσουσι μακρόθεν καὶ πετασθήσονται ὡς ἀετὸς πρόθυμος ἐπὶ τὸ φαγεῖν. Ἱππικὸν μὲν αὐτῶν παρεσκευασμένον ἐστὶ πρὸς τὸν πόλεμον παρδάλεων τε καὶ τῶν κατὰ τὴν Ἀ-

cupet habitationes non suas. Propter tantam vestrûm impietatem Babylonios in vos inveham, gentem crudelissimam, quae summa cum velocitate consilia sua exsequitur, moxque universam fere viribus suis terram tuam invadet, ut in ditionem eam redigat, quam nunquam antea possedit.

V. 7. *Horribilis est et illustris.* Multum excitat terrorem; omnibusque nota est ista gens ex ingenti sua potentia. *De se ipso judicium suum feret; ejusque correptio de ipso exibit.* Aliorum ope non indiget, sed sua ipsius vi omnibus perpetrandis par est, ideoque judicia fert, et imperat, quibus vult, sumpta statim, quaecunque sibi placet, de iis poena.

V. 8. *Equi ejus cursu velociores sunt pardis et lupis Arabiae; et equitabunt equites ejus, et irruent e longinquo, et volabunt uti aquila devorandi cupida.* Equitatus eorum pardis Arabiaeque lupis citius ad bellum paratus est; equites vero pugnandi adeo cupidi sunt, ut fervide in terram

ῥαβίαν λύκων ὀξύτερον· οἱ δὲ ἱππεύοντες τοσαύτῃ πρὸς τὸ πολεμεῖν κέχρηνται τῇ προθυμίᾳ, ὥστε θαῤῥοῦντας ἐπὶ γῆν ἐλαύνειν πόῤῥωθεν κειμένην καὶ μόνον οὐκ ἐφίπτασθαι τοῖς πόῤῥωθεν αὐτῶν ἀπῳκισμένοις δοκεῖν ἀετοῦ δίκην ἐπὶ θύραν[1]) ἑτοίμου.

θ'. Συντέλεια ἐπ' ἀσεβεῖς ἥξει ἀνθεστηκότας προσώπῳ αὐτῶν ἐξ ἐναντίας. Οὗτοι πάντας τοὺς ἐν τῷ λαῷ τὴν κατὰ τῶν πενήτων ἀσέβειαν ἐπιδεικνυμένους παντελῶς ἀπολέσουσιν οὐδὲ πρὸς τὸ βραχύτατον ἀντιβλέπειν αὐτοῖς ἢ ἀνθιστάναι τολμῶντας. — Καὶ συνάξει ὡς ἄμμον αἰχμαλωσίαν, ι'. καὶ αὐτὸς ἐν βασιλεῦσιν ἐκτροφήσει, καὶ τύραννοι παίγνια αὐτοῦ, καὶ αὐτὸς εἰς πᾶν ὀχύρωμα ἐμπαίξεται καὶ βαλεῖ χῶμα καὶ κρατήσει αὐτοῦ. Πολλοὺς μὲν οὖν αἰχμαλώτους ἐργάσεται ἀναριθμήτους οὐχ ἧττον ἢ ἄμμος, αὐτὸς δὲ τὴν ἰδίαν ἡδονὴν αὐξήσει ἐν τῷ πολλὰς καθελεῖν βασιλείας, ὧν τὸν ἀφανισμὸν οὐ μετὰ πολλοῦ τοῦ πόνου, ὅσον παίζων δὲ ποιήσεται ῥᾳδίως, μετὰ πολλῆς δὲ τῆς εὐμαρείας καὶ τῶν ἄγαν ὠχυρωμένων πόλεών τε καὶ φρουρίων κρατήσει, χῶμά τε ἐγείρων μετὰ πολ-

longe remotam irrumpant, et procul ab iis habitantibus, aquilae instar praedae cupidae, advolare videantur.

V. 9. *Exitium ad impios deveniet, qui faciei eorum resistere volunt.* Hi omnes de Judaeorum populo, qui pauperes impie oppresserunt, prorsus interiment, quin ii parumper illis reniti vel resistere audeant. — *Et congeret quasi arenam captivitatem;* V. 10. *Et ipse regibus delectabitur, tyrannique ludibrio ei erunt, omnes munitiones ridebit, aggero structo capiet eas.* Multos reddet captivos, innumerabiles uti arena; voluptatem suam autem adaugebit multos reges interficiendo, quibus absque magno labore sed quasi ludendo et perquam facile parabit exitium; nec non munitissimas urbes et arces facillime capiet, structo scilicet celerrime aggero omnibusque sive moenibus sive aliis, quibuscunque munitae videntur, destructis.

[1]) Leg. θήραν.

λῆς τῆς εὐκολίας καὶ κατασπῶν πᾶν εἴτε τεῖχος εἴθ' ἑτέρως πῶς ἠσφαλίσθαι δοκοῦν.

ια'. Τότε μεταβαλεῖ τὸ πνεῦμα αὐτοῦ καὶ διελεύσεται καὶ ἐξελεύσεται. Ἀλλὰ γὰρ μεγίστην τὴν ἐπαχθεῖσαν τιμωρίαν ἰδὼν ὁ Θεὸς, ἅτε παρὰ τοιούτων καὶ οὕτω διακειμένων ἐπαγομένην ἀνδρῶν, μεταβαλεῖ μὲν τὴν καθ' ἡμῶν ὀργήν· ὥσπερ δὲ εἰς μέσους ἡμᾶς τῇ κηδεμονίᾳ παρελθὼν συγγνώμην μὲν ὑπὲρ τῶν πάλαι πεπλημμελημένων δώσει. λύσει δὲ τὴν ἐπικειμένην ἡμῖν διὰ ταῦτα τιμωρίαν.

ιβ'. Αὕτη ἡ ἰσχὺς τῷ Θεῷ μου. Οὐχὶ σὺ ἀπ' ἀρχῆς κύριε ὁ Θεός μου ὁ ἅγιος; καὶ οὐ μὴ ἀποθανῶμεν. Τοῦτο γὰρ τῆς σῆς δυνάμεως τὸ ἔργον, ὅπερ ἄνωθεν ἐπιδέδειξαι περὶ ἡμᾶς ἅγιος ὢν καὶ πάντων ὑπερκείμενος τῶν ὄντων, ὑπὲρ ὧν δὴ καὶ ζήσεσθαι προσδοκῶμεν λυθείσης ἡμῖν τῆς τιμωρίας. — Κύριε εἰς κρῖμα τέταχας αὐτὸ, καὶ ἔπλασέ με τοῦ ἐλέγχειν παιδείαν αὐτοῦ. Ἄνωθεν γάρ με αὐτὸς εἰς τὴν ἁμαρτανόντων διέπλασας κρίσιν, ὡς ἂν καὶ παιδεύοιμι διὰ τῶν ἐλέγχων αὐτοὺς ἔξω τῆς τοῦ πλημμελεῖν καθίστασθαι παιδείας. — Εἶτα πρὸς αὐτὸν ἀποστρέψας τὸν Θεὸν τὸν λόγον.

ιγ'. Καθαρὸς ὁ ὀφθαλ-

V. 11. *Tum enim mutabit spiritum suum, et transibit exibitque.* At ubi Deus gravissimam istam viderit poenam, utpote ab ejus generis hominibus itaque comparatis vobis inflictam, remittet suam contra vos iram; et quasi in medios vos progressus veterum delictorum veniam dabit impositamque vobis finiet poenam.

V. 12. *Haec est vis Deo meo. Nonne tu ab aeterno, domine, Deus meus sanctus nec fiet, ut moriamur.* Tuae potentiae erat opus, quod olim circa nos ostendisti, qui sanctus es omniumque dominus; unde etiam sublata poena victuros nos fore exspectamus. — *Ad judicium, domine, constituisti; et formavit me, ut demonstrem ejus disciplinam.* Antiquitus enim me destinasti ad judicandos peccatores, utque eos juberem desistere a delictorum peritia. Deinde ad ipsum Deum vertit sermonem.

V. 13. *Purior est ocu-*

μός σου τοῦ μὴ ὁρᾷν πονηρὰ, καὶ ἐπιβλέπειν ἐπὶ πόνους οὐ δυνήσῃ. Πολλὴ φροντίς σοι τοῦ δικαίου, ὅθεν οὐδὲ βλέπειν ἀνέχῃ τοὺς τὰ πονηρὰ ἐργαζομένους πόνων τε καὶ συντριβῆς ἑτέροις καθισταμένους αἰτίους. — *Τί ἐπιβλέπεις ἐπὶ καταφρονοῦντας, παρασιωπήσῃ ἐν τῷ καταπίνειν ἀσεβῆ τὸν δίκαιον, ιδʹ. καὶ ποιήσεις τοὺς ἀνθρώπους ὡς τοὺς ἰχθύας τῆς θαλάσσης καὶ ὡς ἑρπετὰ οὐκ ἔχοντα ἡγούμενον;* Οὔτοι οὖν ἀνέχῃ θεωρεῖν τοὺς καταφρονήσει τῆς σῆς τιμωρίας τοιαῦτα διαπραττομένους οὐδὲ παραπέμπεσθαι τὴν τοσαύτην ἀδικίαν, ὥστε δικαίους μονονουχὶ καταπίνεσθαι ὑπὸ ἀσεβῶν· φανούμεθα γὰρ ἰχθύων τε καὶ ἑρπετῶν οὐκ ἐχόντων ἡγούμενον διαλλάττοντες οὐδὲν, εἰ μὴ τῇ τιμωρίᾳ τῇ σῇ δῆλος γένοιο ἐπιστατῶν τε ἡμῖν καὶ πᾶσαν ἐξέτασιν ἀκριβῆ τῶν ἀνθρωπείων ποιούμενος πραγμάτων.

lus tuus, quam ut mala videat; nec potes adspicere labores. Multam habes justi curam, itaque ne adspicere quidem potes eos, qui scelera patrando aliis laborum atque angustiarum auctores' evadunt. — *Quare adspicis contemptores* (*tui*), *et taces impio justum devorante?* V. 14. *quare habes homines eodem loco quo pisces maris et reptilia duce carentia?* Adspectum eorum, qui, poenam tuam aspernati, haec faciunt, tantaeque iniquitatis, ut justi ab impiis fere devorentur, impunitatem ferre nequis. Nam piscium et reptilium duce carentium absimiles non essemus, nisi supplicio tuo expetendo clarum evaderet, te et nobis prospicere, et humanarum rerum diligentissimum esse exploratorem.

Ταῦτα δὲ ἅπαντα περὶ τῶν Βαβυλωνίων εἰρηκὼς ὡς πολλῇ κατὰ τοῦ λαοῦ τῇ ἀφειδίᾳ χρησαμένων, διηγεῖται λοιπὸν αὐτοῦ καὶ τὴν δύναμιν, ᾗ χρώμενος ὁπόσους ἂν ἐθέλοι μυρίοις κακοῖς περιβάλλει ῥᾳδίως.

His omnibus de Babyloniis multaque eorum in populum Israëlitarum crudelitate dictis, deinceps propheta etiam potentiam depingit Dei, qua usus, eos tot malis quot voluerit facile puniturus sit.

ιεʹ. *Συντέλειαν ἐν ἀγκίστρῳ ἀνέσπασεν αὐτὸν καὶ*

V. 15. (*In*) *exitium hamo eum sustulit, eumque*

εἵλκυσεν αὐτὸν ἐν ἀμφιβλήστρῳ αὐτοῦ καὶ συνήγαγεν αὐτὸν ἐν ταῖς συναγωγαῖς αὐτοῦ. Ἕνεκεν τούτου εὐφρανθήσεται καὶ χαρήσεται ἡ καρδία αὐτοῦ. ις'. Ἕνεκεν τούτου θύσει τῇ σαγήνῃ αὐτοῦ καὶ θυμιάσει τῷ ἀμφιβλήστρῳ αὐτοῦ. Ὡς γὰρ ἀγκίστρῳ τινὶ καὶ ἀμφιβλήστρῳ τῇ οἰκείᾳ δυνάμει πλείστους ὅσους περιβαλὼν εἰς παντελῆ παραδίδοσιν ἀπώλειαν, οὕτω τε πάντας ὑπὸ τὴν ἐξουσίαν ἀθροίζει τὴν οἰκείαν, ὥστε ἥδεσθαι μὲν ἐπὶ τοῖς ἔργοις ἰδίοις, κινδυνεύειν δὲ ὡσάν τινι θεῷ τῇ οἰκείᾳ δυνάμει λογίζεσθαι τῶν παρ' αὐτοῦ γινομένων τὸ μέγεθος. τὸ γὰρ Θύσει τῇ σαγήνῃ καὶ θυμιάσει τῷ ἀμφιβλήστρῳ τοῦτο λέγει ἐκ μεταφορᾶς τῶν ἐν τοῖς τοιούτοις τὴν εὐχαριστίαν ἀποτιννύντων τῷ θεῷ. βούλεται οὖν εἰπεῖν, ὅτι μονονουχὶ θεοῦ δίκην φαντάζεται δύνασθαι πάντα κατὰ τὸ δοκοῦν ἑαυτῷ ποιεῖν. Καὶ τὴν αἰτίαν λέγων· — Ὅτι ἐν αὐτοῖς ἐλίπανε μερίδα αὐτοῦ καὶ τὰ βρώματα αὐτοῦ ἐκλεκτά. Τῇ γὰρ ἰσχύϊ τῇ οἰκείᾳ λογίζεται τῶν κατορθωμένων τὸ μέγεθος, ἀφ' ὧν δὴ προσγέγονεν αὐτῷ τὸν πλοῦτον αὐξῆσαι τὸν οἰκεῖον. τοῦτο γὰρ λέγει τὸ Ἐλίπανε τὴν μερίδα αὐτοῦ. ἐντεῦθεν δὲ, φησὶ, καὶ πάντων δὴ τῶν δοκίμων τε καὶ

in reti suo traxit, et coëgit eum in sagenis suis; ob quod laetabitur, et exsultabit cor ejus. V. 16. *Propterea sacrificabit sagenae suae et adolebit reti suo.* Tanquam hamo et reti potentia sua captos plurimos exitio totos tradet, adeoque omnes in vim suam coget, ut operibus suis ipse laetetur et magnitudinem eorum, quae perfecit, propriis viribus quasi numini alicui adscribere gestiat. Hoc enim significant verba, Sacrificabit sagenae et adolebit reti, metaphora desumpta ab iis, qui Deo gratias agunt suas; unde id dicere vult propheta: quasi Deus sit, omnia, prouti sibi placent, facere se posse opinatur. Cujus rei causam addit. *Quia per ea cumulaverit portionem suam, escasque suas delicatas.* Proprio Marte tanta se perfecisse opinatur, quibus divitias suas adaugere potuit. Id enim indicant verba, Cumulavit portionem suam. Inde etiam pretiosorum et delicatorum fructum sibi paravit; ita enim intelligenda sunt verba: Escasque suas delicatas. — V. 17. *Propterea jaciet rete suum, et perpe-*

ἐκλεκτῶν τὴν ἀπόλαυσιν ἔχει· ὅπερ ἐστὶ τὸ καὶ τὰ βρώματα αὐτοῦ ἐκλεκτά. — ιζ. Διὰ τοῦτο ἀμφιβαλεῖ τὸ ἀμφίβληστρον αὐτοῦ, καὶ διαπαντὸς ἀποκτείνειν ἔθνη οὐ φείσεται. Ἐκ δὲ ὧν κατώρθωσε πολλάκις θαῤῥῶν ἔτι τῇ οἰκείᾳ χρῆται δυνάμει καὶ πολέμοις χρώμενος ἀπαύστοις πολὺν ἀφειδῶς τῶν ἐμπιπτόντων ἐργάζεται τὸν φόνον.

tuo interficiet gentes, nemini parcens. Per ea, quae sibi prospere cesserunt stimulatus robore suo ulterius utitur, et perpetuis in bellis multam facit crudelemque adversariorum cladem.

Εἰρηκὼς δὲ τὰ παρὰ τοῦ Βαβυλωνίου γινόμενα καὶ διὰ πάντων αὐτοῦ τὴν εἰς τὸν λαὸν παρανομίαν αὐξήσας, ἐπάγει λοιπόν.

Dictis iis, quae a Babyloniis futura essent, eorumque adversus populum Judaeorum impietate demonstrata, dein addit.

Κεφάλαιον Β'.

α'. Ἐπὶ τῆς φυλακῆς μου στήσομαι, καὶ ἐπιβήσομαι ἐπὶ πέτραν. Ἐκ μεταφορᾶς τῶν ἐν πολέμῳ καὶ πολιορκίᾳ τὴν τοῦ τείχους διαιρουμένου[1]) φυλακὴν ἐπὶ φυλακῆς, φησίν, ἐγὼ στήσομαι τῆς ἐμῆς, ἵνα εἴπῃ, ὅτι τοῦ ἐμοὶ προσήκοντος οὐκ ἐκστήσομαι, ἀλλὰ γὰρ ἕξομαι τούτου, ἐν ἀσφαλείᾳ γε πλείστῃ καθεστάναι νομίζων εἰ ταῦτα ποιοίην. Καὶ σαφέστερον ποιῶν ὃ λέγει· Καὶ σκοπεύσω τοῦ ἰδεῖν, τί λαλήσει ἐν ἐμοί, καὶ τί ἀποκριθῶ ἐπὶ τὸν ἔλεγχόν μου. Βούλεται γὰρ εἰπεῖν, ὅτι ἔργον ἐμὸν πρὸς τὸν θεὸν ἀφο-

Caput II.

V. 1. *In statione mea stabo, et adscendam in petram.* Metaphora ab iis desumpta, quibus inter obsidionem urbis muri credita est custodia, in mea, inquit, statione stabo, i. e. quod meum est, non negligam, sed curae omnino id habebo; idque faciendo tutissimum me fore existimo. Et declarationem sententiae suae addit: *Et speculabor, ut cognoscam quid locuturus sit in me, et quid responsurus ad criminationem meam.* His dicere vult haec, meum est,

[1]) Leg. διαιρουμένων.

ρᾶν καὶ τὰ ἐκεῖθεν γινόμενά τε καὶ δεικνύμενα δέχεσθαι, ἐντεῦθεν γάρ μοι καὶ ἀσφάλεια πλείστη προσέσται. διαμενῶ τοίνυν, φησὶν, ἀφορῶν, τί ποτε ἄρα περὶ τῶν γινομένων ἀποφαίνεται θεὸς, ὡς ἂν ταῦτα μαθὼν ἀποκρίνωμαι καὶ αὐτὸς τὰ δεικνύμενα τῷ λαῷ εἰς ἔλεγχόν τε αὐτῶν καὶ ἀσφάλειαν τῶν ἑξῆς. Ὥσπερ δὲ ἐν τοῖς ἀνωτέροις τῶν ἐν τῷ λαῷ τὰς πλημμελείας εἰπὼν ὡς ἐξ ἀποκαλύψεως ἐγνωκὼς θείας τὴν ἐπαχθησομένην αὐτοῖς διὰ τῶν Βαβυλωνίων τιμωρίαν φησὶν, οὕτω κἀνταῦθα τοῦ Βαβυλωνίου τὰς παρανομίας εἰρηκὼς λέγει μὲν ἀναμένειν παρὰ τοῦ θεοῦ μαθεῖν, ὅ, τι ποτὲ καὶ περὶ τούτων ἀποφαίνεται, ἐπάγει δὲ ἑξῆς τὴν ἐπὶ τούτοις ἀποκάλυψιν γεγονυῖαν. διό φησιν·

β΄. Καὶ ἀπεκρίθη πρὸς μὲ Κύριος καὶ εἶπε γράψον ὅρασιν σαφῶς εἰς πυξίον, ὅπως διώκῃ ὁ ἀναγινώσκων αὐτά. Ἀναμένειν γὰρ εἰρηκὼς μαθεῖν, ἅ τινα περὶ τούτων ἀναφαίνεται ὁ θεὸς, ταῦτα δὴ ἀποκεκρίσθαι πρὸς αὐτὸν, φησὶ, τὸν θεὸν, κελεῦσαι μὲν ἑαυτῷ ὡς ἐν ὁράσει θείᾳ εἰς πυξίον γράψαι τὰ δεικνύμενα, ἵνα πᾶσιν ᾖ σαφῆ τε καὶ δῆλα πρὸς ἀνάγνωσιν τά εἰρημένα τε καὶ γεγραμμένα. λέγει δὲ τὰ περὶ τοὺς Βαβυλωνίους ἐσόμενα, ἅπερ ἑξῆς φησιν. εἶτα ἐπάγει·

Deum spectare, et quae ab eo fiunt èt ostenduntur accipere; hinc enim multa mihi veniet securitas, ideo perpetuo spectabo, quid jam Deus de rebus futuris declaret, ut ea edoctus, quae mihi ostensa sunt populo patefaciam, tum eos vituperandi causa, tum, ad confirmandas res futuras. Sicuti autem in prioribus post indicata Judaici populi delicta, quasi revelatione monitus supplicium dixit per Babylonios de illis sumendum; ita hoc loco indigitata Babyloniorum iniquitate, se a Deo exspectare institutionem dicit, quoad eorum casus, et dein addit revelationem, quae sibi de iis contigerit, ita locutus.

V. 2. *Deusque mihi respondit, ita locutus: Scribe visionem clare in tabulam ut lector ea intelligere queat.* Exspectanti sibi, quidquid de istis Deus ostensurus sit, haec sibi ab eo responsa esse dicit. Jussisse Deum, ostensa in tabula scribi, ut omnibus evadant perspicua, et clare legi queant, quae et dicta et scripta fuerint; significat autem futuros Babyloniorum casus, quos deinde describit, haec addens.

γʹ. Διότι ἔτι ὅρασις εἰς καιρὸν μακρόν, καὶ ἀνατελεῖ εἰς πέρας καὶ οὐκ εἰς κενόν. Τὰ μὲν γὰρ δειχθέντα οὐ παραυτίκα ἐκβήσεται, ἀλλὰ μετά τινα χρόνον, ὃς ἀφέστηκε νῦν, ἔσται δὲ πάντως καὶ λήψεται πέρας, ἐπεὶ μηδὲ μάτην δέδεικται, ἀλλ' ὡς καὶ ἐσόμενα πάντως. — Ἐὰν ὑστερήσῃ ὑπόμεινον αὐτὸν, ὅτι ἐρχόμενος ἥξει καὶ οὐ μὴ χρονίσῃ. Ὥστε εἰ καί τις ὑπέρθεσις δόξειε τῶν μηνυθέντων γίνεσθαι τέως, ἀναμείνατε πάντως αὐτὰ, ἐπειδὴ ἅπερ ὡς ἐσόμενά τε καὶ ἐλευσόμενα μεμήνυται, ταῦτα δὴ ἥξει τε καὶ γενήσεται πάντως, οὐ μὴν εἰς ὑπέρθεσιν ἐμπεσεῖται παντελῆ.

δʹ. Ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐπ' αὐτῷ· ὁ δὲ δίκαιος ἐκ πίστεώς μου ζήσεται. Ὡς εἰ καί τις ὀκνήσειε περὶ τὴν πίστιν τῶν ἐσομένων καὶ ἀμφιβάλλων εἰ γενήσεται πάντως, σφόδρα μοι διὰ μίσους ἐστὶν ὁ τοιοῦτος, ἐπειδὴ δίκαιον ἐγὼ ὁρίζομαι τὸν πιστεύοντά τε τοῖς ἐπηγγελμένοις καὶ τὴν ἐξ αὐτῶν κομιζόμενον ὠφέλειαν. —

Ταῦτα περὶ τῆς ἀποκαλύψεως εἰρηκὼς καὶ προτρεψάμενος πιστεύειν τοῖς δεικνυμένοις λοιπὸν ἐπάγων τὰ τῆς ὁράσεως οὕτω φησίν· εʹ. Ὁ δὲ κατοιόμενος καὶ

V. 3. *Quoniam longum adhuc tempus, donec ad finem perducatur visio; nec fallet.* Quae ostensa sunt, non extemplo evenient, sed post aliquod tempus etiamnum remotum; evenient autem procul dubio, non enim frustra ostensa sunt, sed quasi revera futura. — *Si moram fecerit, exspecta eum, quia certissime veniet, nec morabitur.* Si etiam qua mora praedictorum hucusque facta esse videtur, exspectate ea nihilominus; nam quaecunque tanquam futura et ventura praedicta sunt, omnino etiam venient et perficientur, nec mora erit infinita.

V. 4. *Animo qui succumbit, is animae meae non placet; justus autem propter fidem suam vitam habebit.* Si igitur quis de futuris dubitat et haesitat, num reàpse impleta forent, admodum mihi is odio est; justum enim eum habeo, qui promissis meis fidem habet et commoda ex iis percipit.

Haec de revelatione et locutus, et commendata fide praedictis habenda, deinde quae ad visionem pertinent addens ita pergit: V. 5. *Qui*

καταφρονητής, ἀνὴρ ἀλάζων, οὐθὲν οὐ μὴ περάνῃ. Εὖ ἴστε τοίνυν, φησὶ, τουτονὶ τὸν πολέμιον τὸν ὑμέτερον, λέγει δὲ τὸν Βαβυλώνιον, τὸν ἀμέτρῳ τῷ οἰκήματι κεχρημένον, καὶ καταφρονοῦντα τῆς ἀνεξικακίας τῆς θείας, καὶ ἐν ταῖς ἑτέρων ἀλαζονευόμενον δυσπραγίαις, οὐκ εἰς πέρας μενοῦντα ἐπὶ τῆς ἑαυτοῦ δυναστείας, φοβερὰν δέ τινα τῇ ἀπειλῇ τῇ θείᾳ τὴν μεταβολὴν ὑπομενοῦντα. — Ὃς ἐπλάτυνε καθὼς ὁ ᾅδης τὴν ψυχὴν αὐτοῦ, καὶ αὐτὸς ὡς θάνατος οὐκ ἐμπιπλάμενος· καὶ ἐπισυνάξει πρὸς αὐτὸν πάντα τὰ ἔθνη, καὶ ἐκδέξεται πρὸς αὐτὸν πάντας τοὺς λαούς. Ὁ γὰρ δίκην ᾅδου κατὰ πάντων ἐκτείνας ἑαυτὸν καὶ πάντας μὲν ἀναιρῶν, κατὰ μίμησιν δὲ θανάτου κόρον τῶν ἀναιρουμένων οὐκ ἔχων, χειρούμενός τε πλείστους καὶ τοὺς πανταχόθεν ὑπὸ τὴν οἰκείαν ἄγων ἐξουσίαν φοβεράν τινα τὴν μεταβολὴν διὰ τῆς ὀργῆς ὑπομενεῖ τῆς θείας.

ϛ'. Οὐχὶ ταῦτα πάντα παραβολὴν κατ' αὐτοῦ λήψονται καὶ πρόβλημα εἰς διήγησιν αὐτοῦ, καὶ ἐροῦσιν, Οὐαὶ ὁ πληθύνων ἑαυτῷ τὰ οὐκ ὄντα ἑαυτῷ ἕως τίνος, καὶ βαρύνων τὸν κλοιὸν αὐτοῦ στιβαρῶς. Ἀ-

autem insolentem se praebet, et contemtorem, virumve superbum, is nihil perducet ad finem. Bene igitur sciatis hunc vestrum hostem, nempe Babylonium, licet magnam habeat habitationem divinamque spreverit patientiam et in aliorum infortuniis exsultet, non perpetuo permansurum in potentia sua, sed per divinas minas terribilem quandam rerum suarum mutationem experturum esse. — *Qui dilatavit animam suam tanquam infernus et tanquam mors non implendus, et cogit ad se omnes gentes, et omnes populos penes se excipit.* Qui, inferni instar, ad omnes suas extendit manus, omnesque enecat, et morti similis necandis satiari nequit, multosque subigit undique sub suam potestatem, is per iram divinam terribilem experietur mutationem.

V. 6. *Nonne haec omnia adversus eum proverbium sument et aenigma de quo narratur? et dicent, Vae, (hic est ille), qui coacervabat sibi, quae non erant sua, nescio usque quo, et qui aggravabat admodum*

πάντες δὴ λοιπὸν οἱ πανταχοῦ τὴν κατ' αὐτὸν μεταβολὴν ἐκπληττόμενοι ὡς ἐν παραβολῇ πάντες ἐροῦσιν, ἐλεεινότατος δὴ πάντων ὁ τὰ ἑτέρων ἀφαιρούμενος καὶ τὸν οἰκεῖον αὔξων πλοῦτον, ὁ βαρὺς τοῖς ὑπηκόοις διὰ τὴν ὑπερβολὴν τῆς ὠμότητος (τοῦτο γὰρ λέγει τὸ Βαρύνων τὸν κλοιὸν αὐτοῦ στιβαρῶς)· οὐ γὰρ εἰς τὸ παντελὲς δυνήσεται τὰ τοιαῦτα ποιεῖν. τοῦτο γὰρ λέγει τὸ Ἕως τίνος, ὃ διὰ μέσου κείμενον πρὸς ἅπαντα ἀποδέδοται, ἵνα εἴπῃ, ὅτι οὐκ εἰς τὸ παντελὲς γενήσεται τοιοῦτος μεταβολὴν τῶν κατ' αὐτὸν δεξαμένων διὰ τὴν ἐπαγομένην αὐτῷ παρὰ τοῦ Θεοῦ τιμωρίαν. — Εἶτα πῶς καὶ τίνα τρόπον λέγων.

ζ'. Ὅτι ἐξαίφνης ἐξαναστήσονται δάκνοντες αὐτὸν, καὶ ἐκνήψουσιν οἱ ἐπίβουλοί σου καὶ ἔσῃ αὐτοῖς εἰς διαρπαγήν. Ἀναφανήσονται γὰρ παρὰ πᾶσαν ἐλπίδα πολέμιοι, λέγει δὲ τοὺς Μήδους καὶ τοὺς Πέρσας, οἳ ὥσπερ δήγμασι ταῖς ἐφόδοις ταῖς οἰκείαις διασπάσουσι σου τὴν δύναμιν καὶ τὴν ἐξουσίαν μετὰ πολλῆς μὲν τῆς ἐπιμελείας τὰ πρὸς βλάβην σὴν ἐργαζόμενοι δι' ἁρπαγῆς δὲ καὶ τά σοι προσόντα τιθέμενοι πάντα.

η'. Διότι σὺ ἐσκύλευσας ἔθνη πολλὰ, σκυλεύσουσί σε πάντες οἱ ὑπολελειμμέ-

vinculum suum. Omnes postea, qui ubique sunt, rerum ejus mutationem mirati, quasi per proverbium, Miserrimum, inquient, omnium! qui privatis aliis divitias sibi multiplicare vult, subditosque sibi nimia premit duritie (hoc enim innuunt verba, Aggravabat admodum vinculum suum); non enim id semper facere poterit. Quod indicatur verbis Nescio usque usque quo? quae intermedia posita ad omnia sunt referenda et ita explicanda, non semper talis permanebit, qualis est, nam propter supplicium ipsi a Deo infligendum res ejus mutabuntur.

V. 7. *Subito surgent, qui eum mordeant; et expergiscent qui te insidientur, et tu eis praeda evades.* Inopinati aderunt hostes, (Medos et Persas intellige) qui incursionibus suis quasi morsibus vim potentiamque tuam dissolvent, sedulo facientes, quae tibi noxae sunt, omniaque, quae possides, diripientes.

V. 8. *Quoniam tu spoliasti gentes multas, spoliabunt te reliqui populi omnes*

νοι λαοὶ δι' αἵματα ἀνθρώπων, καὶ ἀσεβείας γῆς καὶ πόλεως καὶ πάντων τῶν κατοικούντων αὐτήν. Ὅνπερ γὰρ τρόπον αὐτὸς ἐπιὼν ἀφῄρου τὰ ἑτέρων τὸν αὐτὸν δὴ τρόπον ἀφαιρεθήσεται καὶ τὰ σοὶ προσόντα παρὰ τῶν εἰς τιμωρίαν σὴν καταλελειμμένων· ὑπὲρ ὧν ἀνεῖλές τε πλείστους τῶν τῷ θεῷ προσηκόντων, καὶ ἠσέβησας εἴς τε τὴν γῆν τὴν θείαν καὶ τὴν πόλιν. λέγει δὲ περὶ τῆς Ἱερουσαλὴμ καὶ τῶν κατ' αὐτὴν ἁπάντων. εἶθ' ὡσὰν ἐπεμβαίνων αὐτῷ δικαίως πέπονθέ τι [1]) τοιαῦτα λέγει τὰς παρανομίας, ὑπὲρ ὧν τὴν τοιαύτην δέδεκται τιμωρίαν.

θ'. Ὦ ὁ πλεονεκτῶν πλεονεξίαν κακὴν τῷ οἴκῳ αὐτοῦ, τάξαι εἰς ὕψος νοσσιὰν αὐτοῦ τοῦ ἐκσπασθῆναι ἐκ χειρὸς κακῶν. ι'. Ἐβουλεύσω αἰσχύνην τῷ οἴκῳ σου, συνεπέρανας λαοὺς πολλοὺς, καὶ ἐξήμαρτεν ἡ ψυχή σου. Αὐτὸς ἦσθα, φησὶν, ὁ ἀμέτρῳ κεχρημένος, τῇ πλεονεξίᾳ ἐπὶ τῷ τὸν πλοῦτον αὔξειν τὸν οἰκεῖον ἐκ τῶν ἀλλοτρίων κακῶν, ὑψηλήν τε τῆς οἰκείας βασιλείας ἀποδεῖξαι τὴν σύστασιν· εἶτα ταῦτα μὲν ἐποίεις, ὅπως δ' ἂν δυνηθείης τῶν ἐπαγομένων σοι κακῶν ἀπαλλαγὴν εὑρέσθαι τινὰ

propter caedes hominum impietatesque terrae urbisque et omnium in ea habitantium. Quomodo ipse alios suis privasti, eodem modo nunc omnibus tuis privaberis per eos, qui ad te puniendum reliqui sunt, propterea quod plurimos de Dei populo interfecisti, et adversus divinam terram et urbem proterve egisti. dicit autem Hierosolymam ejusque cives omnes. Deinde quasi eum derideat, ut qui juste talia patiatur, impietates indicat, de quibus eas solvere debeat.

V. 9. *Heu eum, qui multiplicat avaritiam malam domui suae, ut ponat in excelso nidum suum, et tutus sit a manu malorum.* V. 10. *Ignominiam cogitasti domui tuae, perdendo gentes multas deliquit anima tua.* Insatiabili, inquit, tu utebaris avaritia, quo divitias tuas ex aliorum calamitatibus augeres, et alta imperii tui fundamenta ostenderes. Et haec quidem faciebas, quomodo vero malorum tibi impositorum levamen quoddam invenires, dispicere nequibas.

[1]) Leg. πεπονθότι.

συνιδεῖν οὐ δεδύνησαι. ἀλλὰ γὰρ πολλοὺς ἀδικῶν παρανομῶν τε εἰς ἅπαντας ἀδέως· οὐ πλοῦτον, ὡς ᾤου, αἰσχύνην δὲ, ὡς ἡ ἔκβασις δεδήλωκε, τῷ οἴκῳ συνήγαγες τῷ σαυτῷ, ὑπὲρ γὰρ ἁπάντων ὧν διαπεπραγμένος ὦψαι τὴν τιμωρίαν δέδωκας ταύτην.

At multos vexando omnesque atrociter laedendo, non, uti opinabaris, divitias, sed ignominiam, uti exitus declaravit, domui tuae parasti; hoc enim supplicium propter omnia a te nefarie acta te dare, patet.

ια'. Διότι λίθος ἐκ τοίχου βοήσεται, καὶ κάνθαρος ἐκ ξύλου φθέγξεται αὐτά. Τοιγαροῦν ἐκ τοῦ μεγέθους τῶν κακῶν οἰκοδομῶν, ἃς κακῶς ἀνήγειρας, ἀναπέμπονται ὡσπερεὶ φωναί τινες κατηγοροῦσαί σου τὴν πλεονεξίαν, τῶν τε λίθων μονονουχὶ φωνὴν ἀφιέντων κατὰ σοῦ τοιαύτην καὶ τῶν σκωλήκων δὲ σὺν αὐτοῖς, ὁπόσους ἐν μέσαις ταῖς τῶν λίθων τε καὶ πλίνθων ἁρμογαῖς ἐμφωλεύειν ἔθος ἢ καὶ ἐν μέσοις πολλάκις εὑρίσκεσθαι τοῖς ξύλοις. Κάνθαρον γὰρ ἐνταῦθα λέγει τὰ ἐν ξύλοις εὑρισκόμενα ἔν τε τοίχοις ἐν μέσῳ τῶν τε λίθων καὶ τῶν πλίνθων εἰωθότας[1]) ἐμφωλεύειν, ὡς ἄν τις εἴποι ζωΰφιά τε καὶ σκώληκας οὕτως ὀνομάζων ὡσὰν κοινῇ ταύτῃ προσηγορίᾳ καλουμένων ἁπάντων τῶν τοιούτων. ἔστι δὲ ἐν καταγείοις εἰωθότα μᾶλλον ἐν μέσῳ τῆς νοτίδος εὑρίσκεσθαι, ἃ κανθαρίδας καλοῦσι. Τινὲς δὲ ἔφασαν τὸν

V. 11. *Itaque lapis ex muro clamabit, et scarabaeus ex ligno ea nuntiabit.* E magnitudine aedificiorum nefariorum, quae nefarie exstruxisti, quasi voces avaritiam tuam accusantes sonabunt, lapides enim fere talem adversus te emittent vocem, cumque iis vermes, qui mediis in lapidibus laterumque juncturis latere, vel etiam mediis in lignis reperiri solent. Scarabaeum enim h. l. dicit, quaecunque in lignis reperiuntur, et in muris mediisque in lapidibus lateribusque latere solent animalcula et vermes, quo ea omnia communi appellantur nomine; sunt nempe eae, quae in subterraneis et inprimis madidis inveniantur locis, cantharides nominatae. Nonnulli quidem Syrum provocant, qui h. l. *paxillum* dicit; sed ineptum esset, missa

[1]) Leg. εἰωθότα.

Σύρον πάσσαλον λέγειν, ἀλλ' ἀνόητον εἴη ἂν ἀφέντας τῆς ἑβραΐδος τὴν φωνὴν, καθ' ἣν ὁ προφήτης ἐφθέγξατο, ἥνπεροῦν ἡμῖν διὰ τῆς οἰκείας ἑρμηνείας σαφῆ κατέστησαν ἄνδρες ἑβδομήκοντα δόκιμοί τε καὶ ἀκριβῶς τῆς γλώττης ἐπιστήμονες ἐκείνης, Σύρῳ προσέχειν μεταβεβληκότι τὴν Ἑβραίων εἰς τὴν Σύρων, εἶτα πολλάκις τὸ πταῖσμα τὸ οἰκεῖον νόμον βουληθέντι θεῖναι φωνῆς. ὃς δοκεῖ μοι μὴ συνεὶς ὅ, τι ποτὲ λέγει τὸν κάνθαρον πάνυ γε εἰωθότα ἐμφωλεύειν τοῖς τοίχοις τὸ πάσσαλος τεθεικέναι, ἵνα δοκῇ τινὰ τὸ λεγόμενον ἀκολουθίαν ἔχειν, καίτοιγε πάσσαλον ἐκ ξύλου φθέγγεσθαι ἀνακόλουθον ἄγαν, ἐπειδὴ ἐκ τοίχου μὲν ἐνδεχόμενον ἐκ ξύλου δὲ οὐκέτι, οὐ γὰρ ὥσπερ ἐκ λίθων συντίθεται τοῖχος οὕτως ἐκ πασσάλων ξύλον. Ὁ μέντοιγε προφήτης ἐπειδὴ καὶ ἐκ τῶν τοίχων εἴτε τῶν ἐνόντων αὐτοῖς ἔφη τὴν κατηγορίαν γίνεσθαι κατ' αὐτοῦ, καλῶς ἐπήγαγεν·

ιβ'. Οὐαὶ ὁ οἰκοδομῶν πόλιν ἐν αἵμασι καὶ ἑτοιμάζων πόλιν ἐν ἀδικίαις! ιγ'. οὐ ταῦτά ἐστι παρὰ κυρίου παντοκράτορος; καὶ ἐξέλιπον λαοὶ ἱκανοὶ ἐν πυρὶ, καὶ ἔθνη πολλὰ ὀλιγοψύχησεν. ιδ'. ὅτι πλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὴν δό-

Hebraeorum lingua, qua usus est propheta, quamque interpretatione sua claram reddiderunt Septuaginta isti viri probati linguaeque illius peritissimi, Syrum sequi, qui Hebraicum sermonem in Syriacum vertit, et haud raro vitia sua tanquam sermonis leges stabilire voluit, et nostro loco omnino, quid sibi voluerit nescivisse videtur, quum cantharum, qui in muris latere omnino solet, paxillum nominarit, ut versio aliquam certe constantiam haberet; nam paxillum e ligno loqui admodum ineptum est, quum e muro id quidem fieri possit, nequaquam vero e ligno; non enim sicuti murus e lapidibus compactus est, ita etiam lignum e paxillis. Propheta autem postquam e muris, vel quae iis insunt, iis accusationem prodire dixit, bene addit.

V. 12. *Heu eum, qui urbem caedibus exstruit, et civitatem sceleribus condit!* V. 13. *Nonne haec sunt a domino omnipotente? et defecerunt gentes multae igne, populique multi animo conciderunt!* V. 14. *quia implebitur terra cognitione majestatis domini; uti aquae*

ξαν κυρίου ὡς ὕδωρ πολὺ καταχαλύψει θαλάττας. Τίς οὖν οὐκ ἄν σε θρηνήσειεν ἐκ φόνων καὶ ἀδικιῶν κατασκευάζοντα πόλεις! Οὐ γὰρ συνεώρας ἅτινα ὑπὲρ τούτων ἐπαινεχθέσεταί [1]) σοι παρὰ τοῦ θεοῦ, ἀλλὰ πολλοὺς μέν τινας καὶ ἀμυθήτους ὥσπερ πυρὶ τῇ σαυτοῦ κατανάλωσας ὠμότητι, πολλοὺς δὲ πρὸς αὐτὸ τὸ τέλος ἤγαγες τοῦ βίου ταῖς ἀνηκέστοις συμφοραῖς, ὑπὲρ ὧν δὴ ταῦτα νῦν ὑπομενεῖς, ὥστε ἅπαντας τοὺς κατὰ γῆν ἀνθρώπους ἐπιγνῶναι τῆς θείας οἰκονομίας τὸ μέγεθος τοιαῦτα ἐργαζομένης, οὕτω τε σοὶ τῷ τοιαῦτα δυνηθέντι καὶ πεποιηκότι φοβερὰν ἐπάγοντι [2]) τὴν τιμωρίαν καὶ πρέπουσάν γε τῷ πλήθει τῶν ἡμαρτημένων ὑπὸ σοῦ. — Καὶ πάλιν ὀνειδιστικῶς λέγων·

maria obtegunt. Quis non te lugeat, qui caedibus urbem exstruis et sceleribus! Non enim cognovisti, quae tibi propter haec imponentur a Deo, sed innumerabiles crudelitate tua quasi igne delevisti, multosque insanabilibus calamitatibus in exitium protrusisti. Ideo haec nunc perfers, ut omnes ubique terrarum magnitudinem divinae intelligant rerum administrationis, quae haec efficit, et tibi quoque, qui tanta pollebas et faciebas, terribilem ingessit poenam copiaeque delictorum tuorum consentaneam. Et dein exprobrans iterum loquitur.

ιε'. Ὦ ὁ ποτίζων τὸν πλησίον αὐτοῦ ἀνατροπὴν θολερὰν, καὶ μεθύσκων ὅπως ἐπιβλέπῃ ἐπὶ τὰ σπήλαια αὐτῶν. Εἶπον πολλάκις, ὅτι τὸν οἶνον καὶ τὸ πίνειν αὐτὸν ἐπὶ τὰς συμφορὰς λέγει. Σὺ οὖν, φησὶν, ἦσθα ὁ πᾶσιν ἀνθρώποις πόμα θολῶδες προσάγων μεθύσκειν τε καὶ ἀνατρέπειν τὸν πίνοντα δυνάμενον παντελῶς, ἵνα εἴπῃ, τιμωρίαν βαρυτάτην ἅπασιν ἐπάγων. ταῦτα δὲ, φησὶν, ἐ-

V. 15. *Vae tibi, qui proximum tuum potas subversione turbida, eumque inebrias, ut speluncas eorum inspicias.* Saepius indicavi vinum ipsumque bibendi actum a scriptura de calamitate dici; itaque h. l., tu eras, inquit, qui omnibus hominibus potum porrigebas faeculentum, qui bibentes inebriare et perdere poterat: i. e. omnes gravissimo adfi-

[1]) F. l. ἐπαναχθήσεται. — [2]) F. l. ἐπαγούσης.

ποίεις τῶν ἀλλοτρίων ἐπιθυμῶν καὶ τοὺς θησαυροὺς τοὺς ἀλλοτρίους ἀνερευνώμενος καὶ σαυτοῦ ποιεῖν ἐθέλων.

ιϛʹ. Πλησμονὴν ἀτιμίας ἐκ δόξης πίε καὶ σύ. καρδίᾳ σαλεύθητι καὶ σείσθητι. Ἃ τοίνυν πεποίηκας ἑτέροις δίκαιος ἂν εἴης παθεῖν, ἵν' ἐξ ἁπάσης ἐκείνης τῆς δόξης ἀτιμίας πληρωθεὶς διασαλευόμενός τε καὶ καταπίπτων ὡς ὑπό τινος μέθης τῇ τῆς τιμωρίας διαμένοις ὑπερβολῇ. — Ἐκύκλωσεν ἐπὶ σὲ ποτήριον δεξίας κυρίου καὶ συνήχθη ἀτιμία ἐπὶ τὴν δόξαν σου. Ἐπήγαγε γάρ σοι τὸ οἰκεῖον ποτήριον ὁ θεὸς, ἵνα εἴπῃ τὴν ἐκ τῆς οἰκείας ἀποφάσεως τιμωρίαν, ὥστε σοι τὴν δόξαν εἰς ἀτιμίαν πλείστην πανταχόθεν ἀθροιζομένην ἐπὶ σὲ μεταβεβλῆσθαι λοιπόν.

ιζʹ. Διότι ἀσέβεια τοῦ Λιβάνου ἀποκαλύψει[1]) σε, καὶ ταλαιπωρία θηρίων πτοήσει σε δι' αἵματα ἀνθρώπων καὶ ἀσεβείας γῆς καὶ πάντων τῶν κατοικούντων αὐτήν. Ὧν γὰρ εἰς τὸν λαὸν ἠσέβησας νῦν δώσεις δίκην δικαίως, ὥσπερ ὑπό τινων θηρίων τῶν ἐπιόντων σοι πολεμίων εἰς φόβον καὶ ταλαιπωρίαν καταστήσῃ πολλὴν, ὑπὲρ ὧν ἀνεῖ-

ciebas supplicio; et haec quidem, inquit, faciebas aliorum cupidus divitiarum, easque ut investigares tibique diriperes.

V. 16. *Abundantiam ignominiae pro gloria imbibe etiam tu; et corde tuo concutiaris et commovearis.* Quae tu aliis fecisti, dignus es, qui ipse ea patiaris, ut ex omni ista gloria nunc ignominia plenus, supplicii gravitate tanquam ebrietate titubans procidas. — *Circumivit supra te poculum dexterae domini, et coacta est ignominia supra gloriam tuam.* Porrexit tibi dominus calicem suum i. e. poenam, quam tibi decrevit; et gloria tua in ignominiam maximam undique tibi convenientem mutata erit postea.

V. 17. *Namque impietas Libani obteget te, et miseria bestiarum terrebit te propter hominum caedes et impietates terrae omniumque in ea habitantium.* Propterea quod Judaeorum populum sceleste tractasti, nunc punieris; quasi enim a feris quibusdam, ab hostibus ingruentibus terrore et calamitate multa repleberis, quod

[1]) F. l. καταχαλύψει.

λές τε ἀνθρώπων κατὰ τὴν Ἱερουσαλὴμ καὶ ἠσέβεις εἰς τὴν γῆν τὴν θείαν καὶ τὴν πόλιν οὐδεμίαν τῶν οἰκούντων αὐτὴν φειδῶ ποιεῖσθαι βουλόμενος. — Καὶ ἐπειδήπερ αὐτῷ τὴν εἰς τὸν λαὸν καὶ τὴν πόλιν καὶ τὸν ναὸν ὠνείδισεν ἐν τούτοις πλημμελείαν, ἀκολούθως ἐπάγει.

ιη'. Τί ὠφελεῖ γλυπτὸν, ὅτι ἔγλυψαν αὐτό; ἔπλασαν αὐτὸ χώνευμα φαντασίαν ψευδῆ ὅτι πέπανθεν[1]) ὁ πλάσας ἐπὶ τὸ πλάσμα αὐτοῦ, ποιῆσαι εἴδωλα κωφά. Ἀλλὰ γὰρ ἠμέλεις μὲν, φησὶ, τοῦ ὄντως θεοῦ, καὶ ἐπλημμέλεις εἰς τὰ αὐτῷ γε προσήκοντα, ὑπὸ δὲ τῶν εἰδώλων ὠφεληθήσεσθαι ᾤου, ὁ ταῖς ἀνθρωπίναις εἰργασάμενον[2]) χερσὶν ἐν ἀπατήλῃ τινὶ φαντασίᾳ θεραπεύειν ἔσπευδες, ὠφεληθήσεσθαί τι οἰόμενος ἀπὸ εἰδώλων ἀφώνων ἀνθρωπείᾳ πλασθέντων χειρί. Εἶτα ἀκολούθως ἐπάγει.

ιθ'. Οὐαὶ ὁ λέγων τῷ ξύλῳ, ἔκνηψον, ἐγέρθητι, καὶ τῷ λίθῳ, ὑψώθητι· καὶ αὐτό ἐστι φαντασία, τοῦτο δέ ἐστιν ἔλασμα ἐκ χρυσίου καὶ ἀργυρίου, καὶ πᾶν πνεῦμα οὐκ ἔστιν ἐν αὐτῷ. κ'. Ὁ δὲ κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ, εὐλαβείσθω ἀπὸ προσώπου

cives Hierosolymae interfecisti et terram divinam urbemque profanasti incolis ejus non parcens. Et exprobrata ejus adversus populum et urbem templumque impietate, consequenter addit:

V. 18. *Quid prodest sculptum, quod sculpserunt sibi? Finxerunt conflatum (idolum), imaginem mendacem; quia confidit opifex in opere suo, ut faceret idola muta.* Neglecto sane, inquit, Deo vero, et iis, quae ei conveniunt, praetermissis, ab idolis commoda relaturum te esse putabas, quae humanis manibus conflata sub fallaci imagine venerari studebas, lucrum ab idolis mutis humanaque manu fictis reportari posse ratus. Dein pergit.

V. 19. *Vae illi, qui ligno dicit, expergiscere, surge, et lapidi, erigere! Imago est ex argento auroque conflata, cui nullus inest spiritus.* V. 20. *Dominus autem in templo suo sancto habitat; et revereatur eum universus terrarum orbis.*

[1]) Leg. πέποιθεν. — [2]) F. l. εἰργάσμενον.

αὐτοῦ πᾶσα ἡ γῆ. Πῶς οὖν οὐκ ἐλεεινότατος ἂν εἴη, ἐὰν ὡς ἐγρηγορότι τῷ ξύλῳ διαλεγόμενος καὶ βοήθειαν ὡς ἐξ ὑψηλοῦ ζητῶν τοῦ εἰδώλου, ὃ φαντάζει μὲν τὸν ὁρῶντα μόνον, ὡς ἐξ ὕλης κατεσκευασμένον τιμίας, ἔρημον δὲ ζωτικῆς πάσης ἐστὶ δυνάμεως; Πολλῷ γὰρ ἦν ἄμεινόν σοι τούτων καταφρονεῖν καὶ μηδένα λόγον αὐτῶν ποιεῖσθαι, ἀναλογίζεσθαι δὲ τοῦ θεοῦ τὸ μέγεθος, ἔχοντος μὲν φοβερὸν καὶ ἀπόῤῥητον ναὸν τὸ τῶν οὐρανῶν οἰκητήριον, κεκτημένου δὲ ναὸν καὶ ἐπὶ γῆς διὰ τὴν τῶν ἀνθρώπων χρείαν, πρὸς ὃν οὐ σὲ μόνον ἀλλὰ καὶ πάντας τοὺς κατὰ γῆν ἀνθρώπους ἀφορῶντας μετὰ πολλοῦ προσῆκον ἦν τοῦ δέους καὶ τὴν ἔννοιαν ἔχειν ἐν ἑαυτοῖς τὴν ἐκείνου. —

Ἐν μὲν δὴ τούτοις συνεπέρανε τῶν προειρημένων ἡμῖν τὴν προφητείαν ὁ μακάριος Ἀμβακοὺμ τῶν τε ἐν τῷ λαῷ καταδυναστευόντων τοὺς πένητας καθαψάμενος καὶ τὴν ἐπαχθησομένην αὐτοῖς διὰ τῶν Βαβυλωνίων ἐφόδου τιμωρίαν εἰπὼν, καὶ μετ᾽ ἐκεῖνο τὴν αὐτῶν τε τῶν Βαβυλωνίων εἰρηκὼς καὶ τὴν ὠμότητα, ᾗ περί τε τοὺς λοιποὺς καὶ τὴν Ἱερουσαλὴμ ἐχρήσαντο τούς τε οἰκοῦντας αὐτὴν, ὅπως τε κἀκεῖνοι δίκας τῆς οἰκείας δεδώκασι παρανομίας· τρέπει δὲ ἐπὶ τὴν

Quomodo non infelicissimus dicatur, qui lignum, tanquam vita praeditum sit, adorat, et ab idolo, tanquam praeclarum aliquid sit, quod tamen videre videtur solum, et quamvis e materia fabricatum sit pretiosa, omni caret vitali vi, auxilium petit? Multo autem, inquit, tibi melius foret, Dei intelligere majestatem, qui augustum suum et venerandum templum coelorum habet habitaculum, sed etiam in terra templum possidet. hominum ob usum, quem non solum te sed universos terrae homines multa cum verecundia spectare ejusque memoriam in vobis tenere decebat. —

His absolvit beatus Habacucus suum, quod antea significavimus, vaticinium, quo increpat potentes in populo pauperes opprimentes, et supplicium indicat iis per Babyloniorum incursionem inferendum, praedicta postea etiam Babyloniorum ipsorum crudelitate, qua adversus caeteros et Hierosolymam ejusque incolas usuri essent, et poena addita, quam et illi daturi essent de impietate sua. nunc vero in precatio-

προσευχὴν ἐντεῦθεν τὸν λόγον, ἐν σχήματι προσευχῆς τὰ παρὰ τοῦ θεοῦ περὶ τὸν λαὸν ἐσόμενα μηνύων ἀγαθά. Ἄρχεται δὲ οὕτως.

nem vertit propheta sermonem suum, precumque sub forma, quae deinceps Deus populo largiturus sit bona, ostendit. Ita autem incipit.

Κεφάλαιον Γ'.

β'. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην. Ἀκοὴν λέγει τὴν ἐγγενομένην αὐτῷ παρὰ τοῦ θεοῦ ἀποκάλυψιν, ὡς καὶ ὁ μακάριος Ἡσαΐας τὸ „Τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;“ καὶ ὁ μακάριος Δαυὶδ, „Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου·“ ὧνπερ οὖν καὶ ἐν τοῖς ἀνωτέροις [1]) πεποιήμεθα μνήμην· κἀνταῦθα τοίνυν τοῦτό φησιν, ὅτι δεξάμενος σου τὴν ἀποκάλυψιν, δι' ἧς ἐγνώρισάς μοι, ὅπως μὲν τιμωρήσῃ τοὺς ἐν τῷ λαῷ παρανομοῦντας διὰ τῶν Βαβυλωνίων, ὅπως δὲ πάλιν τοῖς Βαβυλωνίοις ἀνάλογον οἷς πεπλημμελήκεσαν ἐπάξεις τὴν τιμωρίαν, φόβου πᾶς ἐπληρώθην εἰκότως. Κύριε, κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην. Ἀναλογισάμενος [2]) γὰρ, ὅσα ποικίλως διαπράττῃ περὶ τοὺς ἀνθρώπους ἀνεξικακίᾳ τῇ δεούσῃ κεχρημένος καὶ ἀδιορθώτως πταίοντας μετὰ λόγου τοῦ προσήκοντος τιμωρούμενος, εἰς ἔκστασιν ἐλήλυθα ἐπὶ τῷ θαύματι τῶν οὕτως ἀποῤῥήτως παρὰ

Caput III.

V. 2. *Domine, audivi auditum tuum et timui.* Auditum appellat revelationem, qua a Deo edoctus erat; ut etiam beatus Jesajas „Quis credidit, inquit, auditui nostro?“ et beat. David, „Intendam aurem parabolae,“ quorum in prioribus mentionem injecimus. Itaque h. l. dicit: Accepta tua revelatione, qua mihi indicasti, quomodo in populo tuo injustos per Babylonios puniturus sit, et Babyloniis quoque supplicium inflicturus delictis suis consentaneum, totus tremore perfundebar. — *Domine considerabam et obstupebam.* Quum considerarem, quam varia tu facias erga homines larga usus clementia, et quam juste eos punias, qui temere et atrociter in peccando perseverant, ecstasi incidi ob miram tuam, qua res administras humanas, sapientiam. — *In medio duo-*

[1]) Comment. in Abdiam I, 1. cf. Jes. LIII, 1. Ps. XLVIII, 5.

[2]) Ita in margine codicis, in textu scriptum est ἀναλόγισαι.

τῆς σῆς οἰκονομουμένων σοφίας. — Ἐν μέσῳ δύο ζώων γνωσθήσῃ. Ἰδοὺ γὰρ καὶ νῦν ὥσπερ ἐν δύο ζώοις τοῖς ἐν τῷ λαῷ πλημμελοῦσι καὶ τοῖς Βαβυλωνίοις μετ᾽ ἐκείνους ἐξ ὧν περὶ ἑκατέρους πεποίηκας τήν τε δύναμιν καὶ τὴν σοφίαν καὶ τὴν περὶ τὸ δίκαιον ἐπιμέλειαν ἐγνώρισας σαυτοῦ. Ἐν τῷ ἐγγίζειν τὰ ἔτη, ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ. Νῦν μὲν γὰρ αὐτὰ δι᾽ ἀποκαλύψεως κατέστησας ἡμῖν γνώρισμα [1]), παραγενομένου δὲ τοῦ καιροῦ, καθ᾽ ὃν προσῆκεν αὐτὰ κατὰ τὸ δοκοῦν σοι πέρας λαβεῖν, μείζονά τε καὶ σαφεστέραν αὐτοῖς ἔργοις τῆς οἰκείας δυνάμεως καὶ σοφίας τὴν ἐπίδειξιν ποιήσῃ. — Ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου, ἐν ὀργῇ ἐλέους μνησθήσῃ. Τότε φανήσεταί σου καὶ τῆς φιλανθρωπίας ἡ ὑπερβολὴ περὶ τοὺς τῆς Ἰουδαίας, ὧν ὑπὸ τῆς ὀργῆς τῆς σῆς τῆς τε ἐπαχθείσης αὐτοῖς ὑπὲρ ὧν πεπλημμελήκασι τιμωρίας διατεταγμένην [2]) τὴν ψυχὴν καὶ οὐδὲ ἐν ἑαυτοῖς ὄντων μνήμην τῆς φιλανθρωπίας τῆς οἰκείας ποιησάμενος ἀπαλλάξεις τε αὐτοὺς τῶν κακῶν καὶ ἐπανάξεις ἐπὶ τὰ οἰκεῖα παρὰ πᾶσαν ἀνθρωπίνην ἐλπίδα.

rum animalium cognosceris. En enim etiam nunc, quasi in duobus animalibus, et in iis qui in populo peccarunt, et in Babyloniis post illos, per ea quae circa utrosque fecisti, potentiam tuam non minus declarasti quam sapientiam et justitiae studium tuum. *Quum anni advenerint, cognosceris, et quum advenerit tempus, apparebis.* Nunc haec per revelationem nota reddidisti nobis, ingruente vero tempore, quo ea ex decreto tuo exitum habebunt, majus clariusque ipsis in rebus potentiae ac sapientiae tuae exhibebis documentum. — *Quum anima mea perturbata fuerit, intra iram misericordiae recordaberis.* Tunc benignitatis tuae apparebit abundantia erga Judaeae incolas; quos, quum ira tua et poena sibi propter peccata sua imposita animo percussi suique non compotes erunt, tuae benignitatis recordatus, a malis liberabis et praeter omnem humanam spem in sua reduces.

[1]) F. l. γνώριμα. — [2]) F. l. διατεταραγμένων.

γ'. Ὁ θεὸς ἀπὸ Θαιμὰν ἥξει καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου δασέως. Θαιμὰν μὲν τὴν μητρόπολιν λέγει τῆς Ἰδουμαίας, ὄρος δὲ κατάσκιον τὸ τῆς Ἱερουσαλὴμ, ὥσπερ πανταχόθεν τῆς θείας ἠξιωμένου σκέπης. Τότε οὖν φανήσῃ ἀπὸ Θαιμάν τε τῆς Ἰδουμαίας ἐρχόμενος, οὓς τιμωρήσῃ ὑπὲρ τῆς εἰς ἡμᾶς πλημμελείας, καὶ ἐκ τοῦ ἁγίου ὄρους τοῦ Σιὼν, ὃ λαμπρὸν διὰ τῆς ἐπανόδου πᾶσιν ἐργάσῃ τῆς ἡμετέρας. — Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ. Τῷ οὖν μεγέθει τῶν παρ' αὐτοῦ γινομένων καὶ οὐρανὸν πληρώσει καὶ γῆν, ὥστε ἅπαντας πρὸς ὕμνον τρέπεσθαι λοιπὸν, θαυμάζοντας τήν τε σοφίαν καὶ τὸ μέγεθος τῶν παρ' αὐτοῦ γινομένων. Κατὰ διαίρεσιν γὰρ κἀνταῦθα τὸ κοινὸν λέγει, ὅπερ οὖν ἐπὶ πολλῶν ἐδείξαμεν ἤδη[1]) ἰδίωμα τῆς θείας ὑπάρχον γραφῆς· καὶ γὰρ καὶ οὐρανὸν καὶ γῆν κεκαλύφθαι λέγει τῇ ἀρετῇ τοῦ θεοῦ, ἵνα εἴπῃ τὸ σύμπαν, καὶ τὴν αἴνεσιν αὐτοῦ τῶν γεγονότων ἕνεκεν παρὰ παντὸς χρῆναι πληροῦσθαί φησι.

δ'. Καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται. Τῇ μὲν οὖν ἐπιφανείᾳ τῇ οἰκείᾳ, φησὶν, ἅπαντα

V. 3. *Deus ex Thaemane veniet, et Sanctus de monte admodum umbroso.* Thaeman caput est Idumaeae, mons vero umbrosus est Hierosolymae mons, tanquam undique divino obseptus tegmine. Tunc igitur, inquit, ex Thaemane Idumaeorum venire videberis, quos propter delicta in nos punies, et e sacro monte Sione, quem per reditum nostrum omnibus venerabilem reddes. — *Obtexit coelos virtus ejus, et laude ejus plenus est terrarum orbis.* Magnitudine rerum a se gestarum coelum terramque implebit adeo, ut omnes hymnis eum celebrent, sapientiam magnitudinemque operum ejus mirati. Singulatim h. l. communia dicit, quod saepius jam idioma scripturae sacrae esse, demonstravimus. Si vero et coelum et terram virtute Dei tectam esse dicit, universa laude ejus propter ea, quae ab eo facta sunt, prae caeteris impleri oportere, significat.

V. 4. *Et splendor ejus quasi lux erit.* Majestate sua omnia quasi luce implebit.

[1]) Cf. Comm. ad Hos. V, 9.

πληρώσει φωτός. — Κέρατα ἐν χερσὶν αὐτοῦ ὑπάρχει αὐτῷ. Δείξει δὲ αὐτὸν ἀρκούντως ἔχοντα ἀμύνειν μὲν τοῖς οἰκείοις, χειροῦσθαι δὲ τοὺς ἐχθαίρειν αὐτοῖς ἐπιχειροῦντας — ἐκ μεταφορᾶς τῶν τοῖς κέρασι μαχομένων ζώων οὕτως εἰπών. — Καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ. ὅπερουν διαπράξεται διὰ τὸ μεγίστῃ τῇ περὶ ἡμᾶς ἀγάπῃ κεχρῆσθαι. — ε΄. Πρὸ προσώπου αὐτοῦ πορεύσεται λόγος. Πρὸ μὲν οὖν τῶν πραγμάτων ἀποφαίνεται τὸ ἐσόμενον, ὅπερουν πάντοτε διὰ τῶν προφητῶν ποιῶν οὐχ ἧττον καὶ νῦν πεποίηκε δι' ἐμοῦ. — Καὶ ἐξελεύσεται εἰς παιδείαν κατὰ πόδας αὐτοῦ. Ἀκολουθεῖ δὲ καὶ τὸ ἔργον, ὥστε δι' ἀμφοτέρων τοὺς ἀνθρώπους παιδεύεσθαι τὸ δέον, δι' ὧν τε προείρηται τὸ ἐσόμενον καὶ εἰς ἔργον ἐκβέβηκεν ὕστερον.

Cornua manibus suis tenet. Talem se exhibebit, qui suis adjuvandis, eorum inimicis vero opprimendis par sit; in quo metaphora ab animalibus quae cornibus dimicant, desumta est. — *Et proposuit fortem roboris suae dilectionem.* Haec autem faciet summa sua erga nos caritate commotus. V. 5. *Sermo eum praecedet.* Priusquam vero fiant, futura indicat. quod semper per prophetas facit, pariter ac nunc per me fecit. — *Et e vestigio egredietur ad institutionem.* Sequitur etiam res ipsa, ita ut per utrumque homines de eo instituantur, quid justum sit, et per futurorum praedictionem et per praedictorum eventum postea.

ς΄. Ἔστη, καὶ ἐσαλεύθη ἡ γῆ. Φανεὶς μόνον σαλεύει τὴν γῆν· ὡς τὸ [1]) „Ὁ θεὸς ἔστη ἐν συναγωγῇ θεῶν,“ ἵνα εἴπῃ ὅτι ὤφθη ἐν μέσῳ αὐτῶν. — Ἐπέβλεψε καὶ ἐτάκη ἡ γῆ, διεθρύβη τὰ ὄρη βίᾳ, ἐτάκησαν οἱ βουνοὶ αἰώνιοι πορείας αἰωνίας αὐτοῦ. Ἀπιδὼν δὲ μόνον ἔθνη τε ἀπόλλυσιν

V. 6. *Stetit et commota est terra.* Ubi modo apparet, terram statim commovet. Cui simile est illud, „Stetit Deus in concione Deorum“ i. e. apparuit in medio eorum. — *Adspexit terram, et contabuit ea, contriti sunt montes ab impetu; tabuerunt colles aeterni prae gressi-*

[1]) Ps. LXXXI, 1.

ὅλα, καὶ ὄρη, καὶ βουνοὺς διαθρύπτει, ἐκ πολλοῦ γε συνεστάναι κατὰ τὴν ἰσχὺν δοκοῦντα τὴν οἰκείαν, ἐπειδὴ ἄνωθεν αὐτῷ τοιαῦτα διαπράττεσθαι ἔργον καὶ τοιούτων ἔργων τῆς οἰκονομίας τὴν πορείαν ἐπιδείκνυσθαι τῆς οἰκείας. —

ζ. Ἀντὶ δὲ κόπων εἶδον σκηνώματα Αἰθιόπων· πτοηθήσονται σκηναὶ γῆς Μαδιάμ. Καὶ γὰρ πάλαι πρότερον ὁπηνίκα κατὰ τὴν Αἴγυπτον ἦμεν δουλεύοντες, ὅτε βουληθεὶς ἀπήλλαξας ἡμᾶς τῆς ὑπ᾽ Αἰγυπτίοις δουλείας, εἶδον ἐρήμους τὰς οἰκήσεις Αἰθιόπων τε καὶ Μαδιηναίων καὶ πάντων γε ὁπόσοι τὴν ἔχθραν ἤρουντο τὴν καθ᾽ ἡμῶν.

η΄. Μὴ ἐν ποταμοῖς ὀργισθῇς κύριε, ἢ ἐν ποταμοῖς ὁ θυμός σου, ἢ ἐν θαλάσσῃ τὸ ὅρμημά σου; Ἔθος σοι κατὰ ποταμῶν καὶ θαλάσσης τὴν ὀργὴν ἐπιδείκνυσθαι τὴν οἰκείαν, ἵνα εἴπῃ, κατὰ ἀναριθμήτων δήμων εἴωθας ὀργιζόμενος τὴν δύναμιν ἐπιδείκνυσθαι τὴν οἰκείαν. τὸ γὰρ μὴ ἐν ποταμοῖς, ἀντὶ τοῦ οὐκ ἐν ποταμοῖς; ὡς κατὰ ἐρώτησιν λέγει ἀντὶ τοῦ ἐν ποταμοῖς καὶ θαλάσσῃ πάντοτε τὴν ὀργὴν καὶ τὸν θυμὸν ἐπιδέδειξαι βουληθεὶς τὸν οἰκεῖον. — Ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου σωτηρία. Ὅταν γὰρ βου-

bus ejus. Solo oculorum suorum obtutu integras delet gentes, collesque conterit, et quaecunque robore suo proprio firmiter stare visa sunt. Talia enim facere eum decet; et per ea moderaminis sui gressum declarat.

V. 7. *Pro laboribus, vidi tabernacula Aethiopum; pavebunt tentoria terrae Madiam.* Et olim etiam, quum in Aegypto servi essemus, et tu nos ab jugo Aegyptiorum solvisses, devastatas videbam habitationes Aethiopum et Madianitarum, omniumque, qui hostili in nos animo fuerant.

V. 8. *Num fluminibus irasceris, domine? num in fluvios ira tua? num adversus mare indignatio tua?* Mos tibi adversus fluvios et mare iram tuam ostendere; i. e. adversus innumerabiles nationes, iratus ubi es, potentiam tuam exserere soles. *Num in fluminibus* enim pro *nonne in fluminibus?* interrogando dicit pro eo: in fluviis et mari, ubi id voluisti, semper iram et indignationem tuam exhibuisti. — *Quando equis tuis veheris, equitatio tua salutaris.* Ubi volueris, inquit, quasi equis vectus,

ληθῆς, φησὶν, ὥσπερ ἐφ' ἵππων τινῶν ἐπιβαίνων ταῖς ἀοράτοις καὶ λειτουργικαῖς δυνάμεσι ἐπιτάττεις· οἱ[1]) δὲ πάντας μὲν ἀθρόως τιμωροῦνται τοὺς ἐναντίους, σωτηρία δὲ ἐντεῦθεν παραγίνεται τοῖς σοῖς.

θ'. Ἐντείνων ἐντενεῖς τὸ τόξον σου ἐπὶ τὰ σκῆπτρα, λέγει κύριος. Συνεχέσι δὲ ταῖς τιμωρίαις κατακοντίζεις τοὺς ἐν βασιλείᾳ καὶ δυναστείᾳ καθεστάναι δοκοῦντας. — Ποταμοῖς ῥαγήσεται ἡ γῆ. ὥστε τῶν ποταμῶν τὴν ἀναίρεσιν ἐκ τῆς γῆς ἀθρόον γενομένην τῆς σῆς διαῤῥῆξαι τὴν γῆν. ἔθος γὰρ τοῦτο τῇ γῇ μειωθέντων ὑπομένειν τῶν ὑδάτων ἀπὸ τῆς ἐπακολουθούσης ξηρότητος ὕστερον.

ι'. Ὄψονταί σε καὶ ὠδινήσουσι λαοί. Ἐν ὀδύναις ἔσονται πλεῖστοι, οὐδὲ τὴν πρόσοψιν ἐνεγκεῖν δυνηθέντες τὴν σήν. — Σκορπίζων ὕδατα πορείας. Ἀφανίζεις γὰρ βουληθεὶς ἅπασαν ὕδατος διέξοδον. ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς, ὕψος φαντασίας αὐτῆς. Τότε δὴ καὶ ἡ ἄβυσσος ὥσπερ τινὰ φωνὴν κατὰ τὸ μέγεθος ἀφήσει τὸ οἰκεῖον τῷ νεύματι κλονουμένη τῷ σῷ. — ια'. Ἐπήρθη ὁ ἥλιος καὶ ἡ σελήνη ἔστη ἐν τάξει αὐτῆς. Ἐπειδὴ δύειν λέγει τὸν ἥλιον τοῖς

[1]) Leg. αἱ.

viribus tuis adspectui subtractis imperas, quae exemplo omnes adversarios puniunt, unde tuis salus provenit.

V. 9. *Arcum tuum intendes contra sceptra, inquit dominus.* Poenis continuis confodis eos, qui principatu et potentia sua superbiunt. — *Fluviis scindetur terra.* Fluviis terrae tuae repente exsiccatis terra scindetur. id enim terrae accidere solet, ubi aquae siccitate nimia imminuuntur.

V. 10. *Videbunt te populi et dolebunt.* Dolores perferent plurimi, nec adspectum tuum sustinebunt. — *Dispergit aquas itineris.* Ubi volueris, aquarum rivi omnino evanescent. — *Abyssus emisit vocem suam, altitudo imagines ejus.* Tunc etiam abyssus quodammodo vocem emittet pro vastitate sua, tuo nuto agitata. — V. 11. *Sol et luna in statione sua substiterunt.* Quum solem infelicibus occidere dicat scriptura, hoc loco dicit, iis,

ἐν ἀνάγκαις, ἐνταῦθα τοῦτο βούλεται εἰπεῖν ὅτι τοῖς παρὰ σοῦ ἐν εὐπραγίᾳ καθισταμένοις φωτεινὰ κατὰ τὴν οἰκείαν φύσιν φανεῖται ὁ ἥλιός τε καὶ σελήνη. — Εἰς φῶς βολίδες σου πορεύσονται. Περιφανεῖς καὶ μετὰ πολλῆς τῆς λαμπρότητος ἐπάξεις τὰς πληγὰς τοῖς ἐναντίοις. — Εἰς φέγγος ἀστραπῆς ὅπλων σου. Ἀστραπῆς δίκην ἐκλάμψει σου τὰ ὅπλα, ἵνα εἴπῃ ἡ κατὰ τῶν πολεμίων ἰσχύς. — ιβ'. Ἐν ἀπειλῇ σου ὀλιγώσεις γῆν, καὶ ἐν θυμῷ κατάξεις ἔθνη. Πᾶσαν τὴν γῆν μετὰ τῶν οἰκούντων αὐτὴν ὀργισθεὶς ἀποφάσει μόνῃ παντελῶς ἀπολύεις. —

qui te auctore rebus secundis utuntur, lucidus videbitur, ut natura ejus fert, et sol et cum eo luna. — *In lucem sagittae tuae ibunt.* Conspicuas multo cum rumore adversariis inflicturus es plagas. — *Splendor fulguris (splendor) armorum tuorum.* Fulguris instar splendebunt arma tua, i. e. robur tuum adversus hostes. — V. 12. *Comminatione tua terram comminues, et furore gentes confringes.* Iratus solo tuo jussu universam terram cum incolis plane deles.

ιγ'. Ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου, τοῦ σῶσαι τοὺς χριστούς σου. Ἅπαντα γὰρ πράττεις ἐπὶ σωτηρίᾳ τοῦ οἰκείου λαοῦ, ἅτε ἐξειλεγμένων παρὰ σοῦ. Χριστοὺς γὰρ ἐνταῦθα τοὺς ἐξειλεγμένους λέγει, οὐ τοὺς κεχρισμένους, ὡς ὁ μακάριος Δαυὶδ περί τε τοῦ Ἀβραὰμ καὶ τοῦ Ἰσαὰκ καὶ τοῦ Ἰακὼβ λέγων [1]) „Μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε", χριστοὺς οὐχ ὡς κεχρισμένους ἀλλ' ὡς ἐξειλεγμένους αὐτοὺς εἰρηκώς. — Ἐπέβαλες εἰς κεφαλὰς ἀνό-

V. 13. *Egressus es in salutem populi tui, in salutem unctorum tuorum.* Omnia ad salutem peragis populi tui, ut qui a te sint electi. Uncti enim hic electi dicuntur, non quasi vere fuerint uncti; sicut etiam beatus David de Abrahamo, Isaaco et Jacobo „Nolite, inquit, tangere unctos meos, meisve prophetis nocere," unctos, non quasi vere uncti fuerint, sed tanquam electos eos appellans. — *Necem capitibus impiorum injecisti,* propter hoc

[1]) Ps. CIV, 15.

μων θάνατον. Ὑπὲρ τούτου θανάτῳ περιβαλεῖς τοὺς ἐναντίους. — Ἐξήγειρες δεσμοὺς ἕως τραχήλου εἰς τέλος. καὶ δεσμίους αὐτοὺς ἡττηθέντας ἀποφανεῖς. — ιδ΄. Διέκοψας ἐν ἐκστάσει κεφαλὰς δυναστῶν. Τοὺς πρότερον δυναστεύοντας οὕτω τῇ σαυτοῦ ὀργῇ σφοδρῶς διέτεμες, ὥστε ἅπασιν ἐγγενέσθαι θαῦμα. — Σεισθήσονται ἐν αὐτῇ. Σαλευόμενοι ὑπὸ τῇ σῇ διαμενοῦσι τιμωρίᾳ. — Διανοίξουσι χαλινοὺς αὐτῶν ὡς ὁ ἐσθίων πτωχὸς λάθρα. Διανοῖξαι τὸ στόμα αὐτῶν εἰς πεπαῤῥησιασμένην οὐ τολμήσουσι λαλιὰν, δίκην δὲ πένητος, κεκλοφότος τι καὶ λαθραίως ἐσθίοντος ὡς ἂν μὴ ἁλῷ, μετὰ πολλοῦ φθέγξονται τοῦ δέους. — ιε΄. Καὶ ἐπεβίβασας τοὺς ἵππους σου ἐπὶ τὴν θάλασσαν ταράσσοντας ὕδατα πολλά. Ἐπαφῆκας τὰς ἀοράτους δυνάμεις τῷ πλήθει τῶν πολεμίων μεγίστην αὐτοῖς ταραχὴν ἐργαζομένας.

ις΄. Ἐφυλαξάμην καὶ ἐπτοήθη ἡ καρδιά μου ἀπὸ φωνῆς χειλέων μου, καὶ εἰσῆλθε τρόμος εἰς τὰ ὀστᾶ μου, καὶ ὑποκάτωθεν μου ἐταράχθη ἡ ἕξις μου. Πολλάκις γοῦν ἐπὶ τοῖς πραττομένοις κακοῖς τὴν ἡσυχίαν ἑλόμενος ἀγαγεῖν τῇ προσευχῇ χρησάμενος

adversarios leto trades. — *Vinculis obstrixisti eum totum usque ad collum.* Victos compedibus vincies. — V. 14. *In admirationem potentum capita detruncasti.* Qui antea potentia sua gloriati sunt, eos adeo ira tua obtruncasti, ut omnes mirentur. — *Et commovebuntur ea.* Supplicio tuo concussi manebunt. — *Aperient frena sua sicut mendicus in abscondito edens.* Os suum ad liberam ingenuamque orationem aperire non audebunt, sed mendico similes aliquid furato idque in occulto, ne capiatur, comedenti, admodum timide loquentur. — V. 15. *Et equos tuos concitasti in mare ut aquas conturbent multas.* Vires tuas non visibiles emisisti, ut hostium copias quam maxime perturbent.

V. 16. *Cavi, et obstupuit cor meum prae voce labiorum meorum, et contremuerunt ossa mea, et subter conturbata est fortitudo mea.* Saepius quamvis quietem capere voluerim de malis commissis, et preces fuderim, tamen si ea, quae propter ista

καὶ τὴν περὶ τῶν μελλόντων ἐντεῦθεν ἀποκάλυψιν λαβὼν φόβῳ τε κατεσχέθην τὴν διάνοιαν καὶ τρόμος ὅλον με δι᾽ ὅλου κατέσχεν. — Ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεως τοῦ ἀναβῆναι εἰς λαὸν παροικίας μου. Καὶ γὰρ ἐθαύμαζον μαθὼν πρᾶγμα ἄπιστον ἐσόμενον τῇ δυνάμει τῇ σῇ, ὅτι ἐκ τοσαύτης θλίψεως καὶ τοσούτων κακῶν, ἐν οἷς διὰ τῆς αἰχμαλωσίας ἐξετάσθην ἐν ἀναπαύσει τε ἔσομαι καὶ ἀπαλλαγῇ τῶν δεινῶν, καὶ δὴ καὶ ἐπὶ τὴν παροικίαν τὴν ἡμετέραν ἀνελεύσομαι μετὰ τοῦ λαοῦ τοῦ οἰκείου. —

ιζ΄. Διότι συκῆ οὐ καρποφορήσει καὶ οὐκ ἔσται γεννήματα ἐν τοῖς ἀμπέλοις, ψεύσεται ἔργον ἐλαίας καὶ τὰ πεδία οὐ ποιήσει βρῶσιν. ἐξέλιπεν ἀπὸ βρώσεως πρόβατα καὶ οὐχ ὑπάρξουσι βόες ἐπὶ φάτναις. Ἑώρων γὰρ, φησὶ, καὶ τὴν κατὰ τῶν ἐναντίων ὀργὴν, φοβεράν τινα οὖσαν, ἀφ᾽ ἧς οὐ τὰ ἐκ τῶν πολεμίων αὐτοὺς μόνον συνεῖχε κακὰ, ἀλλὰ γὰρ καὶ ὑπὸ ἀκαρπίας κατείχοντο παντελῶς, οὐκ ἐκ γεννημάτων οὐκ ἐκ ξύλων καρπὸν κομίσασθαι οἷοί τε ὄντες, προσαπολέσαντες δὲ καὶ τὰ κτήνη πάντα ἐρημίᾳ νομῆς τε καὶ βρωμάτων.

eventura essent e revelatione cognoscebam, timor animam pervasit, et tremor totum me correpsit. — *Requiescam die miseriae, ut adscendam ad populum meum peregrinantem.* Miratus sum quum audirem rem difficilem creditu, per potentiam tuam futuram, quod ex tanta miseria tantisque calamitatibus, quae e captivitate nobis venerunt, liberatus requiem capturus sim a diris, et cum populo meo reversurus ad pristinas sedes nostras.

V. 17. *Quia ficus non feret fructus, nec erunt germina in vineis; fallet olivae opus, nec arva escam proferent. Defecerunt ab alimento oves, nec boves apud praesepia invenientur.* Etiam adversus inimicos, inquit, Dei vidi iram, eamque terribilem; non solum enim calamitates ab hostibus paratae eos tenuerunt, sed etiam frugum sterilitate laborarunt, nullos arborum nec pecoris fructus nacti, pereuntibus etiam animalibus omnibus ob pabuli et escarum inopiam.

ιη'. Ἐγὼ δὲ ἐν τῷ κυρίῳ ἀγαλλιάσομαι, χαρήσομαι ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου. Καὶ τὰ μὲν περὶ ἐκείνους ἔσται τοιαῦτα, ἡμῖν δὲ τῇ σῇ βοηθείᾳ ἡδονή τε προσέσται καὶ σωτηρία. τὸ γὰρ Ἐγὼ δὲ ἐκ προσώπου οἰκείου περὶ τοῦ κοινοῦ λέγει λαοῦ, ὅπερ οὖν ἔθος πολλαχοῦ τοῖς προφήταις ποιεῖν, ὡς καὶ ὁ μακάριος Δαυὶδ τὰς αἰτήσεις ἐκ προσώπου τοῦ αὐτῶν ποιούμενος φαίνεται, ὡς ὅταν λέγῃ[1]), „Ἐπὶ σοὶ κύριε ἤλπισα, μὴ καταισχυνθείην εἰς αἰῶνα,“ καὶ[2]) „Κύριε εἰσάκουσον τῆς προσευχῆς μοῦ καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω.“ ταῦτα γὰρ ἐκ τοῦ κοινοῦ λέγει τῶν ἐπὶ τῆς αἰχμαλωσίας ὄντων, ὡσὰν ἑκάστου ἁρμοδίως τῇ φωνῇ χρησαμένου ταύτῃ. τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν ὁ προφήτης ὡς ἀπὸ τοῦ κοινοῦ λέγει ταῦτα, ἐπειδὴ καὶ περὶ τῶν τῷ κοινῷ προσδοκωμένων διαλέγεται.

ιθ'. Κύριος ὁ θεός μου δύναμίς μου, καὶ τάξει τοὺς πόδας μου ὡσεὶ ἐλάφου, καὶ ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβᾷ με τοῦ νικῆσαι ἐν τῇ ᾠδῇ αὐτοῦ. Αὐτὸς γάρ ἐστιν ὁ τὴν ἐν ἅπασιν δύναμιν μοι χαριζόμενος, ὃς ἀφελεῖ μὲν ἡμᾶς μετὰ πολλοῦ τοῦ τάχους τῆς αἰ-

V. 18. *Ego tamen in domino exsultabo et gaudebo de Deo salutis meae auctore.* Et haec quidem de illis; nobis autem te adjuvante voluptas erit et salus. *Ego* enim e sui ipsius persona de universo dicit populo pro more prophetis plane consueto, quem etiam beatus David sequitur, preces eorum nomine ubi fundit, veluti si „In te, domine, inquit, spem posui, nec poeniteat me ejus unquam;“ et rursus „Exaudi, domine, precationem meam, et clamor meus ad te veniat.“ Hoc enim communiter dicit ex mente captivorum, quasi singuli eadem hac formula unanimiter usi fuerint. Eadem ratione quasi e communi omnium ore haec dicit, quum de iis loquatur, quae omnibus communiter eventura essent.

V. 19. *Dominus Deus meus est meum robur, et dabit mihi pedes quasi cervi, meque in loca excelsa adducet, ut victor evadam in carmine ejus.* Ipse est, qui in omnibus rebus robur mihi largitur, qui multa cum celeritate captivitati nos eri-

[1]) Ps. XXX, 18. — [2]) Ps. CI, 1.

χμαλωσίας δίκην ἐλάφων ὀξεῖαν τὴν ἐκεῖθεν ἀναχώρησιν ποιούμενος. ὑψηλοτέρους δὲ ἡμᾶς πάντων ἀποφαίνει, ὥστε μηδὲν ἕτερον ἡμῖν ἁρμόττειν λοιπὸν, ἢ ἐν ᾠδαῖς καὶ ὕμνοις εἶναι τοῖς ὀφειλομένοις τῷ Θεῷ, ὑπὲρ ὧν τὴν κατὰ τῶν ἐχθρῶν τῶν ἡμετέρων νίκην παρὰ πᾶσαν ἀνθρωπίνην ἐλπίδα δέδωκεν ἡμῖν.

piet, et cervorum cum velocitate redire nos faciet. Omnibus quoque elatiores nos reddet, ita ut tunc nihil nos deceat, nisi carminibus et hymnis debitis Deum celebrare, quod praeter omnem spem humanam victoriam nobis de hostibus nostris dare voluerit.

ΕΡΜΗΝΕΙΑ ΣΟΦΟΝΙΟΥ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

ΠΡΟΟΙΜΙΟΝ.

Οὐ πόῤῥω τοῦ μακαρίου Ἀμβακοὺμ τῷ χρόνῳ τὴν προφητείαν ταύτην ὁ μακάριος πεποίηται Σοφονίας. Ἐπὶ γὰρ Ἰωσίου τοῦ βασιλέως τῆς Ἰουδαίας, ὡς ἡ βίβλος δηλοῖ, προφητεύει τὰ παρόντα, μεθ᾽ ὃν βραχέος διεληλυθότος χρόνου ἐπεληλύθασί τε τῇ Ἱερουσαλὴμ οἱ Βαβυλώνιοι καὶ πλεῖστα ὅσα κατὰ τὴν Ἰούδα διαθέντες φυλὴν, καὶ πολλοὺς μὲν ἀνελόντες πλείστους δὲ ἀπαγαγόντες αἰχμαλώτους, αὐτήν τε ἐπόρθησαν τὴν Ἱερουσαλὴμ καὶ δὴ καὶ πυρὶ τόν τε ναὸν τὸν θεῖον καὶ τῶν τῆς πόλεως οἰκοδομημάτων τὰ κάλλιστα κατέφλεξαν ἅπαντα, ἔτι καὶ τὸ τεῖχος αὐτῆς παντελῶς ἀνελόντες, ὡς μηδὲ ἀσφάλειάν τινὰ τοὺς ἐνοικοῦντας, εἴπερ οὖν τινὲς ἐπιθυμοῖεν τούτου, δύνασθαι ἔχειν.

COMMENTARIUS IN SOPHONIAM PROPHETAM.

PRAEFATIO.

Tempore non admodum ab Habacuco remoto hanc beatus Sophonias suam protulit prophetiam. Regnante enim in Judaea Josia rege, ut libri sui argumentum docet, sequentia vaticinatur. Brevi autem post istum tempore elapso Babylonii suam adversus Hierosolymam fecerunt expeditionem, et Judae tribum dure admodum vexarunt, cum multos interficientes, tum plerosque in captivitatem abducentes. Ipsam quoque Hierosolymam diruerunt, quin etiam divinum templum igne concremarunt, et pulcherrima quaeque aedificiorum combusserunt, destruentes insuper etiam moenia urbis, ne quid inde sit praesidii iis, qui forte eam habitare deinceps cuperent.

Κεφάλαιον Α'.

α'. Αὕτη μὲν οὖν συνήθης προγραφὴ τοῦ βιβλίου, Λόγος κυρίου, ὃς ἐγένετο πρὸς Σοφονίαν, τὸν τοῦ Χουσεὶ, υἱὸν Γοδολίου, τοῦ Ἀμορίου, τοῦ Ἐζεκίου, ἐν ἡμέραις Ἰωσίου, υἱοῦ Ἀμὼς, βασιλέως Ἰούδα. Ἐν οἷς δεδήλωκε τὸν προφήτην, ὅστις ἐστὶ καὶ ὅθεν καταγενόμενος, καὶ ἐν τίνι καιρῷ ποιεῖται τὴν προφητείαν. Ἄρχεται δὲ τῆς τῶν ἐσομένων προῤῥήσεως οὕτως.

β'. Ἐκλείψει ἐκλειπέτω πάντα ἀπὸ προσώπου τῆς γῆς, λέγει κύριος. Γεγόνεσαν μὲν γὰρ αἰχμάλωτοι παντελῶς αἱ δέκα φυλαὶ, κεκρατηκότες δὲ ἐκείνων Ἀσσύριοι ἐπῆλθον μὲν τῇ Ἱερουσαλὴμ, ὡς αἱρέσοντες καὶ ταύτην. ὡς δὲ φοβερὰν ἐκείνην ἐδέξαντο διὰ τοῦ ἀγγέλου πληγὴν, μετὰ πολλοῦ μὲν τοῦ δέους εἶδον οἱ λοιποὶ πρὸς τὴν φυγὴν, ὁπόσοι γε τῆς διὰ τοῦ ἀγγέλου τιμωρίας γεγόνεσαν ἐκτὸς, ἐν εἰρήνῃ δὲ βαθείᾳ τὰ κατὰ τὴν Ἱερουσαλὴμ γέγονεν ἐκ τούτου. Ἐπειδὴ τοίνυν τῆς τοῦ Ἰούδα φυλῆς τούς τε τὴν Ἱερουσαλὴμ οἰκοῦντας οὐ τῆς τιμωρίας τῶν Ἀσσυρίων τὸ μέγεθος ἐσωφρόνισεν, οὐ τῶν δέκα φυλῶν ἐφόβησεν ἡ αἰχμαλωσία, μεμενήκασι δὲ οὐθὲν ἔλαττον ἐκείνων παρανο-

Caput I.

V. 1. Consuetus libelli titulus ita habet: *Sermo domini, quem accepit Sophonias*, (*filius Chusi, nepos Godoliae, pronepos Amoriae, abnepos Ezechiae,*) *regnante in Juda Josia, Amosi filio.* Quibus indicatur, propheta quis sit, unde ortus, et quo tempore ediderit vaticinia sua. Futurorum vero ipsa praedictio ita incipit.

V. 2. *Omnia omnino de terra auferantur, inquit dominus.* Abductis in captivitatem decem tribubus universis, qui eos devicerant, Assyrii Hierosolymam incursarunt vel eam expugnaturi. Ubi vero ab angelo horrendam istam passi sunt cladem, reliqui multo cum pavore in fugam se dederunt, qui angeli supplicio evaserant, et Hierosolyma ea ratione alta in pace remansit. Jam vero quum neque Assyriorum cladis magnitudo Judae tribus cives Hierosolymaeque incolas ad sanam mentem reduceret, neque decem tribuum captivitas eos terreret; sed iidem nihilominus cum istis im-

30

μίᾳ τε καὶ ἀσεβείᾳ συζῶντες καὶ οὗτοι, ἀναγκαίως ἐντεῦθεν ἤρξατο τοῦτο λέγων, ὅτι ἀνάγκη καὶ τοὺς ὑπολοίπους ἐκλιπεῖν τοῦ λαοῦ, ἀφαιρεθέντας μὲν τῆς γῆς τῆς ἐπαγγελίας, ἀπαχθέντας δὲ εἰς αἰχμαλωσίαν, ἐπειδὴ καὶ οὗτοι μεμενηκότες οὐδὲν ἐκείνων ἔλαττον ὤφθησαν ἀσεβοῦντες. Καλῶς δὲ καὶ ἐν ἀποφάσει τὴν μήνυσιν ποιεῖται, ὡσὰν δεικνὺς ὅτι τούτων ἀξίους ἑαυτοὺς δι' ὧν ἔπραττον πεποιήκασιν, ὅθεν δὴ καὶ ἀποφῄνασθαι περὶ τούτων τοιαῦτα προῆκται θεός. Εἶτα, καθολικῶς εἰπὼν Ἐκλιπέτω παντα, ἐπάγει κατὰ μέρος·

pie et inique vivendi communionem inirent: idcirco merito talia locutus initium fecit, fore ut etiam ii, qui reliqui fuerint e populo, deficiant, terra promissionis expulsi et in captivitatem deducti, quia etiam hi, qui remansissent, non minus quam illi peccassent. Egregie vero jubendo simul etiam praedictionem facit; quo significat, eos se per facta sua istis dignos praebuisse, et eam ob rem talia de iis jubere coactum fuisse Deum. Dein, postquam generatim omnium interitum indicavit, nunc speciatim pergit.

γ'. Ἐκλιπέτω ἄνθρωπος καὶ κτήνη, ἐκλιπέτω τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ οἱ ἰχθύες τῆς θαλάσσης, καὶ ἀσθενήσουσιν οἱ ἀσεβεῖς, καὶ ἐξαρῶ τοὺς ἀνόμους ἀπὸ προσώπου τῆς γῆς, λέγει κύριος. Ὑπερβολικῶς μὲν τοῖς ἀνθρώποις καὶ τοῖς κτήνεσι τὰ πετεινὰ καὶ τοὺς ἰχθύας συνῆψεν, ἢ καὶ τροπικῶς καθὼς εἴωθε λέγειν, ἵνα πετεινὰ μὲν εἴπῃ τοὺς ἐκ δυναστείας ὑπεραιρομένους τῶν λοιπῶν, ἰχθύας δὲ τοὺς ἐν τῷ δήμῳ διὰ ταπεινότητα ἕρποντας πολλήν. Καὶ τὴν αἰτίαν δὲ ἐπάγει, καὶ ἀσθενήσουσιν κ. τ. λ. Οἱ γὰρ ἀσε-

V. 3. *Deficiant homo cum bestiis, deficiant volucres coeli et pisces maris; et languebunt impii; et iniquos de terra auferam, inquit Dominus.* Hyperbolice hominibus et bestiis etiam volucres et pisces adnexuit, vel etiam tropice, pro suo loquendi more. Et volucribus eos significat, qui potentia super caeteros eminent, piscibus vero eos, qui propter multam tenuitatem in plebe repunt. Et causam addit verbis *Et languebunt etc.* Qui enim impio et iniquo vivendi generi indulgent, lan-

βείᾳ καὶ ἀνομίᾳ συζῶντες εἰς παντελῆ καταντήσουσιν ἀσθένειαν, ὑπὸ τῇ τῶν πολεμίων πεπτωκότες χειρὶ, οἱ λοιποί τε αἰχμαλωσίᾳ ληφθέντες ἀφαιρεθήσονται τῆς γῆς, ἣν παρ᾽ ἐμοῦ λαβόντες μετὰ πολλῆς κατεῖχον τῆς παρανομίας. Εἶτα καὶ περὶ τίνων ταῦτα λέγει σαφέστερον ποιῶν.

δ΄. Καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ Ἰούδα καὶ ἐπὶ πάντας τοὺς κατοικοῦντας Ἱερουσαλήμ. Κατά γε τῆς πόλεως ἐπάξειν εἰρηκὼς τὴν τιμωρίαν, ἀναγκαίως δὲ καὶ τὰς τῆς τοσαύτης τιμωρίας λέγων αἰτίας. Καὶ ἐξαρῶ ἐκ τοῦ τόπου τούτου τὰ ὀνόματα τῶν Βααλὶμ καὶ τὰ ὀνόματα τὰ τῶν ἱερῶν μετὰ τῶν ἱερέων, ε΄. καὶ τοὺς προσκυνοῦντας ἐπὶ τὰ δώματα τῇ στρατιᾷ τῶν οὐρανῶν, καὶ τοὺς ὀμνύοντας κατὰ τοῦ κυρίου, καὶ τοὺς ὀμνύοντας κατὰ τοῦ Μελχὸμ, ς΄. καὶ τοὺς ἐκκλίνοντας ἀπὸ τοῦ κυρίου, καὶ τοὺς μὴ ζητοῦντας τὸν κύριον, καὶ τοὺς μὴ ἀντεχομένους τοῦ κυρίου. Ἀφελῶ γὰρ παντελῶς τοῦ τόπου τούτου τοὺς μὲν τῇ σφαγῇ τοὺς δὲ τῇ αἰχμαλωσίᾳ, συναφανίζων αὐτοῖς καὶ τὰ εἴδωλα πάντα, τήν τε ἐπ᾽ αὐτοῖς θεραπείαν μετὰ τῶν ἱερατεύειν αὐτοῖς δοκούντων,

guore prorsus absumentur, ubi hostium manibus inciderint; reliqui vero captivi e terra auferentur, quam a me sibi datam multa cum iniquitate possederunt. Deinde clarius etiam indicat, de quibus haec dicat.

V. 4. *Manum meam contra Judam omnesque Hierosolymae incolas extendam.* Postquam, urbi se obducturum esse poenam, dixit, necessario etiam tanti supplicii causas dicit. — *Et auferam ex eo loco nomina Baalum, et sacrorum nomina cum sacerdotibus,* V. 5. *et eos qui in aedibus agmen coeli adorant, et qui per Dominum jurant, (sed etiam) qui per Melchom jurant;* V. 6. *et eos, qui declinant a Domino, et qui Dominum non quaerunt, nec ei adhaerent.* Omnino enim eos ex hoc loco exscindam, partim caede, partim captivitate usus, cumque iis etiam omnia idola, horumque religiones cum iis, qui sacerdotio istorum funguntur, insuper vero etiam eos, qui in aedibus sidera coelestia venerati sunt. Justissimam

πρὸς ἅπασι δὲ τοὺς ἐπὶ τῶν δωμάτων τοὺς κατ' οὐρανὸν φωστῆρας θεραπεύειν ἐσπουδακότας. δικαίαν γὰρ δὴ μάλιστα οὗτοι δέξονται τὴν τιμωρίαν, οἳ περὶ τὸν ναὸν οἰκοῦντες τὸν ἐμὸν οὐκ αἰσχύνονται περὶ τὴν τῶν εἰδώλων ἀσχολούμενοι θεραπείαν φροντίζειν[1]), ὅταν αὐτοῖς ὀμνύειν κατ' ἐμοῦ δοκῇ, ποτὲ δὲ κατὰ τῶν εἰδώλων ὀμνύουσι. Μελχὸμ γὰρ τὸ εἴδωλον λέγει, ἵνα ἀφ' ἑνὸς καθὼς εἴωθεν ἅπαντα εἴπῃ τὰ εἴδωλα, Ἀλλὰ γὰρ πολλὰς μὲν οἶδα μυθολογίας, παρεὶς τῶν πρὸς τοὺς Σύρους κεχηνότων, ὡς ἂν μὴ φλοιαρεῶν[2]) δοκοίην ἐμπιπλᾶν τὴν θείαν γραφήν· ἐν καιρῷ δὲ νῦν ἐνόμισα διὰ τούτου ποιήσασθαι μνήμην εἰς ἔλεγχον εἴτε τοῦ νῦν οὐ δεόντως παρ' αὐτῶν λεγομένου εἴτε καὶ τῶν λοιπῶν, ἃ λεγόντων αὐτῶν παρῆκα δι' ἣν ἔφην αἰτίαν. λέγουσι γάρ, ὅτι Μελχὸμ ἐνταῦθα τὸν βασιλέα βούλεται εἰπεῖν, μελχὸμ γὰρ τοῦ βασιλέως λεγομένου κατὰ τὴν Σύρων καὶ Ἑβραίων γλῶτταν, πλανηθέντας τοὺς ἑρμηνεύοντας ἀντὶ τοῦ βασιλέως Μελχὸμ εἰπεῖν, ὅπερ ἐστὶ τὸ εἴδωλον. οὓς ἐχρῆν πρὸ πάντων ἐκεῖνο συνιδεῖν, ὅτι μὲν κατὰ τὴν Ἑβραίων γλῶτταν εἴρηται τὰ τῆς θείας γραφῆς, ἡρμήνευται δὲ ταῦτα εἰς

enim hi tolerabunt poenam, qui penes meum habitantes templum non verentur in idolis studiosissime colendis operam collocare, et per me jurare, siquando id sibi videtur; nonnunquam vero etiam per idola jurant. *Melchom* enim idolum designat, ut uno appellato omnia, ut solet, significet idola. At multas novi (interpretum) fabulas, etsi praetermiserim eos, qui Syros inhiant, ne nugis scripturam divinam implere videar; nunc tamen ejus rei mentionem injicere, opportunum judicavi, ut arguam et id, quod in praesenti ab iis parum recte dicitur, et ea, quae dicta de causa praetermisi. Vocem *Melchom* enim hoc loco regem designare dicunt, quoniam in Syrorum Hebraeorumque lingua rex *melchom* nominetur; errasse vero (Hebraici textus) interpretes, pro rege quum dixerint Melchom, quod utique sit idolum. Hi vero hoc prae caeteris considerare debebant, scripturam sacram Hebraeorum sermone quidem scriptam esse, hinc vero in Syrorum translatam ab ho-

[1]) F. l. φροντίζειν ποτὲ μὲν τοῦ καὶ ἐμοὶ ποιεῖσθαι θεραπείαν, ὅταν etc. — [2]) Leg. φλυαριῶν.

μὲν τῶν Σύρων παρ' ὅτου δήποτε, οὐδὲ γὰρ ἔγνωσται μέχρι τῆς τήμερον, ὅστις ποτὲ οὗτός ἐστιν, εἰς δὲ τὴν Ἑλλήνων ἑβδομήκοντα μετενηνόχασιν ἄνδρες πρεσβύτεροι τοῦ λαοῦ, ἐπιστήμονες μὲν ἀκριβῶς τῆς γλώττης τῆς οἰκείας, ἐπιστήμονες δὲ καὶ τῶν γραφῶν ὑπό τε τοῦ ἱερέως καὶ παντὸς τοῦ Ἰσραηλιτικοῦ λαοῦ δοκιμασθέντες, ὡσὰν πάντων μάλιστα πρὸς τὴν ἑρμηνείαν ἄξιοι. ὧν τήν τε ἑρμηνείαν καὶ τὴν ἔκδοσιν καὶ οἱ μακάριοι ἀπόστολοι δεξάμενοι φαίνονται προδήλως, οἳ καὶ τοῖς ἀπὸ ἐθνῶν πεπιστευκόσιν οὐδ' ὅλως προσέχουσι πρότερον τοῖς τῆς παλαιᾶς διαθήκης παρέδωκαν τὰς θείας γραφὰς ἐπὶ τῆς τῶν Ἑλλήνων κειμένας γλώττης κατὰ τὴν τῶν ἑβδομήκοντα ἑρμηνείαν. παρ' ὧν δὴ καὶ παραλαβόντες αὐτὰς νῦν ἔχομεν ἅπαντες οἱ ἐξ ἐθνῶν τῷ δεσπότῃ πεπιστευκότες Χριστῷ ἔν τε ταῖς ἐκκλησίαις ἀναγινώσκοντες καὶ κατ' οἶκον ἔχοντες. Πῶς οὖν οὐκ ἀνόητον, νομίζειν ὅτι οἱ μὲν ἑβδομήκοντα καὶ τοσοῦτοι καὶ τοιοῦτοι καὶ οὕτω δεδοκιμασμένοι διεσφάλλοντο περὶ λέξιν, οἳ καὶ πρὸ πάσης ἑρμηνείας ᾔδεσαν πάντως τὸ ἐν τῇ θείᾳ κείμενον γραφῇ, καὶ εἴτε βασιλέα λέγει εἴτε εἴδωλον; ἀξιοπιστότερον δὲ ἁπάντων ἐκείνων ὑπειλῆφθαι προσῆκεν, — ἕνα τινα

mine, nescio quo; usque ad hodiernum diem enim nondum innotuit, quisnam iste fuerit. In Graecum vero verterunt eam septuaginta viri seniores e populo Judaeorum, patrium sermonem accuratissime edocti, nec non scripturae perquam periti, et a summo pontifice universoque Israelitico populo probati, ut qui omnium maxime interpretationis operi pares essent. Et eorum tum interpretationem tum recensionem beatos apostolos uti ipsos recepisse, ita etiam iis qui de gentilibus crediderunt, nec antea unquam vetus testamentum noverant, scripturam sacram in Graecorum sermonem a septuaginta viris illis versam tradidisse, constat. De istis vero nos, qui de gentilibus Christo domino credidimus, eam accepimus et in ecclesiis legimus et in domibus habemus. Quomodo igitur non ineptum sit, putare Septuaginta interpretes, tot, tales et adeo probatos viros, errasse circa sensum, qui etiam antequam verterent ea bene cognita habuere, quae in scriptura sacra occurrunt, utrum regem innuat an idolum? His omni-

ἀφανῆ εἰς τὴν Σύρων γλῶτταν μεταβεβληκότα τὰ Ἑβραίων, ὥς γε φασὶ, πρὸς τῷ κἀκεῖνο δῆλον εἶναι, ὅτι τῆς τῶν εἰδώλων ἕνεκεν θεραπείας αὐτοὺς ὁ θεὸς αἰτιᾶται ἐν τούτοις διὰ τοῦ προφήτου. καὶ ἐπειδὴ περὶ τὸν ναὸν τὸν θεῖον ὄντες τοιαῦτα διεπράττοντο, τοῦτο αὐτοῖς ἐπιμέμφεται ὅτι καὶ τὸν τοῦ ναοῦ θεὸν θεραπεύειν ἐδόκουν, τουτέστι τὸν τοῦ παντὸς κύριον, καὶ τῆς τῶν εἰδώλων οὐκ ἀπείχοντο θεραπείας. Τοῦ δὲ εἰδώλου τούτου μέμνηται καὶ ὁ μακάριος Ἀμὼς ὁ προφήτης, ὡς ὑπὸ Ἀμμωνιτῶν θεραπευομένου, λέγων οὕτως [1]· „Καὶ πορεύσεται Μελχὸμ ἐν αἰχμαλωσίᾳ, οἱ ἱερεῖς αὐτοῦ καὶ οἱ ἄρχοντες αὐτοῦ ἐπὶ τὸ αὐτὸ, λέγει κύριος.“ τοῦτο λέγων, ὃ καὶ πολλαχοῦ φαίνεται διὰ τῶν προφητῶν εἰρηκὼς, ὅτι ἡ κατὰ ὀργὴν οἵαν ἐπαγομένη τιμωρία τοῖς ἀλλοφύλοις ἄχρι τῶν εἰδώλων καὶ τῶν ἱερατευόντων αὐτοῖς ἐξετείνετο. Ὅτι δὲ ἅπασαν τὴν περὶ τὰ εἴδωλα θεραπείαν ἐκ τῶν παρὰ τοῖς Ἕλλησι θρησκευομένων εἵλκυσαν οἱ Ἰσραηλῖται, δῆλον, ὡς ὁ μακάριος λέγει Δαυίδ [2]· „Καὶ ἐπεμίγησαν ἐν τοῖς ἔθνεσι καὶ ἔμαθον τὰ ἔργα αὐτῶν καὶ ἐδούλευσαν τοῖς γλυπτοῖς αὐτῶν, δεικνὺς

bus multo credibilius hoc censeri potest, unum quendam, eumque ignotum hominem, qui Hebraica in Syrorum linguam transtulisse fertur, (in vitium incidisse). Insuper etiam hoc clarum est, idolorum propter venerationem Deum in hisce per prophetam illos increpare. Et quum, quamquam in templi vicinio habitarent, tamen talia fecissent, id Deus in iis vituperat, quod simul templi Deum i. e. orbis dominum colere visi fuerint, et idolis colendis non abstinuerint. Ejusdem vero idoli etiam beatus Amosus propheta, tanquam ab Ammonitis adorati, mentionem facit ita locutus: „Ibit Melchom in captivitatem una cum sacerdotibus et principibus suis, inquit Dominus.“ quibus idem significatur, quod etiam a caeteris prophetis saepius dicitur, poenam nimirum peregrinis infligendam talem fore, ut vel idola eorumque sacerdotes ab ea corripiantur. Omnem vero idolis religiones exhibendi morem a Graecorum religionibus in sua traxisse Israelitas, clarum est; quod

[1] Amos I, 15. — [2]) Ps. CV, 36.

ὅτι τὴν ἐκείνων ἠσπάσαντο εἰδωλολατρείαν, ὡς τὸν αὐτὸν φαίνεσθαι τρόπον καὶ τὴν περὶ τὸ εἴδωλον, ὃ Μελχὸμ ἐκαλεῖτο, θεραπείαν αὐτοὺς ποιεῖσθαι. Ὁ μέντοιγε προφήτης τοῖς εἰρημένοις οὕτως ἐπάγει, Καὶ τοὺς ἐκκλίνοντας ἀπὸ τοῦ θεοῦ, τοὺς μὴ ζητοῦντας τὸν κύριον, καὶ τοὺς μὴ ἀντεχομένους τοῦ κυρίου, βουλόμενος εἰπεῖν, ὅτι ἀπὸ τούτων δήλους ἑαυτοῖς [1]) καθιστῶσιν ἀπηλλοτριωμένους παντελῶς τῆς ἐμῆς εὐνοίας, καὶ μηδένα λόγον ἐθέλοντας ἐμοῦ τε καὶ τῶν ἐμοὶ δοκούντων ποιεῖσθαι. πρόδηλον γὰρ ὡς τῆς ἐμῆς γνώσεως ἀντεχόμενοι γνησίως οὐκ ἄν ποτε προσέσχον εἰδώλοις. — Εἰρηκὼς δὲ δικαίας τῆς τιμωρίας τὰς αἰτίας ἐπάγει.

etiam beatus David testatur, qui „Cum gentibus se commiscuerunt, eorumque opera didicerunt, eorumque simulacra coluerunt," inquit, significans, eos illorum idololatriam amplexos esse; unde etiam ejus idoli, quod Melchom nominatur venerationem eandem habere originem, apparet. Noster vero propheta ita pergit; *Et eos, qui declinant a domino, et qui dominum non quaerunt, nec ei ad haerent*; significans hoc: Per haec se benevolentia mea prorsus abalienatos exhibuerunt nec ullam mei et praeceptorum meorum rationem habere volentes; nam si vere mei cognitione imbuti fuissent, nunquam sane idolis honorem tribuissent. — Deinde vero, justis punitionis causis dictis, ita pergit:

ζ΄. Εὐλαβεῖσθε ἀπὸ προσώπου κυρίου τοῦ θεοῦ, διότι ἐγγὺς ἡ ἡμέρα κυρίου, ὅτι ἡτοίμασε κύριος τὴν θυσίαν αὐτοῦ ἡγίασε τοὺς κλητοὺς αὐτοῦ. Ἀλλ' ἐπειδὴ ἀμελῶς περὶ τὸ θεῖον ἐσχήκατε, νῦν γοῦν ὑπ' αὐτῆς τῆς ἀνάγκης φοβηθήσεσθε τὸν τοῦ παντὸς κύ-

V. 7. *Revereamini vere dominum Deum, quia instat domini dies, quia dominus sacrificium suum paravit, et sanctificavit vocatos suos.* At postquam numen neglexistis, nunc vero ipsa calamitate pressi universorum timete Dominum, ubi justam deli-

[1]) Leg. ἑαυτούς.

ριον, ὅτε τὴν τιμωρίαν ὑμῖν ἀξίαν ἐπάγει τῶν πλημμελημάτων. οὐδὲ γὰρ ἀφέστηκεν ὁ καιρὸς ἐκεῖνος ἀλλὰ καὶ μαλά γε ἔγγυθεν ἐστὶν, ἐν ᾧπερ ὑμᾶς τῇ τῶν πολεμίων παραδώσει θυσίᾳ, οὓς οἰκείῳ προστάγματι ἀφώρισέ τε καὶ κέκληκεν ἐπὶ τούτῳ. τοῦτο γὰρ λέγει τὸ Ἡγίασε τοὺς κλητοὺς αὐτοῦ, ἵνα εἴπῃ, ὅτι ἀφωρισμένους ἔχῃ τοὺς εἰς τὴν θυσίαν ταύτην κεκλημένους, λέγει δὲ τοὺς πολεμίους, οἳ καὶ καταθύσουσιν ὑμᾶς.

η'. Καὶ ἔσται ἐν ἡμέρᾳ θυσίας κυρίου, καὶ ἐκδικήσω ἐπὶ τοὺς ἄρχοντας, καὶ ἐπὶ τὸν οἶκον τοῦ βασιλέως καὶ ἐπὶ πάντας τοὺς ἐνδεδυμένους ἐνδύματα ἀλλότρια· θ'. καὶ ἐκδικήσω ἐπὶ πάντας ἐμφανῶς ἐπὶ τὰ πρόπυλα ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τοὺς πληροῦντας τὸν οἶκον τοῦ θεοῦ αὐτῶν ἀσεβείας καὶ δόλου. Ἐν ἐκείνῳ δὴ τῷ καιρῷ τοὺς ἄρχειν ἐν ὑμῖν δοκοῦντας τιμωρήσομαι, αὐτόν τε παντελῶς ἀφανιῶ τοῦ βασιλέως τὸν οἶκον, ἅτε εἰς αἰχμαλωσίαν ἀπάγεσθαι μέλλοντος τοῦ τότε βασιλεύειν ὑμῖν δοκοῦντος, καὶ πάντας δὲ καθάπαξ τιμωρήσομαι τοὺς οὕτω πρὸς τὴν Ἑλληνικὴν μίμησιν ἑαυτοὺς ἐκδεδωκότας, ὡς καὶ τῶν ἱματίων ζηλοῦν τὴν χρῆσιν τὴν τῷ νόμῳ μὲν ἀπη-

ctorum poenam vobis infliget. Non enim cunctatur tempus istud, sed prope instat, quo vos hostibus sacrificandos tradet, quos jussu suo ad id destinavit et advocavit. Hoc enim dicunt verba Sanctificavit vocatos suos; i. e. ad hoc sacrificium peragendum eos destinavit, quos ad id vocavit, scilicet hostes, qui vos sacrificabunt.

V. 8. *Et erit die sacrificii Domini, animadvertam in principes et in domum regis, et in omnes, qui vestitu peregrino amicti sunt.* V. 9. *et animadvertam in omnes manifeste, in eos, qui sunt in vestibulo die ista, et domum Dei sui impietate et fraude implent.* Isto tempore puniam eos, qui potestate inter vos pollent, ipsiusque regis plane evertam domum; nam qui tunc vobis imperabit, in captivitatem abducetur. et ad unum omnes puniam, qui adeo Graecorum imitandorum studiosi fuere, ut vel vestitu uterentur gentibus consueto, lege vero prohibito. Insigniter, inquit, ante vestibulum templi, quod profana-

γορευμένην τοῖς ἔθνεσι δὲ ἁρμοδίαν. πάντας δὴ, φησὶ, περιφανῶς τιμωρήσομαι πρὸ τῶν τοῦ ναοῦ προθύρων, εἰς ὃν ἠσέβουν, εἰσίοντες μὲν τῷ δοκεῖν εἰς τὴν ἐμὴν θεραπείαν, μεθ' ὑποκρίσεως δὲ καὶ δόλου ποιεῖσθαι τὴν εἴσοδον τολμῶντες, οἵ γε τῆς μὲν εὐσεβείας οὐθένα λόγον ἐβούλοντο ποιεῖσθαι, τοῖς εἰδώλοις δὲ προσανεῖχον σπουδῇ.

ι'. Καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει κύριος, φωνὴ κραυγῆς ἀπὸ πύλης ἀποκεντούντων, ὀλολυγμὸς ἀπὸ τῆς δευτέρας, καὶ συντριμμὸς μεγὰς ἀπὸ τῶν βουνῶν. Τότε δὴ φοβερὰ μέν τις γενήσεται φωνὴ ἀπὸ τῆς πύλης λαβοῦσα τὴν ἀρχὴν διὰ τῶν εἰσεόντων τε πολεμίων καὶ πολὺν εἰργαζομένων [1]) τὸν φόνον, διαδέξεται δὲ τὴν φωνὴν ἐκείνην ὀλολυγή τις ἀφόρητος τῶν κατ' οἰκίαν συντριβομένων τε καὶ ἀπολλυμένων ποικίλως ἔτι καὶ τῶν ἐν ὑψηλοτέροις τόποις ἐλπίδι φυγῆς κατατρεχόντων (τοῦτο γὰρ λέγει Βουνῶν), οἳ μόνον οὐδὲν ὠφελεῖσθαι δυναμένων ἐντεῦθεν ἀλλὰ γὰρ καὶ τὴν ἐσχάτην δεξομένων τιμωρίαν. οἷς ἀκολούθως ἐπάγει·

ια'. Θρηνεῖτε οἱ κατοικοῦντες τὴν κατακεκομμένην. Ἐνταῦθα δὴ, φησὶ, θρη-

[1]) F. l. ἐργαζομένων.

runt, puniam cunctos, qui illud intrarunt, me venerari simulantes, at revera fraudulenter et dolose intrarunt, ut qui meae venerationis nullam habere rationem vellent, sed idolis studium suum collocare adorandis.

V. 10. *Et erit isto die, inquit Dominus, vox clamoris de porta pungentium, et ejulatus de secunda, et ingens calamitas a collibus.* Tunc horrenda quaedam vox audietur, quae a porta initium capiet per hostes, qui ingrediuntur multamque faciunt caedem. Illam vero vocem excipiet ululatus ineffabilis eorum, qui loca elatiora, (i. e. Colles) fugam sperantes, petunt cursu; neque vero ibi ullam inveniunt opem sed potius ultimam accipiunt plagam. His consentanea addit.

V. 11. *Ejulate, qui confractam habitatis!* Eam ob rem, inquit, lacrimae decent

νεῖν ἅπαντας ἄξιον τοὺς οἰκοῦντας τὴν Ἱερουσαλὴμ, ἣν διαφόρως διὰ τῶν κατοικούντων κατακόψουσιν οἱ πολέμιοι τάς τε οἰκοδομὰς αὐτῆς διατέμνοντες καὶ τοὺς οἰκοῦντας κατασφάττοντες. Διὰ τί; Ὡμοιώθη πᾶς ὁ λαὸς Χαναὰν, ἐξολοθρεύθησαν πάντες οἱ ἐπηρμένοι ἀργυρίῳ. Ἐπειδὴ γὰρ τῶν Χαναναίων ἐμιμήσαντο τὸν τρόπον, διὰ τοῦτο παραπλησίως ἐκείνοις καὶ τὴν τιμωρίαν ἐδέξαντο, ἀπολλύμενοι παντελῶς ὅνπερ δὴ τρόπον ἀπώλοντο κἀκεῖνοι, ὁπηνίκα τοῖς Ἰσραηλίταις παρεδίδου τὴν γῆν ὁ θεός. συναφανισθήσονται γὰρ δὴ πάντες τοῖς λοιποῖς καὶ οἱ μέγα φρονοῦντες ἐπὶ πλούτῳ, θεωροῦντες ἑαυτοὺς μηδὲν ἐκ τῆς εὐπορίας κέρδος λαβόντας, τοὐναντίον μὲν οὖν ἐν τῇ ἀφαιρέσει τῶν οἰκείων παραπλήσιοι γεγονότες τοῖς παντελῶς πενομένοις. —

omnes, qui Hierosolymam inhabitant, quum hostes eam vario modo per ipsos incolas destructuri sint, post diruta aedificia etiam incolas necantes. Et cur? *Assimilatus est totus populus Chananaeis; deleti sunt omnes pecunia superbientes.* Quoniam Cananaeorum imitati sunt mores, ideo etiam parem cum his acceperunt cladem, et perierunt eadem ratione atque etiam illi perierunt, ubi Deus Israelitis terram dederat. Et cum caeteris etiam omnes peribunt, qui divitiis confisi sunt, et tunc nullum ex opibus sibi venire commodum intelligent, quum bonis suis privati iis similes erunt, qui possessione plane destituti sunt.

ιβ'. Καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐξερευνήσω τὴν Ἱερουσαλὴμ μετὰ λύχνου. Ἐπειδὴ τοῖς τὰ ἐνδότατα καὶ σκότῳ πως κατειλημμένα ζητοῦσιν ἔθος λύχνῳ κεχρῆσθαι πρὸς ἀκριβεστέραν ἐρεύναν τῶν ἀποκεκρυμμένων, τοῦτο λέγει, ὅτι μετὰ πολλῆς τῆς ἀκριβείας ἐξερευνηθήσεται πάντα τὰ τῆς Ἱερουσαλὴμ, ὡς μηδὲν τῶν ἐνόντων διαλαθεῖν τοὺς πολεμίους. ὅπερ ἀκολούθως

V. 12. *Et ista die scrutabor lucernis Hierosolymam.* Quum ii qui intima et tenebris plena loca pervestigant lucernis uti soleant, ut abscondita melius perscrutentur; haec dicit: diligentissime tota Hierosolyma pervestigabitur, ita ut nihil eorum, quae ibi sunt, hostes latere queat. Et hoc eleganter prioribus adnexuit, ubi

ἐπήγαγε τῷ· Ἐξωλοθρεύθησαν πάντες οἱ ἐπηρμένοι ἀργυρίῳ, δεικνὺς ὅτι οὕτω πάντα τῶν εὐπόρων ἀφαιρεθήσεται τὰ ὄντα· οὐθενὸς λαθεῖν τῶν πολεμίων τὴν ἐρεύναν δυναμένου. Καὶ ἐκδικήσω ἐπὶ τοὺς ἄνδρας τοὺς καταφρονοῦντας ἐπὶ τὰ φυλάγματα αὐτῶν, τοὺς λέγοντας ἐν ταῖς καρδίαις αὐτῶν, οὐ μὴ ἀγαθοποιήσῃ κύριος οὐδὲ μὴ κακοποιήσῃ. Τιμωρήσομαι γάρ, φησί, τούτους, οἳ τῶν μὲν προσταγμάτων τῶν ἐμῶν καὶ τῆς θεραπείας κατεφρόνουν παντελῶς τῆς ἐμῆς, ἀφ᾽ ὧν δὴ διαφυλάττεσθαι καὶ διατηρεῖσθαι ἐκ πάσης ἐδύναντο ἐπηρείας, διακειμένους δὲ ὅτι μὴ οἷόντε τι κακὸν αὐτοῖς ἐπενεχθῆναι τοιαῦτα παρανομοῦσι. Τὸ γὰρ Οὐ μὴ ἀγαθοποιήσῃ κύριος κατὰ ὑπόκρισιν ἀναγνωστέον ἀντὶ τοῦ ἀγαθοποίησει.

ιγ'. Καὶ ἔσται ἡ δύναμις αὐτῶν εἰς διαρπαγήν, καὶ οἱ οἶκοι αὐτῶν εἰς ἀφανισμόν· καὶ οἰκοδομήσουσιν οἰκίας καὶ οὐ μὴ κατοικήσουσιν ἐν αὐταῖς, καὶ καταφυτεύσουσιν ἀμπελῶνας, καὶ οὐ μὴ πίωσιν τὸν οἶνον αὐτῶν· ιδ'. ὅτι ἐγγὺς ἡμέρα κυρίου ἡ μεγάλη, ἐγγὺς καὶ ταχεῖα σφόδρα. Πᾶσα μὲν οὖν αὐτῶν ἡ δύναμις ὑπὸ τῶν πολεμίων περιαιρεθήσεται, ἀφανι-

omnes divitiis superbientes deleri dixit; ostendit enim nunc, ea ratione omnia divitum bona raptum iri, quum nihil hostes scrutantes latere possit. — *Et animadvertam in eos, qui custodias suas contemnunt, et in cordibus suis dicunt: nec bene faciet dominus, nec male faciet.* Eos, inquit, mulctabo, qui et mandata mea et religionem mihi debitam prorsus contempserunt, licet his sedulo observatis omnem noxam evitare potuissent, quique persuasum habent, fieri non posse, ut de tanta impietate ullam daturi sint poenam. Namque quod negant, dominum bene iis facturum esse, simulate dictum est ab iis, omnino bene facturum esse Deum, ratis.

V. 13. *Abundantia eorum diripietur, aedesque eorum vastabuntur; quas domus exstruxerunt, non habitabunt, vinearumque, quas plantarunt, vinum non bibent.* V. 14. *Instat enim magna dies Domini; instat, et valde approperat.* Tota eorum abundantia ab hostibus pessum dabitur omnesque eorum aedes delebuntur, et neque iis fruentur aedificiis, quae mul-

σθήσονται δὲ αὐτῶν καὶ πάντες οἱ οἶκοι καὶ οὔτε τῶν οἴκων ἀπολαύσουσιν, οὓς μετὰ πολλῆς οἰκοδομήσαντες ἐπιμελείας[1]) οὔτε τῶν γεωργιῶν τῶν οἰκείων λήψονται τὸν καρπὸν, ἐπειδὴ πάρεστι καὶ πλησίον ἄγαν ἐστὶν ἡ ἡμέρα τοῦ θεοῦ, καθ' ἣν ἐκβήσεται πάντα ἅπερ οὖν ἀποπέφανται κατ' αὐτῶν ὁ θεός. — Φωνὴ ἡμέρας κυρίου πικρὰ καὶ σκληρὰ τέτακται. μεμήνυται γὰρ ὁ καιρὸς τῆς ἀποφάσεως τῆς θείας πολλῆς πικρίας τε καὶ τραχύτητος γέμων. —

ιε'. Δυνατὴ ἡ ἡμέρα ὀργῆς ἡ ἡμέρα ἐκείνη, ἰσχυρὸς ἄγαν τῆς ἡμέρας ἐκείνης ὁ θυμὸς, ἡμέρα θλίψεως καὶ ἀνάγκης, ἡμέρα ἀωρίας καὶ ἀφανισμοῦ, ἡμέρα σκότους καὶ γνόφου, ἡμέρα νεφέλης καὶ ὁμίχλης, ιϛ'. ἡμέρα σάλπιγγος καὶ κραυγῆς ἐπὶ τὰς πόλεις τὰς ὀχυρὰς καὶ ἐπὶ τὰς γωνίας τὰς ὑψηλάς. Τότε γὰρ ἀνάγκη καὶ θλῖψις ἔσται πολλὴ, καὶ θάνατοι ἄωροι τῶν ἐν νηπίᾳ σφαττομένων τῇ ἡλικίᾳ, ἀφανισμός τε ἀνθρώπων πολὺς, ὡς ἐντεῦθεν ἅπαντας δοκεῖν σκότῳ καὶ γνόφῳ· ἤ τινι νεφέλῃ περικεχύσθαι καὶ ὁμίχλῃ· ἥ τε γὰρ πολεμικὴ σάλπιγξ καὶ ἡ μετ' αὐ-

ta cum diligentia sibi exstruunt, neque agrorum a se cultorum colligent fructus; nam instat et proximus adest dies Domini, quo eventura sunt singula quaeque a Deo adversus eos declarata. — *Vox diei Domini amara et dura constituta est.* Indicatum est tempus divinae declarationis, amaritudine et crudelitate plenum.

V. 15. *Potens dies irae (erit) dies ille, vehementissima illius diei ira; dies angustiae et oppressionis, dies miseriae et destructionis, dies tenebrarum et caliginis, dies nebularum et nubium,* V. 16. *dies tubae et clangoris adversus urbes munitas, et angulos excelsos.* Tunc multum erit necessitatis et angustiae, mortesque praecoces eorum, qui aetate infanti occiduntur, multorumque hominum interitus; adeo ut hinc omnes caligine et tenebris vel nebulis involuti sibi videantur. Bellica insuper tuba et cum ea hostium clamor alte sonabit, munitarum

[1]) Leg. μετὰ πολλῆς ᾠκοδόμησαν τῆς ἐπιμελείας.

τῆς φωνῆ τῶν πολεμίων μέγιστον ἠχήσει προσημαίνουσα τῶν τε ἰσχυρῶν πόλεων καὶ τῶν μεγίστων οἰκιῶν τὴν καθαίρεσιν. —

urbium maximarumque aedium ruinam praenuntians.

ιζ'. Καὶ ἐκθλίψω τοὺς ἀνθρώπους καὶ πορεύσονται ὡς τυφλοὶ, ὅτι τῷ κυρίῳ ἐξήμαρτον, καὶ ἐκχεῶ τὸ αἷμα αὐτῶν ὡς χοῦν, καὶ τὰς σάρκας αὐτῶν ὡς βόλβιτα. Τὴν μὲν γὰρ ὑπερβολὴν τῆς θλίψεως διοίσουσι τυφλῶν οὐδὲν, οὐδὲ τὰ πρὸ ποδῶν ὁρᾷν οἷοί τε ὄντες, πείσονται δὲ ἅπαντα συντόμως εἰπεῖν ἐπειδήπερ ἄγαν ἠσέβησαν εἰς θεὸν, ὑπὲρ ὧν αἵματός τε ἔκχυσις ὡς ἐκ πολλοῦ γενήσεται φόνου, αἵ τε τῶν ἀποθνησκόντων σάρκες ἀτάφων μενόντων τῶν ἀναιρουμένων ὡσεὶ κόπρος τις κατὰ παντὸς ῥιφήσεται τόπου.

V. 17. *Et ad tantas redigam homines angustias, ut incedant quasi coeci, quoniam contra Dominum peccarunt. Et sanguinem eorum quasi pulverem effundam, carnesque eorum, quasi stercus boum.* Nimia angustia pressi a coecis non different, nec ob pedes videre poterunt. Eaque omnia, breviter ut dicam, passuri sunt, quoniam admodum impie adversus Deum egerunt. Propterea sanguinis tantum effudetur, quoad ejus in magna caede fieri solet. et cadavera mortuorum et occisorum, qui inhumata manebunt, quasi stercus ubivis sparsa jacebunt.

ιη'. Καὶ τὸ ἀργύριον καὶ τὸ χρυσίον αὐτῶν οὐ μὴ δυνηθῇ ἐξελέσθαι αὐτοὺς ἐν ἡμέρᾳ ὀργῆς κυρίου, καὶ ἐν πυρὶ ζήλου αὐτοῦ καταναλωθήσεται πᾶσα ἡ γῆ, διότι συντέλειαν καὶ σπουδὴν ποιήσει ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν. Ὄνησις αὐτοῖς οὐδεμία τοῦ πλούτου γενήσεται, ὃν συνήγαγον ἀδίκως, ἐπειδὴ ταῦτα πάντα κατὰ τὸν

V. 18. *Nec poterit eos eorum argentum vel aurum servare die irae Domini; et ab ardore irae ejus tota terra consumetur; quia consummationem faciet adversus omnes terrae incolas.* Nihil iis dabunt commodi divitiae, quas injuste collegere; ea omnia enim isto tempore divina inferiora videbuntur ira, quae instar i-

καιρὸν ἐκεῖνον δεύτερα ἔσται τῆς ὀργῆς τῆς θείας, ἣ πυρὸς δίκην πᾶσαν μὲν καταναλώσεται τὴν γῆν, πάντας δὲ τοὺς ἐνοικοῦντας αὐτὴν μετὰ πολλοῦ γε ἀπολέσει τοῦ τάχους. — Εἶτα μετὰ τὴν μήνυσιν τῶν κακῶν εὐέλπιδας αὐτοὺς, καθὼς εἴωθεν ὁ προφήτης, ποιῶν ἐπάγει.

nis totam consumet terram, ejusque incolas cunctas velocissime perimet. — Post haec malorum praedictionem, bonam iis ut rursus suppeditet spem, ut solet, ita pergit propheta.

Κεφάλαιον Β'.

α'. *Συνάχθητε καὶ συνδεήθητε τὸ ἔθνος τὸ ἀπαίδευτον,* β'. *πρὸ τοῦ γενέσθαι ὑμᾶς ὡς ἄνθος παραπορευόμενον ἡμέρας, πρὸ τοῦ ἐπελθεῖν ἐφ' ὑμᾶς ὀργὴν θυμοῦ κυρίου.* Ἀλλὰ γὰρ ἅπαντες ὑμεῖς οἱ μέχρι τοῦ δεῦρο τὴν τῶν προσηκόντων οὐ δεξάμενοι παιδείαν, νῦν γοῦν συνελθόντες κοινὰς τὰς δεήσεις τῷ θεῷ προσαγάγετε, ὡς ἂν μὴ δίκην ἄνθους ἀθρόον ἀφανισθέντος παντελῆ τὴν ἀπώλειαν ὑπομείνητε, ὁλοτελοῦς ἐφ' ὑμᾶς ἐνεχθείσης τῆς ὀργῆς τῆς θείας.

γ'. *Ζητήσατε τὸν κύριον πάντες ταπεινοὶ τῆς γῆς.* Καὶ οἱ παρὰ πάντας τοὺς τὴν γῆν οἰκοῦντας ταῖς ἐπενεχθείσαις ὑμῖν συμφοραῖς τεταπεινωμένοι ἐπιμεληθέντες τῆς εὐσεβείας τὸν ἔλεον αἰτήσατε τὸν θεῖον. — *Κρῖμα ἐργάσασθε καὶ ζητήσατε δικαιοσύνην.* Νῦν ὀρθοὶ τοῦ προσήκοντος γενόμενοι

Caput II.

V. 1. *Convenite et comprecamini, o gens nullius sapientiae,* V. 2. *antequam evadatis quasi flos evanescens die; antequam irruat in vos ira Domini.* Vos omnes, qui hucusque, quae vos deceant, accipere noluistis, convenientes communes Deo preces fundite, ne forte floris instar repente evanescentis, prorsus evertamini, divina ira abundanter contra vos excandescente.

V. 3. *Quaerite Dominum, omnes vos tenues terrae!* Prae omnibus orbis incolis, vos, qui calamitatibus vobis impositis extenuati estis, pietati studendo divinam petite misericordiam. — *Judicium operamini et justitiam quaerite.* Justi judices nunc facti, rectum a falso discer-

κριταὶ καὶ διακρίναντες ἐκ τοῦ χείρονος τὸ κρεῖττον ἐπιμελεῖσθε τοῦ δικαίου. — Ζητήσατε πραότητα καὶ ἀποκρίνεσθε αὐτά, ὅπως σκεπάσθητε ἐν ἡμέρᾳ ὀργῆς κυρίου. Ἐπιείκειαν ἕλεσθε καὶ ἀνεξικακίαν ἀνθ' ἧς πρότερον κατὰ τῶν πενεστέρων ἐπετηδεύετε ἀδικίας, καὶ δὴ συνθέσθε περὶ τὴν τούτων ἔχειν σπουδὴν (τοῦτο γὰρ λέγει τὸ Καὶ ἀποκρίνεσθε αὐτά), ὡς ἂν προσγένοιτο ὑμῖν ἐν τῷ καιρῷ τῆς τιμωρίας τυχεῖν τινὸς παρὰ τοῦ θεοῦ βοηθείας. —

Εἶτα λέγει τὰς κατὰ τῶν ἀλλοτρίων τιμωρίας ὑπὲρ τῆς εἰς αὐτοὺς ἀδικίας ἐπάγεσθαι μελλούσας, ὡς ἂν μείζονα τῆς περὶ αὐτοὺς κηδεμονίας τοῦ θεοῦ ποιήσαιντο τὴν ἀπόδειξιν. — δ'. Διότι Γάζα διεσπαρμένη ἔσται, καὶ Ἀσκάλων εἰς ἀφανισμόν, καὶ Ἄζωτος μεσημβρίας ἐκριφήσεται, καὶ Ἀκκαρὼν ἐκριζωθήσεται. Πάντες γὰρ ἀλλόφυλοι ὑπὲρ ὧν καθ' ὑμῶν πεποιήκασι τιμωρίαν δέξονται οὐ τὴν τυχοῦσαν. τὸ γὰρ Μεσημβρίας κατὰ κοινοῦ λέγει ἀντὶ τοῦ προδήλως, ὡς μηθένα τὸ γινόμενον λαθεῖν. ἃ γὰρ περὶ ἑκάστης λέγει τῶν πόλεων, εἴτε Γάζης, εἴτε Ἀσκάλωνος εἴτε τῶν λοιπῶν, κατὰ κοινοῦ περὶ πασῶν λέγει, διελὼν τῷ λόγῳ καθὼς εἴωθε· βούλεται γὰρ εἰ-

nentes justitiae habete curam. — *Quaerite mansuetudinem, et respondete ea, ut protegamini die irae Domini.* Benignitatem et clementiam induite loco injustitiae, quam antea contra pauperes ostendistis; et earum studium habere spondete, (quod significant verba: Et respondete ea); ut tempore supplicii forte auxilium apud Deum impetretis. —

Deinde poenas describit exteris propter injurias contra illos infligendas, ut clarius inde Dei de iis providentia eluceat. — V. 4. *Namque Gaza disjecta erit, et Ascalon diruta, et Azotus in meridie ejicietur, atque Accaron radicitus evertetur.* Omnes enim exteri, propter ea quae in vos deliquerunt, poenam luent non mediocrem. Quod enim dicit in meridie, ad omnia communiter trahendum est, et clare ista eventura esse neminemque latere posse significat. Quae enim de unaquaque urbium illarum, Gaza, Ascalone etc. dicit, ea omnes simul spectant, diviso tantum, ex more prophetarum, scr-

πεῖν, ὅτι πᾶσαι ἀλλοφύλων αἱ πόλεις διαρπαγήσονταί τε καὶ ἀφανισθήσονται καὶ τῆς οἰκείας εὐπραγίας ἀποῤῥιφεῖσαι παντελῆ δέξονται τὴν ἀπώλειαν. —

έ. Οὐαὶ οἱ κατοικοῦντες τὸ σχοίνισμα τῆς θαλάσσης, πάροικοι Κρητῶν. λόγος κυρίου ἐφ' ὑμᾶς Χαναὰν, γῆ ἀλλοφύλων, καὶ ἀπολῶ ὑμᾶς ἐκ κατοικίας. ς'. Καὶ ἔσται Κρήτη νομὴ ποιμνίων καὶ μάνδρα προβάτων. Ἐπειδὴ παραλίους εἶναι τὰς πόλεις συνέβαινε, σχοίνισμα τῆς θαλάσσης αὐτὰς κέκληκεν, ὡς ὁ μακάριος λέγει Δαυὶδ λέγων [1]) „Σοὶ δώσω τὴν γῆν Χαναὰν σχοίνισμα κληρονομίας ὑμῶν," ἵνα εἴπῃ, ὅτι εἰς κτῆσιν ὑμῖν ἀφοριῶ τὴν Χαναναίων γῆν, ἐκ μεταφορᾶς τῶν σχοινομετρούντων τε καὶ διοριζόντων τὴν γῆν. οὕτως οὖν κἀνταῦθα λέγει τὸ Σχοίνισμα θαλάσσης, ἀντὶ τοῦ, οἱ τὴν παραθαλάττιον οἰκοῦντες μερίδα· τὸ δὲ Πάροικοι Κρητῶν λέγει, ἐπειδή τινες ἐκ Κρήτης κατ' ἐμπορίαν αὐτόθι παραγεγονότες ὡς εἰς παραθαλαττίους πόλεις οἰκεῖν εἵλοντο παρ' αὐτοῖς, ὡς καὶ παρὰ τῷ Ἀμὼς [2]) λέγει· „Κατακόψω φυλὴν ἐξ ἀνδρῶν Χαῤῥὰν," περὶ τῶν ἐκεῖθεν τῇ Δαμάσκῳ παροικούν-

mone. Significat vero, fore ut omnes exterorum urbes diripiantur et diruantur, et felicitate sua privatae funditus deleantur.

V. 5. *Vae vos, funiculi marini incolae, advenae Cretensium! Sermo domini adversus vos Canaanitae, terra exterorum; perdam vos et auferam de habitatione vestra.* V. 6. *Et Creta pascua erit gregum et ovile pecudum.* Quia istae urbes mare adjacuerunt, funiculum marinum eas appellavit, sicut etiam beatus David dicit: *Dabo tibi terram Canaan funiculum hereditatis vestrae* i. e. Canaanitarum terram in possessionem vobis assigno, metaphora desumta ab iis, qui funiculis terram dimetiuntur et distribuunt. Ita etiam h. l. funiculum maris dicit, quo maritimarum regionum incolas indigitet. Cretensium advenas autem dicit, quoniam Cretenses quidam mercaturae faciendae causa venerant in istas regiones mari adjacientes, et ibi domicilium suum collocaverant: id quod etiam beatus Amosus confirmat,

[1]) Ps. CIV, 11. — [2]) Amos. I, 5.

των λέγων. Οὕτω γὰρ καὶ ἐνταῦθα παροίκους Κρητῶν καλεῖ, ἵνα εἴπῃ τοὺς παρ᾽ αὐτοῖς οἰκοῦντας Κρητῶν. βούλεται οὖν εἰπεῖν, ὅτι ἀθλιώτατοι πάντων πάντες ὑμεῖς οἱ τὴν παραθαλάττων οἰκοῦντες μερίδα μετὰ καὶ τῶν παροικούντων ὑμῖν Κρητῶν· ἀποπέφανται γὰρ κατὰ πάντων ὑμῶν ὁ θεὸς τῶν οἰκούντων τὴν Χαναναίαν ἀλλοφύλων, ὅτι ὑμᾶς τε ἀπολέσει παντελῶς καὶ τὴν ἐκ τῶν Κρητῶν παρ᾽ ὑμῖν οἰκουμένην χώραν νομή τε ποιμνίων καὶ οἴκησις προβάτων διὰ τῆς ἐρημίας παραδώσει πολλῆς.

quum „Conteram, tribus de viris Charran,“ inquit, de iis loquens, qui hinc oriundi Damasci peregre habitarunt. Eadem ratione etiam h. l. Cretensium advenas dicit, Cretenses significans, qui penes illos habitarunt. Hoc igitur dicere vult: Omnium infelicissimi vos estis, qui maritimum inhabitatis tractum, et vobiscum Cretenses advenae: adversus vos omnes enim, qui exteri Cananaeam habitatis, Deus edixit, fore ut plane deleamini, eaque regio, quam Cretenses apud vos tenent, pascua evadat gregum et habitaculum ovium propter multam solitudinem.

ζ. Καὶ ἔσται τὸ σχοίνισμα τῆς θαλάττης τοῖς καταλοίποις οἴκου Ἰούδα, ἐπ᾽ αὐτοὺς νεμήσονται ἐν τοῖς οἴκοις Ἀσκαλῶνος· δείλης καταλύσουσιν ἀπὸ προσώπου τῶν υἱῶν Ἰούδα, ὅτι ἐπέσκεπται καὶ αὐτοὺς κύριος ὁ θεὸς αὐτῶν, καὶ ἀπέστρεψε τὴν αἰχμαλωσίαν αὐτῶν. Οἱ γὰρ περισωζόμενοι, φησὶ, ἐκ τῆς τοῦ Ἰούδα φυλῆς πάσης δὴ τῆς παραθαλαττίου καθέξουσι μερίδος, καὶ πᾶσαν αὐτὴν ὡς οἰκείαν νεμηθήσονται χώραν, ὥστε τοὺς τῆς Ἀσκαλῶνος

V. 7. *Et funiculus maris erit iis, qui reliqui sunt de domo Judae; super eos habitabunt in domibus Ascalonis. Vespere divertent a filiis Judae, quoniam etiam eos visitavit Dominus Deus eorum, et captivitatem eorum avertit.* Omnes, qui de Judae tribu servati erunt, universum tractum obtinebunt maritimum, eamque ut suam regionem inhabitabunt; unde futurum est, ut incolae Ascalonis (hoc uno vero nomine omnes exterorum ur-

(βούλεται δὲ μιᾶς[1]) τὰς ὅλας τῶν ἀλλοφύλων πόλεις εἰπεῖν, καθὼς εἴωθεν, ἀπὸ μέρους τὸ ὅλον καλεῖν) ὑφορωμένους τῶν υἱῶν Ἰούδα τὴν ἰσχὺν, μετὰ πολλοῦ τοῦ δέους ἐν τοῖς οἰκείοις διάγειν· τὸ γὰρ Δείλης καταλύσουσι τοῦτο λέγει· ἐπειδὴ γὰρ τὸ μεσημβρίας εἴληφεν ἐπὶ τοῦ προφανῶς, τὸ δείλης ἔλαβεν ἐπὶ τοῦ δέους, ὡς τῶν λανθανόντων φευγόντων μὲν τὸν ἡμερινὸν καιρὸν ἐπὶ δὲ τὸν ἑσπέριον κατατρέχειν εἰωθότων ἐλπίδι τοῦ λαθεῖν. Ταῦτα δὴ, φησὶν, ἔσται, ἐπειδὰν ἐπισκεψάμενος ὁ Θεὸς τῆς Ἰούδα φυλῆς ἀπαλλάξειέν τε αὐτοὺς τῆς αἰχμαλωσίας καὶ πρὸς τὰ οἰκεῖα πάλιν μετὰ τῆς ἰδίας ἐπαναγάγοι βοηθείας. — Εἶτα ἀπὸ τῶν ἀλλοφύλων ἐφ᾽ ἑτέρους μετάγει τὸν λόγον.

η'. Ἤκουσα ὀνειδισμοὺς Μωὰβ καὶ κονδυλισμοὺς υἱῶν Ἀμμὼν, ἐν οἷς ὠνείδιζον τὸν λαόν μου, καὶ ἐμεγαλύνοντο ἐπὶ τὰ ὅρια αὐτοῦ. θ'. διὰ τοῦτο, ζῶ ἐγὼ, λέγει κύριος τῶν δυνάμεων ὁ Θεὸς Ἰσραὴλ, ὅτι Μωὰβ ὡς Σόδομα ἔσται, καὶ οἱ υἱοὶ Ἀμμὼν ὡς Γόμοῤῥα. Καὶ τὰ παρὰ τῶν Μωαβιτῶν δὲ καὶ Ἀμμονιτῶν εἰς τοὺς ἐμοὺς γενόμενα ἑώρων, ἅ τε

bes indigitat, pro more suo ex parte totum significans), adspecta filiorum Judae potentia timidissimi in suis maneant. id quod indicant verba, Vespere divertent; quum enim loquela In meridie in prioribus idem significaret quam manifesto, Vespere timorem indicat; qui enim latere volunt, tempus diurnum fugiunt, vespertinum autem adamant, eo latere se posse sperantes. Haec, igitur, inquit, accident, ubi Deus, visitata Judae tribu, eos a captivitate liberaverit, et ope sua in proprias sedes reduxerit. — De exteris deinde ad alios rursus sermonem dirigit.

V. 8. *Audivi ignominiam Moabitarum et convicia filiorum Ammonis, quibus exprobrarunt populum meum, et superbierunt contra fines ejus.* V. 9. *Ideo, Vivo ego,* inquit *Dominus agminum, Deus Israelis; Moab Sodomae similis erit, et Ammonitae Gomorrhae!* Haud equidem praetermisi, quae Ammonitae et Moabitae contra meos fecerunt, quibus

[1]) Leg. βούλεται δὲ διὰ μιᾶς.

ἔλεγον αὐτοῖς ὀνειδίζοντες, ὡς οὐδὲν ἐκ τῆς ἐμῆς ὠφελουμένοις θεραπείας, ὅσα τε αὐτοῖς κατὰ τὴν δύναμίν τὴν οἰκείαν ἐπῆγον κακὰ, ὥστε καὶ μεθ᾽ ὑπερβαλλούσης τῆς μεγαλαυχίας τῶν ὁρίων ἐφάπτεσθαι τῶν ἐμῶν, ὡσὰν αὐτοῖς προσήκειν ὀφειλόντων· λοιπόν. ὑπὲρ ὧν δὴ Σοδόμων τε καὶ Γομόῤῥων μιμήσονται τὴν ἐρημίαν. — Καὶ Δαμασκὸς ἐκλελειμμένη ὡς θημώνια[1]*) ἅλωνος καὶ ἠφανισμένη εἰς τὸν αἰῶνα. καὶ οἱ κατάλοιποι τοῦ λαοῦ μου διαρπῶνται αὐτοὺς, καὶ οἱ κατάλοιποι ἔθνους μου κληρονομήσουσιν αὐτούς. Καὶ ἡ Δαμασκὸς δὲ, φησὶν, ὡς ἂν θημωνία ἐν ἅλωνι συντριβεῖσά τε καὶ πατηθεῖσα ἀφανισθείη, οὕτως ἀφανὴς γενήσεται ἐξ ὄγκου μεγίστου καὶ ὑπερηφανίας πολλῆς εἰς ταπεινότητα καταχθεῖσα μεγίστην, ὥστε τοὺς ὑπολιμπανομένους τῶν ἐμῶν καὶ τῆς ἐπανόδου τυχόντας, δι᾽ ἁρπαγῆς τε ποιήσασθαι πάντας αὐτοὺς καὶ κτῆσιν ἰδιάν σχεῖν τὰ ἐκείνων.*

eos conviciis sectati sunt, quasi scilicet religio mihi exhibita nihil iis prodiderit, quot etiam malis, potentia sua abusi, eos affecerunt, ne terra quidem mea invadenda pro nimia sua insolentia abstinentes, ut eam sibi subjicerent in posterum. Eam autem ob rem devastati Sodomae et Gomorrhae similes erunt. — *Et Damascus relicta erit ut acervus areae, et deleta in aeternum. Et reliquiae populi mei diripient eos, et reliquiae gentis meae eos possidebunt.* Et sicuti acervus in area tritus et conculcatus evanescit, ita Damascus evanescet deleta, e superbia summa multaque insolentia in maximam projecta tenuitatem adeo, ut, qui ex meis reliqui sunt et reversi, eos omnes praedam facturi sint, illorumque res cunctas ipsi possessuri.

ι΄. Αὕτη αὐτοῖς ἀντὶ τῆς ὕβρεως αὐτῶν, διότι ὠνείδισαν καὶ ἐμεγαλύνθησαν ἐπὶ τὸν λαὸν κυρίου παντοκράτορος. Ταῦτα γὰρ, φησὶ, πείσονται ὑπὲρ ὧν ἐτόλμη-

V. 10. *Haec vero iis evenient propter eorum insolentiam; quod ignominiose tractaverint et superbe populum Domini omnipotentis.* Ea vero, inquit, passuri sunt,

[1]) Hoc loco et inferius Cod. *θιμωνία*.

σαν εἰς Θεὸν ἐξυβρίζειν ὀνειδίζοντες τοῖς ἐμοῖς ἐπ' ἐμοὶ, κατεπαιρόμενοι αὐτῶν ὡσὰν ἐν συμφοραῖς ὄντων ἐσχάταις. — ια'. Ἐπιφανὴς ἔσται κύριος ἐπ' αὐτοὺς καὶ ἐξολοθρεύσει πάντας τοὺς θεοὺς τῶν ἐθνῶν τῆς γῆς καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ, πᾶσαι αἱ νῆσοι τῶν ἐθνῶν.· Περιφανῆ τοίνυν ποιήσεται τὴν οἰκείαν ἐκδικίαν ὁ Θεὸς, ὥστε πάντας τοὺς ἀλλοτρίους μετὰ τῶν παρ' αὐτοῖς θρησκευομένων ἀπολέσαι θεῶν, ἅπαντάς τε τοὺς πανταχοῦ ἀνθρώπους, εἴτε ἐν πόλεσιν εἴτε ἐν νήσοις πολλὴν ἐπὶ τοῖς παρὰ τοῦ Θεοῦ γινομένοις τὴν ἔκπληξιν λαβόντας, κοινὴν αὐτῷ τὴν προσκύνησιν ἀποδιδόναι ἐν τοῖς ἰδίοις ἑκάστου τόποις ὁμολογοῦντος τῆς δυνάμεως αὐτοῦ τὴν ὑπερβολήν.

propterea quod adversus Deum insolenter se gerere ausi sunt, meis de me convicia facientes et elati adversus eos, ut qui in calamitatibus essent extremis. — V. 11. *Apparebit Dominus super eos, et destruet omnes gentium orbis Deos; et adorabunt eum e suo quisque loco, omnes gentium insulae.* Insignem igitur exercebit Deus vindictam: omnes enim peregrinos cum diis ab iis cultis evertet; unde omnes, ubicunque sint, homines, sive in urbibus, sive in insulis, stupore de Dei operibus correpti, communem ei exhibebunt venerationem, et suis quisque in locis ingentem ejus confitebuntur potentiam.

ιβ'. Καὶ ὑμεῖς Αἰθίοπες τραυματίαι ῥομφαίας μου ἐστέ. Καὶ αὐτοὶ δὲ ξίφη[1]) διὰ τῶν ἐμῶν τιμωρηθήσεσθε, ὑπὲρ ὧν πεπλημμελήκατε εἰς αὐτούς. Αἰθίοπας δὲ καὶ νῦν τοὺς πλησιάζοντας Αἰγύπτῳ λέγει. Ταυτὶ μὲν οὖν καθ' ὁμοιότητα τοῦ μακαρίου Ἀμὼς τοῦ προφήτου φησὶν, ὃς τά τε τῷ Ἰσραὴλ τά τε τῇ Ἱερουσαλὴμ συμβησόμενα λέγων μέμνηται καὶ τῶν ἀλλοτρίων,

V. 12. *Et vos, Aethiopes, gladio meo vulnerati estis.* Vos gladio per meos puniemini, quod contra eos deliqueritis. Aethiopes etiam hic eos significat, qui Aegypto sunt vicini. In his vero Noster beato Amoso prophetae similis est, qui, ubi futuros Israelitarum et Hierosolymae casus indicavit, etiam eorum mentionem fa-

[1]) Leg. ξίφει.

οπόσα πείσονται καὶ αὐτοὶ, Δαμασκηνοί τε λέγω καὶ Τύριοι, Ἰδουμαῖοι καὶ Ἀμμανῖται καὶ πάντες δὲ ὁπόσων ποιεῖται μνήμην. τὸν αὐτὸν γὰρ δὴ τρόπον καὶ ὁ μακάριος Σοφονίας τὰ περὶ τὴν Ἱερουσαλὴμ ἐσόμενα παρὰ τῶν Βαβυλωνίων ἐν τούτοις λέγων μέμνηται καὶ τῶν ὅσα τοῖς ἀλλοτρίοις κατ᾽ ἐκεῖνον συμβαίνειν ἤμελλε τὸν καιρὸν, ὅθεν δὴ μετὰ τὰ προῤῥηθέντα ἐπὶ τοὺς Ἀσσυρίους τε καὶ Νινευὴ μετάγει τὸν λόγον, ἐπειδὴ τότε Βαβυλώνιοι καὶ τὴν Ἀσσυρίων καθεῖλον ἀρχὴν, τὴν βασιλεύουσαν ἐν αὐτοῖς πόλιν τὴν Νινευὴ λέγω, ἐκπορθήσαντές τε καὶ ἐρημίᾳ παντελεῖ παραδόντες. Ὅθεν ἐπάγει·

ιγ'. Καὶ ἐκτενεῖ τὴν χεῖρα ἐπὶ βοῤῥᾶν καὶ ἀπολεῖ τὸν Ἀσσύριον καὶ θήσει τὴν Νινευὴ εἰς ἀφανισμὸν ἄνυδρον ὡς ἔρημον. ιδ'. καὶ νεμήσεται ἐν μέσῳ αὐτῆς ποίμνια καὶ πάντα τὰ θηρία τῆς γῆς, καὶ χαμαιλέοντες, καὶ ἐχῖνοι ἐν τοῖς φατνώμασιν αὐτῆς κοιτασθήσονται, καὶ θηρία φωνήσει ἐν τοῖς διορύγμασιν αὐτῆς, καὶ κόρακες ἐν τοῖς πυλῶσιν αὐτῆς, διότι κέδρος τὸ ἀνάστημα αὐτῆς. Καὶ γὰρ καὶ παρὰ Ἀσσυρίων τότε δὴ λήψομαι δίκας μετὰ τοιαύτης γνώ-

cit, quae exteri passuri sint, Damasceni et Tyrii, Idumaei et Ammanitae, caeterique quos memorat. Eodem modo etiam beatus Sophonias, memoratis casibus Hierosolymae Babyloniis auctoribus futuris, etiam ea annuntiat, quae circa idem tempus peregrinis eventura erant. Itaque post illa praedicta ad Assyrios et Nineven vertit sermonem, quum tunc temporis Babylonii etiam Assyriorum regnum destruerent, regia eorum urbe, Nineven intellige, expugnata, et devastata atque in solitudinem mutata. Unde ita pergit:

V. 13. *Et extendet manum suam adversus septentrionem, perdetque Assyrium, et in vastitatem rediget Nineven aridam, ut solitudinem.* V. 14. *Et media in ea pascentur greges, omniaque animalia terrae; et chamaeleontes et ericii in praesepibus ejus cubabunt; et clamabunt animalia in foveis ejus et corvi in portis ejus; quia cedrus altitudo ejus.* Tunc sane etiam de Assyriis repetam poenas, qui tam superba usi mente Hierosolymam invadere ausi

μης ἐπελθεῖν ἐπιχειρησάντων τῇ Ἱερουσαλήμ· ἀφανιῶ γὰρ αὐτῶν καὶ Νινευὴ τὴν βασιλίδα πόλιν, ὥστε γενέσθαι μὲν αὐτὴν ἔρημον παντελῶς, ἐν μέσῳ δὲ αὐτῆς ποίμνιά τε νέμεσθαι καὶ θηρία διάγειν καὶ τὰ λοιπὰ δὴ ζῶα, ὁπόσα ἐν τοῖς ἐρημοτάτοις ἐμφωλεύειν εἴωθε τόποις. Ταύτην γὰρ δώσει δίκην δικαίαν, ὑπὲρ ὧν μέγα κατὰ πασῶν ἐφρόνει τῶν πόλεων ὡσανεὶ κέδρου δίκην πρὸς τὰ λοιπὰ κρινομένοις[1]) φυτὰ ὑπερφέρουσα τῶν ἁπάντων. —

ιε'. Αὕτη ἡ πόλις ἡ φαυλίστρια, ἡ κατοικοῦσα ἐπ' ἐλπίδι, ἡ λέγουσα ἐν καρδίᾳ αὐτῆς· ἐγώ εἰμι, καὶ οὐκ ἔστι μετ' ἐμὲ ἔτι. Εὔδηλον δὲ, ὅτι ἐκ τῆς πόλεως τῶν ἐνοικούντων τὸ φρόνημα λέγει· οὐ γὰρ δὴ περὶ τῶν ἀψύχων λίθων ταῦτά φησιν. αὕτη τοίνυν, φησὶν, ἐστὶν ἡ φαυλίστρια, ἀντὶ τοῦ, ἡ πάντων μὲν ἐκφαυλίζουσα καὶ μηθὲν εἶναι τοὺς λοιποὺς ἡγουμένη πρὸς ἑαυτὴν, ἀρκεῖν δὲ ἑαυτὴ πρὸς ἅπαντα ὑπειληφυῖα. τοῦτο γάρ ἐστι τὸ Κατοικοῦσα ἐπ' ἐλπίδι, ἀντὶ τοῦ, ἐλπίδα περὶ ἑαυτῆς ἔχουσα, ὡς οὐδὲν οὐδέποτε πεισομένη παρ' ἑτέρου κακόν. διακειμένη τε, φησὶν, ὡς μόνη τε οὖσα καὶ οὐδὲ ἐν τῷ εἶναι κρίνεσθαι ἀξίων οὐσῶν τῶν

sunt. Nineven enim eorum regiam urbem destruam adeo, ut deserta sit plane, et greges in ea pascantur, feraeque et caetera animalia, quae locis desertissimis versari solent, in ea degant. Justissimum enim hoc solvet supplicium, propterea quod atrocem se exhibuit adversus omnes urbes, quasi cedrus caeteras supereminet plantas, se omnibus elatiorem rata.

V. 15. *Haec est urbs contemtrix, quae habitat in spe, et in corde suo, ego sum, inquit, neque est (quisquam) post me.* Prophetam urbe hoc loco ejus incolas eorumque mentem designare perspicuum est; non enim de lapidibus exanimibus haec dicit. Hanc igitur contemtricem esse dicit, significans, eam omnes parvi fecisse, caeterosque pro nihilo duxisse, quoad semet ipsam, et se omnibus parem esse credidisse. Id enim indicant verba, Quae habitat in spe; i. e. eam de se habet spem, nunquam se quidquam mali ab alio passuram esse, et ita segerit, tanquam sola ex-

[1]) F. l. κρινομένης.

λοιπῶν πόλεων πρὸς αὐτήν. — Εἶτα ὀνειδιστικῶς ταῦτα [1]) εἰπὼν καὶ τὴν κατὰ πάντων ὀνειδίσας ὑπεροψίαν αὐτῇ, κάλλιστα ἐπάγει. Πῶς ἐγένετο εἰς ἀφανισμὸν νομὴ θηρίων; πᾶς ὁ παραπορευόμενος αὐτῆς συριεῖ καὶ κινήσει τὰς χεῖρας αὐτοῦ. Ἀλλὰ γὰρ οἵαν ὑπομεμένηκας τὴν μεταβολὴν, ὅπως δὲ εἰς ἐρημίαν καταστὰς νομὴ γέγονας θηρίων; ὥστε ἅπαντας τοὺς περιόντας συρίττειν τε ἐπὶ σοὶ καὶ κινεῖν τὰς χεῖρας, θαυμάζοντας σου τοσαύτην τὴν μεταβολήν! Καὶ τί λέγει;

sistat, reliquis urbibus cunctis ne dignis quidem, quae si cum ista comparaveris, esse dicantur. Deinde eadem dicens deridendo ejusque contra omnes superbiam subsannando, egregie ita loqui pergit: *Quam devastata est, pascuaque evasit ferarum! ita ut, qui eam praeterit, motis manibus sibilet!* Quantam experta es mutationem! quam in solitudinem redacta pascua evasisti ferarum, adeo ut praetereuntes te sibilent manibusque plaudant, tantam tuam mutationem mirati. Et quid porro dicit?

Κεφάλαιον Γ'.

α'. Ὦ ἡ ἐπιφανὴς καὶ λελυτρωμένη πόλις, ἡ περιστερά! β'. οὐκ εἰσήκουσε φωνῆς, οὐδὲ ἐδέξατο παιδείαν, ἐπὶ τῷ κυρίῳ οὐκ ἐπεποίθει, καὶ πρὸς τὸν θεὸν αὐτῆς οὐκ ἤγγισεν. Ταῦτα, φησὶν, ἐροῦσιν ἅπαντες, ὁπόση τις ἦν ἡ ταύτης περιφάνεια! ὅπως ἁπάντων ἐκεχώριστο τῶν κακῶν (τοῦτο γὰρ λέγει Λελυτρωμένη)! ὁπόση τις αὐτῆς ἦν ἡ εὐπρέπεια! τὴν γὰρ περιστερὰν τοῦτό φησιν, ἐπειδή πως τερπνὸν ἐν ὀρνέοις εἶναι δοκεῖ

Caput III.

V. 1. *O illustris et redemta civitas, tu columba!* V. 2. *Vocem non audivit, nec disciplinam admisit, Domino non confisa est, et ad Deum suum non accessit.* Haec, inquit, omnes dicent: Quanta erat ejus gloria! quam ab omnibus malis erat libera! (hoc inest verbo *Redemta*) quanta ejus venustas! id quod *columbae* appellatione significatur; ea enim venustum est animal et fastuose incedens, unde etiam

[1]) F. l. ταὐτά.

τὸ ζῶον καὶ σοβαρῶς βαδίζον. οὕτω καὶ ὁ μακάριος λέγει Δαυὶδ[1]), „Ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τῶν κλήρων, ἐκεῖ πτέρυγες περιστερᾶς περιηργυρωμέναι καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου·“ ἀπολαβόντας τὴν γῆν τῆς ἐπαγγελίας ἁπάντων φανεῖσθαι τοὺς Ἰσραηλίτας τερπνοτέρους λέγων τῇ τῆς περιστερᾶς ὁμοιώσει. Οὕτω κἀνταῦθα εἰπεῖν ἠβουλήθη ἀντὶ τοῦ, ἡ ὡραία, ἡ ἐπιτερπής, ὡς καὶ ὁ μακάριος Ναοὺμ ὀνειδίζων αὐτῇ λέγει τὸ Πόρνη καλὴ καὶ ἐπίχαρις. τοιαύτη, φησὶν, οὖσα τῆς τοῦ πεμφθέντος πρὸς αὐτὴν προφήτου φωνῆς οὐκ εἰς τέλος ἤκουσεν, οὐδὲ παντελῆ τὴν ἐκεῖθεν ἐδέξατο διδασκαλίαν πρὸς μικρὸν δὲ μεταβάλλεσθαι δοκοῦσα αὖθις ἐπὶ τὴν ἑαυτῆς ἀνέδραμε κακίαν, οὐδὲ γοῦν λόγον τινὰ τοῦ τὸν προφήτην ἀποστείλαντος ἐποίησατο θεοῦ, οὐδὲ ἐδοκίμασεν αὐτῷ λοιπὸν προσανέχειν, τοιαύτην εἰληφυῖα πεῖραν. τοὐναντίον μὲν οὖν ἀπέστη αὐτοῦ παντελῶς καὶ πρὸς πόλεμον αὐτοῦ κατέστη μετὰ τὴν τῶν δέκα φυλῶν ἀναίρεσιν ἐπεληλυθυῖα τῇ Ἱερουσαλὴμ, ἐν ᾗπερ εἶναι τοῦ θεοῦ συνέβαινε τὸν ναόν. Ἐνταῦθα πάλιν οἱ θαυμαστοὶ μυθολόγοι τῶν Σύρων, ἰωνᾶ, φασὶν,

beatus David dicit „Etiamsi jacueritis mediis in portionibus vestris, ibi sunt columbae alae argentei coloris, et plumae in aurum virentes;“ i. e. accepta terra promissa Israelitas omnibus venustiores fore, columbae similes. Ita etiam hoc loco dicere eam voluit propheta, pulchram, venustam, sicut etiam beatus Nahumus objurgaturus eam meretricem pulchram et jucundam appellat. (Noster ergo) dicit, quum ita sit comparata, eam missi ad se prophetae hortationem non ad finem audivisse, nec ejus eruditionem totam accepisse, sed postquam paululum mutata visa fuerit, rursus in suam incidisse malitiam; nec ejus, qui prophetam miserat, Dei rationem habuisse, eique talia expertam adhaerere voluisse. E contrario, inquit, prorsus ab eo defecit, et bellum adversus eum cum decem tribubus iniit, ut Hierosolymam dirueret, ubi Dei est templum. Hic rursum mirabiles isti fabularum et Syrorum amatores, vocem ἰωνᾶ in Syrorum lingua columbam significare dicunt, prophetam

[1]) Ps. LXVII, 14.

λέγεται κατὰ τὴν Σύρων γλῶτταν ἡ περιστερά· ὁ μὲν οὖν προφήτης Ἰωνᾶ τοῦ προφήτου πόλιν αὐτὴν βούλεται λέγειν διὰ τὸ αὐτόθι κηρύξαι, ὁ ἑρμηνεύσας δὲ περιστερὰν αὐτὴν εἶπε διασφαλείς. Περὶ μὲν οὖν τοῦ μὴ τοὺς ἑβδομήκοντα ἐσφαλέσθαι, τὸν δὲ εἰς τὴν Σύρων γλῶτταν ἡρμηνευκότα τὴν γραφὴν πολλῷ δικαιότερον ἂν νομισθῆναι τοῦτο πεπονθέναι εἴρηται πρόσθεν[1]) ἡμῖν ἀρκούντως· ἐκεῖνο δὲ οἱ θαυμαστοὶ μυθολόγοι πῶς οὐ συνεῖδον, ὅτι ὀνειδίζων τῇ πόλει λέγει, Ὦ ἡ ἐπιφανὴς καὶ λελυτρωμένη πόλις, ἡ περιστερά; τοιαῦτα γὰρ καὶ τὰ ἑξῆς. οἷόν ἐστι καὶ παρὰ τῷ Ναοὺμ τὸ Πόρνη καλὴ καὶ ἐπίχαρις. ὁμοίως γὰρ αὐτῇ κἀνταῦθα ὀνειδίζει ἐφ' ῇ πρόσθεν ἐσεμνύνετο εὐπρεπείᾳ. Ἰωνᾶ δὲ πόλιν αὐτὴν τοῦ προφήτου διὰ τὸ ἐξ ἐκείνου σεσῶσθαι οὐκ ἄν ποτε ὀνειδίζων ἔφη. Ἀλλ' οἱ μὲν οὖν νενοηκότες τὸ εἰρημένον ἐπὶ Συριακούς τε καὶ γραώδεις ἐτράποντο μύθους. Ὁ δὲ προφήτης ἀκολούθως καὶ τὰ ἑξῆς ἐπάγει, τὴν παλαιὰν εὐπρέπειαν αὐτῆς εἰρωνικῶς τε ἅμα λέγων καὶ ὀνειδιστικῶς.

igitur nostrum eam Jonae prophetae urbem dicere voluisse, quoniam ibi is vaticinatus sit, interpretem vero eam columbam dicendo errasse. Septuaginta vero interpretes non errasse, multo probabilius autem esse ei id accidisse, qui scripturam in Syriacum sermonem verterit, supra jam a nobis et sufficienter expositum est. Atqui factum est, ut mirabiles isti fabularum amatores hoc non intelligerent, ironice urbi dictum esse: O illustris et redemta urbs, tu columba! Ejusdem vero generis etiam sequentia sunt, nec non illud Nahumi „Meretrix pulchra et venusta.“ Similiter etiam h. l. deridet propheta ejus venustatem, qua antea superbiverat. Jonae autem prophetae urbem, quia per eum salutem nacta sit, nunquam eam deridendi causa dixisset. Quia vero loci sensum non perspexerunt illi ad Syriacas anilesque se verterunt fabulas. Propheta vero consequenter etiam sequentia addit, ejus venustatem pristinam ironice deridens.

[1]) Cf. ad Cap. I, 4. seqq.

τὸ ζῶον καὶ σοβαρῶς βαδίζον. οὕτω καὶ ὁ μακάριος λέγει Δαυὶδ[1], *„Ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τῶν κλήρων, ἐκεῖ πτέρυγες περιστερᾶς περιηργυρωμέναι καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου·“ ἀπολαβόντας τὴν γῆν τῆς ἐπαγγελίας ἁπάντων φανεῖσθαι τοὺς Ἰσραηλίτας τερπνοτέρους λέγων τῇ τῆς περιστερᾶς ὁμοιώσει. Οὕτω κἀνταῦθα εἰπεῖν ἠβουλήθη ἀντὶ τοῦ, ἡ ὡραία, ἡ ἐπιτερπής, ὡς καὶ ὁ μακάριος Ναοὺμ ὀνειδίζων αὐτῇ λέγει τὸ Πόρνη καλὴ καὶ ἐπίχαρις. τοιαύτη, φησὶν, οὖσα τῆς τοῖ πεμφθέντος πρὸς αὐτὴν προφήτου φωνῆς οὐκ εἰς τέλος ἤκουσεν, οὐδὲ παντελῆ τὴν ἐκεῖθεν ἐδέξατο διδασκαλίαν πρὸς μικρὸν δὲ μεταβάλλεσθαι δοκοῦσα αὖθις ἐπὶ τὴν ἑαυτῆς ἀνέδραμε κακίαν, οὐδὲ γοῦν λόγον τινὰ τοῦ τὸν προφήτην ἀποστείλαντος ἐποίησατο θεοῦ, οὐδὲ ἐδοκίμασεν αὐτῷ λοιπὸν προσανέχειν, τοιαύτην εἰληφυῖα πεῖραν. τοὐναντίον μὲν οὖν ἀπέστη αὐτοῦ παντελῶς καὶ πρὸς πόλεμον αὐτοῦ κατέστη μετὰ τὴν τῶν δέκα φυλῶν ἀναίρεσιν ἐπεληλυθυῖα τῇ Ἱερουσαλὴμ, ἐν ἧπερ εἶναι τοῦ θεοῦ συνέβαινε τὸν ναόν. Ἐνταῦθα πάλιν οἱ θαυμαστοὶ μυθολόγοι τῶν Σύρων, ἰωνᾶ, φασὶν,*

beatus David dicit „Etiamsi jacueritis mediis in portionibus vestris, ibi sunt columbae alae argentei coloris, et plumae in aurum virentes;“ i. e. accepta terra promissa Israelitas omnibus venustiores fore, columbae similes. Ita etiam hoc loco dicere eam voluit propheta, pulchram, venustam, sicut etiam beatus Nahumus objurgaturus eam meretricem pulchram et jucundam appellat. (Noster ergo) dicit, quum ita sit comparata, eam missi ad se prophetae hortationem non ad finem audivisse, nec ejus eruditionem totam accepisse, sed postquam paululum mutata visa fuerit, rursus in suam incidisse malitiam; nec ejus, qui prophetam miserat, Dei rationem habuisse, eique talia expertam adhaerere voluisse. E contrario, inquit, prorsus ab eo defecit, et bellum adversus eum cum decem tribubus iniit, ut Hierosolymam dirueret, ubi Dei est templum. Hic rursum mirabiles isti fabularum et Syrorum amatores, vocem *ἰωνᾶ* in Syrorum lingua columbam significare dicunt, prophetam

[1]) Ps. LXVII, 14.

λέγεται κατὰ τὴν Σύρων γλῶτταν ἡ περιστερά· ὁ μὲν οὖν προφήτης Ἰωνᾶ τοῦ προφήτου πόλιν αὐτὴν βούλεται λέγειν διὰ τὸ αὐτόθι κηρύξαι, ὁ ἑρμηνεύσας δὲ περιστερὰν αὐτὴν εἶπε διασφαλείς. Περὶ μὲν οὖν τοῦ μὴ τοὺς ἑβδομήκοντα ἐσφαλέσθαι, τὸν δὲ εἰς τὴν Σύρων γλῶτταν ἡρμηνευκότα τὴν γραφὴν πολλῷ δικαιότερον ἂν νομισθῆναι τοῦτο πεπονθέναι εἴρηται πρόσθεν[1]) ἡμῖν ἀρκούντως· ἐκεῖνο δὲ οἱ θαυμαστοὶ μυθολόγοι πῶς οὐ συνεῖδον, ὅτι ὀνειδίζων τῇ πόλει λέγει, Ὦ ἡ ἐπιφανὴς καὶ λελυτρωμένη πόλις, ἡ περιστερά; τοιαῦτα γὰρ καὶ τὰ ἑξῆς. οἷόν ἐστι καὶ παρὰ τῷ Ναοὺμ τὸ Πόρνη καλὴ καὶ ἐπίχαρις. ὁμοίως γὰρ αὐτῇ κἀνταῦθα ὀνειδίζει ἐφ' ᾗ πρόσθεν ἐσεμνύνετο εὐπρεπείᾳ. Ἰωνᾶ δὲ πόλιν αὐτὴν τοῦ προφήτου διὰ τὸ ἐξ ἐκείνου σεσῶσθαι οὐκ ἄν ποτε ὀνειδίζων ἔφη. Ἀλλ' οἱ μὲν οὖν νενοηκότες τὸ εἰρημένον ἐπὶ Συριακούς τε καὶ γραώδεις ἐτράποντο μύθους. Ὁ δὲ προφήτης ἀκολούθως καὶ τὰ ἑξῆς ἐπάγει, τὴν παλαιὰν εὐπρέπειαν αὐτῆς εἰρωνικῶς τε ἅμα λέγων καὶ ὀνειδιστικῶς.

igitur nostrum eam Jonae prophetae urbem dicere voluisse, quoniam ibi is vaticinatus sit, interpretem vero eam columbam dicendo errasse. Septuaginta vero interpretes non errasse, multo probabilius autem esse ei id accidisse, qui scripturam in Syriacum sermonem verterit, supra jam a nobis et sufficienter expositum est. Atqui factum est, ut mirabiles isti fabularum amatores hoc non intelligerent, ironice urbi dictum esse: O illustris et redemta urbs, tu columba! Ejusdem vero generis etiam sequentia sunt, nec non illud Nahumi „Meretrix pulchra et venusta.“ Similiter etiam h. l. deridet propheta ejus venustatem, qua antea superbiverat. Jonae autem prophetae urbem, quia per eum salutem nacta sit, nunquam eam deridendi causa dixisset. Quia vero loci sensum non perspexerunt illi ad Syriacas anilesque se verterunt fabulas. Propheta vero consequenter etiam sequentia addit, ejus venustatem pristinam ironice deridens.

[1]) Cf. ad Cap. I, 4. seqq.

γʹ. Οἱ ἄρχοντες αὐτῆς ἐν αὐτῇ ὡς λέοντες ὠρυόμενοι. οὕτω δυνατοὶ καὶ κατὰ πάντων θρασυνόμενοι. — οἱ κριταί αὐτῆς ὡς λύκοι τῆς Ἀραβίας, οὐχ ὑπελίποντο εἰς τὸ πρωΐ. Ὀξεῖς περὶ τὸ πέρας ἐπιτιθέναι τοῖς πράγμασιν, ὥστε αὐθήμερον ἅπαντα τέμνειν καὶ μηδὲν ἀτελὲς εἰς τὴν ἑξῆς ἀφιέναι. — δʹ. Οἱ προφῆται αὐτῆς πνευματοφόροι, ἄνδρες καταφρονηταί. Καὶ οἱ ἐν αὐτῇ δὲ, φησὶ, μαντεύεσθαι ἐπαγγελλόμενοι μετὰ πολλῆς ὑπεροψίας τὰ δοκοῦντα ἐφθέγγοντο. — Οἱ ἱερεῖς αὐτῆς βεβηλοῦσι τὰ ἅγια καὶ ἀσεβοῦσιν εἰς τὸν νόμον. Καὶ οἱ δοκοῦντες δὲ παρ᾽ αὐτοῖς ἱερατεύειν εἴς τε τὸν νόμον τὸν ἐμὸν εἴς τε τὸν ναὸν ἠσέβουν, διεγείρειν ἐπὶ ταῦτα τοὺς πειθομένους αὐτοῖς πᾶσαν ἔχοντες τὴν σπουδήν. Οἷς ἀκολούθως ἐπάγει·

εʹ. Ὁ δὲ κύριος δίκαιος ἐν μέσῳ αὐτῶν, καὶ οὐ μὴ ποιήσῃ ἄδικον. πρωΐ, πρωΐ δώσει κρῖμα αὐτοῦ εἰς φῶς. Ἀλλὰ γὰρ οὐθὲν ὄφελος αὐτοῖς γέγονε τῆς παρανομίας ἐκείνης, καὶ γὰρ καὶ ἀκόντων αὐτῶν ἐν μέσῳ θεὸς ὑπῆρχεν, εἰ καὶ μηδένα λόγον αὐτοῦ ποιεῖσθαι ἐβούλοντο, ὃς πολλὴν ἔχων τοῦ δικαίου φροντίδα οὐδὲ νῦν ἀνέξεται τῆς παρὰ τούτων ἐπιτελου-

V. 3. *Principes ejus in ea velut leones rugientes;* adeo scilicet fortes et adversus omnes atroces. — *Judices ejus ut lupi Arabiae, nihil relinquentes ad matutinum tempus:* veloces ad finienda negotia sua, adeo ut hodie omnia absolvant nihil in sequentem diem imperfectum relinquentes. V. 4. *Prophetae ejus a vento inflati, homines contemtores.* Qui in ea vaticinia prae se ferunt, multo cum fastu oracula sua ediderunt. — *Sacerdotes ejus sacra profanant, impie agunt in legem.* Qui sacerdotio penes eos funguntur, et in legem meam et in templum peccarunt, ad idem etiam eos, qui iis obtemperare voluerunt, obnixe incitantes. His consequenter pergit:

V. 5. *Dominus autem justus inter eos, nec injustum faciet. Mane, mane judicium suum in lucem prodet.* Iniquitas illa nihil iis profuit; nam, licet invitos, inter eos apparuit Deus, et quamvis respectum ejus habere noluerint. Is, quum justi multam habeat curam, etiam nunc ingentem, quam produnt, injustitiam non tolera-

μένης ἀδικίας ἐπὶ πολὺ κρατούσης, ἄδικον δὲ ἡγησάμενος τὸ ἀτιμωρήτους ἀφεῖναι τοιούτους ὄντας, ὀξεῖαν κρίσιν τῶν κατ' αὐτοὺς ποιήσεται καὶ πρόδηλον αὐτοῖς ἐπάξει τὴν ὑπὲρ τῶν ἐπταισμένων τιμωρίαν. τὸ γὰρ πρωῒ, πρωῒ τὴν ἄγαν ταχύτητα λέγει. — Εἶτα τίνα τὰ ἐκ τούτου γινόμενα λέγων.

ϛ'. Ἐν διαφθορᾷ κατέσπασα ὑπερηφάνους, ἠφανίσθησαν γωνίαι αὐτῶν, ἐξηρημώσω τὰς ὁδοὺς αὐτῶν τὸ παράπαν, τοῦ μὴ διοδεύεσθαι. ἐξέλιπον αἱ πόλεις αὐτῶν παρὰ τὸ μηδένα ὑπάρχειν μηδὲ κατοικεῖν. *Διαφθορᾷ μὲν αὐτοὺς διὰ τὴν ὑπερηφανίαν αὐτῶν παραδέδωκα, ἀφανιῶ δὲ πάσας αὐτῶν τὰς πόλεις εἰς τοσαύτην τε ἄξω ἐρημίαν τὰ παρ' αὐτοῖς, ὥστε καὶ τὰς ὁδοὺς λοιπὸν ἀδήλους εἶναι ἐρημίᾳ τῶν διοδευόντων, ἤπερουν παραδώσω καὶ τὰς πόλεις αὐτῶν ἁπάσας, ὥστε μηδένα οἰκοῦντα εὑρίσκεσθαι ἐν αὐταῖς.*

Ἀλλὰ γὰρ δηλώσας ἐν τούτοις καὶ τῆς Νινευὴ τὴν ἐρημίαν τῆς τε τῶν Ἀσσυρίων ἀρχῆς τὴν καθαίρεσιν, τρέπει πρὸς τοὺς τῆς Ἰουδαίας τὸν λόγον καὶ φησίν·

ζ'. Εἶπον, πλὴν φοβεῖσθέ με καὶ δέξασθε παιδείαν, καὶ οὐ μὴ ἐξολοθρεύθητε ἐξ ὀφθαλμῶν αὐτῆς

bit, sed eos impunitos ferre injustum censens, velox exercebit judicium de iis et delictorum eorum poenam manifestam imponet. Repetita enim voce *mane* velocitatem indicat. Deinde quae ex his secutura sint, significat.

V. 6. *In interitum detraxi superbos, deleti sunt anguli eorum; desertas reddam vias eorum, ut nemo in iis incedat; urbes eorum interierunt, eo quod nemo est, qui habitet in iis.* Interitui eos propter superbiam tradidi; delebo vero etiam oppida eorum, et in tantam omnia redigam solitudinem, ut etiam viae non amplius cognosci queant, quia nemo est, qui in iis eat; nec non omnia eorum urbes in tantam redigam solitudinem, ut nullus in eis inveniatur incola.

Praedicta in his Nineves vastatione et Assyriaci regni destructione, in sequentibus ad Judaeae incolas sermone directo ita loquitur:

V. 7. *Dicebam: si me reveriti disciplinam admittitis, non auferemini ex conspectu ejus, propter omnem.*

διὰ πάντα, ὅσα ἐξεδίκησα ἐπ' αὐτήν. Ἤδη μὲν οὖν προλαβὼν διεμαρτυράμην ὑμῖν διὰ τῶν προφητῶν, ὥστε ἐν φόβῳ μὲν ἔχειν ἐμὲ, ἅτε ῥαδίως ὑμᾶς εἰ πταίοιτε καὶ τιμωρεῖσθαι δυνάμενον, δέξασθαι δὲ τὴν προσαγομένην ὑμῖν διδασκαλίαν, ἐπαγγειλάμενος οὔτε ἀφανίζειν ὑμᾶς, εἰ ταῦτα ποιεῖτε, τῆς προσόψεως τῆς ἐμῆς ἀφαιρεθέντας τῶν τόπων, ἐν οἷσπερ διατέτακται τῆς θεραπείας ὑμᾶς ἐπιμελεῖσθαι τῆς ἐμῆς, οὔτε τι πράξασθαι τούτων, ἃ νῦν ἐπήγαγον εἰς ἐκδικίαν, ὧν πεπλημμελήκατε πολλάκις. — *Ἑτοιμάζου, ὄρθρισον, διέφθαρται πᾶσα ἡ ἐπιφυλλὶς αὐτῶν.* Ἀλλ' ἐπειδὴ τότε τὸ δεὸν παρελίπετε καὶ πεπόνθατε τοιαῦτα, νῦν γοῦν ἑαυτοὺς παρασκευάσατε εἰς τὸ μετὰ πάσης τῆς ἐπιμελείας τε καὶ σπουδῆς τῶν παρ' ἐμοῦ διατεταγμένων ἀντέχεσθαι, ἅτε καὶ τῆς κηδεμονίας μου τῆς περὶ ὑμᾶς ἀπόδειξιν ἔχοντες τὸ πᾶσαν παντελῶς ἀφαιρεθῆναι τὴν δύναμιν τῶν ἡμετέρων ἐχθρῶν. —

quam de ea sumsi, vindictam. Antevertens jam prius per prophetas vos exhortatus sum, ut me forte timeatis, ut qui, ubi peccaveritis, vos facile etiam punire possim, et eruditionem vobis exhibitam accipiatis. Quodsi feceritis, me vos nec perditurum esse, pollicitus sum, nec e conspectu meo remoturum de locis abductos, ubi religionem mihi debitam absolvi fas est, nec eorum quidquam facturum, quae nunc vobis imposui eorum vindicandorum causa, quae saepius deliquistis. *Praeparare, surge sub diluculo, omnes enim eorum racemi perierunt.* At quoniam tunc officium reliquistis et talia passi estis, nunc certe omni cum cura ac diligentia praeceptis meis morem gerere studete; meam enim de vobis providentiam inde cognoscere potestis, quod potentia hostium vestrorum omnis penitus abolita est.

η'. *Διὰ τοῦτο, ὑπόμεινόν με, λέγει κύριος, εἰς ἡμέραν ἀναστάσεώς μου εἰς μαρτύριον.* Καὶ διατελεῖτε δὲ πρὸς ἐμὲ ἀφορῶντες καὶ τὴν παρ' ἐμοῦ βοήθειαν ἀναμένοντες, ἣν

V. 8. *Ideo, exspecta me, inquit Dominus, quo die ad testimonium esurgam.* Et me respicite perpetuo, ac opem meam exspectate, quam vobis suo tempore feram,

κατὰ καιρὸν ὑμῖν παρέξω, ὡς ἐκ νεκρῶν ὑμᾶς ἀνίστων καὶ ἀπαλλάττων μὲν τῆς αἰχμαλωσίας, ἐπανάγων δὲ πάντας ὑμᾶς ἐπὶ τα οἰκεῖα. ταῦτα γὰρ πάλαι τε διὰ τῶν προφητῶν καὶ νῦν ὑμῖν ἐπήγγελμαι παρέξειν, ὡς ἂν μαρτυρίαν τῆς ἀληθείας τῶν παρ' ἐμοῦ προηγορευμένων ἔχοιτε τῶν γινομένων τὴν ἔκβασιν. — Διότι τὸ κρῖμά μου εἰς συναγωγὰς ἐθνῶν τοῦ εἰσδέξασθαι βασιλεῖς, τοῦ ἐκχέαι ἐπ' αὐτοὺς τὴν ὀργήν μου, πᾶσαν ὀργὴν θυμοῦ μου. διότι ἐν πυρὶ ζήλου μου καταναλωθήσεται πᾶσα ἡ γῆ. Τότε γὰρ δὴ μάλιστα σαφῆ τὴν κρίσιν ἐπιδείξομαι τὴν ἐμήν, ἣν ὑπὲρ ὑμῶν ποιήσομαι τοὺς πανταχόθεν ἀθροιζομένους τῶν ἐθνῶν ὑπὸ τιμωρίαν ἄγων. πολλοὺς γὰρ δὴ βασιλέας τε καὶ σατράπας σὺν τοῖς οἰκείοις στρατοπέδοις ἐπὶ τὴν Ἱερουσαλὴμ χωροῦντας εἰσδέξομαι, τουτέστιν ἐλθεῖν ἐάσω, ὥστε σαφῆ μέν μου τὴν κηδεμονίαν, τὴν περὶ ὑμᾶς ἐξ αὐτῶν ποιῆσαι τῶν πραγμάτων, πολλὴν δέ τινα τὴν ἐπ' αὐτοὺς ὀργὴν ἐκχέαι, πᾶσάν τε αὐτὴν κατ' αὐτῶν κινῆσαι, ἐπειδὴ ὡσανεὶ διὰ πυρὸς ἀναλώσω πάντας αὐτοὺς ζήλῳ τινὶ λαμβανόμενος, ὅτι κατὰ τῶν οἰκείων τῶν ἐμῶν τετολμήκασι τοσοῦτον.

quum vos quasi mortuos vitae reddam, et e captivitate liberatos omnes in patriam reducam. Id quod olim jam per prophetas et nunc vobis pollicitus sum, ut certus rerum eventus praedictionum mearum veritatem vobis confirmet. — *Quia judicium meum in conventus gentium, ut suscipiam reges, iramque meam in eos effundam omnemque meum furorem. Namque aestu indignationis meae tota terra absumetur.* Tunc enim maxime perspicuum judicium meum exhibebo, quod vestrum causa exercebo, gentes undique collectas punitioni subjiciens. Multos enim reges satrapasque cum suis exercitibus in Hierosolymam qui expeditionem faciunt, suscipiam i. e. eam intrare sinam. Qua in re meam de vobis curam reddam perspicuam, eo quod magnam meam in eos iram effundam, imo totam contra eos vertam: namque quasi igne quodam indignatione correptos mea plane consumam, quoniam tanta contra familiares meos ausi fuerint. Significat vero ea quae in Gogi agmina

λέγει δὲ τὸν [1]) περὶ τὸν Γὼγ ἕνεκεν, οὓς μετὰ τὴν ἐπάνοδον ἐπεληλυθότας αὐτοῖς ἀναριθμήτους ὄντας ἀπώλεσεν ἅπαντας.

θ'. Ὅτι τότε μεταστρέψω ἐπὶ λαοὺς γλῶσσαν εἰς γενεὰς αὐτῶν, τοῦ [μὴ] ἐπικαλεῖσθαι πάντας τὸ ὄνομα κυρίου, τοῦ δουλεύειν αὐτῷ ὑπὸ ζυγὸν ἕνα. Θαῦμα γοῦν κοινὸν ἅπαντας λήψεται τοὺς πανταχοῦ τῶν ἀνθρώπων ἐπὶ τῇ καινότητι τῶν γινομένων, ὥστε ὡσανεὶ μιᾷ γλώττῃ κεχρημένους τοὺς ἐν διαφόροις τε καθεστῶτας τόποις καὶ εἰς διάφορα συντελοῦντας ἔθνη, συμφώνως θεόν τε ὁμολογεῖν τὸν τῶν Ἰσραηλιτῶν θεὸν, καὶ ὥσπερ ὑφ' ἑνὶ ζυγῷ πάντας καταστάντας μακαρίστην ἡγεῖσθαι τὴν ὑπ' αὐτῷ δουλείαν, ἀφ' ὧν αὐτοί γε ἀξιοῦσθαι μέλλετε παρ' ἐμοῦ.

ι'. Ἐκ περάτων ποταμῶν Αἰθιοπίας προσδέξομαι τοὺς ἱκετεύοντας, μετὰ τῶν διεσπαρμένων οἴσουσι θυσίας μοι. Ἐλεύσονται γοῦν τῇ δουλείᾳ προσέχοντας τῇ ἐμῇ ἀπὸ τῶν Αἰθιοπίας μερῶν, οἳ μεθ' ὑμῶν δὴ τῶν νῦν μὲν διεσπαρμένων ἐν τῇ αἰχμαλωσίᾳ ἐπανεληλυθότων δὲ τότε, κοινάς μου προσάξουσι τὰς θυσίας.

ια'. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ

facta sunt, quae, quum post reditum Israelitas aggrederentur innumerabili exercitu, omnes exstirpavit Deus.

V. 9. *Quia tunc commutabo super populos linguam in generationes ejus, ut invocent omnes nomen Domini, eumque colant sub uno jugo.* Communis corripiet stupor omnes ubique terrarum homines ob rei novitatem adeo, ut quasi una lingua usi homines diversis in locis viventes et ad diversas gentes pertinentes unanimi consensione Israelitarum Deum confiteantur tanquam suum, et quasi sub unum redacti jugum omnes sub eo servitium beatissimum censeant; propterea quod vos tantis beneficiis dignos declarabo.

V. 10. *E finibus fluviorum Aethiopiae suscipiam supplicantes, qui cum dispersis victimas mihi offerent.* Ex Aethiopiae tractibus venient, qui me colant, et vobiscum, nunc quidem in captivitate dispersis, tunc vero reversis, communes mihi offerant victimas.

V. 11. *Isto dic non te*

[1]) Legerim: λέγει δὲ τὰ τῶν περὶ τὸν Γὼγ ἕνεκεν γεγονότα, nam excidisse quaedam, non dubium videtur.

οὐ μὴ καταισχυνθῇς ἐκ πάντων τῶν ἐπιτηδευμάτων σου, ὧν ἠσέβησας εἰς ἐμέ, ὅτι τότε περιελῶ ἀπὸ σου τὰ φαυλίσματα τῆς ὕβρεώς σου καὶ οὐκέτι οὐ μὴ προσθῇς τοῦ μεγαλαυχῆσαι ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου. Κατ᾽ ἐκεῖνον δὴ τὸν καιρὸν οὐχ᾽ ὑπομενεῖς οὐθὲν τῶν ὅσα διὰ τὰς ἀσεβείας σου πάσχουσα νῦν αἰσχύνῃ περιβέβλησαι πλείστῃ· πάντα γὰρ ὅσα πεποιήκατε ἐκφαυλίζοντές τε τὰ ἐμὲ καὶ παντοίας ὕβρεώς μοι διὰ τῆς περὶ τὰ εἴδωλα θεραπείας γινόμενοι πρόξενοι, περιελῶ δὴ ἐξ ἁπάντων ὑμῶν, ὅτε καὶ τὰς ἐπὶ τούτοις ἐπαχθείσας ὑμῖν τιμωρίας ἀφαιρῶν, ὡς μηκέτι μηδὲ ὑμᾶς ἐν τῷ ὄρει τῷ πρὸς θεραπείαν ἐμὴν καθεστῶτι μετὰ ὑπερηφανίας διάγειν τοσαύτης ἀμελοῦντας μὲν τῶν κατ᾽ ἐμὲ, θεραπείαν δὲ πᾶσαν προσάγοντες τοῖς εἰδώλοις.

ιβ΄. ιγ΄. *Καὶ ὑπολείψομαι ἐν σοὶ λαὸν πρᾳὸν καὶ ταπεινόν.* Ἐπανάξω γὰρ ὑμᾶς πεπαιδευμένους ἐκ τῆς αἰχμαλωσίας, ὥστε πρᾳότητι καὶ ταπεινότητι συζῶντας δι᾽ εὐλαβείας ἔχειν τὰ ἐμά. Ὅθεν ἐπάγει· *Καὶ εὐλαβηθήσονται ἀπὸ τοῦ ὀνόματος κυρίου οἱ κατάλοιποι τοῦ Ἰσραὴλ, καὶ οὐ ποιήσουσιν ἀδικίαν καὶ οὐ λαλήσουσι μάταια, καὶ οὐ*

poenitebit omnium tuorum factorum, quibus me offenderas; nam tunc auferam ex te illusiones ignominiae tuae; nec amplius te efferes propter montem meum sanctum. Illo tempore nihil eorum tolerabis, quae nunc contumeliam summam tibi inurunt. Quaecunque enim fecistis me illudentes, et ignominiam mihi idolis cultis facientes, ea omnia ex omnibus vobis auferam, demtis vel suppliciis vobis illa de causa impositis. Et tunc non amplius in monte mèo cultui destinato tantam ostendetis superbiam, ut me spreto idolis colendis omne voveatis studium vestrum.

V. 12. 13. *Et relinquam in te populum mansuetum et humilem.* Reducam vos ex captivitate adeo eruditos, ut mansuetudine et humilitate insignes, quae ad me pertinent pie revereamini. Unde addit: *Et reverebuntur nomen Domini Israelis reliquiae, nec facient iniquitatem, nec inania locuturi sunt, nec invenietur in eo-*

μὴ εὑρεθῇ ἐν τῷ στόματι αὐτῶν γλῶσσα δολία, διότι αὐτοὶ νεμήσονται, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν αὐτούς. Διαμενεῖτε γὰρ οἱ ἐπανεληλυθότες ἐκ τῆς αἰχμαλωσίας ἐν φόβῳ μὲν ἔχοντες τὴν ἐμὴν ὀνομασίαν, ἀδικίας δὲ ἀπεχόμενοι πάσης καὶ τῶν ἀτοπιῶν καθαρεύοντες, ἃς δὴ μετῄειτε πρότερον, φυλάξεσθε δὲ τότε καὶ τὸ δολερᾷ τῇ διανοίᾳ προσποιεῖσθαι μὲν τὴν ἐμὴν θεραπείαν, προσκεῖσθαι δὲ τοῖς εἰδώλοις. ἐντεῦθεν γοῦν ὑμῖν προσέσται καὶ τὸ μετὰ πάσης ἀδείας νέμεσθαί τε καὶ ἀπολαύειν τῶν οἰκείων, ἐν ἁπάσῃ τε διάγειν ἀναπαύσει, μηδενὸς ὑμᾶς ταράττειν τε καὶ ἀφιστᾷν τῶν οἰκείων τόπων οἵου τε ὄντος. Ταῦτα ὑποσχόμενος αὐτοῖς περιέσεσθαι ἐκ τῆς ἐπανόδου, ἐπάγει λοιπόν·

ιδ'. ιε'. Χαῖρε θύγατερ Σιὼν σφόδρα, κήρυσσε θύγατερ Ἱερουσαλήμ, εὐφραίνου καὶ κατατέρπου ἐξ ὅλης τῆς καρδίας σου θύγατερ Ἱερουσαλήμ! περιεῖλε κύριος τὰ ἀδικήματά σου, λελύτρωταί σε κύριος ἐκ χειρὸς ἐχθρῶν σου, βασιλεύσει κύριος ἐν μέσῳ σου, οὐκ ὄψῃ κακὰ οὐκέτι. Ἐν ἡδοναῖς δὴ λοιπὸν διάγε παντοίαις, ὦ Ἱερουσαλήμ, μετ' εὐφροσύνης καὶ τέρψεως διάγουσα

rum ore lingua dolosa; quia ipsi habitabunt, nemine eos terrente. E captivitate reversi in eo permanebitis, ut nomen meum in honore habeatis, omnique iniquitate abstineatis et ab ineptiis vos purgetis, quas antea sectabamini; tunc etiam cavebitis, fallaci mente meam venerationem simulare, revera autem idola colere. Eam ob causam etiam accidet vobis, ut omni in securitate res vestras possideatis earumque fruamini, et omni in quiete vivatis, nemine vos turbante et de vestris fugante. Haec iis fore post reditum, pollicitus, ita pergit:

V. 14. 15. *Laetare admodum, filia Sion, annuntia, filia Hierosolyma, exulta et gesti toto corde, filia Hierosolyma! Sustulit enim Dominus delicta tua, redemit te Dominus e manibus inimicorum tuorum. Regnabit in te Dominus; nec est, quod malum unquam videatis.* In voluptate dege in posterum, o Hierosolyma, et in laetitia et gaudio perpetuo. Abrogatis enim tibi

παντελοῦς! ἀφελὼν γάρ σου πάντα τὰ παρανομήματα ὁ Θεὸς ἀναγκαίως σε καὶ τῆς τῶν ἐχθρῶν ἀφεῖλε δυναστείας, ὑφ' οὓς ἐπεπτώκεις τῆς τιμωρίας διδοῦσα δίκας· ἔσται τε κύριος ἐν σοὶ λοιπὸν διὰ τῆς εἰς σὲ κηδεμονίας τὴν οἰκείαν βασιλείαν δεικνύων, ὡς μηδὲν ἔτι σοι προσεγγίσαι οἷόν τε εἶναι κακόν.

ιϛ'. ιζ'. Ἐν τῷ καιρῷ ἐκείνῳ ἐρεῖ κύριος τῇ Ἱερουσαλήμ· θάρσει Σιὼν, μὴ παρειέσθωσαν αἱ χεῖρές σου! κύριος ὁ Θεός σου ἐν σοὶ δυνατὸς σώσει σε, ἐπάξει ἐπὶ σὲ εὐφροσύνην καὶ καινιεῖ σε ἐν τῇ ἀγαπήσει αὐτοῦ καὶ εὐφρανθήσεται ἐπὶ σοὶ, ἐν τέρψει ὡς ἐν ἡμέρᾳ ἑορτῆς, καὶ συνάξει τοὺς συντετριμμένους. Τότε δὴ πάσης ἐκλύσεως ἀπαλλάξει τὴν Ἱερουσαλὴμ ὁ Θεὸς, αὐτὸς αὐτὴν διὰ τῆς οἰκείας περισώζων δυνάμεως, ἐν πολλῇ τε καθιστὰς εὐφροσύνῃ ἀνακαινιεῖ τὴν περὶ ὑμᾶς ἀγάπην. τοιαῦτα δὴ πράττων καὶ ἐπιδεικνύομενος τῆς ὑμετέρας ἕνεκεν σωτηρίας, οἷάπερ ἐπεδείξατό ποτε μετὰ πολλῶν τεράτων τε καὶ θαυμάτων ἐξαγαγὼν ὑμᾶς τῆς Αἰγύπτου· οὕτω γὰρ δὴ καὶ νῦν ὑμᾶς ὑπὸ τῆς αἰχμαλωσίας συντριβέντας ἀπαλλάξει τε τῶν κατεχόντων κακῶν καὶ ἀποδώσει τοῖς οἰκείοις πάλιν.

omnibus iniquitatibus, etiam ab hostium potestate te liberare oportuit Deum, in quam redacta eras, ut poenas lueres. Manifestabit etiam Dominus in futurum penes vos imperium suum per curam, quam de vobis habebit; unde fieri non potest, ut malum ullum vos attingat.

V. 16. 17. *Illo tempore dicet Dominus Hierosolymae: Confide Sion, remissae ne fiant manus tuae! Dominus Deus tuus apud te potens te servabit; laetitiam tibi afferet, et innovabit te amore suo, et laetabitur de te gaudio, tanquam die festivo, et congregabit fractos.* Tunc omni a timore liberabit Deus Hierosolymam sua potentia servatam, et in multam laetitiam eam conjiciendo amorem suum erga vos innovabit. Eadem enim faciet et declarabit propter salutem vestram, atque olim fecit, quum multis cum miraculis et prodigiis ex Aegypto vos educeret. Ita etiam nunc vos captivitate confractos, e calamitatibus liberabit vestrisque reddet.

ιη΄. Οὐαὶ, τίς ἔλαβεν ἐπ' αὐτὴν ὀνειδισμόν; ιθ΄. ἰδοὺ ἐγὼ ποιῶ ἐν σοὶ ἕνεκέν μου, λέγει κύριος. Ἀλλὰ γὰρ ἐλεεινότατοι οἵ τε πεπλημμεληκότες εἰς αὐτὴν, εἰς οὓς ὑπὲρ ὑμῶν τὴν οἰκείαν ἐπιδείξεται δύναμιν ὁ Θεὸς, ὥστε καὶ παρὰ πᾶσιν ἀνθρώποις ὀνομαστούς ὑμᾶς ἐπὶ τοῖς γεγονόσιν ὑμῶν γε ἕνεκεν εἶναι. — Ἐν τῷ καιρῷ ἐκείνῳ σώσω τὴν ἐκπεπιεσμένην, καὶ τὴν ἀπωσμένην εἰσδέξομαι. Τιμωρήσομαι μὲν γὰρ ἐκείνους, περισώσω δὲ τοὺς τηλικούτων κακῶν πιεσθέντας, τοὺς ἀπῳκισμένους τε τῶν οἰκείων ἐπανάξω πάλιν ἐπὶ τὰ οἰκεῖα. — Καὶ θήσομαι αὐτοὺς εἰς καύχημα καὶ ὀνομαστοὺς ἐν πάσῃ τῇ γῇ· ὥστε αὐτοὺς ἐκ τῶν παρ' ἐμοῦ περὶ αὐτοὺς γινομένων ἐν θαύματί τε καὶ ἐπαίνοις παρὰ πᾶσιν ἀνθρώποις εἶναι.

V. 18. *Vae, quis (sibi) sumsit opprobrium adversus eam?* V. 19. *Ecce, ego ago apud te mea causa, inquit Dominus.* Infelicissimos, qui vos ullo modo vexabunt! contra eos enim vestra causa potentiam suam declarabit Deus. et ideo ab omnibus hominibus celebrati eritis propter ea, quae vestra causa fiunt. — *Illo tempore servabo oppressam et repudiatam suscipiam.* Illos quidem mulctabo, eos vero qui talibus malis oppressi sunt servabo, et a patria remotos reducam rursus in sua. — *Et reddam eos insignes ac celebres per omnem terram.* Per ea, quae ego circa eos faciam, mirati et laudibus elati erunt ab omnibus hominibus.

κ΄. Καὶ καταισχυνθήσονται ἐν τῷ καιρῷ ἐκείνῳ, ὅταν καλῶς ὑμῖν ποιήσω, καὶ ἐν τῷ καιρῷ, ὅταν εἰσδέξωμαι ὑμᾶς. Περιβληθήσονται γὰρ αἰσχύνῃ πάσῃ οἱ ὑμέτεροι πολέμιοι, ἐπειδὰν τὰ κάλλιστα περὶ ὑμᾶς διαπραττόμενος εἰς τὰ οἰκεῖα πάλιν ὑμᾶς ἐπαναγάγω. — Διότι σώσω ὑμᾶς ὀνομαστοὺς καὶ εἰς καύχημα πᾶσι τοῖς λαοῖς

V. 20. *Et pudore afficientur illo tempore, ubi bene vobis fecero, et eo tempore, quo vos recepero.* Pudore suffundentur summo hostes vestri, ubi egregium vobis beneficium paravero, in vestra rursus reductis. — *Quia faciam vos celebres et insignes inter omnes terrae populos, quando mutavero captivitatem*

τῆς γῆς ἐν τῷ ἐπιστρέφειν με τὴν αἰχμαλωσίαν ὑμῶν ἐνώπιον ὑμῶν, λέγει κύριος. Τοσαῦτα γὰρ καὶ τηλικαῦτα περὶ ὑμᾶς τε καὶ ὑπὲρ ὑμῶν κατὰ τῶν ἐχθρῶν ἐργάσομαι τῶν ὑμετέρων, ὥστε ἅπαντας τοὺς πανταχοῦ διὰ μνήμης ἔχειν ὑμᾶς καὶ ἐπαίνων, θαυμάζοντας ᾧ τινι δὴ τῷ τρόπῳ τῆς τοιαύτης αἰχμαλωσίας ὑμᾶς ἀπαλλάξας ἐπανήγαγον εἰς τὰ οἰκεῖα.

vestram coram vobis, inquit Dominus. Tot et tanta circa vos et vestra causa adversus inimicos vestros faciam, ut omnes ubicunque sint, eorum memoriam teneant et laudes, mirati, qua tandem ratione tanta e captivitate liberatos vos in patriam reduxerim.

ʽΕΡΜΗΝΕΙΑ ʼΑΓΓΑΙΟΥ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.[1])

ΠΡΟΟΙΜΙΟΝ.

αʹ. Ὠσηὲ μὲν καὶ ʼΙωὴλ καὶ ʼΑμὼς καὶ Μιχαίας οἱ μακάριοι προφῆται κοινὸν πρὸς ἅπαντα τὸν ʼΙσραηλιτικὸν λαὸν ἐποιοῦντο τὸν λόγον τούς τε τῶν δέκα φυλῶν, ὧν ἐβασίλευεν ἡ Σαμάρεια, καὶ μὴν καὶ τοὺς τῆς ʼΙούδα φυλῆς τούς τε τὴν ʽΙερουσαλὴμ οἰκοῦντας, ἀμφοτέρους ὁμοίως ἐπί τε ταῖς ἀσεβείαις καὶ ταῖς ἀνομίαις ἐλέγχοντες, αἷς διεπράττοντο ποικίλως, προστιθέντες δὲ καὶ τὰ ὑπὲρ τούτων αὐτοῖς ἀμετανοήτως πταίουσι συμβησόμενα κακὰ, τά τε ταῖς δέκα φυλαῖς πρότερον ὑπὸ τῶν ʼΑσσυρίων συμβάντα καὶ τοῖς τοῦ ʼΙούδα φυλῆς ὑπὸ Βαβυλωνίων ὕστερον γεγονότα. οἵσπεροῦν καὶ τὴν ἐπὶ τὸ κρεῖττον αὐτῶν μεταβολὴν ἐπισυνῆπτον ταῖς προῤῥήσεσι ταῖς

COMMENTARIUS IN HAGGAEUM PROPHETAM.

PRAEFATIO.

1. Beati prophetae Hoseas et Joel et Amosus et Michaeas ad universum pariter Israëlitarum populum verba fecerunt, nempe et ad decem tribus, quarum metropolis Samaria erat itemque ad Judae conjunctim tribum civesque Hierosolymae; quos omnes peccatis deditos et diversorum criminum reos aeque objurgabant, adjectis impendentium malorum minis, si sine poenitentia delinquerent, ceu reapse illis accidit, decem scilicet primo tribubus ab Assyriis, deinde Judae tribui a Babyloniis. Sed tamen cum his praedictionibus felicem quoque rerum conversionem spondebant

[1]) Cf. Maji collect. nov. I, pag. 55—58; qui praefationem cum fragmento commentarii ad I, 1. recudi curavit.

ἑαυτῶν, ὅτι τε ἀφεθέντες τῆς αἰχμαλωσίας ἐπὶ τὴν χώραν πάλιν ἀνελεύσονται τὴν οἰκείαν. Ἀβδίου μὲν τοῦ μακαρίου τὴν Ἰδουμαίοις κατὰ τὸν τῆς ἐπανόδου καιρὸν ἐπαχθησομένην λέγοντος τιμωρίαν, Ἰωνᾶ δὲ τοῦ μακαρίου τὴν καταστροφὴν ἀπειλήσαντος Νινευΐταις, εἰ μὴ τῆς ἑαυτῶν μεταβαλοῖντο κακίας, τοῦ μακαρίου δὲ Ναοὺμ σαφῶς τήν τε πολιορκίαν τῆς Νινευὴ καὶ τὴν καθαίρεσιν ἁπάσης τῆς τῶν Ἀσσυρίων βασιλείας μηνύοντος προδήλως, ἣν ὑπὸ Βαβυλωνίων ἤμελλον ὑπομένειν. Ἀμβακοὺμ δὲ καὶ Σοφονίας οἱ μακάριοι προφῆται, ἤδη τῶν ἐν ταῖς δέκα φυλαῖς ἐκπορθηθέντων τε ὑπὸ τῶν Ἀσσυρίων καὶ παντελῆ τήν τε αἰχμαλωσίαν καὶ τὴν ἐκ τῶν τόπων τῶν οἰκείων μετάστασιν δεξαμένων, τοὺς τῆς Ἰούδα φυλῆς μόνους τούς τε ἐπὶ τῆς Ἱερουσαλὴμ οἰκοῦντας ἐπὶ ταῖς ἀσεβείαις αὐτῶν ἐλέγχουσι καὶ ταῖς παρανομίαις, λέγοντες τὴν διὰ τῶν Βαβυλωνίων ἐπὶ τούτοις ἐπαχθησομένην αὐτοῖς παρὰ τοῦ θεοῦ τιμωρίαν οὐ μετὰ πολύν γε ἐσομένην τὸν χρόνον, ἀλλ' ὡς εὐθύ γε καὶ παράχρημα τῶν μηνυομένων κακῶν ἐπελευσομένων αὐτοῖς ἁπάντων, καὶ ἐγγυτέραν γε τῶν ἐσομένων τὴν ἔκβασιν Σοφονίου μηνύοντος ἔσεσθαι τοῦ προφήτου.

prophetae, nempe quod populus captivitate expeditus in patriam reversurus esset. Beatus autem Abdias poenas Idumaeis circa reditus tempus infligendas narrat. Beatus Jonas excidium Ninevitis minatur, nisi a sua malitia resipuerint. Beatus Nahumus Nineves obsidionem universique imperii Assyriorum eversionem praecinit, quam a Babyloniis experturi erant. Beati prophetae Habacucus ac Sophonias, posteaquam decem tribus Assyrii jam populati fuerant, suisque sedibus abreptas in captivitatem transtulerant, Judae tribum, quae sola erat reliqua, civesque urbis Hierosolymae de sua iniquitate legumque violatione coarguunt, atque adfuturam ajunt a Babyloniis ultionem. haud quidem sero pede, sed jam proximam, cum malorum omnium, quae praedicta fuerant, cohorte; et sane propinquum rerum exitum Sophonias propheta canit.

β'. Ἀγγαῖος δὲ ὁ μακάριος προφήτης, οὗ δὴ πρόκειται νῦν ἡμῖν θεοῦ χάριτι ποιεῖσθαι τὴν σαφήνειαν, οὐ τῆς αἰχμαλωσίας μόνον ἤδη γεγενημένης τῆς ὑπὸ Βαβυλωνίων τοῖς κατὰ τὴν Ἱερουσαλὴμ ἐπαχθείσης ποιεῖται τὴν προφητείαν, ἀλλὰ γὰρ ἀπαλλαγέντων μὲν τῶν Ἰσραηλιτῶν ἤδη τῆς αἰχμαλωσίας ἐπανεληλυθότων δὲ πάλιν εἰς τὴν χώραν τὴν οἰκείαν παρὰ πᾶσαν ἀνθρωπίνην ἐλπίδα χάριτι θείᾳ τοῖς λόγοις κέχρηται τοῖς οἰκείοις, τοὺς ἐπανεληλυθότας τε καὶ ἐπὶ τῆς οἰκείας διάγοντας χώρας τῆς τοσαύτης χάριτος παραδόξως τετυχηκότας ἐλέγχων ἐπὶ τῇ περὶ τὴν οἰκοδομὴν τοῦ ναοῦ ῥᾳθυμίαν. οὗ τῆς οἰκοδομῆς πρόδηλον ὡς οὐχ ἑαυτοῦ γε ἕνεκεν εἶχε φροντίδα πολλὴν ὁ θεός, ὡς αὐτὸς περὶ ἑαυτοῦ φησιν[1]) „Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. ποῖον τοῦτον οἶκον οἰκοδομήσετέ μοι, λέγει κύριος, ἢ τίς τόπος τῆς καταπαύσεώς μοί ἐστι;“ καίτοι γε μικρὸν καὶ τοῦτο εἰ πρὸς τὸ μέγεθος τὰ εἰρημένα σκοποῖτο τὸ θεῖον, οὐδ' ὁπόσον εἰπεῖν τε ἢ νοῆσαι δύναιτο ἄν τις, ἀλλ' ὑπὲρ αὐτῶν γε τῶν Ἰσραηλιτῶν ὁ τῶν ἀνθρωπείων ψυχῶν κηδόμενος τῆς οἰκοδομῆς τοῦ ναοῦ πολὺν ποιεῖται τὸν λό-

2. Beatus vero Haggaeus propheta, cujus nunc explanandi cum Dei gratia consilium nobis susceptum est, vaticinium suum non modo circa recentem Hierosolymae a Babyloniis captae calamitatem facit, verum etiam solutos jam servitute Israelitas atque in patriam praeter omnem humanam spem restitutos, oratione sua reduces alloquitur, qui in propriis laribus versabantur, tantoque beneficio mirabiliter usi fuerant, atque eorum in templi aedificatione segnitiem objurgat. quod templum ut aedificaretur haud quidem sui causa tantam curam gerebat Deus, qui caeteroquin ait: „Caelum mihi thronus, terra scabellum pedum meorum: quae est ista domus, quam mihi aedificatis, ait Dominus, aut quisnam locus quietis meae?“ Profecto nihil non parvum est, si quae diximus cum Dei magnitudine comparentur, quae res omnes creatas tantum excedit, quantum homini nec fari licet; verumtamen Deus, cui animarum cura est, Israëlitarum potius causa de templi aedificatione tantopere la-

[1]) Jes. LXVI, 1.

γον. Ἐπειδὴ γὰρ διετάξατο μὲν ἐκείνῳ τῷ τόπῳ καὶ τῷ ναῷ συνιόντας τὴν καθήκουσαν αὐτῷ τοῖς νομικοῖς παραγγέλμασιν ἀκολούθως ἀποδιδόναι θρησκείαν, διὰ πάντων δὲ τούτων ἐπὶ τῆς εὐσεβείας ἐβούλετο συνέχεσθαι τὸν λαὸν, ὡς ἂν προσηκόντως ἐκεῖθεν κατὰ καιρὸν ὀφθείη τὸν δέοντα ὑπὲρ τῆς ἁπάντων σωτηρίας ὁ δεσπότης κατὰ σάρκα Χριστός· ἀναγκαίως τῆς κατασκευῆς ἐπιμέλειαν ἐποιεῖτο τοῦ ναοῦ, ὡς ἂν ὁ λαὸς διὰ τῆς ἐν αὐτῷ συναγωγῆς τὴν βελτίωσιν δέχοιτο ὑπὲρ ἁπάντων, ὡς ἔφην, ἀνθρώπων τῆς οὕτω πολλῆς τε καὶ μεγίστης ἀξιούμενος ἐπιμελείας. ὡς γὰρ θυσιῶν ἀνέχεται καὶ τῶν ἄλλων δὴ τοιούτων ὁ θεὸς, οὐθὲν τούτων δεόμενος καθάπαξ αὐτὸς, διὰ τὴν ἡμετέραν χρείαν, οὕτω καὶ περὶ τὸν ναὸν εἴχετο φροντίδος, οὐχ ἑαυτοῦ γε ἕνεκεν, ἀλλ' ὑπὲρ ἐκείνων, οὓς αὐτόθι συνιέναι τε καὶ τὴν καθήκουσαν τῷ θεῷ θεραπείαν ἀποδιδόναι προσῆκον ἦν, ὑπὲρ ἁπάντων γε ἀνθρώπων, ὥσπεροῦν ἔφθην πρόσθεν εἰπών. Ἔχει δέ τινα καὶ μήνυσιν ἐσομένων τὸ βιβλίον, τῶν περὶ τὸν Γὼγ φημι, ἣν ἀπ' αὐτῶν τῶν γεγραμμένων ἄμεινον ἴδοι τις ἄν. Ἀλλ' οὗτος μὲν ὁ τοῦ βιβλίου σκοπός· προσεκτέον δὲ τοῖς κατὰ μέρος λοιπόν.

borat. Nam quia in mandatis dederat, ut eo in loco temploque congregati congruum legitimis institutionibus cultum sibi persolverent, atque his caerimoniis exerceri a populo religionem volebat, ut apte illinc tempore suo ad communem peragendam salutem Christus dominus in carne emergeret: ideo de hoc aedificio sollicitus necessario erat; nempe ut conventibus in eo celebrandis mores suos emendaret populus, cui prae caeteris, ut dixi, hominibus tantam Deus curam dignanter impertiebat. Nam sicuti sacrificia et caetera ejusmodi Deus recipit, non quia ipse his egeat, sed utilitatum nostrarum causa, sic etiam templi studium prae se ferebat, non quidem sui causa sed Judaeorum, quos illic congregari justamque Deo religionem persolvere, prae caeteris, ut paulo ante dixi, hominibus, aequum erat. Futurarum praeterea rerum aliqua mentio, bellicae Gogi incursionis, in libello est, quarum notitiam ex ipsis scriptis cognoscere praestat. Hoc est igitur argumentum libri, qui jam sigillatim explanandus est.

Κεφάλαιον Α'.

α'. Ἐν δὲ τῷ δευτέρῳ ἔτει ἐπὶ Δαρείου τοῦ βασιλέως ἐν τῷ μηνὶ τῷ ἕκτῳ, μιᾷ τοῦ μηνὸς ἐγένετο λόγος Κυρίου ἐν χειρὶ Ἀγγαίου τοῦ προφήτου λέγων. Ἐν δευτέρῳ μὲν ἔτει Δαρείου Περσῶν βασιλεύοντος τοῦ τετάρτου μετὰ Κῦρον, ὃς πρῶτος Μηδῶν τε καὶ Περσῶν κατὰ ταὐτὸν ἐβασίλευσεν, ἐπανεληλυθότων ἤδη εἰς τὰ οἰκεῖα τῶν τε τῆς Ἰούδα φυλῆς καὶ τῶν λοιπῶν, ὁπόσοιπερ αὐτοῖς συνανελθεῖν προθυμίαν ἔσχον καὶ δὴ καὶ τῆς Ἱερουσαλὴμ ἀπειληφότων τὴν οἴκησιν, Ἀγγαῖον τὸν μακάριον προφήτην ἀποκαλύψεως ἠξιῶσθαι θείας φησὶν, ἐπὶ τῷ τὴν τῶν προσηκόντων διάλεξιν πρὸς τοὺς ἀνεληλυθότας ποιήσασθαι τῶν Ἰουδαίων, καὶ πρό γε τῶν ἄλλων τῆς οἰκοδομῆς καταμελοῦντας ἐλέγξαι τοῦ ναοῦ, ὃν δὴ μάλιστα ἐπανεληλυθότας ἀπὸ τῆς αἰχμαλωσίας μετὰ πολλῆς ἀνεγεῖραι τῆς προθυμίας προσῆκον ἦν. ἐπισημαίνεται δὲ καὶ τὸν μηνὰ καὶ τὴν ἡμέραν καθ' ἣν ἐξ ἀποκαλύψεως τῆς θείας ὁ προφήτης ἐχρῆτο τοῖς πρὸς Ἰουδαίους λόγοις, ὡς ἂν τεταγμένως δείξειεν, ὅπως μὲν αὐτοῖς τῆς οἰκοδομῆς ἀμελοῦσι τοῦ ναοῦ τὰ πράγματα

Caput I.

V. 1. *Anno Darii regnantis secundo, mense sexto, die mensis prima, factus est sermo Domini per manum Haggaei prophetae dicens.* Anno secundo Darii Persarum regis, quarti post Cyrum illum, qui primus Medorum simul atque Persarum imperium tenuerat, quum jam in patriam se recepissent, quotquot ex Judae tribu et ex reliquis sponte cum illa redire voluerant, quumque ii Hierosolymae urbem jam incolerent, beatum Haggaeum prophetam divina revelatione collustratum ait scriptura, ut is nimirum reduces Judaeos de officiis admoneret, atque apprime negligentiam eorum in aedificando templo objurgaret, qui sane excitandi ejus maximum studium debebant expromere. Significat etiam mensem ac diem, quo secundum Dei revelationem propheta ad populum loqui orsus est, ut deinde ordinatim dicat quid eis acciderit ob neglectum templi aedificium, quantoque meliore in statu tunc essent, quum structuram illam alacri animo urgere coepissent. Jam quaenam iis

διακεῖσθαι συνέβαινεν, ὅσην δὲ μετάστασιν ἐπὶ τὸ κρεῖττον ἔλαβον, ὁπηνίκα τῆς περὶ τὸν ναὸν οἰκοδομῆς τὴν προσήκουσαν ἔχειν ἤρξαντο φροντίδα. Τίνα δὲ ἦν ἅπερ εἰπεῖν πρὸς αὐτοὺς ὁ προφήτης ἐκελεύσθη παρὰ τοῦ θεοῦ, ἑξῆς φησίν. β'. Εἶπον πρὸς Ζοροβάβελ τὸν τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα, καὶ πρὸς Ἰησοῦν τὸν τοῦ Ἰωσεδὲκ, τὸν ἱερέα τὸν μέγαν, λέγων· Τάδε λέγει κύριος παντοκράτωρ, λέγων· Ὁ λαὸς οὗτος λέγουσιν, οὐχ ἥκει ὁ καιρὸς τοῦ οἰκοδομῆσαι τὸν οἶκον κυρίου. Κελεύει γὰρ αὐτῷ πρός τε τὸν Ζοροβάβελ, ὃς ἐκ τῆς Ἰούδα φυλῆς ὑπάρχων ἔκ τε τοῦ μακαρίου Δαυὶδ καταγόμενος κατὰ τὰς ἐπαγγελίας τὰς θείας ἐβασίλευε τότε τοῦ λαοῦ, καὶ μὴν καὶ πρὸς τὸν τοῦ Ἰωσεδὲκ Ἰησοῦν, ὃς τὸ τῆς ἀρχιερωσύνης ἔργον ἀκολοθίου γένους κατὰ τὴν Μωσαϊκὴν διάταξιν ἐκ τοῦ Ἀαρὼν καταγόμενος ἐκτελεῖν ἐπιστεύετο, εἰπεῖν ταῦτα, ἅπερ οὖν ἐπ' ἐλέγχῳ τῆς περὶ τὸν ναὸν τοῦ λαοῦ ῥᾳθυμίας διδάξαι προσῆκον ἦν. Ταῦτα γὰρ δὴ πρὸς τούτους μάλιστα ὡς ἡγουμένους εἰκότως ἐλέγετο, ἅτε καὶ τοὺς λοιποὺς διεγείρειν ἐπὶ τὸ πρᾶγμα ὀφείλοντας. Φαίνεται οὖν [1]) αὐτοῖς οὐκ ἐν τῷ λόγῳ

propheta dicere a Deo jussus fuerit, in sequentibus declarat. V. 2. *Loquere ad Zorobabelem, Salathielis filium, e tribu Judae, et ad Josuam, Josedeci filium, sacerdotem summum, ita dicens. Haec ait Dominus omnipotens: Iste populus dicit, Non venit tempus templi Domini aedificandi.* Ad Zorobabelem, qui e Judae tribu ortus et beati Davidis genere natus secundum divinas promissiones populi Judaici imperium tenebat, itemque ad Josuam, Josedeci filium, qui per generis successionem secundum Mosaicam institutionem ab Aarone oriundus summi sacerdotii munere fungebatur, prophetam ea dicere jubet, quae ad coarguendam populi circa templum segnitiem doceri, aequum erat. Etenim haec merito ad istos potissimum dicebantur, utpote duces et qui etiam reliquos ad hoc negotium excitare deberent. Itaque non illos reprehendit hoc sermone, sed populum; unde clarum est, ipsos quidem negotii studiosos omnino fuisse, quae vero voluerunt peragere nequivisse,

[1]) In cod. οὐχ male.

καταμεμφόμενος, ἀλλὰ τῷ λαῷ, ὡς δῆλον εἶναι, ὅτι οἱ μὲν τὴν προσήκουσαν εἶχον περὶ τὸ πρᾶγμα προθυμίαν, ἐκτελεῖν δὲ ὅπερ ἐβούλοντο ἀδυνατῶς εἶχον, οὐκ ἐθέλοντος αὐτοῖς τοῦ λαοῦ πρὸς τοῦτο συμπράττειν. διόπερ τούτοις τὰ ἐπ' ἐλέγχῳ τοῦ λαοῦ συντείνοντα λέγει, ὡς ἂν οὗτοί τε μᾶλλον ἐπὶ τὸ ἔργον διεγερθεῖεν, κἀκεῖνοι δὲ διόρθωσιν δέξαιντο τὴν προσήκουσαν εἰς τὸ πάσῃ τῇ προθυμίᾳ τὰ συντείνοντα εἰς τὴν οἰκοδομὴν τοῦ ναοῦ συμπράττεσθαι, καὶ μετὰ πολλῆς γε πείθεσθαι τοῖς ἡγουμένοις τῆς ἑτοιμότητος πρὸς ἅπερ ἂν αὐτοῖς περὶ τούτου κελεύωσιν ὡς κατὰ βούλησιν θείαν τὸ ἐπίταγμα ποιουμένοις. Τρεπόμενος δὲ ἐπὶ τὸν ἔλεγχον τοῦ λαοῦ καλῶς ἐκ τῆς πεπλασμένης αὐτῶν ἀπολογίας ποιεῖται τὴν ἀρχήν, ᾗπερ κεχρημένοι εὐπροσώπως καταμελεῖν ἐδόκουν τοῦ ἔργου. λέγουσι γάρ, φησίν, οὔπω παρεῖναι τῆς οἰκοδομῆς τοῦ ναοῦ τὸν καιρόν, ὡς ἂν δικαίως ἀμελοῦντες φαίνοιντο τοῦ ἔργου. Εἶτα πεπλασμένην ἐλέγχων τὴν ἀπολογίαν ἐκ κακίας εὑρημένην εἰς προσκάλυμμα τῆς ῥᾳθυμίας ἐπάγει.

populo cum iis hunc in finem consilia jungere nolente. ideo illis ea dicit, quae populum objurgandum spectarunt, ut ipsi eo magis operi instarent, isti vero correctione justa admissa omni studio quae ad aedificandum templum pertinerent, susciperent, lubentissimeque ducibus, quaecunque hi iis ea de re mandarent, morem gererent, quasi ex divino decreto mandata exciperent. Reprehensurus vero populum egregie a simulata eorum defensione exorditur, qua scilicet usi audacter opus negligere posse sibi videbantur. negant enim, inquit, tempus aedificandi templi jam esse, ut juste opus negligere viderentur. Deinde simulatam eam et a malitia celandae segnitiei causa inventam coarguens ita pergit.

γ'. Καὶ ἐγένετο λόγος κυρίου ἐν χειρὶ Ἀγγαίου τοῦ προφήτου λέγων· δ'. εἰ καιρὸς μὲν ὑμῖν ἐστι τοῦ οἰκεῖν ἐν οἴκοις ὑμῶν κοι-

V. 3. *Et factus est sermo Domini per Haggaei prophetae manum, dicens:* V. 4. *Num tempus vobis est, ut habitetis in domibus ve-*

λοστάθμοις, ὁ δὲ οἶκος οὗτος ἐξηρημῶται; Εἶτα, φησὶ, περὶ μὲν τὰς οἰκοδομὰς τὰς οἰκείας οὕτως ἐσπουδάκατε, οὐ μόνον μετὰ πολλῆς αὐτὰς ἀνεγείροντες τῆς προθυμίας, ἀλλὰ καὶ καλλωπίζοντες αὐτὰς σὺν πάσῃ δυνάμει, τῷ δὲ ναῷ μόνῳ καιρὸς οἰκοδομῆς οὐ πάρεστιν; οὐδὲ αἰσχύνεσθε τὸν πάσης ὑμῖν τῆς σωτηρίας αἴτιον ἐν τοσαύτῃ τυγχάνοντα περιορῶντες ἐρημίᾳ, ὡς τὰ μὲν οἰκήματα καὶ γεγονέναι μετὰ σὲ[1]) καὶ κεκαλλωπίσθαι μετὰ πολλῆς ἄγαν τῆς ἐπιμελείας, τοῦ ναοῦ δὲ τόπον ἐρημίᾳ παραδεδόσθαι ἔτι, μηθὲν ὑμῶν εἰς οἰκοδομὴν αὐτοῦ ποιῆσαι καθάπαξ ἑλομένων;

stris laqueatis, domus autem ista devastata jacet? Siccine vestris aedificiis tantam vovetis operam, ut eas non solum omni studio exstruatis, sed etiam ornetis eadem omni diligentia, templo autem aedificando solo nihil superest temporis? Nec pudet vos eum, qui omnis salutis vobis auctor est, negligere, quod tanta sit in solitudine, adeo ut vestrae quidem domus et (diligentissime) aedificatae et maxima cura ornatae sint, templi vero locus solitudini traditus sit, quia ad hoc aedificandum vos accingere prorsus nolitis?

έ. Καὶ νῦν τάδε λέγει κύριος παντοκράτωρ· τάξατε τὰς καρδίας ὑμῶν εἰς τὰς ὁδοὺς ὑμῶν. Ἀναλογίσασθε, φησὶ, τὰ καθ' ἑαυτοὺς καὶ δοκιμάσατε μὲν, ἃ πεπράχατε τοῦ ναοῦ καταρρᾳθυμιοῦντες τοῦ θείου, τίνα δὲ ὑμῖν ἐκ τούτου συμβέβηκεν. εὔδηλον γὰρ ὅτι ὁδοὺς αὐτῶν τὰς πράξεις αὐτῶν καλεῖ, καθὼς εἴωθεν. Εἶτα λέγει·

V. 5. *Jam vero haec ait Dominus omnipotens: dirigite corda vestra ad vias vestras.* Considerate res vestras, et examinate, quid feceritis Dei templum segniter negligentes, quidque propter hoc vobis evenerit. Vias enim eorum, actiones eorum, pro more suo appellat. Deinde pergit.

ς'. Ἐσπείρατε πολλὰ, καὶ εἰσηνέγκατε ὀλίγα, ἐφάγετε καὶ οὐκ εἰς πλησμονὴν, ἐπίετε καὶ οὐκ εἰς μέθην,

V. 6. *Seminastis multum, sed parum messuistis, edistis nec tamen saturati estis, bibistis quin sitim sedaveri-*

[1]) F. l. σπουδῆς vel προθυμίας.

περιεβάλεσθε καὶ οὐκ ἐθερμάνθητε ἐν αὐτοῖς. καὶ ὁ τοὺς μισθοὺς συνάγων συνήγαγεν εἰς δεσμὸν τετρυπημένον. Ἐννοήσατε γὰρ ἐν ὅσῃ διὰ τὴν ῥαθυμίαν ἐκείνην κατέστητε ἐνδείᾳ τε καὶ σπάνει τῶν ἀναγκαίων, ὡς ἀπὸ πολλῶν μὲν σπερμάτων βραχὺν συλλέγειν καρπὸν, ἀπολαύειν δὲ μὴ τροφῆς, μὴ ποτοῦ, μὴ ἐνδυμάτων πρὸς κόρον τῆς κατεπειγούσης χρείας, ἅτε σπανιζόντων ὑμῖν τῶν ἀναγκαίων. ἐκ δὲ τούτου καὶ τὰ μισθώματα ὑμῖν ὡς εἰκὸς, ὅσαπερ ἐποιεῖσθε ἀγρούς τε ἐκμισθοῦντες καὶ ὁπόσα δὴ τοιαῦτα, εἰς οὐδὲν ἐγίνετο ὄφελος, ἐπειδὴ τῶν καρπῶν ἀπολλυμένων οὐδὲ τὰ μισθώματα ὑμῖν παρὰ τῶν ἐκλαμβανόντων τελεῖσθαι δυνατὸν ὑπῆρχεν. ὥσπερ δὲ βαλαντίῳ ἢ ῥάκει ἤ τινι ὅλως ἀποδέσμῳ, εἰ τετρυπημένον εἴη, συλλέγεσθαι ἀργύριον οὐδαμῶς δυνατὸν διέκπιπτον καὶ ἀπολλύμενον πάντως, οὕτω τῇ τῶν καρπῶν ἀπωλείᾳ καὶ τὰ μισθώματα ὑμῖν συνδιαφθείρεσθαι ἀναγκαῖον ὑπῆρχεν.

tis, vestes induistis, nec corpus iis fovistis; et qui mercedes collegit, eas in sacculum perforatum collegit. Reputate quantae propter segnitiam istam penuriae et vel necessariorum inopiae incideritis, adeo ut a multa semente exili tantum fructu percepto neque cibi neque potus nec vestimentorum satis haberetis ad implendum usum, deficientibus vos rebus vel maxime necessariis. unde non mirum quod etiam lucra, quae ex elocatis agris fecistis, vel alia ejus generis, nihil profuerint vobis; nam deperditis fructibus fieri non potest, ut conductores merces pendant. Uti vero crumena, vel linteolo, vel in universum panno quoquam, si perforatus est, colligi pecunia nequaquam potest, quia excidit et amittitur, ita fructibus deperditis etiam merces vestras deperdi necesse erat.

ζ'. Τάδε λέγει κύριος παντοκράτωρ· θέσθε τὰς καρδίας ὑμῶν εἰς τὰς ὁδοὺς ὑμῶν. η'. ἀνάβητε ἐπὶ τὸ ὄρος καὶ κόψατε ξύλα, καὶ οἴσατε καὶ οἰκοδομήσατε

V. 7. *Haec dicit Dominus omnipotens: dirigite corda vestra in vias vestras.* V. 8. *Adscendite montem, ligna caedite et advehite, et aedificate aedem (meam);*

τὸν οἶκον, καὶ οἰκήσω[1]) ἐν αὐτῷ καὶ ἐνδοξασθήσομαι, εἶπε κύριος. Ἀλλὰ γὰρ ταῦτα ἀναλογισάμενοι διορθώσασθε μὲν τὰ νῦν παρ' ὑμῶν ἀμελούμενα καὶ φροντίσατε τῆς οἰκοδομῆς τοῦ ναοῦ, ξύλα τε ἐκτεμόντες καὶ τὰ λοιπὰ δὴ πρὸς τὴν οἰκοδομὴν ἐπιτήδεια μετὰ πολλῆς εἰσενέγκαντες τῆς προθυμίας. ἀρεσθεὶς δὲ καὶ αὐτὸς τῇ γινομένῃ παρ' ὑμῶν οἰκοδομῇ τοῦ ναοῦ τοιαῦτα εἰς ὑμετέραν εὐεργεσίαν ἐργάσομαι, ἃ παρὰ πᾶσί με ποιῆσαι[2]) γνώριμον, ὡς μέγιστα τοὺς εὐνοίᾳ μοι πείθεσθαι βουλομένους δυνάμενον ὠφελεῖν. Εἶτα πάλιν ὑπομιμνήσκων αὐτοὺς, ὧν τὸ πρότερον διὰ τὴν ῥᾳθυμίαν ὑπέμενον, καὶ εἰπών·

θ'. Ἐπεμβλέψατε εἰς πολλὰ, καὶ ἐγένετο ὀλίγα, καὶ εἰσηνέχθη εἰς τὸν οἶκον, καὶ ἐξεφύσησα αὐτά. ἵνα εἴπῃ, ὅτι οὔτε τοὺς καρποὺς ὑμῖν ἐκ τῆς γῆς παρέχεσθαι εἴων καὶ τὰ δοκοῦντα γίνεσθαι ἀπώλλυον. ἑτέρως ἐπάγει· Διὰ τοῦτο τάδε λέγει κύριος παντοκράτωρ, ἀνθ' ὧν ὁ οἶκός μού ἐστιν ἔρημος, ὑμεῖς δὲ διώκετε ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, ι'. διὰ τοῦτο ἀνέξει ὁ οὐρανὸς ἀπὸ δρόσου, καὶ

et habitabo in ea, majestatemque meam manifestabo (in ea), inquit Dominus. His ergo perpensis emendate nunc quae per negligentiam deliquistis, templique aedificandi curam gerite, ligna caedentes, et caetera quaecunque ei rei apta sunt lubenter advehentes: tum etiam equidem iis, quae a vobis ad exstruendum templum fiunt, delectatus talia in commodum vestrum faciam, quae omnibus me manifestabunt, ut qui bona mente mihi obedire volentibus summopere prodesse possim. Deinde ut eos calamitatum admoneat, quae propter segnitiam suam perpetiebantur, dicit:

V. 9. *Intenti fuistis multis et facta sunt pauca; et quaecunque domum attulistis ea dissipavi.* i. e. et fructus a terra vobis porrigi non sivi, et quaecunque vobis succedere vobis videbantur, ea delevi. Et alio modo hoc dicit: *Ideo haec dicit Dominus omnipotens: Quia domus mea deserta est, vos vero festinatis unusquisque in suam domum;* V. 10. *propter hoc abstinebit coelum*

[1]) Cod. οἰκοδομήσω perperam. — [2]) Leg. ποιήσει.

ἡ γῆ στελεῖται τὰ ἐκφόρια αὐτῆς ἐφ' ὑμᾶς. ια'. Καὶ ἐπάξω ῥομφαίαν ἐπὶ τὴν γῆν, ἐπὶ τὰ ὄρη, καὶ ἐπὶ τὸν σῖτον, καὶ ἐπὶ τὸν οἶνον, καὶ ἐπὶ τὸ ἔλαιον, καὶ ἐπὶ πάντα ὅσα ἐκφέρει ἡ γῆ, καὶ ἐπὶ τοὺς ἀνθρώπους καὶ ἐπὶ τὰ κτήνη. καὶ ἐπὶ πάντας τοὺς πόνους τῶν χειρῶν αὐτῶν. Βούλεται δὲ διὰ τούτων αὐτοὺς, ὧν ἀμελοῦντες τοῦ ναοῦ πεπόνθεσαν, ὑπομνῆσαι. ὅτι γὰρ, φησὶ, τὸν οἶκον τὸν ἐμὸν ἐν ἐρημίᾳ τυγχάνοντα περιορῶντες περὶ τὴν οἰκοδομὴν τῶν οἴκων ἐσπουδάζετε τῶν ἰδίων, τότε, φησὶν, ὅτε ὁ ὑετὸς ἐπείχετο, καὶ ἡ γῆ τὸν καρπὸν οὐκ ἐδίδου, καὶ ὥσπερ τινὶ ξίφει πάντας τοὺς ἐπὶ τῆς γῆς ἠφάνιζον καρποὺς, ἁπτόμενος καὶ ἀνθρώπων καὶ κτηνῶν πολλάκις, πάντα τε συντόμως εἰπεῖν ἀπολλὺς, ὑπὲρ ὧν ἐπονεῖτε. Ἐπὶ γὰρ τῇ προτροπῇ τοῦ ἀναβῆναι καὶ κόψαι ξύλα ἐνεγκεῖν τε καὶ φροντίσαι τῆς οἰκοδομῆς ταῦτα ἐπήγαγε, τῇ μνήμῃ τῶν γεγονότων φοβῶν αὐτοὺς, μὴ ῥαθύμως δέξασθαι τὸ ἐπίταγμα. Ἐπάγει γοῦν·

ιβ'. Καὶ ἤκουσε Ζοροβάβελ, ὁ τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα, καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ, ὁ ἱερεὺς ὁ μέγας, καὶ πάντες οἱ κατάλοιποι τοῦ λαοῦ τῆς φω-

rore et terra subtrahet vobis proventum suum. V. 11. *et inducam gladium in terram, in montes, in frumentum, et in vinum, et in oleum, et in omnia, quae terra procreat, et in homines et in animalia, et in omnes labores manuum eorum.* His eos eorum, quae ob templi neglectum passi sunt, commonefacere vult. Quum neglecta aede mea devastata, vestrarum aedium aedificandarum curam gerebatis, tunc, inquit, pluvia deficiebat, nec terra fructum dabat, et quasi gladio omnes fructus de terra delevi interimens saepe etiam homines et animalia omniaque quae labore vobis paraveratis perdens. Et haec quidem addit eorum admonendorum causa, ut adscendentes ligna caedant et advehant, curamque gerant aedificandi templi; vult enim memoratis rebus antea factis eos terrere, ne segniter accipiant mandatum. Itaque pergit:

V. 12. *Tum Zorobabel, Salathielis filius e Judae tribu, et Josua Josedeci filius summus sacerdos, reliquusque populus universus vocem Domini Dei sui et*

νῆς κυρίου τοῦ Θεοῦ αὐτῶν καὶ τῶν λόγων Ἀγγαίου τοῦ προφήτου, καθότι ἐξαπέστειλεν αὐτὸν κύριος ὁ Θεὸς αὐτῶν πρὸς αὐτοὺς, καὶ ἐφοβήθη ὁ λαὸς ἀπὸ προσώπου κυρίου. Δεικνὺς ὅτι οὐκ ἀνωφελεῖς οἱ λόγοι γεγόνασι πρὸς αὐτοὺς, πάντες δὲ ἐκ τῶν εἰρημένων φοβηθέντες ἀπειλὴν ἔνευσαν πρὸς τὸ δέον, ὥστε καὶ ἀποσταλέντα παρὰ τοῦ Θεοῦ τὸν προφήτην εἰπεῖν καὶ αὐτούς.

ιγ'. *Ἐγώ εἰμι μεθ' ὑμῶν, λέγει κύριος.* ὡς ἂν δείξειεν, ὅτι ἅμα τε μετεβάλοντο τὸν τρόπον καὶ περὶ τὴν οἰκοδομὴν τοῦ ναοῦ τὴν σπουδὴν ἔσχον, καὶ εὐθὺς ἐπηγγείλατο Θεὸς ἐν ἅπασιν αὐτοῖς τὴν ἑαυτοῦ παρασχεῖν κηδεμονίαν. τοῦτο γὰρ δηλοῖ τὸ μεθ' ὑμῶν, ἀντὶ τοῦ συνὼν τε ὑμῖν καὶ κηδόμενος καὶ πᾶσαν χρειάν ὑμῖν πληρῶν.

ιδ'. *Καὶ ἐξήγειρε Κύριος τὸ πνεῦμα Ζοροβάβελ τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα καὶ τὸ πνεῦμα Ἰησοῦ τοῦ Ἰωσεδὲκ, τοῦ ἱερέως τοῦ μεγάλου, καὶ τὸ πνεῦμα τῶν καταλοίπων παντὸς τοῦ λαοῦ, καὶ εἰσῆλθον καὶ ἐποίουν ἔργα ἐν τῷ οἴκῳ κυρίου παντοκράτορος Θεοῦ αὐτῶν.* Οὐ γὰρ ἐπηγγείλατο μόνον αὐτὸς τὴν οἰκείαν κηδε-

sermones Haggaei prophetae acceperunt, quia Dominus Deus eum ad ipsos delegaverat, et reveritus est populus Dominum. Indicat, non frustra sermonem ad eos factum esse, sed omnes dictis minis perterritos justo se inclinasse, nec minus, a Deo missum prophetam professos esse eosdem.

V. 13. *Ego sum vobiscum, ait Dominus.* His significat, ut primum mutata mente templo aedificando operam navarent, statim etiam Deum, se iis in omnibus rebus auxilio suo non defuturum esse, spopondisse. Hoc enim indicant verba *vobiscum sum*, i. e. adero vobis, vestrûm curam geram, et quibus egetis porrigam.

V. 14. *Et excitavit Dominus Zorobabelis, Salathielis filii, e tribu Judae, animum, animumque Josuae Josedeci filii, summi sacerdotis, animosque totius populi, ut ingrederentur et opus susciperent in domo Domini omnipotentis, Dei sui.* Non solum auxilium suum spopondit Deus, sed etiam animi propensionem in ipsis prin-

μονίαν ὁ Θεός, ἀλλὰ καὶ τὴν προθυμίαν κατ' αὐτῶν τῶν τε ἡγουμένων ἐπέῤῥωσε καὶ παντὸς τοῦ λαοῦ, ὥστε πάντα δὴ τὰ λοιπὰ παρωσαμένους περὶ τὴν οἰκοδομὴν ἀσχολεῖσθαι τοῦ ναοῦ καὶ τὸ ὅπως ἂν αὐτοῖς εἰς τέλος ἀφίκοιτο τὸ ἔργον. εἶτα καὶ τὴν προθυμίαν αὐτῶν ἐπὶ πλέον ἐπιρωννὺς ὁ Θεὸς ἐπιφαίνεται πάλιν τῷ προφήτῃ ταυτὶ λέγων.

cipibus totoque populo corroboravit, adeo, ut posthabitis reliquis omnibus templo aedificando vacarent ac studerent, quomodo opus ad finem perducerent. Deinde magis etiam eorum animi propensionem corroboraturus, Deus rursus prophetae apparet ita locutus.

Κεφάλαιον Β'.

β'. Εἶπον δὴ πρὸς Ζοροβάβελ τὸν τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα, καὶ πρὸς Ἰησοῦν τὸν τοῦ Ἰωσεδὲκ, τὸν ἱερέα τὸν μέγαν, καὶ πρὸς πάντας τοὺς καταλοίπους τοῦ λαοῦ, ταῦτα λέγων· γ'. τίς ἐξ ὑμῶν ὃς εἶδε τὸν οἶκον τοῦτον ἐν τῇ δόξῃ αὐτοῦ τῇ ἔμπροσθεν, καὶ πῶς ὑμεῖς βλέπετε αὐτὸν νῦν καθὼς οὐχ ὑπάρχοντα ἐνώπιον ὑμῶν; δ'. καὶ νῦν κατίσχυε Ζοροβάβελ, λέγει κύριος, καὶ κατίσχυε Ἰησοῦ, ὁ τοῦ Ἰωσεδὲκ, ὁ ἱερεὺς ὁ μέγας, καὶ κατισχυέτω πᾶς ὁ λαὸς τῆς γῆς, λέγει κύριος παντοκράτωρ. ε'. καὶ τὸ πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν. Εἰ γάρ τις ὑμῶν, φησὶ, τὴν παλαιὰν τοῦ οἴκου τούτου δόξαν ἠπίστατο, καὶ οἷάπερ τὰ περὶ αὐτὸν παρ'

Caput II.

V. 2. *Loquere ad Zorobabelem Salathielis filium e tribu Judae, et ad Josuam Josedeci filium, summum sacerdotem et ad reliquum populum, haec dicens:* V. 3. *Quis inter vos est, qui novit hanc aedem in pristina sua gloria, et quomodo eam nunc videte quasi prorsus non adsit coram vobis?* V. 4. *Attamen nunc bono sis animo, Zorobabel, ait Dominus, et tu, Josua, Josedeci fili, summe sacerdos, bono sis animo, totusque populus terrae bono sit animo, dicit Dominus omnipotens.* V. 5. *nam spiritus meus adstitit in medio vestrûm.* Si quis vestrûm, inquit, veterem hujus aedis gloriam nosset, et qualia erant, quae circa eam a me gesta sunt sive

ἐμοῦ γεγονότα πολλάκις εἴτε περὶ τὸν λαὸν τῆς ἐν αὐτῷ τελουμένης σπουδῆς ἕνεκεν, συνεῖδεν ἄν, ὁπόση τῶν τότε καὶ νῦν ἐστὶν ἡ μεταβολή· νῦν γὰρ ἐκεῖνα μὲν οὐκ εἰδότες ὑμῶν οἱ πολλοὶ τὰ παρόντα δὲ ὁρῶντες, ὡσὰν οὐκ ὄντα διὰ τὴν κατέχουσαν αὐτὸν ἐρημίαν ὁρᾶτε. Ἀλλὰ γὰρ ἐπιμείνατε τῇ περὶ τὴν οἰκοδομὴν προθυμίᾳ καὶ πάντα δὴ μετὰ τῆς προσηκούσης ἐπιτελεῖτε σπουδῆς εἰς ἐκπλήρωσιν τοῦ ναοῦ. αἰσθήσεσθε γὰρ τῆς ἐμῆς κηδεμονίας τότε, καὶ οἷον τὰ καθήκοντα ἐν τῷ ναῷ περὶ τὸν θεὸν πληροῦντες τεύξεσθε τοῦ λοιποῦ. Ἔσομαι δὲ, φησὶ, δι' αὐτῶν τῶν πραγμάτων δεικνύμενος, καὶ τῆς χάριτος τεύξεσθε τῆς ἐξ ἐμοῦ μόνον οὐκ ἐφεστώσης ὑμῖν οἰκονομούσης τε καὶ διοικούσης τὰ καθ' ὑμᾶς. Τὸ γὰρ Πνεῦμά μου τὴν χάριν τὴν ἐξ ἑαυτοῦ λέγει[1]), ἐπειδὴ πνεύματος ἁγίου ὑπόστασιν ἰδίαν ὡς ἐν προσώπῳ γνωριζομένην οἰκείῳ παρὰ τὸν θεὸν οἱ τῆς παλαιᾶς οὐκ ἠπίσταντο διαθήκης, πάντων τῶν πρὸ τῆς τοῦ δεσπότου Χριστοῦ παρουσίας θεὸν εἰδότων καὶ κτίσιν, ἕτερον δὲ οὐδέν· ἅτε καὶ τῆς θείας γραφῆς τοῦτο παιδευούσης τοὺς οἰκείους ἐν τῷ τότε καιρῷ, ἐν ἀοράτῳ δὲ κτίσει μοναδικὸν μὲν

etiam circa populum propter religionem in ea persolutam, is sciret, quantum inter pristinum et praesentem rerum statum sit discrimen. At quoniam istud nesciunt vestrûm plerique, praesentia ubi vident, templum consideratis, quasi non sit, propter ejus solitudinem. Verum enim vero perseverate in propensione vestra circa aedificationem, omniaque justa peragite diligentia ad perficiendum templum; tum etiam curam meam experiemini, et quanta deinceps nanciscemini, ubi justam Deo in templo persolvetis religionem. In ipsis rebus, inquit, perspicuum me exhibebo, et gratia mea vobis fere adsistet, nempe omnes res vestras temperabit ac moderabit. Spiritum enim suum Deus suam gratiam appellat, quum spiritus sancti substantiam singularem, utpote in propria persona penes Deum exsistentem, veteris testamenti scripturae nondum nossent, sed omnes ante Christi domini adventum Deum tantum et creationem nihil vero aliud scirent. hoc enim est, quod

[1]) Cf. Comment. ad Joel. II, 28. sqq.

οὐδὲν ἐπισταμένης, ἀγγέλους δὲ καὶ δυνάμεις κοινῶς καλούσης ἁπάσας τὰς ἀοράτους τε καὶ λειτουργικὰς οὐσίας, ἃς ὑπηρετεῖσθαι ἐν ἅπασιν ἐδίδασκε τοῖς νεύμασι τοῖς θείοις. Πνεῦμα τοίνυν θεῖον ἐν ἰδίᾳ ὑποστάσει παρὰ τὸν θεὸν εἰδέναι οὐκ ἐδύναντο. οὔτε γὰρ ἐν λειτουργικοῖς ἀριθμεῖν οἷόν τε ἦν τὸ μοναδικὸν, οὔτε θεῷ συντάττειν ἐν ἰδίῳ τι λέγοντας προσώπῳ, ἐπειδὴ μηδὲν ᾔδεισαν τοιοῦτο. ταῦτα δὲ ἡμᾶς ὁ δεσπότης Χριστὸς ἐδίδαξεν, ὃς τοῖς ἑαυτοῦ παρέδωκεν ἀποστόλοις τό [1]· „Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος." ἀφ' ὧν δὴ μανθάνομεν πατρός τε πρόσωπον ἴδιον καὶ υἱοῦ πρόσωπον ἴδιον καὶ πνεύματος ἁγίου πρόσωπον ἴδιον, τῆς θείας καὶ ἀϊδίου οὐσίας ἕκαστον τούτων εἶναι νομίζοντες ὁμοίως· ἅτε μιᾶς μὲν τῆς μαθητείας οὔσης, ἣν ἐπὶ διδασκαλίᾳ τῆς θείας ἐξεπαιδεύοντο γνώσεως, ἑνὸς δὲ τοῦ βαπτίσματος τοῦ ἐπ' ὀνόματι τούτων πληρουμένου. Ἡ παλαιὰ δὲ, ὡς ἔφην, πνεῦμα ἅγιον ἐν ἰδίῳ προσώπῳ καὶ ὑποστάσει ἰδίᾳ κεχωρισμένον τοῦ θεοῦ οὐκ ἠπίστατο, πνεῦμα δὲ ἅγιον ἐκάλει ἤτοι πνεῦμα θεοῦ τὴν χάριν αὐτοῦ ἢ

divina scriptura isto tempore suis cognoscendum praebet, in creatione vero invisibili simplex et per se exsistens nihil novit, sed angelos et potestates communi nomine omnes invisibiles naturas et ministras appellat, quas ubivis nutibus divinis parere docet. Spiritum ergo divinum singulari substantia penes Deum exsistentem scire nequiverunt isti, neque enim inter ministros numerare poterant, quod simplex est et per se existens, neque cum Deo componere in singulari persona id considerantes, nihil enim tale cognoverant. Haec autem Christus dominus nos docuit, qui apostolis suis hoc mandavit: „Vadite doctum omnes gentes, eosque baptizate in nomen patris et filii et spiritus sancti." Unde sane discimus patris esse singularem personam et filii personam singularem, et spiritus sancti personam singularem, atque unamquamque eodem modo ad divinam aeternamque pertinere substantiam credimus. Nam una est institutio, qua ad docendam cognitionem divinam imbueban-

[1]) Matth. XXVIII, 19.

τὴν ἐπιστασίαν ἢ τὴν κηδεμονίαν ἢ τὴν περί τι διάθεσιν, ἢ εἴ τι τοιοῦτο. „Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου φύγω [1]);" βούλεται γὰρ εἰπεῖν, ὅτι ἔξω τῆς ἐπιστάσιας σου γενέσθαι οὐ δυνατὸν, ἐπειδὴ πάρει τοῖς πᾶσιν· ἐπάγει γοῦν πρὸς τὸν θεὸν οὐκέτι πνεύματος μεμνημένος· „Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ," ἵνα εἴπῃ, ὅπου ποτ' ἂν ὦ, ὑπὸ τὴν ἐξουσίαν καθέστηκα τὴν σὴν, καθ' ἣν ὅπως ἂν ἐθέλῃς τε τοῖς πᾶσι παρὼν τὰ κατ' ἐμὲ διοικεῖς. „Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν τῇ εὐθείᾳ [2])," ἵνα εἴπῃ, ἀγαθότητι πάντοτε τὰ κατ' ἐμὲ διοικήσας κατὰ ταύτην με καὶ νῦν ἐπανάξεις. „Τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ [3])," ἵνα εἴπῃ, τὴν ἐξαίρετόν σου καὶ ἐξειλεγμένην κηδεμονίαν μὴ ἀφέλῃς. Οὕτω καὶ ἐνταῦθα λέγει, Καὶ τὸ πνεῦμα μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν, ἵνα εἴπῃ, ἡ χάρις ἡ ἐμὴ καὶ ἡ περὶ ὑμᾶς διάθεσις συνέσται ὑμῖν ἐφεστῶσά τε καὶ τὴν ἑαυτῆς ὑμῖν παρέχουσα ὠφέλειαν. Ὡς γὰρ τὴν ψυχὴν ἐπὶ τοῦ θεοῦ λέγει, οὐχ ὑπόστασίν τινα τὴν δὲ περί τι διάθεσιν οὕτως ὀνομάζων, οἷον ὅταν λέγῃ [4]) „Τὰς νεομηνίας ὑμῶν καὶ τὰ σάββατα μισεῖ ἡ ψυχή μου," ἵνα

tur (apostoli), unumque baptisma, quod in nomine illorum fit. Vetus autem (testamentum), ut dixi, spiritum sanctum sub persona singulari singularique substantia et a Deo divisum nesciebat, sed spiritum sanctum appellabat vel gratiam ejus vel curam vel providentiam vel ejus circa aliquid adfectionem vel tale aliquid. „Quonam declinem spiritum tuum, et quo fugiam tuam faciem?" quae idem valent quam haec: tuam praesentiam fugere prorsus nequeo, quum omnibus tu adsis; igitur ad Deum conversus nulla spiritus mentione facta, pergit ita: „Si caelum adscendam, tu ibi es" id est, ubicunque sim, sub tua sum potestate, quo uti vis et semper praesens res meas regis. „Spiritus tuus bonus deducat me in plano solo" i. e. qui benignitate semper res meas administrasti, nunc quoque per eam me reduces. „Spiritum tuum sanctum ne auferas a me" i. e. praecipuam tuam insignemque curam ne auferas. Ita haec quoque ait: Et spiritus meus in medio vestrûm ad-

[1]) Ps. CXXXVIII, 7. 8. — [2]) Ps. CXLII, 12. — [3]) Ps. L, 13. — [4]) Jes. I, 14.

τὴν διάθεσιν εἴπῃ, καθ' ἣν ἐμίσει τὰ παρὰ αὐτῶν γινόμενα, μοχθηρῶν ὄντων τὸν τρόπον, οὕτω καὶ τὸ πνεῦμα λέγει. Ἀλλὰ γὰρ ταῦτα μὲν ὑπὲρ πλείονος εἰρήσθω τῆς ἀκριβείας. ὁ δέ γε θεὸς ἐπειδὴ διήγειρε μὲν ἐν τοῖς προειρημένοις τὸν λαὸν διὰ τοῦ προφήτου περὶ τὸ ἔργον τῆς οἰκοδομῆς αὐτάρκως, καὶ προθυμοτέρους εἰργάσατο, ἑώρα δὲ συλλογιζομένους, πόθεν ἂν αὐτοῖς προσγένοιτο τοσαῦτα ἔτι πενομένοις ἐκ τῆς αἰχμαλωσίας, ἀφ' ὧν δυνατὸν καὶ τὸ προσῆκόν τε ἀπαρτισθῆναι τὸν ναὸν καὶ πᾶσαν αὐτῷ τὴν προσήκουσαν εὐπρέπειαν ἀποδοθῆναι, οἷαν δὴ πρότερον εἶχεν ἐν οἰκοδομαῖς τε καὶ σκεύεσιν ἁγίοις καὶ τοῖς λοιποῖς, ἐπάγει· Θαρσεῖτε, μηδὲ φοβεῖσθε. περὶ τούτων, φησὶ, καὶ πῶς ἔνεστι μὴ φοβεῖσθε.

stitit, quibus dicit: gratia mea et (benigna) circa vos adfectio vobis aderit et adstabit suamque praebebit opem. Sicut enim de Dei anima loquitur, non substantiam quandam sed ejus circa aliquid adfectionem ea designans, v. c. si dicit „Novilunia et sabbata vestra anima mea odit", quibus adfectionem significat, qua quae Judaei pro malitia sua peregerant, oderat: eodem sensu etiam de spiritu loquitur. At hoc ex abundanti diligentia ea de re dictum esto. Deus autem postquam in antecedentibus populum per prophetam sufficienter excitaverat ad curandam templi aedificationem eosque ad id propensiores reddiderat, quumque videret eos considerantes, unde sibi, utpote ex captivitate adhuc inopibus, tanta contigerint, e quibus et templum potuerat perfici omnisque ei reddi, qui decebat, ornatus, quem prius habuerat in aedificiis sacrisque vasibus et caeteris; jam pergit: *Bono estote animo; et nolite timere.* De his, quomodo fieri possint, nolite sollicitari.

ϛ'. Διότι τάδε λέγει κύριος παντοκράτωρ· ἔτι ἅ-

V. 6. *Haec enim dicit Dominus omnipotens: Se-*

παξ ἐγὼ σείσω τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ τὴν ξηράν, ζ'. καὶ συσσείσω πάντα τὰ ἔθνη, καὶ ἥξει τὰ ἐκλεκτὰ πάντων τῶν ἐθνῶν. η'. Ἐμὸν τὸ ἀργύριον, ἐμὸν τὸ χρυσίον, λέγει κύριος παντοκράτωρ. θ'. διότι μεγάλη ἡ δόξα τοῦ οἴκου τούτου, ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην, λέγει κύριος ὁ παντοκράτωρ. καὶ ἐν τῷ τόπῳ τούτῳ δώσω εἰρήνην, λέγει κύριος ὁ παντοκράτωρ, καὶ εἰρήνην ψυχῆς εἰς περιποίησιν παντὶ τῷ κτίζοντι τοῦ ἀναστῆσαι τὸν ναὸν τοῦτον. Περὶ τῆς σπάνεως τῶν ἐπιτηδείων μὴ φροντίζετε· μόνον γὰρ οὐχ ἅπαντα συσσείσας τὰ ἔθνη πολλά τε καὶ πολλοῦ γέμοντα τοῦ πλούτου ἐφ' ὑμᾶς ἐλθεῖν ἐάσω (λέγει δὲ τοὺς περὶ τὸν Γώγ)· ὧν ἐληλυθότων τότε δὴ τῆς δόξης τοῦ οἴκου τούτου τὸ μέγεθος ἐμφανὲς ποιήσω διὰ τῆς κηδεμονίας τῆς ἐμῆς. καὶ γὰρ καὶ τὸ ἀργύριον τὸ προσὸν ἐκείνοις, καὶ τὸ χρυσίον, καὶ πάντα δὴ συντόμως εἰπεῖν τὰ προσόντα ἐκείνοις ἐμά, ἅτε δὴ πάντα ὄντα ἐμά, ἐπεὶ καὶ πᾶσα ἔργον ἡ κτίσις ἐμόν, ἅπερ οὖν ἀφελὼν εἰς ὑμᾶς μεταστήσω, οὐκ ἀδικῶν τοὺς ἔχοντας, οἵ γε εἶχον τὰ μὴ αὐτῶν, τὰ ἐμὰ δὲ εἰκότως διδοὺς τοῖς ἐμοῖς, ὥστε τὴν τότε δει-

mel adhuc commovebo coelum ac terram, et mare et aridam. V. 7. *et commovebo omnes gentes, et venient electi de omnibus gentibus.* V. 8. *Meum est argentum, et meum est aurum, inquit Dominus omnipotens.* V. 9. *Major enim erit gloria aedis hujus novissima quam prior, inquit Dominus omnipotens. et pacem dabo hoc loco, inquit Dominus omnipotens, et pacem animae, ut eam consequatur quivis, qui aedificat, ad excitandum hoc templum.* Ne solliciti sitis propter necessariorum inopiam. omnes enim fere gentes commovebo, et eo efficiam ut multae eaeque ditissimae ad vos veniant (Gogi innuit agmina); quae ubi venerint, majestatem hujus aedis grandem declarabo per curam meam. Etenim argentum aurumque, quod isti secum portant, meum est, brevique ut dicam, omnia, quaecunque isti habent, mea sunt, nam omnia sane mea sunt, et quaecunque creatura meum est opus. Ea vero illis ademta vobis tradam, non laesis injuste possessoribus; hi enim mea habebant, mea vero jure familiaribus dare possum.

κνυμένην περὶ τὸν οἶκον τοῦτον δόξαν ἀφ᾽ ὧν διαπράττομαι δεχόμενός τε ὑμῶν τὰς ἐν αὐτῷ δεήσεις, καὶ παρέχων ὑμῖν τὸ κατὰ τῶν πολεμίων κράτος, τοσούτων τε ὄντων καὶ τοιούτων, ὡς ἀριθμὸν μὲν αὐτοὺς τῷ πλήθει νικᾷν, ἀκαταμαχήτους δὲ εἶναι διὰ δύναμίν τε καὶ πολεμικὴν ἐμπειρίαν τοῖς πᾶσι δοκεῖν, μείζονα φαίνεσθαι τῆς ποτὲ περὶ τὸν οἶκον τοῦτον φανείσης δόξης, ἅτε καὶ τοῦ ἔργου μείζονος ὄντος ἢ πρότερον ἐπὶ τῶν Ἀσσυρίων, ἢ καί τινων ἑτέρων ἐγένετο, διὰ τὸ οὐ πλήθει μόνον ἀλλὰ καὶ δυνάμει καὶ ἐμπειρίᾳ πολεμικῇ τοὺς νῦν ὑπεραίρειν τῶν πάλαι. ὧν δὴ πάντων τῇ ἐμῇ δυνάμει παραδόξως περιγεγονότες ἐν εἰρήνῃ παντελεῖ γενήσεσθε, ἀθόρυβοί τε ταῖς ψυχαῖς διαμένοντες διὰ τὸ παντὸς ἀπηλλάχθαι πολεμίου, καὶ πλεῖστα ὅσα ἐκ τῶν τοῖς πολεμίοις προσόντων λάφυρα συναγαγόντες· ἃ περιποιήσαντες ἑαυτοῖς εὔκολον ἕξετε βουληθέντες τὴν δύναμιν τοῦ τὸν ναὸν κατασκευάσαι τε καὶ ἀνεγεῖραι, ὡς ἂν τὴν οἰκείαν εὐπρέπειαν ἔχοι τῆς τῶν ἐν αὐτῷ συνιόντων ἕνεκεν εὐχῆς τε καὶ θεραπείας.

Unde fiet, ut gloria tunc circa hanc aedem conspicua in iis, quae equidem facio et preces vestras in ea factas accipiendo, et donando vobis potentiam adversus hostes vestros, quorum tot erit, ut numerum multitudine excedant, et quoad vires bellicamque peritiam invicti videantur omnibus, major sit dicenda, quam quae unquam demonstrata est circa hoc templum gloria; namque etiam opus erit majus priori isto, quod in Assyriis vel aliis accidit, quum hostes praesentis temporis pristinos illos non solum copia sed etiam viribus peritiaque bellica antecellant. His sane mea ope mire superiores facti in perpetua degetis pace, omni timore vacui propterea quod ab omni hoste liberati estis ingentemque de hostibus fecistis praedam; qua acquisita facile habebitis, quibus, ubi volueritis, templum exstruatis et aedificetis adeo, ut decoram habeat magnificentiam propter precationem et religionem, quae in eo persolvuntur.

Διὰ δὴ πάντων τῶν προειληφότων ἀρκούντως αὐτοὺς προτρεψάμενός τε καὶ παρορμήσας

Per antecedentia omnia iis satis admonitis et excitatis ad aedificationis opus nec

ἐπὶ τὸ ἔργον τῆς οἰκοδομῆς καὶ δὴ καὶ ταῖς ἐπαγγελίαις εὐέλπιδας ποιήσας, ὅτι πολλῆς μεθέξουσι τῆς εὐπορίας κεκρατηκότες τῶν πολεμίων, ὡς ἂν ἅπαντα πρός τε τὴν οἰκοδομὴν τοῦ ναοῦ καὶ πρὸς ὅ, τι ἂν ἐθέλοιεν ἄφθονα ἔχοιεν τοῦ λοιποῦ, καλῶς ἔχειν ἡγήσατο καὶ τὴν ἐν ἑτέροις διόρθωσιν αὐτοῖς προσαγαγεῖν, ἐν οἷσπερ ἡμάρτανον. λέγει δὲ οὕτως·

ι'. Τῇ τετράδι καὶ εἰκάδι τοῦ ἐννάτου μηνὸς ἔτους δευτέρου ἐπὶ Δαρείου ἐγένετο λόγος κυρίου πρὸς Ἀγγαῖον προφήτην λέγων· ια'. τάδε λέγει κύριος παντοκράτωρ, ἐπερώτησον δὴ τοὺς ἱερεῖς νόμον λέγων. ιβ'. ἐὰν λάβῃ ἄνθρωπος κρέας ἅγιον ἐν τῷ ἄκρῳ τοῦ ἱματίου αὐτοῦ, καὶ ἅψηται τὸ ἄκρον τοῦ ἱματίου αὐτοῦ ἄρτου ἢ ἑψήματος ἢ οἴνου ἢ ἐλαίου ἢ παντὸς βρώματος, εἰ ἁγιασθήσεται; καὶ ἀπεκρίθησαν οἱ ἱερεῖς καὶ εἶπον, Οὔ. ιγ'. καὶ εἶπεν Ἀγγαῖος· ἐὰν ἅψηται μεμιασμένος ἐπὶ ψυχῇ ἀπὸ πάντων τούτων, εἰ μιανθήσεται; καὶ ἀπεκρίθησαν οἱ ἱερεῖς καὶ εἶπαν· μιανθήσεται. ιδ'. Καὶ ἀπεκρίθη Ἀγγαῖος καὶ εἶπεν· οὕτως ὁ λαὸς οὗτος καὶ οὕτω τὸ ἔθνος τοῦτο ἐνώπιον ἐμοῦ,

non per promissiones ad bonam spem provocatis, nempe quod post debellatos hostes abundantiam habituri sint sufficientem ad templum aedificandum vel, quidcunque velint, sibi parandum, haud superfluum censet, iis etiam emendationem in aliis rebus, quibus peccarunt, adhibere. et ita quidem dicit:

V. 10. *Vicesima quarta noni mensis, anno secundo Darii factus est sermo Domini ad Haggaeum prophetam, dicens:* V. 11. *Haec ait Dominus omnipotens: propone sacerdotibus hanc de lege quaestionem.* V. 12. *Si quis carnem sacram in vestis suae lacinia ferat, et tangat lacinia vestis suae panem aut pulmentum aut vinum aut oleum aut ullius generis cibum, an consecrabitur? Non consecrabitur, responderunt sacerdotes.* V. 13. *Et Haggaeus dixit: Si quis in anima pollutus quidvis istorum tetigerit, an polluetur? Et responderunt sacerdotes, polluetur.* V. 14. *Et Haggaeus respondens ait: Sic est populus hic, et sic gens haec coram me, inquit Dominus, et sic omnia opera manuum eorum, et qui-*

λέγει κύριος, καὶ οὕτω πάντα τὰ ἔργα τῶν χειρῶν αὐτῶν, καὶ ὃς ἐὰν ἐγγίσῃ ἐκεῖ μιανθήσεται. Βούλεται μὲν αὐτοὺς ἐλέγχειν, ὡς τῶν σκευῶν τῶν ἱερατικῶν καὶ τῶν λοιπῶν δὴ τῶν τῇ τοῦ θείου θεραπείᾳ προσηκόντων ἀμελῶς καὶ προχείρως ἐφαπτομένους καὶ οὐ μετὰ τοῦ προσήκοντος δέους· ὑπὲρ οὗ δὴ τοῖς ἱερεῦσι προσαγαγεῖν τὴν ἐρώτησιν ταύτην προσέταξε τῷ προφήτῃ, ἅτε ἐν ἐκείνοις ὂν[1]) τὸ τὰ τοιαῦτα ἐν ἀμελείᾳ ποιεῖσθαι ἢ μετὰ προσήκοντος δέους. Κάλλιστα δὲ καὶ τὴν ἐρώτησιν ἀπὸ εὐτελῶν ἐποιήσατο, ἵνα μειζόνως τὰ κατὰ τὰ σκεύη τὰ ἅγια πλημμελήματα αὐξήσῃ. Λέγει τοίνυν, ὅτι εἴ τις κρέας ἅγιον τὸ ἀπὸ θυσίας ἢ τινος προσφορᾶς ἡγιασμένον ἐν μέρει τινὶ τοῦ ἱματίου ἐβάλη[2]) τοῦ οἰκείου, εἶτα τοῦτο δὴ τὸ ἄκρον ἑτέρου τίνος ἅψεται ἐλαίου ἢ οἴνου ἢ ὅτου δήποτε τῶν βρωμάτων, ἆρα ἅγιον ἔσται τὸ τοιοῦτο διὰ τὴν τοῦ ἄκρου τοῦ ἱματίου ἀφὴν, ἐν ᾧπερ ἀπέκειτο τὸ κρέας; Οἱ δὲ ἀκολούθως ἔφασαν, ὅτι μὴ ἅγιον γίνεται τὸ τοιοῦτο, ὡς οὐκ αὐτάρκως ἔχοντος τοῦ ἄκρου τοῦ ἱματίου διὰ τὸ ἐγκείμενον κρέας ἅγιον ἑτέρῳ βρωτῷ τὸν ἁγιασμὸν παρέχειν. Εἶτα

cunque appropinquaverit, is ibi polluetur. Reprehendere eos vult, quod vasa sacra et reliqua, quae ad cultum divinum pertinebant, improvide et temere et absque ea, qua par erat, reverentia attigerint. Eam ob rem sacerdotibus hanc quaestionem proponere prophetam jussit, scilicet quoniam eorum erat, si ista negligenter vel ea, qua par erat reverentia tractabantur. Egregie etiam interrogandi initium cepit de exiguis, ut eo magis delicta in vasa sacra adaugeret. Si quis igitur, inquit, carnem sacram de sacrificio vel ulla oblatione consecratam in vestis suae partem jaciat, dein haec lacinia aliud quid sive oleum sive vinum sive qualecunque attingat, an id sacrum erit, quoniam tactum est vestis lacinia, in qua jacuit caro? Illi vero consequenter negabant, tale aliquid sacrum fieri, quod lacinia vestis propter insitam carnem sacram non sufficiat sanctificationi cum aliis esculentis communicandae. Deinde rursus quaerit: si vero quis, qualicunque modo pol-

[1]) Cod. ὤν. — [2]) F. l. ἔβαλε.

πάλιν ἐρωτᾷ· ἐὰν δέ τις μεμιασμένος ἐφ' ὅτῳ δήποτε ἅψηται τῶν τοιούτων, μιαίνει ἆρα πάντως αὐτὰ ἢ οὔ; Οἱ δὲ[1]) ἔφασαν μιαίνειν. Ἠβουλήθη δὲ διὰ τούτων εἰπεῖν, ὅτι ὥσπερ τὸ ἄκρον τοῦ ἱματίου οὐ διὰ τὸ ἐπικείμενον ἅγιον ἁγιάζειν δύναται τὸ προσεγγίζον, ὁ μεμιασμένος δὲ ἁπτόμενος τῶν τοιούτων μιαίνει πάντως αὐτὰ, οὕτω χρὴ νομίζειν καὶ ὑμᾶς ἁπτομένους προχείρως καὶ οὐ μετὰ τοῦ προσήκοντος σεβάσματος τῶν ἱερατικῶν σκευῶν ἢ τῶν ὅπως ποτὲ τῷ θεῷ προσηκόντων, ὅτι οὐχ ὁ ἐκείνων ἁγιασμὸς ὑμᾶς ἁγιάζει, ὁ δὲ ὑμέτερος τρόπος μεμιασμένος ὢν ὕβριν προστρίβεται τοῖς ἁγίοις, εἴπερ οὖν αὐτῶν ἔξω τοῦ προσήκοντος ἐφαπτόμενοι φαίνοισθε. Ὅθεν καὶ ὁ προφήτης ἀποκρίνεται, ὡς τοῦ θεοῦ εἰπόντος, ὅτι τοιοῦτο δὴ καὶ παρ' ὑμῶν γινόμενόν ἐστιν, ὅταν ἅπτησθέ τινος τῶν ἐμοὶ προσηκόντων ἁγίων, ὥστε προσήκειν ὑμᾶς εἰδέναι, ὅτι πᾶς ἐγγίζων ἐμοὶ (ἐγγίζων γὰρ ἐμοὶ λέγω τὸ τῶν ἐμοὶ προσηκόντων τε καὶ ἀνακειμένων ἐφάπτεσθαι), εἰ προχείρως καὶ ἐν ἀμελείᾳ καὶ καταφρονήσει τοῦτο ποιοίη, οὐ μόνον οὐθενὸς ἀπολαύει κέρδους ἐκ τῆς ἀφῆς, ἀλλὰ γὰρ καὶ μολύνεται προσαδικούμενος καὶ

lutus ejusmodi res attigerit, utrum eas polluet, necne? Quod illi affirmabant. His vero dicere vult; sicut vestis lacinia propter sacrum in ea situm consecrare nequit id, cui appropinquatur, pollutus vero tactu suo res omnino polluit, ita vos quoque, ubi temere et absque ea, qua par est, reverentia sacra vasa vel qualecunque eorum, quae Dei sunt, attigeritis, scire oportet, illorum sanctitatem non etiam vos sanctificare, verum animum vestrum pollutum contumeliam inurere sacris, etiamsi ea praeter decorum tetigeritis. Unde propheta etiam respondet, quasi Deo loquente: Idem et a vobis fit, ubi aliquid meorum sacrorum tangitis. unde scire oportet, quemvis mihi appropinquantem (appropinquare vero mihi eum dico, qui res meas mihique consecratas tangit), si id temere et negligenter vel contemtim fecerit, non solum nullum fructum ex tali tactu percepturum esse, sed potius contaminatum iri et detrimentum et noxam, ob sacra temere tacta capturum

[1]) Cod. οὐδέ.

λέγει κύριος, καὶ οὕτω πάντα τὰ ἔργα τῶν χειρῶν αὐτῶν, καὶ ὃς ἐὰν ἐγγίσῃ ἐκεῖ μιανθήσεται. Βούλεται μὲν αὐτοὺς ἐλέγχειν, ὡς τῶν σκευῶν τῶν ἱερατικῶν καὶ τῶν λοιπῶν δὴ τῶν τῇ τοῦ θείου θεραπείᾳ προσηκόντων ἀμελῶς καὶ προχείρως ἐφαπτομένους καὶ οὐ μετὰ τοῦ προσήκοντος δέους· ὑπὲρ οὗ δὴ τοῖς ἱερεῦσι προσαγαγεῖν τὴν ἐρώτησιν ταύτην προσέταξε τῷ προφήτῃ, ἅτε ἐν ἐκείνοις ὂν [1]) τὸ τὰ τοιαῦτα ἐν ἀμελείᾳ ποιεῖσθαι ἢ μετὰ προσήκοντος δέους. Κάλλιστα δὲ καὶ τὴν ἐρώτησιν ἀπὸ εὐτελῶν ἐποιήσατο, ἵνα μειζόνως τὰ κατὰ τὰ σκεύη τὰ ἅγια πλημμελήματα αὐξήσῃ. Λέγει τοίνυν, ὅτι εἴ τις κρέας ἅγιον τὸ ἀπὸ θυσίας ἤ τινος προσφορᾶς ἡγιασμένον ἐν μέρει τινὶ τοῦ ἱματίου ἐβάλη [2]) τοῦ οἰκείου, εἶτα τοῦτο δὴ τὸ ἄκρον ἑτέρου τίνος ἅψεται ἐλαίου ἢ οἴνου ἢ ὅτου δήποτε τῶν βρωμάτων, ἆρα ἅγιον ἔσται τὸ τοιοῦτο διὰ τὴν τοῦ ἄκρου τοῦ ἱματίου ἀφὴν, ἐν ᾧπερ ἀπέκειτο τὸ κρέας; Οἱ δὲ ἀκολούθως ἔφασαν, ὅτι μὴ ἅγιον γίνεται τὸ τοιοῦτο, ὡς οὐκ αὐτάρκως ἔχοντος τοῦ ἄκρου τοῦ ἱματίου διὰ τὸ ἐγκείμενον κρέας ἅγιον ἑτέρῳ βρωτῷ τὸν ἁγιασμὸν παρέχειν. Εἶτα

cunque appropinquaverit, is ibi polluetur. Reprehendere eos vult, quod vasa sacra et reliqua, quae ad cultum divinum pertinebant, improvide et temere et absque ea, qua par erat, reverentia attigerint. Eam ob rem sacerdotibus hanc quaestionem proponere prophetam jussit, scilicet quoniam eorum erat, si ista negligenter vel ea, qua par erat reverentia tractabantur. Egregie etiam interrogandi initium cepit de exiguis, ut eo magis delicta in vasa sacra adaugeret. Si quis igitur, inquit, carnem sacram de sacrificio vel ulla oblatione consecratam in vestis suae partem jaciat, dein haec lacinia aliud quid sive oleum sive vinum sive qualecunque attingat, an id sacrum erit, quoniam tactum est vestis lacinia, in qua jacuit caro? Illi vero consequenter negabant, tale aliquid sacrum fieri, quod lacinia vestis propter insitam carnem sacram non sufficiat sanctificationi cum aliis esculentis communicandae. Deinde rursus quaerit: si vero quis, qualicunque modo pol-

[1]) Cod. ὢν. — [2]) F. l. ἔβαλε.

πάλιν ἐρωτᾷ· ἐὰν δέ τις μεμιασμένος ἐφ᾽ ὅτῳ δήποτε ἅψηται τῶν τοιούτων, μιαίνει ἆρα πάντως αὐτὰ ἢ οὔ; Οἱ δὲ[1]) ἔφασαν μιαίνειν. Ἠβουλήθη δὲ διὰ τούτων εἰπεῖν, ὅτι ὥσπερ τὸ ἄκρον τοῦ ἱματίου οὐ διὰ τὸ ἐπικείμενον ἅγιον ἁγιάζειν δύναται τὸ προσεγγίζον, ὁ μεμιασμένος δὲ ἁπτόμενος τῶν τοιούτων μιαίνει πάντως αὐτὰ, οὕτω χρὴ νομίζειν καὶ ὑμᾶς ἁπτομένους προχείρως καὶ οὐ μετὰ τοῦ προσήκοντος σεβάσματος τῶν ἱερατικῶν σκευῶν ἢ τῶν ὅπως ποτὲ τῷ θεῷ προσηκόντων, ὅτι οὐχ ὁ ἐκείνων ἁγιασμὸς ὑμᾶς ἁγιάζει, ὁ δὲ ὑμέτερος τρόπος μεμιασμένος ὧν ὕβριν προστρίβεται τοῖς ἁγίοις, εἴπερ οὖν αὐτῶν ἔξω τοῦ προσήκοντος ἐφαπτόμενοι φαίνοισθε. Ὅθεν καὶ ὁ προφήτης ἀποκρίνεται, ὡς τοῦ θεοῦ εἰπόντος, ὅτι τοιοῦτο δὴ καὶ παρ᾽ ὑμῶν γινόμενόν ἐστιν, ὅταν ἅπτησθέ τινος τῶν ἐμοὶ προσηκόντων ἁγίων, ὥστε προσήκειν ὑμᾶς εἰδέναι, ὅτι πᾶς ἐγγίζων ἐμοὶ (ἐγγίζων γὰρ ἐμοὶ λέγω τὸ τῶν ἐμοὶ προσηκόντων τε καὶ ἀνακειμένων ἐφάπτεσθαι), εἰ προχείρως καὶ ἐν ἀμελείᾳ καὶ καταφρονήσει τοῦτο ποιοίη, οὐ μόνον οὐθενὸς ἀπολαύει κέρδους ἐκ τῆς ἀφῆς, ἀλλὰ γὰρ καὶ μολύνεται προσαδικούμενος καὶ

lutus ejusmodi res attigerit, utrum eas polluet, necne? Quod illi affirmabant. His vero dicere vult; sicut vestis lacinia propter sacrum in ea situm consecrare nequit id, cui appropinquatur, pollutus vero tactu suo res omnino polluit, ita vos quoque, ubi temere et absque ea, qua par est, reverentia sacra vasa vel qualecunque eorum, quae Dei sunt, attigeritis, scire oportet, illorum sanctitatem non etiam vos sanctificare, verum animum vestrum pollutum contumeliam inurere sacris, etiamsi ea praeter decorum tetigeritis. Unde propheta etiam respondet, quasi Deo loquente: Idem et a vobis fit, ubi aliquid meorum sacrorum tangitis. unde scire oportet, quemvis mihi appropinquantem (appropinquare vero mihi eum dico, qui res meas mihique consecratas tangit), si id temere et negligenter vel contemtim fecerit, non solum nullum fructum ex tali tactu percepturum esse, sed potius contaminatum iri et detrimentum et noxam, ob sacra temere tacta capturum

[1]) Cod. οὐδέ.

προσβλαπτόμενος, ὑπὲρ ὧν τῶν οὕτως ἁγίων ἥψατο προχείρως. — Ἕνεκεν τῶν λημμάτων αὐτῶν τῶν ὀρθρινῶν ὀδυνήσονται ἀπὸ προσώπου πονηρῶν αὐτῶν· καὶ ἐμισεῖτε ἐν πύλαις ἐλέγχοντας. Λημμάτων αὐτῶν, ἵνα εἴπῃ, ὧν ἐπελαμβάνοντο πράττοντες οὐ δεόντως· ὑπὲρ γὰρ ὧν, φησὶν, ἐπεχειρεῖτε πράξεσιν ἀτόποις ὄρθριοι εἰς τοῦτο διανιστάμενοι καὶ μετὰ πάσης τὰ ἄτοπα τῆς σπουδῆς ἐπιτελοῦντες, τῇ βαρύτητι τῶν προσγεγονότων ὑμῖν περιπεπτώκατε κακῶν, καὶ πολλῷ γε πλέον ἐπειδὴ τὸν παρὰ τῶν προφητῶν ἔλεγχον οὐκ ἐδέχεσθε, ἐδυσχεραίνετε δὲ πρὸς αὐτοὺς ἐπὶ ταῖς πύλαις ἑστῶτας, ὡς ἂν κοινὴν ἅπασι τοῖς εἰσιοῦσί τε καὶ ἐξιοῦσι τὴν ἀπὸ τῶν λεγομένων προσαγάγοιεν διόρθωσιν.

ιε΄. Καὶ νῦν θέσθε δὴ ἐπὶ τὰς καρδίας ὑμῶν ἀπὸ τῆς ἡμέρας ταύτης καὶ ἐπάνω πρὸ τοῦ θεῖναι λίθον ἐπὶ λίθον ἐν τῷ ναῷ τοῦ κυρίου, ιϛ΄. τίνες ἦτε, ὅτε ἐνεβάλλετε εἰς κυψέλην εἴκοσι σάτα, καὶ ἐγένετο δέκα σάτα κριθῆς, καὶ εἰσεπορεύετο εἰς τὸ ὑπολήνιον ἐξαντλῆσαι πεντήκοντα μετρητὰς, καὶ ἐγένοντο εἴκοσι. ιζ΄. Ἐπάταξα ὑμᾶς ἐν ἀφορίᾳ καὶ ἐν ἀνεμοφθο-

esse. — *Propter munera eorum matutina dolebunt a facie malorum suorum; et oderatis, qui in portis arguerent.* Munera eorum ea appellat, quibus propter injuste facta corripiebantur. Quoniam enim, inquit, malignis facinoribus vacastis, mane ad id surgentes et omni studio ea perficientes, nunc tam diris incidistis calamitatibus, idque eo magis quum objurgationes a prophetis in vos factas non admitteretis, sed moleste eos ferretis, ubi in portis stabant, ut omnes, qui intrarent exirentque dictis suis emendarent.

V. 15. *Jam vero in animos vestros tempora inducite superiora, antequam lapis super lapidem in templo Domini strueretur,* V. 16. *quinam essetis quum injiceretis in vas frumentarium viginti sata hordei et faceretis decem sata; quumque quinquaginta amphoras e torculari haurire exspectaretis et viginti tantum adessent.* V. 17. *Afflixi vos sterilitate et venti uredine, o-*

ρίᾳ καὶ ἐν χαλάζῃ πάντα τὰ ἔργα τῶν χειρῶν ὑμῶν καὶ οὐκ ἐπεστρέψατε πρὸς μὲ, λέγει κύριος παντοκράτωρ. ιη'. Τάξατε δὴ τὰς καρδίας ὑμῶν ἀπὸ τῆς ἡμέρας ταύτης καὶ ἐπέκεινα ἀπὸ τῆς τετράδος καὶ εἰκάδος τοῦ ἐννάτου μηνὸς, καὶ ἀπὸ τῆς ἡμέρας, ἧς ἐθεμελιώθη ὁ ναὸς κυρίου. θέσθε ἐν ταῖς καρδίαις ὑμῶν, ιθ'. εἰ ἔτι ἐπιγνωσθήσεται ἐπὶ τῆς ἅλω, εἰ ἔτι ἡ ἄμπελος, καὶ ἡ συκῆ, καὶ ἡ ῥοὰ καὶ τὰ ξύλα τῆς ἐλαίας τὰ οὐ φέροντα καρπὸν, ἀπὸ τῆς ἡμέρας ταύτης εὐλογήσω. Παραθέσει πάλαι τῶν τε πρότερον, ὅτιπερ ἠμέλουν τῆς οἰκοδομῆς τοῦ ναοῦ καὶ τῶν νῦν, ἐξότεπερ σπουδάζειν ἤρξαντο περὶ τὸ ἔργον, ἠβουλήθη δεῖξαι τῶν γεγονότων περὶ αὐτοὺς τὴν διαφορὰν καὶ ἐν ὅσῃ μὲν ἀμελοῦντες ἀφορίᾳ γεγόνεσαν, ὅσων δὲ ἀγαθῶν ἐν πείρᾳ κατέστησαν, ἐπειδὴ τῇ τοῦ ναοῦ προσέχειν οἰκοδομῇ προθυμίαν ἔσχον πολλήν. ἀναλογίσασθε οὖν, φησὶν, τὰ τῆς ἡμέρας ἀνώτερα, ὅτε οὔπω τῆς οἰκοδομῆς ἐφροντίζετε τοῦ ναοῦ, ἐν οἵοις ἦτε, ὅτε συνελέγετε μὲν δράγματα ἱκανὰ καρπὸν εἴκοσι σάτων ἀποδιδόναι, μόγις δὲ ἐξεδίδοτο δέκα ἐκ τοῦ τοὺς καρποὺς διεφθάρθαι· καὶ μὴν καὶ τῆς ἀμπέλου συν-

mniaque opera vestra grandine, nec tamen ad me convertebamini, inquit Dominus omnipotens. V. 18. *Itaque attendite animos vestros inde ab hoc die et deinceps a quarto et vicesimo noni mensis, et inde ab eo die quo aedis Domini fundamenta jacta sunt. In animos vestros inducite,* V. 19. *annon in area cognoscetur, annon viti et ficui et malogranato et oleis fructibus carentibus inde ab hoc die benedicturus sim.* Pristino ac antiquo, quum templum aedificandum negligerent, cum praesenti rerum statu comparato, ex quo huic operi incumbere inceperint, discrimen rerum circa eos gestarum declarare vult, et quantam ob neglectum suum sterilitatem, experti fuerint, quanta vero beneficia, ex quo ad templum aedificandum promtos se exhibuerint. Considerate igitur, inquit, priori tempore quae vobis acciderint, quum templum aedificandum nondum curaretis, tunc enim manipulos colligebatis, qui viginti satorum fructum efficere potuissent, vix vero decem faciebant, quod fructus interierant; nec

ελέγετε πρὸς πεντήκοντα μετρητῶν ἀρκοῦντα φορὰν, καὶ μόγις ἐκομίζεσθε εἴκοσι διὰ τὸ κἀκεῖνα ἐξηράνθαι τῷ ἀέρι. κἀγὼ μὲν ἐπήγαγον ὑμῖν πληγὰς ἀφορίας τε καὶ ἀνεμοφθορίας καὶ δὴ καὶ χαλάζῃ πάντας ὑμῶν ἠφάνισα τοὺς πόνους, ἐμένετε δὲ ἀκαμπεῖς καὶ πρὸς ἐκεῖνα. Ἀλλὰ ταῦτα μὲν πρὸ τούτου, φησίν· ἀναλογίσασθε δὲ ἐπ᾽ ἐκείνους οἷάπερ ὑμῖν ἀπὸ τῆς ἡμέρας ἐκείνης προσγέγονεν, ἐν ᾗπερ περὶ τὴν οἰκοδομὴν ἐσπουδάκατε τοῦ ναοῦ. εὑρήσετε γὰρ οὔτε τὸν τῆς ἅλωνος καρπὸν οὔτε τὸν τῶν δένδρων παραθέσει τῶν τότε ἐπιγνωσθῆναι δυνάμενον· πρότερον μὲν γὰρ ὑμῖν οὐδεὶς ἐξ αὐτῶν ἐδίδοτο καρπὸς, ἐξότε δὲ περὶ τὸν ναὸν ἐσπουδάσατε τὸν ἐμὸν πάντα εὐλογίας πληρώσας τὰ προσόντα ὑμῖν ἄφθονον ἔχειν ἐποίησα τῶν καρπῶν τὴν ἀπόλαυσιν.

non vitis proventum collegistis faciendis quinquaginta amphoris sufficientem, vix autem aderant viginti, quod etiam vites vento arefactae erant. praeterea etiam sterilitatis et uredinis plagam vobis inducebam, nec non grandine omnia quae colueratis prostrabam; at vel per ea flecti non poteratis. Haec vero antea, inquit: jam vero considerate, qualia vobis acciderint inde ab eo die, quo in templo aedificando studium posueritis. tunc enim neque agrorum neque arborum fructum cum istius temporis proventu comparari posse invenietis: nam prius prorsus nullum percipiebatis, ex quo vero templi mei curam geritis, omnibus favore meo prosperatis, ut uberem fructuum copiam habeatis, effeci.

Εἶτα τούτοις αὐτοὺς πάλιν προτρεψάμενος καὶ διεγείρας περὶ τὸ ἔργον τῇ τε μνήμῃ τῶν παλαιῶν καὶ τῇ παραθέσει τῶν ὕστερον, διὰ τὴν πενίαν ἀμφιβαλλοντας ἔτι τὴν οἰκείαν παραθαῤῥύνει πάλιν καί φησιν οὕτως·

Deinde, ubi eos rebus prioribus et posterioribus inter se comparatis admonuit et ad opus excitavit, eos, quum propter inopiam adhuc haesitarent, rursus erigit ita locutus.

κ΄. Καὶ ἐγένετο λόγος κυρίου ἐκ δεύτερου πρὸς Ἀγγαῖον τὸν προφήτην ἐν τῇ τετράδι καὶ εἰκάδι τοῦ μηνὸς λέγων· κα΄. Εἶπον πρὸς

V. 20. *Et denuo eodem vicesimo quarto mensis die factus est sermo Domini ad Haggaeum prophetam, ita dicens:* V. 21. *Loquere ad*

Ζοροβάβελ τὸν τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα· ἔτι ἅπαξ ἐγὼ σείω τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ τὴν ξηρὰν, κβ΄. καὶ καταστρέψω θρόνους βασιλέων καὶ ἐξολοθρεύσω δύναμιν βασιλέων τῶν ἐθνῶν, καὶ καταστρέψω ἅρματα καὶ ἀναβάτας, καὶ καταβήσονται ἵπποι καὶ ἀναβάται αὐτῶν ἕκαστος ἐν ῥομφαίᾳ πρὸς τὸν ἀδελφὸν αὐτοῦ. Τὰ αὐτὰ τοῖς προτέροις λέγει, τοῦτο γὰρ δηλοῖ τὸ Καὶ ἐγένετο λόγος κυρίου ἐκ δευτέρου πρὸς Ἀγγαῖον. καίτοιγε φαίνεται ἐν τοῖς ἀνωτέροις πολλάκις ἀποκάλυψίν τε θείαν δεξάμενος ὁ προφήτης καὶ κατὰ ταύτην διαλεχθεὶς τῷ λαῷ, ἀλλὰ τοῦτό φησιν ἐκ δευτέρου, ὅτι τὰ περὶ τοῦ Γὼγ νῦν πάλιν αὐτὸς ἐπαγγέλλεται, ἵνα μὴ διὰ τὸ μέγεθος ἀπιστῶσι τῷ λεγομένῳ, ἀναμφίβολον δὲ ἔχωσι τὴν γνώμην ἐκ τοῦ μὴ μόνον ἅπαξ, ἀλλὰ καὶ δεύτερον ἐπαγγείλασθαι αὐτὰ τὸν θεόν. Εἶπε γὰρ αὐτῷ, φησὶν, ὅτι μονονουχὶ συσσείσας ἅπαντα καταστροφὴν ἐργάσομαι πολλῶν βασιλέων θρόνοις βασιλικοῖς κοσμουμένων, τὴν δύναμίν τε πᾶσαν αὐτῶν ἀφανίζων καὶ καταστρέφων τὰ ἅρματα σὺν τοῖς ἀναβεβηκόσιν αὐτοῖς, ὥστε εἰς ἀλλήλους αὐτοὺς συμπεσόντας

Zorobabelem Salathielis filium de Judae tribu ita: denuo commovebo caelum et terram, mare et aridam. V. 22. *et evertam thronos regum et deperdam potentiam regum gentium, et evertam currus cum vectoribus, et descendent equi cum equitibus suis, quisque per gladium fratris sui.* Eadem atque antea dicit, quod significatur verbis: Denuo factus est sermo Domini ad Haggaeum. namque jam in prioribus saepius propheta divinam acceperat revelationem et ex ea populum allocutus erat, at nunc denuo eum Gogi casus iis dicere jubet, ne propter rei magnitudinem haesitent dubiaeque sint mentis, quia Deus non semel tantum sed denuo eadem annuntiavit. Dixit enim ei, inquit, omnibus fere commotis multorum efficiam regum thronis regiis ornatorum interitum, omnem eorum potentiam evertens currusque cum vectoribus suis perdens, adeo ut equi eorumque equites in se invicem incursantes invicem sibi evadant interfectores, multaque fiat caedes alio ab aliis enecato. Id vero faciam, ut inde clarum

τούς τε ἵππους καὶ τοὺς ἐπιβεβηκότας τῶν ἵππων ἀλλήλων γενέσθαι σφαγέας, καὶ πολὺν ἀποτελεσθῆναι τὸν φόνον, ἀναιρουμένων αὐτῶν ὑπ' ἀλλήλων. ὅπερ οὖν ἐργάσομαι ὥστε δῆλον ἐξ ἁπάντων γενέσθαι, ὅτι οὐ τῆς ὑμετέρας ἐστὶ χειρὸς ἔργον ἡ τροπὴ τοῦ πολέμου καὶ ἡ νίκη, ὑπὸ δὲ τῆς δυνάμεως ἀποτετέλεσται τὸ πᾶν τῆς ἐμῆς.

κγ'. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγει κύριος παντοκράτωρ, λήψομαί σε Ζοροβάβελ τὸν δοῦλόν μου, λέγει κύριος, καὶ θήσομαί σε ὡς σφραγίδα, ὅτι σε ἡρέτισα, λέγει κύριος παντοκράτωρ. Τότε δή σε, φησὶν, ὦ Ζοροβάβελ τῆς οἰκείας ἀξιώσας βοηθείας ἡγούμενον τοῦ Ἰσραηλιτικοῦ λαοῦ πάντων κρατῆσαι παρασκευάσω, ὥστε ἐξ αὐτῶν δῆλον γενέσθαι τῶν ἔργων, ὅτι ψήφῳ τῇ ἐμῇ βασιλεύς τε ᾕρησαι βεβαίως καὶ ἀρεσκείᾳ τῇ ἐμῇ εἰς τὴν ἀξίαν προκεχείρισαι ταύτην, παντὸς συνέντος ἂν ῥᾳδίως, ὅτι δυνηθῆναί σε ταῦτα οὐδαμῶς οἷόν τε ἦν, εἰ μὴ κατὰ γνώμην ἐμὴν τὸ βασιλεύειν ἔχων ἐμῇ τῇ ῥοπῇ καὶ τὴν τοσαύτην κατεπράξω νίκην. Ἐπειδὴ γὰρ ἡ σφραγὶς ἐπιτιθεμένη ἀσφάλειάν τινα τοῖς ἐμβαλλομένοις παρέχειν δοκεῖ, τοῦτο λέγει τὸ Θήσομαί σε ὡς σφραγίδα, ἀντὶ τοῦ, δείξω σε ἀσφά-

fiat, non vestrae manus opus esse nec fugam hostis nec victoriam vestram, sed mea potentia omnia haec contigisse.

V. 23. *Isto die, inquit Dominus omnipotens, te, Zorobabel, servum meum sumam, dicit Dominus, reddamque te sigillum, namque te elegi, inquit Dominus omnipotens.* Tunc, inquit, te, Zorobabel, meo auxilio dignatus, populi Israelitici principem, omnium praestabo dominum, ut ex rebus ipsis appareat, te meo sane decreto regem constitutum esse benevolentiaque mea ad hanc dignitatem electum. quivis enim facile perspiciet, te tanta perficere nequivisse, nisi a me ad regnum provectus fuisses, unde etiam tantam reportaveris victoriam. Quum enim sigillum impressum rebus intus repositis confirmationem quandam praebere videatur, Te sigillum reddam dicit pro eo, Confirmationem et comprobationem universo popu-

λειαν καὶ βεβαίωσιν ὄντα παντὸς τοῦ λαοῦ, ἅτε τοσούτων τῇ ἡγεμονίᾳ τυγχάνοντος τῇ σῇ, ἐπειδὴ ψήφῳ πρὸς τοῦτο ᾕρησαι τῇ ἐμῇ. Οὕτω καὶ ἐν τοῖς εὐαγγελίοις λέγει [1]· „Τοῦτον γὰρ ὁ πατὴρ ἐσφράγισεν ὁ θεὸς,“ ἀντὶ τοῦ, τοῦτον βεβαίως ἀπέδειξε πρόξενον ἅπασιν ἀνθρώποις τῶν μεγίστων ἀγαθῶν. καὶ ὁ μακάριος δὲ Παῦλος [2]· „Ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστὲ,“ ἀντὶ τοῦ, βεβαιοῦτέ μοι τὴν ἀποστολὴν ὑμεῖς οἱ πεπιστευκότες. τὸν αὐτὸν οὖν τρόπον κἀνταῦθα λέγει τὸ Θήσομαί σε ὡς σφραγίδα, ἀντὶ τοῦ, βεβαίαν ἀποδείξω τὴν βασιλείαν τὴν σὴν ἐπ᾽ ἀσφαλεῖ ἁπάντων τῶν οἰκείων ἀρεσκείᾳ προβεβλημένην τῇ ἐμῇ. Εἰκότως δὲ ἁπανταχοῦ κοινῇ πρός τε τὸν Ζοροβάβελ καὶ τὸν Ἰησοῦν διαλεγόμενος ἐνταῦθα πρὸς τὸν Ζοροβάβελ μόνον ἐποιήσατο τὸν λόγον, ἐπειδήπερ τοῦ πολέμου τὴν ἡγεμονίαν τῷ βασιλεῖ μάλιστα προσήκειν ἐχρῆν.

lo declarabo, per tuam curam tanta beneficia quod nactus sit, quia meo decreto ad id electus es. Ita etiam in evangeliis legimus: „Hanc enim pater obsignavit Deus;“ i. e. hunc firmiter declaravit omnibus hominibus maximorum bonorum auctorem. Et beatus Paulus, „Sigillum apostolici mei muneris vos estis,“ i. e. vos, qui credidistis, apostolicam dignitatem mihi comprobatis. Eodem modo etiam hic dicit, Sigillum te reddam, i. e. firmum imperium tuum declarabo ut meo consilio ad tuendos meos familiares institutum. Hucusque autem merito Zorobabelem et Josuam communiter allocutus, hoc loco ad solum Zorabab elem dirigit sermonem, quum belli ducem esse regem potissimum deceret. —

[1]) Joh. VI, 27. — [2]) I Cor. IX, 2.

ʽΕΡΜΗΝΕΙΑ ΖΑΧΑΡΙΟΥ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.[1])

COMMENTARIUS IN ZACHARIAM PROPHETAM.

ΠΡΟΟΙΜΙΟΝ.

αʹ. Κατὰ τὸν αὐτὸν καιρὸν Ἀγγαίῳ τῷ προφήτῃ δῆλός ἐστι καὶ ὁ μακάριος προφητεύων Ζαχαρίας. ἐν ἔτει γὰρ δευτέρῳ Δαρείου, καθὼς ἐξ αὐτῆς ἐστὶ μαθεῖν τῆς θείας γραφῆς, ἐκεῖνός τε κατὰ ἀποκάλυψιν θείαν ἄρξασθαι λέγει τῆς προφητείας καὶ μὴν καὶ οὗτος ὁμοίως, ὡς μετὰ τὴν ἐπάνοδον τοῦ Ἰσραηλιτικοῦ λαοῦ ἀπὸ Βαβυλῶνος εἰς τὴν Ἰουδαίαν ἐπαχθέντος ἀμφοτέρους προδήλως φαίνεσθαι ποιουμένους τὴν προφητείαν. Κύρου γὰρ, τοῦ πρώτου Περσῶν τε καὶ Μήδων κατὰ ταὐτὸν βασιλεύσαντος, ἐπανελθεῖν εἰς τὴν οἰκείαν ἐπιτρέψαντος χώραν, ἀνελήλυθε μὲν πλῆθος εἴς τε τὴν Ἱερουσαλὴμ καὶ τὴν Ἰουδαίαν οὐκ ὀλίγον, ἡγουμένου τοῦ Ζοροβάβελ,

PRAEFATIO.

1. Sub idem tempus, quo beatus Haggaeus in prophetis versabatur, beatum etiam Zachariam vaticinium suum cecinisse, compertum est. Namque anno Darii secundo, ut ex ipsis cognoscere licet divinis litteris, ait ille se post acceptam revelationem initium facere prophetandi, et hic similiter. Quare post reditum Israelitici populi, qui Babylone in Judaeam se recepit, prorsus constat utrumque prophetiam edere. Quum enim Cyrus, qui primus Persis simul et Medis imperitavit, reverti in patriam Judaeis concessisset, non exigua vis populi Hierosolymam et in Judaeam regressa est,

[1]) Cf. Maji coll. nov. I. pag. 49—55; qui praefationem cum commentario ad I, 1—9. recudi curavit.

οἳ δὲ τοὺς θεμελίους κατεβάλοντο τοῦ ναοῦ καὶ τὸ θυσιαστήριον ἀνήγειραν ἐν αὐτῷ. Ὡς δὲ τὸ ἔργον ἀχθῆναι πρὸς πέρας ἐκωλύετο νῦν μὲν διὰ τὴν τῶν ἐνοχλούντων αὐτοῖς κακίαν, αὖθις δὲ διὰ τὴν αὐτῶν ἐκείνων ῥαθυμίαν, Ἀγγαῖος μὲν ὁ μακάριος προφήτης κατὰ θείαν ἀποκάλυψιν ἐμέμψατό τε αὐτοῖς περὶ τῆς ῥαθυμίας καὶ μοχθηρίᾳ γνώμης ἀμελοῦντας ἐλέγξας τοῦ ἔργου, ἀφ᾽ ὧν περὶ μὲν τοὺς ἑαυτῶν ἐσπούδαζον οἴκους, ὅπως ἂν αὐτοὺς μὴ ποιοῖεν μόνον ἀλλὰ καὶ μετὰ πολλῆς ἐργάζοιντο τῆς εὐπρεπείας, τοῦ δὲ οἴκου κατεμέλουν τοῦ θείου, διήγειρεν ἅπαντας ἐπὶ τὸ ἔργον, ὡς αὐτὴ δείκνυσιν ἡ τοῦ προφήτου βίβλος.

duce Zorobabele. Atque hi reduces fundamenta templi jecerunt et in eo altare excitaverunt. Sed postquam opus impediri coeptum est partim molestorum hostium malitia partim ipsa Judaeorum desidia, tunc beatus Haggaeus propheta divina instinctus revelatione segnitiem illorum objurgabat, atque operis neglectum vecordiae eorundem imputabat, qui privatos quidem lares non solum sedulo exstruebant verum omni quoque elegantia exornabant, Dei vero habitaculum negligebant; et sic omnes ut instarent operi perurgebat; quam rem ipse prophetae liber demonstrat.

β΄. Ζαχαρίας δὲ ὁ μακάριος κατὰ ἀποκάλυψιν θείαν καὶ αὐτὸς ὁμοίως βεβαιοῖ μὲν ταῖς οἰκείαις προῤῥήσεσι τὴν ἐπάνοδον τοῦ λαοῦ, πιστοῦται δὲ τὸ καὶ τὴν Ἱερουσαλὴμ ἐπὶ τῆς οἰκείας ἔσεσθαι πάλιν εὐπρεπείας βασιλέως τε ἐν αὐτῇ τοῦ κατὰ θείαν γεγενημένου ψῆφον καὶ τῆς ἐκεῖθεν ἠξιωμένου ῥοπῆς διέποντός τε τὰ κατ᾽ αὐτὴν καὶ προμαχοῦντος ἁπάντων εἰς τοὺς κατὰ τῶν ἀλλοτρίων πολέμους τῆς ἱερωσύνης τε πάλιν μετὰ τῆς παλαιᾶς φαιδρότητος τὸν οἰκεῖον ἀπολαβούσης κόσμον, ὡς ἂν διὰ τού-

2. Jam beatus pariter Zacharias divina accepta revelatione, suis item praedictionibus confirmat populi reditum, fidemque insuper facit, fore ut rursus urbs Hierosolyma suum decus recuperet, rege ibi divina sententia electo caelestique gratia instructo, ita ut et urbem gubernet et exterorum hostium bellis resistat: denique ait, sacerdotium denuo cum vetere splendore dignitatem suam recepturum. Atque ita reducibus quoque firmam

των καὶ τοὺς ἀνεληλυθότας πείσειεν, βεβαίαν αὐτοῖς ἐσομένην ἡγεῖσθαι τὴν ἐπὶ τῶν τόπων οἴκησιν, περὶ ἧς εἰκὸς ἦν αὐτοὺς καὶ ἐπανεληλυθότας ἀμφίβολον ἔτι τὴν γνώμην ἔχειν, εἰ μενοῦσι βεβαίως εἴτε διὰ τὴν γεγενημένην βαρύτητα τῆς αἰχμαλωσίας, ἣν οὐκ ἄν ποτε ἤλπισαν ὑπομένειν, εἴτε καὶ διὰ τὸ τῆς ἐπανόδου παράδοξον, — καὶ δὴ καὶ ἑτέρους τῶν ἐπὶ τῆς αἰχμαλωσίας ὄντων ἔτι διδάξειεν εἰς τὴν Ἰουδαίαν ἐπανελευσομένους, ὃ δὴ μάλιστα καὶ τοῖς ἀνελθοῦσι τοῦ βεβαίου τῆς ἐπανόδου πίστις ἐγίνετο.

γ'. Φαίνεται δὲ πολλάς τινας καὶ διαφόρους ἀποκαλύψεις βλέπων, ὧν ἑκάστης τὴν δύναμιν ἐξηγεῖται. μηνύει δὲ καὶ τῶν περὶ τὸν Γὼγ τὴν ἔφοδον, τήν τε ἀπώλειαν αὐτῶν ἐσομένην παντελῶς, καὶ ὅτι παραδόξως καὶ παρὰ πᾶσαν ἀνθρωπίνην ἐλπίδα κρατήσουσιν αὐτῶν Ἰουδαῖοι ὑπὸ τῷ Ζοροβάβελ βασιλευόμενοί τε καὶ στρατηγούμενοι. μέμνηται δὲ καὶ τῶν μετ' ἐκεῖνο προσεσομένων αὐτοῖς λυπηρῶν, ἃ κατὰ τοὺς τῶν Μακκαβαίων αὐτοῖς ἐγένετο χρόνους ὑπὸ τῶν διαδόχων τῆς Μακεδονικῆς βασιλείας. Θαυμάζειν δὲ οὐ προσῆκεν, εἴ τινα καὶ γεγονότα ἤδη ὡς ἐσόμενα δι' ἀποκαλύψεως δηλοῖ, ὡς ὅταν λέγῃ, ὅτι τέσσαρα κέρατα διασκορπί-

fore in patria stationem suadebat. namque adhuc dubitare eos verisimile erat, utrum domi essent mansuri necne, sive propter acerbam captivitatem, quam nunquam se perpessuros putavissent, sive propter ipsius reditus mirum prodigium. Denique etiam reliquos, qui adhuc in captivitate versabantur, redituros spondebat; quae res inprimis stabile fore postliminium his, qui jam redierant, testimonii loco erat.

3. Videtur autem complures diversasque revelationes vidisse, quarum singillatim vim enarrat. Significat etiam bellicam Gogi incursionem, ejusque futuram internecionem, quippe cujus vires Judaei praeter omnem spem debellaturi erant, rege Zorobabele ac duce. Mala quoque his superventura memorat, quae Maccabaeorum aetate a Macedonici imperii successoribus contigerunt. Neque est mirandum, si qua jam praeterita tamen instar rei futurae in revelatione ostenduntur: veluti quum quatuor cornua, quae Israelem disperserant, confracta vidit

σαντα τὸν Ἰσραὴλ εἶδε συντριβόμενα· ταῦτα γὰρ εὔδηλον ὅτι οὐκ ἔσεσθαι ἤμελλον, ἀλλ' ἐγεγόνει. εἰ μὲν γὰρ τὸν Ἀσσύριον καὶ Βαβυλώνιον καὶ Μῆδον καὶ Πέρσην σημαίνει διὰ τῶν τεσσάρων, κεράτων, ὡς ὁ ἐνίων βούλεται λόγος πρόδηλον μὲν, ὅτι καὶ Βαβυλώνιοι δεδώκεσαν ἤδη δίκας κατὰ τὸν καιρὸν ἐκεῖνον. Μήδους δὲ Κῦρος καθεῖλε, μεθ' ὃν τέταρτος γέγονε Δαρεῖος· παρὰ Περσῶν δὲ οὐδὲ γέγονέ τι χαλεπὸν τοῖς Ἰσραηλίταις, τοὐναντίον μὲν οὖν εὖ ὑπὸ τῆς βασιλείας ἔπαθον ἐκείνης, πρότερον μὲν αὐτοὺς Κύρου τοῦ πρώτου βασιλεύσαντος ἀφέντος τῆς αἰχμαλωσίας, μετ' ἐκεῖνο δὲ Δαρείου τοῖς λοιποῖς τῶν Ἰουδαίων τοῦ ἀνελθεῖν εἰς τὰ οἰκεῖα παρασχόντος τὴν ἄδειαν. Εἰ δὲ καὶ ἕτερά τις βούλοιτο σημαίνεσθαι τὰ τέσσαρα κέρατα κακῶς διατεθεικότας τοὺς Ἰσραηλίτας ἐπὶ τοῦ τῆς αἰχμαλωσίας καιροῦ, πρόδηλον ὅτι κἀκεῖνα πέρας εἰλήφει. ἀλλ' ἔοικεν ὁ προφήτης τῶν τοιούτων διὰ τοῦτο μνημονεύειν [1]), ὡσὰν καὶ τῆς θείας χάριτος διὰ τοῦτο νῦν αὐτῷ τοῦτο δεικνυούσης, ἵν' ἐκ τῆς ἀποκαλύψεως τῆς θείας αὐτός τε βεβαίαν ἔχῃ τῶν γεγονότων τὴν πίστιν, καὶ τοὺς ἀκούοντας δὲ ἀκριβῶς πεπεῖσθαι δι-

propheta; namque haec non futura fuisse sed jam peracta compertum est. Sive enim Assyrios, Babylonios, Medos, Persasque his quatuor cornibus innuit, ut nonnullorum fert opinio, satis constat, Assyrios ac Babylonios ante id tempus poenas luisse. Medos item imperio a Cyro spoliatos scimus, post quem reliquus est quartus Darius. Porro a Persis nihil molestum accidit Israelitis, imo omnia secus ab istorum regno experti sunt, Cyro primum imperii auctore captivitatem solvente, deinde Dario Judaeis reliquis, ut in patriam redirent, largiente. Quodsi quis aliud quid his quatuor cornibus, quae Israelitis captivitatis tempore nocuerunt, significari arbitratur, constat id quoque jam finem fecisse. Sed videtur propheta idcirco horum meminisse (divina scilicet gratia ob id ipsum haec eadem ei demonstrante) ut a coelesti revelatione certum ipse rerum peractarum testimonium acciperet, suosque auditores omnino certiores faceret de decreta inimicis

[1]) Verba διὰ τοῦτο μνημονεύει desunt in cod.

δάσκῃ, ὅτι μένει μὲν ἡ τῶν λελυπηκότων αὐτοὺς τιμωρία, μένει δὲ καὶ αὐτοῖς βέβαια τὰ τῆς δοθείσης εὐεργεσίας. εἴρηται δὲ ταῦτα ἡμῖν οὐχ ἁπλῶς, ἀλλ᾿ ἵνα μὴ ἐπὶ τῆς κατὰ μέρος ἑρμηνείας ὁρῶντές τινα μηνυόμενα ὡσὰν ἐσόμενα ἃ γέγονεν ἤδη θαυμάζωμεν ἢ διαπορῶμεν περὶ τοῦ σχήματος τοῦ λεγομένου.

Τὰ μὲν δὴ τῆς ὑποθέσεως ἐν τούτοις, κατὰ μέρος δὲ προσεκτέον λοιπὸν, καθὼς ἂν ἡ θεία χάρις διδῷ.

Κεφάλαιον Α'.

α'. Ἐν τῷ ὀγδόῳ μηνὶ ἔτους δευτέρου ἐπὶ Δαρείου ἐγένετο λόγος κυρίου πρὸς Ζαχαρίαν τὸν τοῦ Βαραχίου, υἱὸν Ἐδδὼ τὸν προφήτην λέγων. Τὸν μὲν χρόνον ἐδήλωσεν ἐν τούτοις, καθ᾿ ὃν ἠξιώθη τῆς ἀποκαλύψεως τῆς θείας. τίνα δὲ, ἅπερ ἐκελεύσθη πρὸς τὸν λαὸν εἰπεῖν, ἑξῆς ἐπάγει.

β'. Ὠργίσθη κύριος ἐπὶ τοὺς πατέρας ὑμῶν ὀργὴν μεγάλην. Πρέπον τῷ καιρῷ τὸ προοίμιον ἐποιήσατο ὁ προφήτης. ἐπειδὴ γὰρ νεαρὰν καὶ ἔναυλον τῶν τῆς αἰχμαλωσίας κακῶν εἶχον τὴν μνήμην, ἄρτι τε αὐτῆς ἀπαλλαγέντες καὶ εἰς τὰ οἰκεῖα ἐπανελθεῖν δυνηθέντες, εἰκότως πρὸ παντὸς λόγου τῆς συμ-

eorum poena et de beneficii impetrati constantia. Atque haec ego non temere praefatus sum, sed ut dum in cursu interpretationis quaedam forte ceu futura occurrent, quae jam evenerunt, ne miremur, neque de rei, quae dicitur, oblata specie ambigamus.

De prophetiae argumento hactenus. Superest, ut res singulas, prout divina gratia concessit, persequamur.

Caput I.

V. 1. *Octavo mense anni secundi imperante Dario, factus est sermo Domini ad Zachariam Barachiae, Eddonis filium, prophetam, dicens.* His verbis tempus significat, quo divina revelatione dignus habitus est, deinceps vero addit, quae ad populum loqui jussus fuit.

V. 2. *Grandi ira adversus parentes vestros iratus est Dominus.* Congruum tempori exordium fecit propheta; nam quia recentem adhuc atque praesentem malorum in captivitate exantlatorum retinebant memoriam, quippe qui vix eam depulerant vixque lares suos recu-

φορᾶς αὐτοὺς ὑπομιμνήσκει τῆς ἀρτίως γεγενημένης, ὡς ἂν τῇ μνήμῃ τῶν γεγονότων φυλάττοιντο εἰς πεῖραν τῶν αὐτῶν καταστῆναι πάλιν. ἴστε γὰρ, φησὶν, ὀργισθεὶς ἡλίκην τοῖς πατράσι τοῖς ὑμετέροις ἐπήγαγον τιμωρίαν οἵων τε αὐτοὺς διὰ τὴν ἀπείθειαν ἐν πείρᾳ κατέστησα τῶν κακῶν, ἀφελὼν μὲν τῆς γῆς τῆς οἰκείας, ἀπαγαγὼν δὲ αἰχμαλώτους εἰς γῆν ἀλλοτρίαν, ἣν οὔπω πρότερον εἶδον.

perare potuerant, merito antequam aliud dicat calamitatem iisdem refricat, quam nuper perpessi fuerant, ut nimirum praeteritorum malorum memores caverent admodum ne in eadem rursus inciderent. Nostis, inquit Deus, quantas ego iratus parentibus vestris poenas imposuerim, quantisque adversitatibus propter suam contumaciam eos obruerim, patria spoliatos, in alienamque regionem, quam numquam viderant, serviliter abactos.

γ'. Καὶ ἐρεῖς πρὸς αὐτοὺς, τάδε λέγει κύριος παντοκράτωρ· ἐπιστρέψατε πρὸς μὲ, λέγει κύριος δυνάμεων, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει κύριος δυνάμεων, δ'. καὶ μὴ γίνεσθε καθὼς οἱ πατέρες ὑμῶν, οἷς ἐνεκάλουν αὐτοῖς οἱ προφῆται οἱ ἔμπροσθεν λέγοντες, τάδε λέγει κύριος παντοκράτωρ, ἀποστρέψατε δὴ ἀπὸ τῶν ὁδῶν ὑμῶν τῶν πονηρῶν καὶ ἀπὸ τῶν ἐπιτηδευμάτων ὑμῶν τῶν πονηρῶν, καὶ οὐκ ἤκουσαν καὶ οὐ προσέσχον τοῦ εἰσακοῦσαί μου, λέγει κύριος παντοκράτωρ. Ἀλλὰ νῦν γοῦν ἀποστάντες τῆς μιμήσεως τῶν πατέρων τῶν οἰκείων

V. 3. *Dicesque eis, haec ait Dominus omnipotens: revertimini ad me, dicit dominus virtutum, et ego convertar ad vos, dicit Dominus virtutum.* V. 4. *Neque fiamini ut patres vestri, quos reprehendebant superiores prophetae, dicentes: haec ait Dominus omnipotens, recedite a viis vestris malis. illi tamen mihi non obediverunt, neque meis verbis aurem praebuerunt, ait Dominus omnipotens.* Nunc ergo omissa imitatione majorum vestrorum ad me respicite, meisque dictis ac monitis erecto oculo attendite, ut ego quoque vos respiciam, vestrique curam libenter geram. Ne

πρὸς μὲ ἀποβλέψατε, καὶ πρὸς τὰ παρ᾽ ἐμοῦ λεγόμενα ὑμῖν καὶ συμβουλευόμενα τεταμένον ἔχετε τὸ ὄμμα, ὡς ἂν καὶ αὐτὸς ἐφορᾷν ὑμῖν καὶ δι᾽ ἐπιμελείας ἔχειν τὰ καθ᾽ ὑμᾶς ἑλοίμην, φυλάξασθε δὲ πᾶσαν μίμησιν τὴν πρὸς τοὺς ὑμετέρους, οἳ πολλὴν καὶ συχνὴν παρὰ τῶν προφητῶν τῶν πρότερον γενομένων συμβουλὴν δεξάμενοι καὶ παραίνεσιν, ὥστε τῆς κακίας ἀποτραπῆναι τῆς οἰκείας καὶ κερδάναι τὴν ὑπὲρ τῶν κακῶς πεπραγμένων αὐτοῖς τιμωρίαν, οὔτε προσέχειν οὔτε λόγον τινὰ ποιεῖσθαι τῶν διδασκόντων ἐβούλοντο.

patres vestros imitemini vehementer cavete, qui quum diu multumque a priscis prophetis admoniti fuissent atque exorati, quo scilicet a sua pravitate recederent, atque ita impendentem criminibus suis poenam effugerent, neque auscultare voluerunt, neque ullam admonentium rationem habere.

ε΄. Οἱ πατέρες ὑμῶν ποῦ εἰσι; καὶ οἱ προφῆται μὴ εἰς τὸν αἰῶνα ζήσονται; ϛ΄. πλὴν τοὺς νόμους μου καὶ τὰ νόμιμά μου δέχεσθε, ὅσα ἐγὼ ἐντέλλομαι ἐν πνεύματί μου τοῖς δούλοις μου τοῖς προφήταις, οἳ κατέλαβον τοὺς πατέρας ὑμῶν. Καίτοιγε καλῶς ἂν ἔχοι κἀκεῖνο ὑμᾶς συλλογίσασθαι, ὅτι οὔτε οἱ πατέρες ὑμῶν εἰσιν ἔτι οὔτε οἱ προφῆται, προκατελάβετο δὲ κἀκείνους καὶ τούτους ὁ κοινὸς τῆς φύσεως θάνατος, ἐπὶ πλεῖστον ἐκτεταμένην ἔχειν τὴν οἰκείαν ζωὴν οὐκ ἐῶν. ἀλλ᾽ οἱ μὲν ἀπεληλύθασι τὴν ἐκ τῆς ἀπειθείας δεξάμενοι τιμωρίαν, οἱ προφῆται δὲ καὶ παυσάμενοι τοῦ

V. 5. *Patres vestri ubinam sunt? et prophetae num semper vivent?* V. 6. *Eia meos sermones legemque meam excipite, quidquid ego videlicet praecipio in spiritu meo servis meis prophetis, qui patres vestros comprehenderunt.* Profecto aequum est, vos reputare, quod neque patres vestri jam supersint, neque prophetae; nam et hos et illos communis naturae interitus intercepit, quominus vitam diutius propagarent. Et illi quidem e vivis excesserunt contumaciae suae poenam experti; prophetae autem, etsi hujus vitae finem fecerunt, nihilo-

παρόντος βίου τῶν οἰκείων ῥημάτων ἔργοις ἐπέδειξαν τὴν ἀλήθειαν, ἐπεὶ καὶ τετελευτηκότων αὐτῶν οὐδὲν ἧττον ἅπερ εἶπον εἰς πέρας ἐξήγετο, ἅτε κατ᾽ ἐμὴν εἰρημένα γνώμην· πρὸς δὴ τούτους ἀφορῶντας προσήκοι ἂν μὴ πάρεργα ποιεῖσθαι τὰ παρ᾽ ἐμοῦ διὰ τῶν προφητῶν λεγόμενα, δέχεσθαι δὲ πάντα. ὅσαπερ ὑμῖν διὰ πνευματικῆς λέγουσι τῆς χάριτος, ἐπεὶ μήτε ψευσθῆναι οἷόν τέ τι τῶν λεγομένων παρ᾽ αὐτῶν, μήθ᾽ ὑμῖν ἀκίνδυνον ἀμελεῖν ἐθέλουσι τῶν παρ᾽ αὐτῶν λεγομένων. — Ἐπὶ[1]) δὴ τούτοις εἰκότως κατανυγέντες τοῖς ῥήμασιν οἱ τοῦ λαοῦ, ἅτε τῶν πραγμάτων τῇ τῶν λεγομένων ἀληθείᾳ μαρτυρούντων αὐτάρκως, ἀπόκρισιν ἐποιήσαντο σαφῆ τῆς εὐγνωμοσύνης ἑαυτῶν παρεχόμενοι τὴν ἀπόδειξιν· Καὶ ἀπεκρίθησαν γάρ, φησίν, καὶ εἶπον· καθὼς παρατέτακται Κύριος παντοκράτωρ τοῦ ποιῆσαι ἡμῖν κατὰ τὰς ὁδοὺς ἡμῶν καὶ κατὰ τὰ ἐπιτηδεύματα ἡμῶν, οὕτως ἐποίησεν ἡμῖν. Τὸ παρατέτακται παρετέτακτο λέγει. οὐ γὰρ περὶ παρόντων διαλέγεται ἀλλὰ περὶ τῶν γεγονότων ἤδη. Ὁμολογοῦμεν, φησίν, ὅτι οἷάπερ ὁ Θεὸς ἀπεφήνατο γενέσθαι περὶ

minus verborum suorum veritatem factis comprobaverunt, quandoquidem vel ipsis mortuis vaticinia suum exitum aeque habuerunt; quia haec nimirum me jubente edita fuerant. His exemplis monitos ea, quae prophetae meo nomine ajunt, non parvi pendere decet, imo his auscultare, quae spiritali gratia commoti loquuntur; nam neque dicta ab iis irritari queunt, neque vobis dictorum neglectus vacare periculo potest. — His verbis compunctus populus, quorum veritati locuples facta testimonium dabant, sic respondit, ut docilitatem animorum suorum manifestam faceret. *Responderunt, inquit, atque dixerunt: sicuti disposuit Dominus omnipotens facere nobis secundum vias nostras, et secundum studia nostra, sic fecit nobis.* Verbum *disposuit* pro *disposuerat* positum est; etenim haud de praesenti, sed de praeterita re sermo est. Fatemur, inquit, quae Deus nobis eventura portenderat congruo facinoribus nostris decreto, ea nos revera expertos fuisse: qua-

1) Cod. ἐπεὶ male.

ἡμᾶς ἀνάλογον οἷς ἐπράττομεν ἐκβαλὼν τὴν ἀπόφασιν, τοιαῦτα δὴ καὶ πεπόνθαμεν, ὥστε σφόδρα ἡμᾶς πεπεῖσθαι, ὅτι ἀναντίῤῥητος τῶν παρὰ θεοῦ λεγομένων ἡ ἀλήθεια, καὶ οὐκ ἀκίνδυνον ἡμῖν ἀμελεῖν βουλομένοις τῶν παρ' αὐτοῦ λεγομένων. —

Τούτων οὕτως εἰρημένων ἀποκάλυψιν λοιπὸν ὁ προφήτης διηγεῖται δειχθεῖσαν αὐτῷ παρὰ τοῦ θεοῦ, ἀφ' ἧς αὐτός τε ἀκριβῆ τῶν περὶ τὸν λαὸν ἀγαθῶν τὴν πίστιν ἐλάμβανε καὶ τοῖς ἀκούουσι θαῤῥούντως εὐηγγελίζετο τὰ φαινόμενα. λέγει δὲ οὕτως.

ζ. Τῇ τετράδι καὶ εἰκάδι τῷ ἑνδεκάτῳ μηνί· οὗτός ἐστιν ὁ μὴν Σαβὰτ, ἐν τῷ δευτέρῳ ἔτει ἐπὶ Δαρείου ἐγένετο λόγος Κυρίου πρὸς Ζαχαρίαν τὸν τοῦ Βαραχίου, υἱὸν Ἐδδὼ, τὸν προφήτην, λέγων. Τὸ ἐγένετο λόγος κυρίου, ἀντὶ τοῦ, ἀποκαλύψεως ἠξιώθην θείας, ὅθεν τὴν ἀποκάλυψιν λέγων λοιπόν, η'. Ἑώρακα, φησὶ, τὴν νύκτα. Οὐ γὰρ ὁ λόγος τοῦ κυρίου, οὐδὲ κύριος ἤμελλε λέγειν ἑώρακα τὴν νύκτα, ἀλλὰ δηλονότι ὁ προφήτης φησὶ δι' ἐκείνου τοίνυν δηλώσας ἀποκάλυψιν αὐτῷ γεγενῆσθαι θείαν, ἐν τούτοις τὴν ἀποκάλυψιν τίς ἐστι διηγεῖται. διὸ λέγει ἑώρακα τὴν νύκτα ἀντὶ τοῦ εἶδον ἀποκάλυψιν

re vehementer nobis persuasum est, dictorum divinorum veritatem esse certissimam, neque impune dicta ejus a nobis negligi posse.

Haec elocutus revelationem deinceps propheta narrat sibi a Deo oblatam, ex qua cum ipse non dubiam publicae felicitatis confirmationem percepit, tum fidenter auditoribus visa nuntiavit. Sic autem ait.

V. 7. *Die vigesima quarta mensis undecimi, qui dicitur Sabat, secundo Darii anno, sermo Domini factus est ad Zachariam Barachiae filium, filium Eddonis, prophetam, dicens:* Sermonem Domini factum esse quum dicit, se divina revelatione dignum habitum esse significat. Unde deinceps eam revelationem ubi recitat, V. 8. *Noctem*, inquit, *vidi.* Neque enim vel sermo Domini vel Dominus dicturus erat, noctem vidi; sed heic loqui prophetam constat; igitur postquam ait, divinam sibi accidisse revelationem, quaenam ista fuerit pergit dicere. ait ergo; *noctem vidi* pro *hanc*

τοιάνδε. Εἶτα καὶ λέγει τοιαύτην ἥτις ἐστίν. Καὶ ἰδοὺ ἀνὴρ ἐπιβεβηκὼς ἵππον πυῤῥὸν, καὶ οὗτος εἱστήκει ἀναμέσον τῶν ὀρέων τῶν κατασκίων, καὶ ὀπίσω αὐτοῦ ἵπποι πυῤῥοὶ, καὶ ποικίλοι καὶ λευκοί. θʹ. καὶ εἶπον, τί οὗτοι, κύριε; Καὶ εἶπε πρὸς μὲ ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ, ἐγὼ δείξω σοι, τί ἐστι ταῦτα[1]. *ιʹ. καὶ ἀπεκρίθη ὁ ἀνὴρ ὁ ἐφεστηκὼς ἀναμέσον τῶν ὀρέων καὶ εἶπε πρὸς μὲ, οὗτοί εἰσιν οὓς ἐξαπέστειλε κύριος περιοδεῦσαι τὴν γῆν. ιαʹ. Καὶ ἀπεκρίθησαν τῷ ἀγγέλῳ κυρίου τῷ ἐφεστῶτι ἀναμέσον τῶν ὀρέων καὶ εἶπον, περιοδεύσαμεν τὴν γῆν πᾶσαν καὶ ἰδοὺ πᾶσα ἡ γῆ κατοικεῖται καὶ ἡσυχάζει. Εὔδηλον ὅτι πάντα δὴ τὰ τῷ προφήτῃ δειχθέντα γνωρίσματά τινων ὑπῆρχε πραγμάτων. ὡς γὰρ ὁ Ἰωσὴφ εἶδε δράγματα καὶ ἥλιον καὶ σελήνην καὶ ἀστέρας, ἕκαστον δὲ τούτων πράγματός τινος*

revelationem conspexi. Mox ejus rei rationem edisserit. *Et ecce, vir equo rufo insidens. hic in montium umbrosorum medio stabat. post eum equi rufi et varii et albi.* V. 9. *dixique, quinam isti sunt, Domine? dixitque mihi angelus, qui mecum loquebatur, ego tibi declarabo hanc rem, quidnam sibi velit.* V. 10. *Responditque vir ille qui inter medios montes constiterat, dixitque mihi: hi sunt quos misit Dominus ad perlustrandam terram.* V. 11. *Porro responderunt angelo Domini, qui in mediis montibus stabat, dixeruntque: terram universam perambulavimus, et ecce universa terra habitatur et quiete fruitur.* His ostensis prophetae oblatis significari facta nonnulla nemo non videt. Nam sicuti Josephus manipulos vidit, et solem et lunam et astra, quae singula facti alicujus significationem habebant; itemque Pharao spicas et boves partim crassas par-

[1]) Hoc loco in cod. nota adscripta est sensus subobscurioris vel potius corrupti textus. *Ἀφρὸν καὶ ἀγροῖκα! εἰ μὴ ἐκάθευδον καὶ ἀνύπαρκτα ὄνειρα ἔβλεπον ἐκ Μελχὸμ ἢ διαθέσει* (f. l. *ἐκάθευδεν καὶ ἀνύπαρκτα ὄνειρα ἔβλεπεν ἐκ Μελχὸμ ἢ διαβόλου*), *πάντως περὶ πραγμάτων αὐτοὶ οἱ λόγοι. ἀλλ' ὁ ἑρμηνεύων οὐ τοῦτο σκοπεῖ πρόδηλον ὂν,* [*ἀλλὰ*] *περὶ ποίου, καὶ τί τὸ πρᾶγμα ὃ σημαίνει ὁ λόγος.*

ἐσομένου δήλωσιν εἶχε, καὶ ὁ Φαραὼ σταχύας τε καὶ βόας τοὺς μὲν εὐπαθεῖς τοὺς δὲ λεπτοὺς, ἦν δὲ καὶ ἐν τούτοις ἕτερα τὰ ἐκ τῶν δεικνυμένων σημαινόμενα, τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ προφήτης ταῦτα μὲν δι' ἀποκαλύψεως ὁρᾷ θείας, ἕκαστον δὲ τῶν δεικνυμένων αὐτῷ σημεῖόν τι καὶ δήλωσιν πράγματος εἶχεν. Οὕτω καὶ ὁ μακάριος Πέτρος εἶδε σινδόνα ἀπ' οὐρανοῦ καταφερομένην μεστὴν παντοδαπῶν ζώων καθαρῶν τε καὶ ἀκαθάρτων, τὰ φαινόμενα δὲ ἑτέρων τινῶν δήλωσιν εἶχε. τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ μακάριος Ζαχαρίας τὴν ἀποκάλυψιν διηγούμενος λέγει πρὸ τῶν ἄλλων, ὅτι ἄνδρα εἶδεν ἐπὶ ἵππον ἐπιβεβηκότα πυῤῥόν, ὡς ἀναμέσον εἱστήκει τῶν κατασκίων. Πολλῆς δὲ πλάνης καὶ ἀνοίας ἐστὶ μεστὸν καὶ οὐδὲ ἀσεβείας ἀφεστὼς[1]) *τὸ παρά τινων λεγόμενον ὅτι τὸν υἱὸν ἑώρα τοῦ θεοῦ, δηλοῦ γε ὄντος*[2]), *ὅτι τῶν πρὸ τῆς τοῦ δεσπότου Χριστοῦ παρουσίας οὐδεὶς ἠπίστατο πατέρα καὶ υἱὸν οὐ πατέρα θεὸν υἱοῦ*

tim exiles, quae pariter certum quid aliud innuebant; eodem modo etiam propheta res, quas diximus, divina revelatione spectat, sed tamen singula ostenta facti alicujus indicium adferebant. Sic etiam beatus Petrus sindonem vidit coelo demissam omnis generis belluis tum mundis tum etiam immundis plenam, quae visio aliud quid designabat. Hoc pacto Zacharias quoque propheta revelationem suam proponens, ait inprimis se virum vidisse equo rufo insidentem, qui in medio umbrosorum montium constiterat. Multi vero erroris et insipientiae plenum nec ab impietate alienum est, quod nonnulli dixerunt, prophetam Dei vidisse filium. In aprico enim est, neminem eorum, qui ante Christi Domini adventum scripsere viri sacri, patrem et filium scivisse, nempe non Deum patrem ut patrem Dei filii, nec filium Deum ut filium Dei patris ejusdemque naturae atque Deum patrem

[1]) Leg. *ἀφεστός*.

[2]) In margine codicis haec adscripta sunt. *Ἀνουστά· τε καὶ τῷ ὄντι πλάνη! Οὐχ ὅτι οὐκ ἐγίνωσκον πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, διὰ τοῦτο οὐκ ἐχρήσαντο ταῖς ὀνομασίαις, ἀλλ' ὅτι οὐ δυνατοὶ ταῦτα ἀκούειν, πρὸς οὓς ἔλεγον. διὰ τοῦτο ἄλλαις ὀνομασίαις ἴσαις τούτων ἐχρῶντο τὰ αὐτὰ δυνάμενα· ἐπεὶ πόθεν ἔγνωμεν τὸν θεὸν ἐν τρισὶ προσώποις, εἰ μὴ οὐκ ἀπὸ τῶν προφητῶν;*

θεοῦ πατέρα, οὐχ υἱὸν θεὸν υἱὸν πατρὸς θεοῦ τοῦτο ὄντα ὅπερ ἐστὶν ὁ πατήρ, ἅτε καὶ ὄντα ἐξ αὐτοῦ. ἐπειδὴ πατρὸς μὲν ὀνομασία καὶ υἱοῦ ἐπὶ παλαιᾶς ἦν διαθήκης, πατρὸς μὲν κοινῶς κατὰ κηδεμονίαν τοῦ θεοῦ λεγομένου τῶν τῆς ἐκεῖθεν ἐπιμελείας ἀξιουμένων ἀνθρώπων, υἱῶν δὲ τῶν ἐχόντων τι πλέον κατὰ οἰκείωσιν θεοῦ· πατέρα δὲ θεὸν, ὥσπερ οὖν ἔφην ἤδη, υἱοῦ θεοῦ καὶ υἱὸν θεὸν θεοῦ πατρὸς ἠπίστατο τῶν τότε καθάπαξ οὐδείς. Θεὸν γὰρ καὶ κτίσιν μόνον ᾔδεισαν οἱ πρὸ τῆς τοῦ δεσπότου Χριστοῦ παρουσίας παιδευόμενοι τὴν εὐσέβειαν, θεὸν μὲν τὴν ἀΐδιον γνωρίζοντες οὐσίαν καὶ πάντων αἰτίαν, κτίσιν δὲ πάντα συντόμως εἰπεῖν τὰ ὑπ᾽ αὐτοῦ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρεληλυθότα. Καὶ τούτου γε ἀπόδειξις αὐτάρκης ἐκ τῶν μακαρίων ἀποστόλων γένοιτο ἄν, οἳ ἐπὶ τῆς τοῦ δεσπότου Χριστοῦ παρουσίας ἐπὶ μακρῷ τῷ χρόνῳ συγγεγονότες αὐτῷ Χριστὸν μὲν ὡμολόγουν ἐγνωκότες διὰ πολλῆς διδασκαλίας, υἱὸν δὲ, καθ᾽ ὃν ἔφην λόγον, θεοῦ οὐκ ἠπίσταντο, πλὴν ὅσον κατὰ οἰκείωσιν ἔλεγον θεοῦ υἱὸν τὸν Χριστὸν κατὰ τὸ τῶν πρόσθεν ἔθος

quum ex eo sit. Appellationes quidem patris et filii in vetere testamento reperiuntur ita, ut pater Deus generatim ob suam hominum cura sua ab eo dignatorum providentiam nominetur, filiique Dei nuncupentur ii, qui ob familiaritatem Dei aliquid praecipui prae caeteris habent; sed patrem Deum, uti jam dixi, Dei filii et filium Dei Dei patris nemo illorum unquam scivit. Namque Deum et creationem tantum noverant, qui ante Christi domini adventum pietate imbuti erant, Deum aeternam atque omnium genetricem naturam statuentes, creationem vero adunum omnia, quae ubi non fuerant, ut sint, ab illo procreata sunt. Cujus rei testimonium luculentum a beatis apostolis repetamus, qui in Christi domini adventu, longum tempus cum eo erant eumque Christum profitebantur, quippe talem multa ex institutione cognoscentes, Dei autem filium, ea qua dixi ratione, eum nesciebant, quamvis Christum ob suam cum Deo familiaritatem pro veterum sanctorum et justorum more etiam fi-

ἁγίων τε καὶ δικαίων. Ἐντεῦθεν Φίλιππος λέγει πρὸς τὸν Κύριον¹), „Δεῖξον ἡμῖν τὸν πατέρα σου, καὶ ἀρκεῖ ἡμῖν,“ οὐκ ἄν γε τοῦτο εἰπών, εἰ ἠπίστατο, τίς μὲν ὁ υἱὸς, τίς δὲ ὁ πατήρ· ἠπίστατο γὰρ πάντως, ὡς καὶ ἀθέατον ἡ θεία φύσις, ὅθεν καὶ ὁ κύριος λέγει πρὸς αὐτὸν, „Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με Φίλιππε;“ δεικνὺς ὅτι οὐδὲ αὐτὸν ἠπίστατο, ὃν εἰδέναι ᾤετο, καὶ τούτου γε ἕνεκεν καὶ τὸν πατέρα ἰδεῖν πράγματος ἐφιέμενος ἀδυνάτου· ἐπάγει γοῦν, „Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα,“ δεικνὺς ὅτι κατὰ τὴν θεότητα τοῦτό ἐστιν ὅπερ ὁ πατὴρ, ἀθέατος ὁμοίως ἐκείνῳ, καὶ ὄψις αὐτὴ ἐκείνου ἡ καὶ τούτου. Καὶ ἑτέρωθι δὲ σαφέστερον πρὸς αὐτοὺς ὁ Κύριος λέγει²), „Ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν, ἀλλ' ἔρχεται ὥρα, ὅτι οὐκέτι ἐν παροιμίαις λαλήσω ὑμῖν ἀλλὰ παῤῥησίᾳ περὶ τοῦ πατρὸς ἀπαγγελῶ ὑμῖν,“ δεικνὺς ὅτι ὡς αἰνίγματα τὴν τοῦ πατρὸς ἤκουον φωνὴν ἐπὶ τῆς ἀνθρωπείας φύσεως κατὰ σχέσιν αὐτὴν ἐκλαμβάνοντες, γνώσονται δὲ ἀληθῶς υἱὸν ὅταν γνῶσι θεὸν ἐκ θεοῦ κατ' οὐσίαν ονια

lium Dei appellarent. Quare Philippus Domino dicit „Ostende nobis patrem, et satis erit nobis;“ quod sane non dixisset, si, quis filius et quis pater, scivisset, namque invisibile esse numen, eum plane non fugiebat, unde Dominus etiam ei dicit, „Tantum jam tempus vobiscum sum, et me non nosti, Philippe?“ quibus ipsum eum non cognovisse, indicat, quem bene scire putabat, quam ob causam etiam patrem videre cupit, aliquid postulans quod fieri nequit. Itaque pergit Dominus „Qui me vidit, patrem vidit,“ significans se quoad divinitatem idem esse atque patrem, invisibilem pariter ac illum, nec non ipsum adspectum suum esse adspectum illius. Etiam magis perspicue alio loco Dominus iis dicit: „Haec vobis oratione figurata locutus sum, sed tempus venit, quo non jam per figuras vobiscum loquar, sed aperte vobis de patre meo disseram,“ significans, eos quasi aenigma patris appellationem audire et eam secundum humanam naturam ad habitudinem excipere, ve-

¹) Joh. XIV, 8. 9. — ²) Joh. XVI, 25.

ἐξ αὐτοῦ, καὶ τοῦτο ὄντα τὴν οὐσίαν ὅπερ ἐκεῖνος. Εἰ δὲ οἱ προφῆται καὶ πρόσθεν δὴ πάντες ἠπίσταντο πατέρα καὶ υἱὸν καὶ δὴ τοῦτο ἐκ τῶν θείων ἐδιδάσκοντο γραφῶν, πρὸ τῶν ἄλλων ᾔδεισαν ἂν τοῦτο οἱ ἀπόστολοι, ἀλλ᾽ εὔδηλον ὡς οὐκ ᾔδεισαν ἔμαθον δὲ ὁπηνίκα τοῦ πνεύματος ἔλαβον τὴν χάριν φοιτήσασαν ἐπ᾽ αὐτοὺς μετὰ τὴν εἰς οὐρανοὺς ἐπάνοδον τοῦ δεσπότου Χριστοῦ. ὅθεν καὶ ὁ κύριός φησι πρὸς αὐτοὺς[1]), „Ἔτι πολλὰ ἔχω λέγειν, ἀλλ᾽ οὐ δύνασθε βαστάζειν ἄρτι, ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν.“ Εἰ δὲ τὴν θεότητα τοῦ μονογενοῦς ἠπίσταντο καὶ δὴ καὶ πατέρα τὸν ὡς θεὸν θεοῦ πατέρα, τί δὴ τούτων μεῖζον ἦν, ὃ μανθάνειν ἤμελλον ὕστερον; Τὴν τοίνυν θεότητα τοῦ μονογένους οὔτε ἠπίστατό τις τῶν προφητῶν[2]) — περὶ ταύτης διαλέγεται, ἐπεὶ κἀκεῖνο πάσης ἀνοίας ἐστὶ μεστὸν, ἀληθέστερον δὲ εἰπεῖν φρενοβλαβείας, τὸ λέγειν, ὅτι ὅταν ἀγγέλου τε μέμνηται καὶ Κυρίου κατὰ τοῦτον ἡ παλαιὰ τὸν υἱὸν τοῦ θεοῦ λέ-

re autem filium cognituros esse, ubi eum Deum de Deo ad essentiam ex eo esse idemque quoad essentiam quod illum, cognoverint. Sin vero prophetae omnesque priores patrem et filium nossent, idque e divinis litteris didicissent, prae caeteris apostoli hoc scire debebant, quod eos nescivisse sed didicisse tum demum, compertum est, quum post Christum dominum in coelos reversum spiritus sancti gratiam in se demissam acciperent. Quare Dominus etiam iis, „Adhuc multa, inquit, vobis habeo dicenda, sed nondum ea ferre potestis; verum quum venerit ille, videlicet veritatis spiritus praeibit vos in omnem veritatem.“ Jam si unigeniti divinitatem et patrem quatenus Deum patrem Dei nossent, quid tandem hoc etiam majus erat, quod iis deinceps discendum fuisset? Divinitatem igitur unigeniti nec quisquam prophetarum sciebat, (nec beatus Zacharias hoc loco) de ea disserit, quum etiam omnis insipientiae, vel rectius

[1]) Joh. XVI, 12. — [2]) Hoc loco excidisse quaedam videntur, fortasse supplendum: οὔτε ὁ μακάριος Ζαχαρίας.

γει[1]). οὓς ἐχρῆν αἰσχυνθῆναι γοῦν τοῦ μακαρίου Παύλου τὴν φωνὴν διαιροῦντος ἐκ τῶν ἀγγέλων τὸν υἱὸν καὶ δεικνύντος, ὡς πολὺ τούτου τε κἀκείνου τὸ μέσον ἐστὶ καὶ τοσοῦτον, ὅσον γε ὑπηρέτου καὶ δεσπότου. λέγει γοῦν οὕτω[2]· „Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει, ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγας, πρὸς δὲ τὸν υἱὸν, ὁ θρόνος σου ὁ θεὸς εἰς τὸν αἰῶνα αἰῶνος, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου,“ δεικνὺς ὁπόσον ἐστὶ τὸ διάφορον υἱοῦ τε καὶ ἀγγέλων καὶ ὅτι μηδὲ συνελθεῖν οἷόν τε τὰς φωνὰς ἀλλήλαις ταύτας, τῶν μὲν ἀοράτων δυνάμεων καὶ πρὸς λειτουργίαν ἐκτεταμένων εἰκότως ἀγγέλων καὶ λειτουργῶν διὰ τὴν ὑπουργίαν καλουμένων, εἰς ἣν ἐτύγχανον προβεβλημένοι, τοῦ υἱοῦ δὲ ταύτας μὲν οὐ προσιεμένου τὰς φωνὰς, μόνην δὲ ταύτην ἀναδεξαμένου τὴν φωνὴν δικαίως τὴν „Ὁ θρόνος

si dicas, dementiae plenum sit, quod dicunt, veterem scripturam, ubi angeli et Domini mentionem injiciat, eo filium Dei designare. quos sane beati Pauli dictum revereri oportebat, qui filium ab angelis distinguit, tantumque inter hos illumque interesse ostendit, quantum inter ministrum et dominum; ita nempe dicit: „Et de angelis quidem sic dicit, qui angelis utitur spiritibus, et ministris igneis flammis; sed de filio, solium tuum, o Deus, in omnem aeternitatem permanet, sceptrum aequitatis sceptrum regni tui est,“ significans quantum intersit inter filios et angelos, et ne componi quidem posse utramque vocem, virtutibus invisibilibus et ad ministrandum destinatis merito angelis (nuntiis) et ministris propter negotium dictis ad quod constituti sint, filio vero has appellationes nequaquam ad-

[1]) Adversarius in margine ita: *Καὶ τοῦτο ἀμαθῶς νομίζεις. Ἡσαΐας γὰρ ὥσπερ διὰ τοῦ τρισαγίου τὰς τρεῖς ὑποστάσεις ὑποφαίνει οὕτω καὶ διὰ τὸ εἰπεῖν „Καὶ καλεῖται τῆς μεγάλης βουλῆς ἄγγελος,“ ἄγγελον αὐτὸν εἶναι λέγει οὐ κατὰ τὴν οὐσίαν τῶν ἀγγέλων ἀλλὰ κατὰ τὴν δεσποτείαν αὐτοῦ. εἰ γὰρ ἀπεστάλη παρὰ τοῦ πατρὸς ὡς ἀπὸ αἰτίου, ἄγγελός ἐστιν, ἀνήγγειλε γὰρ ἡμῖν τὴν σωτηρίαν ὥς που καὶ αὐτός φησιν· „Ἃ ἤκουσα παρὰ τοῦ πατρὸς ἀνήγγειλα ὑμῖν.“ Καὶ μὴ παράτρεπε τὴν ἀποστόλων ῥῆσιν δι᾽ ἑτέραν εἰσαχθεῖσαν αἰτίαν!*

[2]) Hebr. I, 7, 8.

σου ὁ θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου“ ὅπερ ἐστὶν λέγοντος ἀΐδιον βασιλέα κύριον τῶν ἁπάντων ἐν εὐθύτητι πάσῃ τὸ πᾶν διοικοῦντα. Πῶς οὖν οὐκ ἀνόητον καὶ μανικὸν τοσαύτης ὑπὸ τοῦ μακαρίου Παύλου τῆς διαφορᾶς ἡμῖν ὑποδεδειγμένης τολμᾷν συνάγειν τὰ ἀσύμβατα καὶ λέγειν καὶ ἄγγελον καὶ κύριον δυνατὸν λέγεσθαι τὸν υἱόν; Ἀλλ' εὔδηλον ὅτι ὁπόταν τι τοιοῦτον ἐν τῇ θείᾳ φέρηται γραφῇ, ἀγγέλου μὲν μέμνηται τοῦ πρὸς τὴν ὑπηρεσίαν ἐκτεταγμένου τῶν δεικνυμένων, ἐπειδὴ „πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν,“ ὥς ὁ μακάριος Παῦλός φησι[1]); κύριον δὲ ὀνομάζει, οὐ τὸν ἄγγελον οὕτω καλῶν, ἐπὶ θεὸν δὲ ἀναφέρων τοῦ γινομένου τὸ ἔργον, ὥσπερ οὖν καὶ οἱ προφῆται πολλάκις τὰ ἁρμόττοντα λέγουσι, τῷ θεῷ οὐχ ἑαυτοῖς λογιζόμενοι τὰ λεγόμενα, ἐπὶ θεὸν δὲ αὐτῶν ἀναφέροντες τὴν αἰτίαν. Καὶ τοῦτο γε εὐθὺς ἐκ τοῦ προφήτου τοῦ παρόντος ἴδοι τις ἄν· εἰπὼν γὰρ ὅτι ἐγένετο λόγος κυρίου πρὸς

mittente, sed eam solam ut par est, „Solium tuum, o Deus, in omnem aeternitatem permanet, sceptrum aequitatis sceptrum regni tui est;“ quae denotant aeternum regem, dominumque omnium, qui universa omni aequitate administrat. Quomodo igitur non insipidum ac demens sit, tanto a beato Paulo nobis demonstrato discrimine, repugnantia inter se componere audere, quasi angelus itidem et potens dominus filius dicatur? Sed in aprico est, siquando in scriptura tale aliquid occurrat, angeli quidem mentionem eam facere, qui ad ostensorum ministerium constitutus est, siquidem „Omnes sunt spiritus ministri, ad ministerium legati propter eos qui salutem adepturi sunt,“ ut beatus Paulus ait; dominum vero ubi dicat, non angelum eam sic appellare sed ad Deum facti opus transferre: sicut etiam prophetae saepe decora loquuntur, Deo, neque sibimet ipsis ea adscribentes, sed causa ad Deum potius relata. — Et hoc statim e praesenti propheta quilibet cognoscat. Ubi

[1]) Hebr. I, 14.

Ζαχαρίαν λέγων, ἐπήγαγεν, Ὠργίσθη θεὸς ἐπὶ τοὺς πατέρας ὑμῶν ὀργὴν μεγάλην. καίτοιγε ἦν ἀκόλουθον [εἰ] ἄρα εἰπεῖν ὅτι ἐγένετο λόγος κυρίου πρὸς Ζαχαρίαν λέγων, ὠργίσθην ἐπὶ τοὺς πατέρας ὑμῶν, ὡς ἂν μὴ ὁ γεγονὼς λόγος τοῦ κυρίου πρὸς τὸν προφήτην περὶ ἑτέρου τινὸς φαίνηται κυρίου λέγων ὡς ὀργισθέντος, ἀλλ᾽ εὔδηλον ὅτι τὸ ἐγένετο λόγος κυρίου τὸν ἀποκαλύψαντα εἰπὼν ἐπάγει λοιπὸν τὰ ῥήματα ὁ προφήτης, ἅπερ αὐτὸς εἶπεν ὁ θεός, οὐκ οἰκεῖα λέγων τὰ δὲ παρὰ τοῦ θεοῦ λελεγμένα ἐκτιθέμενος. Τὸν αὐτὸν δὴ τρόπον ὅταν ἄγγελον λέγῃ εἶτα καὶ κύριον ὀνομάζει, τῷ μὲν ἀγγέλῳ τὸν ὑπουργοῦντα δείκνυσι, τῇ δὲ τοῦ κυρίου φωνῇ τὸν ἐπιτάξαντα διὰ τῶν ἀγγέλων ἐκεῖνα γενέσθαι. Ἀλλὰ γὰρ εὔδηλον, ὅτι τοὺς ἀγγέλους αἰσθητῶς φαινομένους τοῖς ἀνθρώποις ὅταν τοῦτο δοκῇ τῷ θεῷ, [ἔθος] ἀνθρώπων εἶδος μιμεῖσθαι, ὅπερ οἰκεῖόν ἐστι τοῖς ὁρῶσί τε καὶ παιδευομένοις. Τοῦτο δὲ καὶ ἐκ τῆς καινῆς διαθήκης οὐχ ἧττον μάθοι τις ἄν· τὰ γὰρ κατὰ τὴν ἀνάστασιν τοῦ δεσπότου Χριστοῦ διηγουμένη ἡ θεία γραφὴ λέγει ἄγγελον ὤ-

enim, sermonem Domini ad Haggaeum esse factum, dixit, addit: Grandi ira adversus parentes vestros iratus est Dominus. Conveniens enim erat dicere: factus est sermo Domini ad Zachariam prophetam, dicens: iratus sum adversus patres vestros, ne sermo iste Domini ad prophetam factus, de alio quopiam domino tanquam irato videretur loqui. At clarum est post indicatum verbis factus est sermo Domini, eum qui revelationem dederit, prophetam deinde verba addere, quae Deus locutus sit, quasi non propria loquatur sed a Deo dicta recitet. Eadem ratione siquando angelum dicit et deinde Dominum quoque nominat, angelo quidem ministrantem designat, Domini vero appellatione eum, qui haec per angelos fieri jussit. Praeterea etiam angelos ubi jubente Deo hominibus sensibus animadvertendos se exhibeant, hominum speciem imitari, quae iis propria est, qui intuentur et institutionem accipiunt, nemo non videt. Id quod non minus e novo testamento cognoscere licet. Res enim post Chri-

φθαι τὸν ἀποκυλίσαντα τὸν λίθον, εἶτα διαγράφων οἷός τις ἦν καὶ ὅπως ὤφθη, „Ἦν αὐτοῦ, φησὶν, ἡ εἰδέα ὡς ἀστραπὴ, τὰ δὲ ἱμάτια λευκὰ ὡς χίων [1]).“ Καὶ μετὰ τὴν ἄνοδον δὲ τοῦ κυρίου τὴν εἰς οὐρανὸν κεχηνότων πρὸς τὴν τοῦ γεγονότος καινότητα τῶν μαθητῶν, „Ἰδοὺ, φησὶ, δύο ἄνδρες εἱστήκεισαν ἐν ἐσθῆτι λευκῇ [2]),“ ἦσαν δὲ ἄγγελοι διδάσκοντες αὐτοὺς ἃ προσῆκον ἦν ἐπὶ τοῖς γινομένοις εἰδέναι. Τὸν αὐτὸν δὴ τρόπον κἀνταῦθα ἐν ἀνθρώπου μορφῇ ἄγγελον θεωρεῖ πρὸς ὑπουργίαν ὑπὸ τῆς χάριτος τεταγμένον τῶν εἰς σωτηρίαν ἡκόντων ἀνθρωπίνην. — Ἡ μὲν οὖν ὄψις ἄγγελον ἐδήλου, τὰ περὶ αὐτὸν δὲ ἦν μηνυτικὰ πραγμάτων· ἵππου μὲν οὖν ἐπεβεβήκει εἰς δήλωσιν τοῦ τάχους, μεθ' οὗ πάντα ἐπιτελεῖν ταῖς ἀοράτοις δυνάμεσιν ἔργον ἐστὶν, ἅπερ ἂν ἐπιτάττῃ θεός· πυρροῦ δὲ — ὡς ἂν τὸν θυμὸν δεικνύῃ, ὃν ὑπὲρ αὐτὸν εἶχε κατὰ τῶν ἀλλοτρίων· ἐν μέσῳ δὲ κατασκίων εἱστήκει, τῶν μὲν ὄρεων τὸ ὑψηλὸν καὶ στεῤῥὸν τῆς δυνάμεως τοῦ λειτουργοῦντος φανερὸν ποιούντων, τῶν κατασκίων δὲ δήλωσιν ἐχόντων τῆς σκέπης,

sti Domini resurrectionem gestas narrans scriptura divina angelum apparuisse ait, qui lapidem submoverit, et deinde, qualis fuerit et quomodo apparuerit describens, „Erat autem ejus species, inquit, fulguris similis, et indumentum tam album quam nix est.“ Et post Domini in coelum adscensionem quum discipuli rei novitatem obstuperent, „Ecce, inquit, duo viri adstiterunt in vestibus albis;“ angeli autem erant, qui eos docebant, quid de his factis scire necessarium erat. Eadem ratione hoc loco quoque angelum adspicit in hominis specie a divina gratia ad ministerium in rebus in humanam salutem futuris. — Adspectus igitur angelum ostendit, quae vero circa eum erant rerum habebant signa; equum enim adscendit, ad indicandam velocitatem, qua omnia a Deo mandata invisibiles virtutes solent peragere; eumque rubrum depingit, ut iram designet, qua adversus alios flagravit; isque in medio montium stetit; nempe montes altitudinem et firmitatem roboris ministri declarant, um-

[1]) Matth. XXVIII, 3. — [2]) Act. I, 10.

ἣν παρέχειν ὁ Θεὸς εὐηγγελίζετο τῷ λαῷ τῷ οἰκείῳ. — Ἐρωτᾷ μὲν οὖν ὁ προφήτης. Τί οὗτοι; τῆς ἀποκαλύψεως πρὸς τὴν ἐρώτησιν αὐτὸν κινησάσης ὡς ἂν καὶ ὁδὸν ἡ διδασκαλία λάβοι. Ἀποκρίνεται δὲ, φησὶν, ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ, ἐγὼ δείξω σοι τί ἐστιν ταῦτα. Λέγει δὲ αὐτὸν τὸν ἄνδρα, ὃν ἐπιβεβηκότα ἐπὶ ἵππον εἶδε πυῤῥόν· διὰ τοῦτο καὶ τὸ ὁ λαλῶν ἐν ἐμοὶ λέγει, ἐπειδὴ οὐκ ἔξωθεν φερομένης ἤκουσε φωνῆς, ἀλλὰ κατὰ ἀποκάλυψιν ἐναποτυπουμένης αὐτοῦ τῇ διανοίᾳ. ὡς καὶ ὁ μακάριος Πέτρος ἤκουσε τὸ „Ἀναστὰς, Πέτρε, θύσον καὶ φάγε[1])," εὔδηλον ὅτι οὐκ ἐξ οὐρανῶν ἐφέρετο τοιαύτη φωνὴ πρὸς αὐτὸν, ἢ γὰρ ἂν καὶ πᾶσαν ἐπλήρωσε τὴν οἰκουμένην ἡ τοῦ λεγομένου γνῶσις, ἐναπετυποῦτο δὲ αὐτῷ ἡ φωνὴ ὡσὰν οὐρανόθεν πρὸς αὐτὸν γινομένη. Ὅτι δὲ τὸν λαλοῦντα ἄγγελον αὐτῷ τὸν ἐπιβεβηκότα ἐπὶ τὸν ἵππον πυῤῥὸν λέγει δῆλον· ὡς γὰρ εἶπεν, ἐγὼ δείξω σοι τί ἐστι ταῦτα, ἐπάγει. Καὶ ἀπεκρίθη ἀνὴρ ὁ ἐφεστηκὼς ἀναμέσον τῶν ὀρέων καὶ εἶπε πρός με· οὗτοί εἰσιν οὓς

brae autem praesidium significant, quod Deus populo suo se laturum esse promittebat. Huncigitur propheta interrogat: *Quidnam sibi volunt hi?* Revelatio enim eum ad eam impulit quaestionem, ut etiam explanationi viam faceret. *Angelus vero*, inquit, *qui in me loquebatur, respondit: ego tibi declarabo hanc rem, quidnam sibi velit.* Eundem designat virum, quem equo vehentem viderat rubro, ideo etiam addit, qui in me loquebatur, non enim vocem audiebat extrinsecus ad se allatam, sed revelatione in sua mente expressam, simili ratione qua etiam beatus Petrus illud „Surge Petre, macta et vescere" audiebat; nam non de coelo demissam esse eam vocem, perspicuum est, quia tum dicti cognitionem totum orbem implere oportebat; sed in mente ejus fingebatur ista vox, quasi de coelo ad eum veniens. Nostrum vero prophetam hic angelum equo rubro vectum dicere, ex eo clarum quod ubi dixit, ego tibi declarabo hanc rem, quidnam sibi velit, statim addat: *Et respon-*

[1]) Act. X, 13.

ἐξαπέστειλε κύριος περιοδεῦσαι τὴν γῆν· σαφῶς δεικνὺς, ὅτι αὐτὸς ἐκεῖνος ὁ ὀφθεὶς αὐτῷ ἀνὴρ ἐν μέσῳ τῶν ὄρεων τῶν κατασκίων αὐτὸς ἦν ὁ λαλῶν ἐν αὐτῷ, ὃς καὶ διδάξειν αὐτὸν ὑπέσχετο, τίνα δὴ ταῦτα τῶν ἵππων· καὶ δὴ καὶ ἐδίδαξεν εἰπὼν καθεξῆς, ὅτι οὗτοί εἰσιν οἱ πέμπεσθαι εἰωθότες παρὰ τοῦ θεοῦ ἐπὶ τῷ τὴν γῆν ἅπασαν ἐκπεριιέναι καὶ τὴν καθήκουσαν ἑκασταχοῦ πληροῦν λειτουργίαν κατὰ τὸ δοκοῦν τῷ θεῷ. — Εὔδηλον μὲν οὖν ὅτι περὶ ἀγγέλων φησὶν· ἀγγέλων γὰρ ἔργον τοῦτο, τοῦτο δὲ οὐ τοὺς ἵππους λέγει,· οὐ γὰρ ἂν εἰς ἀλόγων ὄψιν τῶν ἀγγέλων μετέπεσεν θεωρία, ἀλλ' ὅταν εἴπῃ ἵπποὶ πυῤῥοὶ καὶ ποικίλοι καὶ λευκοὶ, ἐμφαίνων τὸ μετὰ τίνων ἐπιβεβηκότων αὐτοὺς ὦφθαι τοὺς ἵπποὺς λέγει, ὅθεν καὶ ὁ ἑρμηνεύων ἀπεστάλθαι λέγει τούτους ἐπὶ τὸ περιοδεῦσαι τὴν γῆν, οὐ τοὺς ἵππους ἀλλὰ τοὺς ἐπιβεβηκότας λέγων· ἀναγκαίως δὲ καὶ οὗτοι, ἅτε ἄγγελοι, ἐφ' ἵππων ὤφθησαν κατὰ τὸν ἐπὶ τὸν ἵππον ἐπιβεβηκότα τὸν πυῤῥὸν, τῶν μὲν ἵππων δηλούντων τὴν ταχύτητα τῆς λειτουργίας, ἀλλὰ δὲ πυῤῥὸν τὸν θυμὸν, ὃν ταῦτα τῶν ἀλλοτρίων εἶχον· καὶ τῶν λευκῶν δὲ εἰς μήνυσιν τῆς περιεσομένης τοῖς Ἰ-

dit vir ille, qui inter medios montes constiterat, dixitque mihi: hi sunt illi, quos misit Dominus ad perlustrandam terram; perspicue significans, virum illum inter medios montes comparentem eundem esse atque eum, qui loquebatur in eo, qui etiam explanationem promiserat, quidnam scilicet equi designarent. Quod reapse etiam docuit, eos esse dicens, qui a Deo ad perambulandam totam terram, et ubique divina consilia exsequenda mitterentur. De angelis eum loqui, neminem latet, istud enim angelorum est negotium; neque tamen equis eos designat, nam nunquam sane in brutorum speciem angelorum adspectus degeneret; sed si dicit equos rubros et varios et albos, eos cum quibusdam ipsis insidentibus comparuisse indicat; unde etiam interpres hos ad perlustrandam terram missos esse tradit, non equos quidem sed iis vectos innuens. Necessario vero etiam hi, tanquam angeli, in equis comparebant convenienter ei, qui equo rubro insidebat; equi enim velocitatem significant ministerii; et ruber quidem co-

σραηλίταις λαμπρότητος ἐκ τῆς αὐτῶν ὑπουργίας τῶν, ποικίλων δὲ, ἵνα τὸ πολυειδὲς εἴπῃ τῆς ἐνεργείας καὶ τῆς ὑπουργίας, ἣν ἐκτελοῦντες οἱ ἄγγελοι τάς τε τιμωρίας ἐπάγουσι τοῖς τούτων ἀξίοις καὶ τὰς δωρεὰς παρέχουσιν, οὓς ἂν τοιούτοις ἀμείβεσθαι θέλῃ θεός. — Ἡ δὲ τῶν λεγομένων ἀπόδειξις τὰ ἑξῆς. ια΄. Ἀπεκρίθησαν γάρ, φησὶ, τῷ ἀγγέλῳ τῷ ἐφεστῶτι ἀναμέσον τῶν ὀρέων καὶ εἶπον· περιωδεύσαμεν τὴν γῆν πᾶσαν, καὶ ἰδοὺ πᾶσα ἡ γῆ κατοικεῖται καὶ ἡσυχάζει. Οὐκ ἂν τοὺς ἵππους αὐτῷ ἀποκεκρίσθαι εἶπον[1]), (ποία γὰρ ἂν καὶ γένοιτο ἀπὸ ἵππων φωνή;) ἀλλὰ εὔδηλον ὅτι τοὺς τῶν ἵππων ἐπιβεβηκότας λέγει, οἳ ἐν μορφῇ φαινόμενοι ἀνθρώπου παραπλησίως τοῦ ἀναμέσον τῶν ὀρέων τῶν κατασκίων ἐφ' ἵππου φάντος πυῤῥοῦ εἰκότως ἀνάλογον τῇ ὄψει τὴν πρὸς αὐτὸν ποιεῖσθαι διάδεξιν ἤμελλεν[2]) ἀφ' ἧς δὴ καὶ ὁ προφήτης κατὰ ἀποκάλυψιν τῶν λεγομένων ἀκούων τὴν ἐξ αὐτῶν διδασκαλίαν ἐδέχετο. Εὔδηλον γὰρ ὅτι πᾶσα ἡ ἀποκάλυψις καὶ τὰ ἐπ' αὐτῆς θεωρούμενα καὶ εἴτε ἐρώτησις εἴτε ἀπόκρισις εἴθ' ὅ, τι δήποτε πάντα ἐπὶ τῆς ἀποκαλύψεως διε-

lor iram designat, quam contra alios habebant; albus vero futurum Israelitis per illorum ministerium splendorem; varius autem multiplicem efficaciam ministeriaque, quibus poenas inducunt dignis, dona vero afferunt iis, quos Deus ita remunerare velit. — Eorum vero modo dictorum argumentum in sequentibus. V. 11. *Responderunt enim, inquit, angelo Domini, qui in mediis montibus stabat, dixeruntque: terram universam perambulavimus, et ecce universa terra habitatur et quiete fruitur.* Non equos sane respondisse dicit, (nam quae tandem equorum esse possit oratio?) sed equorum equites, qui specie hominis similiter atque (angelus) inter medios montes umbrosos in equo rubro conspectus apparentes adspectu suo successionem fecerunt isti congruam, unde etiam propheta ex revelatione dicta audiens eorum explanationem accepit. Totam enim revelationem et in ea ostensa, et cum quaestionem tum responsum et caetera quaecunque ideo

1) Leg. εἶπεν. — 2) Leg. ἤμελλον.

τυποῦτο, ὡς ἂν διὰ πάντων τὴν διδασκαλίαν ὁ προφήτης δεξάμενος αὐτός τε πίστιν περὶ τῶν ἐσομένων ἔχοι βεβαίαν καὶ εἰς ἑτέρους ἐκφέροι τὴν ὠφέλειαν. Ἔοικε δὲ τὸν ἐπιβεβηκότα ἐπὶ τὸν ἵππον ἀναμέσον τῶν ὀρέων ἄγγελον αἰνίττεσθαι τὸν ἐφεστῶτα τῷ ἔθνει τῶν Ἰσραηλιτῶν κατὰ τὸ εἰρημένον[1]) „Ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ.“ ὥσπερ οὖν οἱ λοιποὶ τῶν ἀγγέλων κοινωνοῦντες ὡς εἰκὸς τῆς φροντίδος περὶ τῶν προκειμένων διελέγοντο, οἳ καὶ ἑρμήνευσαν[2]) αὐτῷ τὸ πᾶσαν τὴν γῆν ἐν ἡσυχίᾳ καθεστάναι τότε, ἀφ᾽ ὧν δὴ καὶ χώραν ἐκεῖνος λαβὼν ὁ ἀναμέσον τῶν ὀρέων κατασκίων ὀφθεὶς ὡσὰν τὴν τοῦ λαοῦ φροντίδα πεπιστευμένος, καὶ τι καὶ παθὼν εἰ πάντα μὲν ἐστιν ἐν ἡσυχίᾳ τὰ κατὰ τὴν Ἱερουσαλὴμ δὲ διατετάρακται μόνα, εὐχήν τινα καὶ δέησιν ὑπὲρ παντὸς τοῦ ἔθνους προσάγει τῷ θεῷ.

ιβ΄. Ἀπεκρίθη γάρ, φησιν, ὁ ἄγγελος καὶ εἶπεν. ἐκεῖνος δὴ ὁ ἀναμέσον τῶν ὀρέων ἐφεστῶς, ὁπεροῦν[3]) εἶπον οἱ λοιποὶ τὸ πᾶσαν τὴν γῆν κατοικεῖσθαι καὶ ἡσυχάζειν. — Κύριε παντοκράτωρ, ἕως τίνος οὐ μὴ ἐλεήσῃς τὴν Ἱερουσαλὴμ

in revelatione proposita esse apertum est, ut propheta per haec omnia edoctus et ipse firmam teneret de futuris fidem et cum aliis communicaret quod inde percipiebat commodi. Is vero, qui equo vectus in mediis montibus constiterat, angelum significare videtur Israelitarum populo praefectum, uti dictum est, „Fines constituit gentium pro numero angelorum Dei.“ Jam quum caeteri angeli, quippe et ipsi ut rei fert natura curae participes, interloquerentur, totamque terram quietem agere nuntiarent, hac re ille, inter medios montes qui apparuerat, permotus quippe qui populo consuleret, et quasi ipse male adfectus, si caeteris omnibus quiete fruentibus Hierosolyma sola laboraret, preces et supplicationem pro universo populo facit Deo.

V. 12. *Respondit enim*, inquit, *dixitque*, nempe qui medios inter montes constiterat, cui caeteri habitari terram universam et quiete frui dixerant: *Domine omnipotens, quo usque non misereberis Hierosolymae urbium*

[1]) Deut. XXXII, 8. — [2]) F, L ἡρμήνευσαν. — [3]) Leg. ὑπεροῦν.

καὶ τὰς πόλεις Ἰούδα, ὑπερεῖδες τοῦτο ἑβδομηκοστὸν ἔτος; Μονονουχὶ λέγων πᾶσι τοῖς λοιποῖς ἔθνεσι· τοῖς κατὰ γῆν ἀσφαλῆ παρέσχες τὴν οἴκησιν καὶ τὴν ἡσυχίαν, μεθ' ἧς ἔταξας διάγειν αὐτούς, μόνη δὲ σὴ ὡς ἔοικεν Ἱερουσαλὴμ καὶ αἱ λοιποὶ τοῦ Ἰούδα πόλεις τῆς κοινῆς ταύτης οὐκ ἀπολαύουσι δωρεᾶς. ἀλλ' ἐπειδήπερ αἰτία τούτων αὐτοῖς τὰ ἁμαρτήματα γέγονε καὶ ἡ τῆς ἀσεβείας ἐπιμέλεια καὶ δυσπειθές, ἐλέῳ δὲ τὰ κατ' αὐτοὺς ἴασαι καὶ πρὸς τὸν ἀριθμὸν τῶν ἐτῶν ἀποβλέψας, ἐν οἷς ἐν ταῖς συμφοραῖς γεγόνασι ταύταις, ἀρκοῦσαν ὑπὲρ ὧν ἥμαρτον λογίζαι τὴν τιμωρίαν τῶν ἐν τοσούτῳ χρόνῳ περιεσχηκότων αὐτοὺς κακῶν, ἐλέῳ τε οἰκείῳ τὰ ἁμαρτήματα αὐτῶν παραγραψάμενος ἅπαντα καὶ τὴν παλαιὰν αὐτοῖς ἀποδιδοὺς εὐπραγίαν, ὥστε καὶ τὴν Ἱερουσαλὴμ οἰκισθῆναι κατὰ τὸ πρότερον σχῆμα καὶ τὰς λοιπὰς τοῦ Ἰούδα πόλεις αὖθις συστῆναι. Πρὸς δὴ ταῦτα ἐπάγει·

ιγ'. Καὶ ἀπεκρίθη κύριος παντοκράτωρ τῷ ἀγγέλῳ τῷ λαλοῦντι ἐν ἐμοὶ ῥήματα καλὰ καὶ λόγους παρακλητικούς. Ἔδειξε καὶ διὰ τούτου ὅτι αὐτοῦ τοῦ ἀναμέσον τῶν ὀρέων τῶν κατασκίων τοῦ λαλοῦντος ἐν αὐτῷ καὶ ἡ

que Judae, quas jam septuaginta annos despexisti? Caeteris, inquit, fere omnibus gentibus securam dedisti in terra sua stationem et quietem, qua frui eos voluisti; sola autem Hierosolyma et reliquae Judaeae urbes communi hoc beneficio non frui videntur. Sed quum peccata et impietatis studium ejus calamitatis causa iis facta sint, pro tua misericordia rebus eorum consulas, et respecto annorum numero, per quos in his degerunt calamitatibus, sufficientem putes eorum delictis, quae per tantum tempus passi sunt mala, poenam; nec non pro tua, quae est, benignitate peccatis eorum veniam concedas omnibus, iisque veterem reddas felicitatem, Hierosolyma rursus in pristinum statum restituta caeterisque Judaeae urbibus redintegratis. Post haec addit.

V. 13. *Dominusque omnipotens angelo in me loquenti verbis respondit mitibus sermonibusque consolatoriis.* Etiam per haec demonstrat ejusdem, qui inter medios montes umbrosos stetit, et in ipso locutus est, i-

δέησις ἦν αὕτη, πρὸς ὃν λέγει τὸν θεὸν ἀποκεκρίσθαι πολλῆς ἀγαθότητος γέμοντας λόγους καὶ πολλῶν ἀγαθῶν ἔχοντας ἐπαγγελίαν καὶ ἱκανοὺς παντοίαν παράκλησιν τοῦ ἐν τοσαύταις τε καὶ τοιαύταις προσαγαγεῖν ἀνάγκαις· ἐφ᾽ οἷς δὴ καὶ ὁ ἄγγελος τὸ θαῤῥεῖν λαβὼν μηνύει τῷ προφήτῃ οἷάπερ αὐτῷ εἴρηται παρὰ τοῦ θεοῦ ἐπαγγελίαν μεγίστων ἔχοντα ἀγαθῶν, ἃ περὶ τὴν Ἱερουσαλὴμ ἐπιδείξεται τοῦ λοιποῦ. Λέγει δὲ οὕτως.

ιδ'. Καὶ εἶπε πρὸς μὲ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ, ἀνάκραγε λέγων· Τάδε λέγει κύριος παντοκράτωρ, ἐζήλωκα τὴν Σιὼν καὶ τὴν Ἱερουσαλὴμ ζῆλον μέγαν. ιε'. καὶ ὀργῇ μεγάλῃ ἐγὼ ὀργίζομαι ἐπὶ τὰ ἔθνη τὰ συνεπιτιθέμενα, ἀνθ᾽ ὧν ἐγὼ μὲν ὠργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά. ιϛ'. διὰ τοῦτο τάδε λέγει κύριος, ἐπιστρέψω ἐπὶ Ἱερουσαλὴμ ἐν οἰκτιρμῷ καὶ ὁ οἶκός μου ἀνοικοδομηθήσεται ἐν αὐτῇ, λέγει κύριος ὁ παντοκράτωρ, καὶ μέτρον ἐκταθήσεται ἐπὶ Ἱερουσαλὴμ ἔτι. ιζ'. καὶ εἶπε πρὸς μὲ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ, ἀνάκραγε λέγων· Τάδε λέγει κύριος παντοκράτωρ, ἔτι διαχυθήσον-

stam precationem fuisse, cui Deum verbis multae benignitatis plenis multaque bona pollicentibus multamque in tantis talibusque miseriis consolationem praebentibus respondisse dicit. Quibus etiam angelus confisus prophetae, talia sibi a Deo dicta esse, nuntiat, quae maximorum bonorum postea circa Hierosolymam demonstrandorum promissionem habeant. et ita dicit.

V. 14. *Dixitque mihi angelus in me qui loquebatur, magna clama voce: Haec ait Dominus omnipotens, magno furore prosecutus sum Sionem et Hierosolymam,* V. 15. *magnaque ira irascor gentibus consilia agitantibus, quod, quum ego leviter irascerer, consilia agitarent maligna.* V. 16. *propterea haec ait Dominus, misericordem Hierosolymae rursus me praebebo, et aedes mea in ea aedificabitur, dicit Dominus omnipotens, et mensura adhuc extendetur super Hierosolymam.* V. 17. *Dixitque mihi angelus in me loquens, magna clama voce: Haec ait Dominus omnipotens, futurum est, ut urbes diffluant bonis; et miserebitur Domi-*

ται πόλεις ἐν ἀγαθοῖς, καὶ ἐλεήσει Κύριος ἔτι τὴν Σιὼν, καὶ αἱρετιεῖ ἔτι τὴν Ἱερουσαλήμ. Δεξάμενος γὰρ, φησὶν, ἀπόκρισιν παρὰ τοῦ Θεοῦ τοιαύτην ὁ ἄγγελος, αὐτός τε ἐπὶ τοῖς λεγομένοις ἥσθη καὶ ἐμὲ θαῤῥεῖν ἐκέλευε περὶ πάντων εἰς τὸ ἑξῆς, ὥστε καὶ θαῤῥοῦντα μηνύειν ἅπασιν, ὅτι σφόδρα ὑπὲρ τῆς Ἱερουσαλὴμ ὀργίζεται κατὰ τῶν τοσαύτην ὠμότητα ἐπιδειξαμένων εἰς αὐτούς· οἳ μείζονα τῆς ὀργῆς τῆς ἐμῆς τὴν τιμωρίαν αὐτοῖς ἐκ τῆς ἰδίας ἐπήγαγον κακίας. τοιγαροῦν ἁπάντων ἕνεκεν πολλῷ χρήσομαι περὶ τὴν Ἱερουσαλὴμ τῷ ἐλέῳ ὥστε καὶ τὸν οἶκον τὸν ἐμὸν ἐν αὐτῇ γεγονότα τὴν συνήθη τοῖς ἐπ' αὐτὸν συνιοῦσιν ὠφέλειαν παρέχεσθαι καὶ τὴν Ἱερουσαλὴμ ἐπὶ μεῖζον ἢ νῦν ἐκταθῆναι καὶ πάσας δὲ συντόμως εἰπεῖν τὰς αὐτῇ προσηκούσας πόλεις ἐν ἀφθονίᾳ καταστῆναι πολλῶν. τῷ τε γὰρ ἐλέῳ χρήσομαι πολλῷ περὶ αὐτὴν καὶ δεδοκίμακα πᾶν ὅ, τι χρηστὸν ἐργάσασθαι εἰς αὐτήν τε καὶ τοὺς προσήκοντας αὐτῇ τοῦ λοιποῦ. Εὔδηλον δὲ, ὅτι ὅταν λέγῃ τὸ Ὀργίζομαι ἐπὶ τὰ ἔθνη τὰ συνεπιτιθέμενα ἀνθ' ὧν ἐγὼ μὲν ὠργίσθην ὀλίγα, συνεπέθεντο δὲ εἰς κακά, περί τε τῶν ἐκπεπορθηκότων αὐτὴν Βαβυλωνίων λέ-

nus Sioni eligetque Hierosolymam. Hac, inquit, a Deo accepta responsione gavisus est angelus et ipse, et me bono animo esse jussit de omnibus rebus futuris, igitur quoque omnibus indicare, Deum Hierosolymae causa magnopere iis irasci, qui tantam in eos ostenderint crudelitatem. poenam enim, (inquit), mea ira graviorem pro sua malitia iis inflixerunt. propterea multa erga Hierosolymam utar misericordia; quare etiam domus mea in ea aedificata adeuntibus eam consuetum praebebit commodum, et Hierosolyma latius quam nunc extendetur, omnesque urbes, quae sunt ejus ditioni subjectae, copia fruentur magna. Multam enim erga eam manifestabo benignitatem, et quodcunque bonum cum ipsis tum suis omnibus in futurum facere decrevi. Sin vero dicit, Irascor gentibus consilia agitantibus, quod, quum ego leviter irascerer consilia agitarent maligna, eum Babylonios, qui urbem destruxerunt omnesque qui qualicunque modo hos in eo adjuverunt designare et poe-

γων καὶ τῶν ὅπως ποτὲ εἰς τὸ[1]) συμπραξάντων αὐτοῖς, τὴν γεγενημένην αὐτοῖς τιμωρίαν διὰ τούτων σημαίνει. δεδώκεσαν μὲν γὰρ ἤδη Βαβυλώνιοι δίκας, καὶ καθῄρετο μὲν αὐτῶν ἡ βασιλεία, εἴληπτο δὲ ἡ πόλις παντελῶς ὑπὸ Κύρου τοῦ Περσῶν βασιλέως, τετιμώρηντο δὲ καὶ οἱ συμπράξαντες αὐτοῖς Ἰδουμαῖοί τε καὶ οἱ λοιποὶ δὴ πάντες, ὥστε δῆλον ἐκεῖνο εἶναι τὸ παρ᾽ ἡμῶν ἐπὶ τῆς ὑποθέσεως εἰρημένον, ὅτι πολλῶν μέμνηται γεγονότων ἤδη, βεβαιῶν αὐτὰ ταῖς οἰκείαις ἐπαγγελίαις[2]) ὁ θεός, ἐπεὶ καὶ σφόδρα τούτων ἔδει τότε τοῖς Ἰσραηλίταις ἐν ἀμφιβόλῳ καὶ μετὰ τὴν ἐπάνοδον τὴν σωτηρίαν ἔχουσι τὴν οἰκείαν, ὡς μηδὲ τὸν ναὸν τὸν θεῖον ἀρξαμένους τῆς οἰκοδομῆς δυνηθῆναι πρὸς πέρας ἐκβαλεῖν εἴτε διὰ τὴν ἐνόχλησιν τῶν ἐναντίων εἴτε καὶ διὰ τὴν αὐτῶν ῥαθυμίαν αὐξανομένην ὡς εἰκὸς τῇ τῶν πολεμίων κακίᾳ. Δύο μὲν δὴ ταῦτα ἐκ τῆς ἀποκαλύψεως ἐγνωκέναι ἔφη, ὅτι τε τοὺς ἠδικηκότας τὸν λαὸν τιμωρήσεται ὁ θεὸς καὶ ὅτι τὴν Ἱερουσαλὴμ εἰς τὴν παλαιὰν εὐπραγίαν ἀποκαταστήσει πάλιν. Ἐπὶ βεβαιώσει δὲ ἀμφοτέρων ἀποκαλύψεις καθεξῆς ἐκτίθεται ἑτέρας, ἃς ἰδὼν αὐτός τε τὴν ἐπὶ

nam iis propter hoc inflictam dicere, constat. Jam enim luerant supplicium Babylonii, imperio eorum destructo eorumque urbe a Cyro Persarum rege expugnata; etiam illorum auxiliares, videlicet Idumaei caeterique omnes jam puniti erant. Quo quod in praefatione diximus confirmatur, multa Deum commemorare, quae jam facta erant, haec promissionibus suis confirmantem. Id quod Israelitis sane tunc admodum necessarium erat, ut qui etiam post reditum de salute sua adeo dubitarent, ut ne coeptum quidem Dei templum possent perficere, cum propter adversariorum molestias tum propter suam segnitiem, quae hostium malitia etiam crevit. Haec duo igitur comperuisse se revelatione dicit (propheta), et puniturum esse Deum populi vexatores, et Hierosolymam in veterem felicitatem restituturum. Utrumque ut confirmet, in sequentibus alias recitat revelationes, quibus conspectis et ipse jam firmam habebat dictis fidem et omnes de populo ad eandem senten-

[1]) F. l. τοῦτο. — [2]) Nonne leg. βεβαιῶν αὐτοῖς τὰς οἰκείας ἐπαγγελίας?

τοῖς εἰρημένοις ἤδη πίστιν εἶχε βεβαίαν, καὶ δὴ καὶ τοὺς τοῦ λαοῦ πάντας ἔπειθεν ὁμοίως ἡγεῖσθαι. καὶ πρώτην γε περὶ τῆς τῶν ἐναντίων τιμωρίας λέγει, ἥνπερ οὖν καὶ ἐπὶ τῆς προκειμένης ἀποκαλύψεως προτέραν εἶπε.

ιη'. Καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον, καὶ ἰδοὺ τέσσαρα κέρατα. ιθ'. καὶ εἶπον πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί· Τί ἐστι ταῦτα κύριε; καὶ εἶπε πρός με· ταῦτα τὰ κέρατα τὰ διασκορπίσαντα τὸν Ἰούδαν καὶ τὸν Ἰσραὴλ καὶ Ἱερουσαλήμ. κ'. Καὶ ἔδειξέ μοι Κύριος τέσσαρας τέκτονας. κα'. καὶ εἶπον· τί οὗτοι ἔρχονται ποιῆσαι; καὶ εἶπε πρός με· ταῦτα τὰ κέρατα τὰ διασκορπίσαντα τὸν Ἰούδαν καὶ τὸν Ἰσραὴλ κατέαξαν, καὶ οὐδεὶς αὐτῶν ἦρε τὴν κεφαλήν. Καὶ ἐξῆλθον αὐτοὶ τοῦ ὀξῦναι αὐτὰ εἰς χεῖρας αὐτῶν τὰ τέσσαρα κέρατα, τὰ ἔθνη τὰ ἐπαιρόμενα κέρας ἐπὶ γῆν Κυρίου τοῦ διασκορπίσαι αὐτήν. Οἱ μὲν οὖν μυθολογεῖν ἐθέλοντες τέσσαρα κέρατα τὸν Ἀσσύριον καὶ τὸν Βαβυλώνιον τόν τε Μῆδον καὶ τὸν Πέρσην φασίν. οὐ γὰρ προσέχειν ἐθέλοντες, ὅτι πολλάκις τὸν ἀριθμὸν ἡ θεία γραφὴ οὐκ ἀριθμοῦ

tiam perducebat. quarum primam de adversariorum punitione enarrat, quam etiam in praesenti revelatione priorem dicebat.

V. 18. *Sublatis oculis vidi quatuor cornua.* V. 19. *Et angelo in me loquenti dicebam, quaenam sunt illa? Qui mihi respondit: haec sunt cornua ista, quae Judaeam atque Israelem Hierosolymamque disperserunt.* V. 20. *Tum Dominus quatuor fabros mihi ostendit.* V. 21 *et quum quaererem, ad quidnam faciendum ii venirent, mihi respondit: hi cornua ista, quae Judam Israelemque disperserunt, fregerunt adeo, ut nemo eorum caput tolleret. Et exierunt hi, ut exacuerent in manus suas quatuor cornua, (id est) gentes, quae cornu extulerant adversus terram Domini, ut eam dispergerent.* Qui fabularum sunt amantes, quatuor cornua Assyrios, Babylonios, Medos, Persasque dicunt, nescii autem, scripturam saepe numero uti, non ut accurate numerum definiat, sed aliud quid indicet: qui, quum nomina numeri

γε ἕνεκεν ἀκριβολογουμένη λέγει, ἐπὶ δηλώσει δὲ ἑτέρου τινὸς, φιλονεικοῦσι μὲν ἐφαρμόζειν ὀνομασίας τῷ ἀριθμῷ, μυθολογεῖν δὲ ὡς εἰκὸς ἀναγκάζονται εἰς τὴν τῶν πλασμάτων συνθήκην. ὅπερ οὖν πολλαχοῦ μὲν καὶ ἑτέρωθι πεπόνθασι, καὶ μὴν καὶ ἐπὶ τῆς τοῦ μακαρίου Μιχαίου προφητείας λέγοντος [1]), ὅτι ἐγερθήσονται ἐπὶ τὸν Ἀσσύριον ἑπτὰ ποιμένες καὶ ὀκτὼ δήγματα ἀνθρώπων, ἑπτὰ μὲν ἀνθρώπους τοὺς ποιμένας ὀκτὼ δὲ ἀνθρώπους τὰ δήγματα ἀριθμεῖν φιλονεικοῦντες ἀναγκαζόμενοί τε διὰ ταύτην τὴν αἰτίαν πλείστου γέλωτος ἄξια λέγειν. Τὸν αὐτὸν δὴ τρόπον κἀνταῦθα τέσσαρα κέρατά φασι τοὺς προῤῥηθέντας ἡμῖν, οὐκ ἐννοοῦντες, ὅτι πάλαι μὲν ὁ Ἀσσύριός τε καὶ ὁ Βαβυλώνιος δεδώκεσαν δίκας, Μῆδοι δὲ ὑπὸ Κύρου καθῄρηντο, Πέρσαι δὲ οὐδὲν αὐτοὺς καθάπαξ ἠδικηκότες εὑρίσκονται τοὐναντίον μὲν οὖν καὶ τῆς αἰχμαλωσίας ἀφέντες. Ἡ δὲ θεία γραφὴ τέσσαρα κέρατα οὐ ῥητούς τινας ἀνθρώπους λέγει, ἀλλ' ἐπειδὴ εἰς τέσσαρα πέρατα μεμερίσθαι τὴν οἰκουμένην φαμὲν, ἀνατολάς τε καὶ δυσμὰς καὶ ἄρκτον καὶ μεσημβρίαν, μέμνηται τῶν κλιμάτων τούτων πολλάκις τὸ πολλαχοῦ γινόμενον δηλοῦσα. ὡς ὅταν ὁ

adaptare student, fabulas quin fingant ad componenda sua commenta, fieri nequit. id quod iis multis aliis locis et etiam circa beati Michaeae vaticinium accidit, ubi adversus Assyrios septem pastores et octo morsus hominum surrecturos esse, dicit. inquo septem homines, qui significentur pastoribus, et octo homines, qui significentur morsibus, enumerare gestiunt, multaque eam ob causam risu dignissima dicunt. Eadem ratione etiam hoc loco quatuor cornua istos supra a nobis indicatos esse dicunt, scilicet, Assyrios Babyloniosque olim jam poenas luisse, Medos vero a Cyro fuisse subactos, Persas vero non solum Judaeos nequaquam vexasse, imo potius captivitate eos expedivisse, obliti. Sed scriptura sacra quatuor cornua non certos quosdam homines dicit, sed quum in quatuor regiones orbem divisum dicamus, videlicet orientem, occidentem, septentrionem et meridiem, eorum climatum saepenumero mentionem injicit, ubi id quod multis locis fit significare vult. velut si beatus David de I-

[1]) Mich. V, 5

μακάριος λέγῃ Δαυὶδ περὶ τῶν Ἰσραηλιτῶν [1]), „Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυρίου, οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθροῦ καὶ ἐκ τῶν χωρῶν συνήγαγεν αὐτοὺς ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ βοῤῥᾶ καὶ θαλάσσης.“ εὔδηλον γὰρ ὅτι οὐκ εἰς τὰ τέσσαρα πέρατα τῆς οἰκουμένης διασκορπισθέντας τοὺς Ἰσραηλίτας συνήγαγεν ὁ θεὸς, ὑπὸ Βαβυλωνίοις δὲ καὶ Ἀσσυρίοις μόνοις αἰχμαλώτους ὄντας εἰς τὴν οἰκείαν ἐπανήγαγε γῆν. λέγει δὲ ἡ γραφὴ τὸ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ βοῤῥᾶ καὶ θαλάσσης, ἵνα εἴπῃ ὅτι τοὺς πολλαχόθι διεσπαρμένους ἤθροισέ τε καὶ ἐπανήγαγεν εἰς τὰ οἰκεῖα. Οὕτως οὖν κἀνταῦθα τέσσαρα κέρατα λέγει ἵνα εἴπῃ τοὺς πολλαχόθεν αὐτοῖς ἐπεληλυθότας καὶ παντοίως αὐτοὺς βλάψαι βουληθέντας, εἴτε Ἀσσυρίους εἴτε Βαβυλωνίους εἴτε Ἰδουμαίους ἢ Μωαβίτας ἢ καὶ τοὺς λοιποὺς περιοίκους εἴθ᾽ οὕστινας δήποτε ἑτέρους. Διὰ τοῦτο καὶ τέκτονας τέσσαρα βλέπει, ἵνα εἴπῃ τὰς λειτουργικὰς δυνάμεις, ὡς πολλαχόθεν αὐτοῖς τὴν τιμωρίαν ἐπαναγαγούσας, ἑκάστων τοὺς παρ᾽ αὐτοῖς κατὰ ἀπόφασιν τιμωρησαμένων τὴν θείαν. Τὸ δὲ ὀξῦναι τὰ κέρατα λέγει ἀντὶ τοῦ ἐκλεπτῆναι [2]) αὐτὰ

sraelitis dicit: „Dicant hoc redemti a Domino quos e manu redemit hostis et e regionibus, ex oriente, occidente septemtrioni marique collegit;“ non enim per quatuor plagas dispersos Israelitas Deum coegisse constat, sed sub Babyloniorum Assyriorumque ditione captivos in patriam reduxisse constat; orientis igitur occidentis septemtrionis marisque vocibus utitur scriptura sacra, ut, eos multis in locis dispersos Deum congregasse et in patriam reduxisse, indicet. Ita etiam heic quatuor cornua dicit, significans eos, qui undequaque eos aggressi varioque modo iis nocere conati erant, ut Assyrios ita Babylonios, vel Idumaeos, vel Moabitas, vel reliquos vicinos, vel qualescunque caeteros. Eam ob causam etiam quatuor fabros videt, virtutes ministras significans iis saepenumero poenas infligentes, prout unicuique earum divino nutu puniendi indicabantur. *Exacuere* autem *quatuor cornua* idem est quod extenuare ea omni robore iis ademto, sive hostium vi-

[1]) Ps. CVI, 2. 3. — [2]) Leg. ἐκλεπτῦναι.

καὶ πάντα τὸν ὄγκον αὐτῶν ἀφελεῖν, ἵνα εἴπῃ τὴν περικειμένην τοῖς ἐπελθοῦσι δύναμιν ἀφανίσαι. — Ταῦτα[1]) δὴ τῇ ἀποκαλύψει τὴν τῶν ἠδικηκότων τοὺς Ἰσραηλίτας τιμωρίαν βεβαιώσας ὁ προφήτης ἑτέραν ἀποκάλυψιν λέγει δειχθεῖσαν αὐτῷ δηλωτικὴν τῆς κατὰ τὴν Ἱερουσαλὴμ ἀνανεώσεως. Λέγει δὲ οὕτως.

res delere. Post punitionem eorum, qui Israelitas vexaverant hac revelatione comprobatam, aliam propheta revelationem recitat sibi ob indicandam Hierosolymae restaurationem ostensam. Ita vero dicit.

Κεφάλαιον Β′.

α′. Καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον καὶ ἰδοὺ ἀνὴρ ἐν τῇ χειρὶ αὐτοῦ σχοινίον γεωμετρικόν. β′. καὶ εἶπον πρὸς αὐτόν· ποῦ σὺ πορεύῃ; καὶ εἶπε πρὸς μὲ, διαμετρῆσαι τὴν Ἱερουσαλὴμ, τοῦ ἰδεῖν πηλίκον τὸ πλάτος αὐτῆς ἐστι καὶ πηλίκον τὸ μῆκος. γ′. καὶ ἰδοὺ ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ εἱστήκει καὶ ἄγγελος ἕτερος ἐξεπορεύετο εἰς συνάντησιν αὐτοῦ, δ′, καὶ εἶπε πρὸς αὐτόν· δράμε καὶ λάλησον πρὸς τὸν νεάνισκον ἐκεῖνον λέγων, κατακάρπως κατοικηθήσεται Ἱερουσαλὴμ ἀπὸ πλήθους ἀνθρώπων καὶ κτηνῶν τῶν ἐν μέσῳ αὐτῆς, ε′. καὶ ἐγὼ ἔσομαι αὐτῇ, λέγει κύριος, τεῖχος πυρὸς κυκλόθεν καὶ εἰς δόξαν ἔσομαι ἐν μέσῳ αὐ-

Caput II.

V. 1. *Deinde sublatis oculis meis virum vidi, cujus in manu funiculus mensorius.* V. 2. *Cui quum dixissem, quo tu vadis? mihi respondit: mensuratum Hierosolymam, ut videam, quantae sit latitudinis et quantae longitudinis.* V. 3. *Et ecce angelus in me loquens quum adstaret, angelus alius obvius ei factus,* V. 4. *ei dixit: curre et loquere cum juvene isto dicens; opulenter habitabitur Hierosolyma multitudine hominum pecorumque in medio suo.* V. 5. *et ego ero ei, inquit Dominus, murus igneus circum eam, et gloriam ei in medio suo parabo.* Quum aedificia struentibus in terra latitudinem et longitudinem formasque aedis funiculo mensurare in

[1]) Leg. ταύτῃ.

τῆς. Ἐπειδὴ τοῖς τὰς οἰκοδομὰς ἐργαζομένοις σχοινίῳ μετρεῖν ἔθος ἐπὶ τῆς γῆς τά τε πλάτη καὶ τὰ μήκη καὶ τοὺς τύπους οἰκοδομῆς ἀναγκαίως, ἄγγελον ὁρᾷ πάλιν κατὰ τὸ εἰωθὸς ἐν ἀνθρώπου μορφῇ σχοινίον κατέχοντα τοιοῦτο. ὃς ἐρωτηθεὶς κατὰ τὴν γενομένην ἀποκάλυψιν τῷ προφήτῃ, ὅποιπερ ἄπεισι, μετρῆσαι ἔφη τῆς Ἱερουσαλὴμ ἀπιέναι οἰκοδομὴν ὁποίαν τε καὶ ὅσην αὐτὴν γενέσθαι προσήκει. εἶτα λέγει μὲν πρὸς τὸν ἄγγελον τὸν ἐν αὐτῷ λαλοῦντα, ὃν ἐν τοῖς ἀνωτέροις ἐν ἀνθρώπου μορφῇ καθημένον εἶδεν ἐφ' ἵππου πυῤῥοῦ ἀναμέσον τῶν ὀρέων τῶν κατασκίων, τοῦτο γὰρ ἡμῖν ἐκ τῶν προειληφότων ἐγένετο δῆλον ὅτι τὸν αὐτὸν ἄγγελον ἀναμέσον τε ἑωρακέναι τῶν ὀρεῶν ἔφη καὶ δὴ καὶ λαλεῖν ἐν αὐτῷ· τοῦτον δὴ καὶ νῦν ἑωρακέναι φησὶν ἑστῶτα ὡσὰν ἡδόμενον ἐπὶ τῷ γινομένῳ καὶ ὅτι τὰ τῆς δεήσεως αὐτῷ τῆς πρὸς τὸν θεὸν πρὸς πέρας ἵκται [1]), ἣν ὑπέρ τε τῆς Ἱερουσαλὴμ καὶ τοῦ ἔθνους προσήγαγε τῷ θεῷ, τὸ μὴ μόνον δειχθῆναι τὴν ἐπαχθησομένην τοῖς ἠδικηκόσιν αὐτοὺς τιμωρίαν, ἀλλὰ γὰρ φανῆναι καὶ τὸν τὸ σχοινίον ἔχοντα τὸ γεωμετρικὸν, σύμβολον τοῦ ἐν ἔργῳ τῆς πόλεως εἶναι λοιπὸν τὴν οἰκοδομήν. Εἶτα

more sit, angelum rursus conspicit propheta e consueto hominis in specie, qui talem funiculum tenet. qui a propheta pro revelatione sibi facta, quo abeat, interrogatus, se Hierosolymae aedificationem mensuratum ire dicit, qualis et quanta esse debeat. Deinde angelum in se loquentem adloquitur, quem supra in hominis forma equo rubro insidentem et in mediis umbrosis montibus constantem vidit. E prioribus enim nobis innotuit, eundem angelum mediis in montibus a se conspectum et in se loquentem dici a propheta. eum igitur nunc etiam se vidisse, affirmat, adstantem et quasi laetum de iis quae fierent, et quod quae precatus erat a Deo propter Hierosolymam ejusque populum, eventum habuerint prosperum, ostensa non solum vexatoribus populi infligenda poena, sed etiam angelo comparente, qui funiculum tenebat mensorium, tanquam signum, agi Hierosolymae aedificationem. Deinde alium sibi missum esse angelum, dicit, et cum juvene locutum, nempe eo. qui mensorium tenebat lu-

[1]) Leg. ἧκται.

λέγει ὅτι ἕτερος ἄγγελος ἀποσταλεὶς ἔφη πρὸς αὐτὸν, ὥστε εἰπεῖν τῷ νεανίσκῳ τῷ τὸ γεωμετρικὸν ἔχοντι δηλονότι σχοινίον, οὕτω γὰρ αὐτὸν κέκληκεν, ὡς ἐπὶ τῆς ἀποκαλύψεως εἶδεν ὁ προφήτης τῇ ὄψει τοῦ νεανίσκου δειχθέντα. εἰς δήλωσιν τοῦ μετὰ πάσης ἰσχύος εἰς πέρας τὰ προκείμενα ἄξειν. λέγει τοίνυν, φησὶν, ὁ ἀποσταλεὶς ἄγγελος τῷ ἐν ἐμοὶ λαλοῦντι ἀγγέλῳ μετὰ τάχους τε δραμεῖν καὶ εἰπεῖν τῷ νεανίσκῳ, ὅτι σφόδρα μετὰ πολλῆς τῆς εὐθηνίας ἡ Ἱερουσαλὴμ οἰκηθήσεται ἀπὸ ἀνθρώπων τε καὶ κτηνῶν τῶν ὑπηρετουμένων αὐτοῖς στενοχωρουμένη, ὡς ἂν ταῦτα γνοὺς ἐπὶ μεῖζον ἐκτείνειεν τῆς πόλεως τό τε πλάτος καὶ τὸ μῆκος, ὀφειλούσης ἀρκεῖν τῷ πλήθει τῶν οἰκησόντων αὐτήν. Παρέξω μὲν γὰρ αὐτῇ, φησὶ, πᾶσαν ἀσφάλειαν τὴν ἐξ ἐμοῦ μείζονα ἢ τεῖχος ἐκ πυρὸς κατεσκευασμένον παράσχοι ἂν, αὐταρκὲς ὂν συμφλέγειν τοὺς ἐπιόντας. φανήσομαι δὲ ἐπ' αὐτῶν τῶν ἔργων διὰ τῆς εἰς αὐτοὺς κηδεμονίας, ὥστε παρὰ πᾶσιν ἐν εὐφημίαις τε εἶναι καὶ ἐπαίνοις ὑπὲρ τοῦ μεγέθους τῶν εἰς αὐτὴν εὐεργεσιῶν. Ἐπισημαντέον δὲ κἀκεῖνο ἐν τῷ μέσῳ, ὅτι ὁ ἀποσταλεὶς ἄγγελος τῷ ἀγγέλῳ τῷ λαλοῦντι ἐν αὐτῷ, τουτέστι τῷ ἐν μέσῳ

niculum; ita enim eum appellavit, quum in revelatione sub juvenis visu ea conspiceret, quae ostendebantur indicatum, omnia Deum multa cum potentia ad finem perducturum esse. Angelus igitur, inquit, ille missus angelum in me loquentem, celerrime currere juvenique dicere jubet, Hierosolymam multa in securitate habitatum iri, hominibus jumentisque iis ministrantibus refertam; nempe ut, hac re cognita, eo latius extendat latitudinem et longitudinem urbis, quippe quae multitudini incolarum suarum sufficere debeat. Praesidium enim, inquit, quod ego ei praebo firmius erit, quam quod murus igne exstructus dare possit concremandisque aggressoribus sufficiens. et in ipsis apparebo rebus per curam quae de iis gero, adeo ut penes omnes celebretur laudibusque extollatur ob beneficiorum meorum magnitudinem. Dicendum vero est etiam de illo intermedio, quod angelus missus angelo in eo loquenti, i. e. mediis in montibus equo rubro insidenti dicat, curre et loquere cum juvene isto. Si enim secun-

τῶν ὀρέων ἐπιβεβηκότι τοῦ ἵππου τοῦ πυῤῥοῦ λέγει· δράμε καὶ λάλησον πρὸς τὸν νεάνισκον ἐκεῖνον. Εἰ δὲ κατὰ τοὺς μυθολογεῖν ἐθέλοντας ὁ ἐν μέσῳ τῶν κατασκίων ὀρέων φανεὶς ὁ τοῦ θεοῦ υἱὸς, πῶς οἷόν τε ἦν τὸν ἄγγελον τολμῆσαι πρὸς αὐτὸν εἰπεῖν δράμε καὶ λάλησον πρὸς τὸν νεανίσκον ἐκεῖνον λέγων, κατακάρπως οἰκηθήσεται Ἱερουσαλήμ. ἄγγελον μὲν γὰρ τῷ υἱῷ τοῦ θεοῦ κελεύειν τῶν ἀδυνάτων ἦν, καὶ νομίζειν δὲ τοῦτο ἐσχάτης ἐστὶν ἀσεβείας. ἄγγελον δὲ ἀγγέλῳ σημαίνειν τὸ πρακτέον θαυμαστὸν οὐδὲν, ἐπειδὴ τῶν ὑπηρετῶν ἴδιον μηνύειν ἀλλήλοις τὰ δεσποτικὰ βουλεύματα, καὶ πολλῷ γε πλέον τοὺς ἐπὶ τοῦτο πεμπομένους παρὰ τοῦ πάντων Κυρίου. οἷόν τι καὶ νῦν ἐγίνετο· τοῦ γὰρ ἀγγέλου τοῦ λαλοῦντος ἐν αὐτῷ τὴν ὑπὲρ τῆς πολέως προσαγαγόντος δέησιν, εἰκότως ὁ πεμφθεὶς ἄγγελος κατὰ γνώμην θεοῦ δραμεῖν αὐτῷ καὶ λαλῆσαι κελεύει τὰ προσήκοντα πρὸς τὸν νεανίσκον ὡσὰν εὐαγγελιζόμενος, ὅτι περ αὐτῷ τὰ τῆς δεήσεως ἧκται[1]) πρὸς πέρας[2]) καὶ δέδοκται μὲν περὶ τῆς Ἱερουσαλὴμ τῷ θεῷ τὰ κρείττω. χρὴ δὲ καὶ αὐτὸν ὡς ἰσχύσαντα ἐφ' οἷς ἐδεήθη παρὰ τῷ θεῷ μεθ' ἡδονῆς

dum eos qui fabularum sunt amantes, is qui inter medios montes comparebat, filius erat Dei, quomodo fieri poterat ut angelus huic dicere auderet, curre et loquere cum juvene illo dicens, opulenter habitabitur Hierosolyma. Fieri enim nequibat, ut angelus filio Dei quidquam mandaret, et hoc credere summae est impietatis. quod autem angelus alteri angelo, quid faciendum, indicet non mirum, quum ministri sibi invicem domini mandata tradere soleant, praesertim quum ad id faciendum ab universorum Domino mittuntur. Id quod etiam nunc accidebat. quum enim angelus in eo loquens precationem propter urbem fecisset, recte angelus missus ex decreto Dei eum currere et cum juvene isto convenientia loqui, jubet, quippe nuntiantem, preces suas non frustra factas esse, sed feliciora Deum de Hierosolyma decrevisse; unde etiam eum impetrato eo, quod a Deo petierat, multa cum laetitia jussis obtemperare, et multa cum celeritate ei, qui ob aedifican-

[1]) Cod. rursus ἴκται. — [2]) Cod. πέτρας.

τε τοῖς κεκελευσμένοις ὑπηρετεῖσθαι καὶ μετὰ πολλοῦ τοῦ τάχους τῷ ἐπὶ τὴν οἰκοδομὴν ἀποσταλέντι τῆς πόλεως γνωρίσαι τὰ περὶ αὐτῆς δόξαντα τῷ Θεῷ. Ἀλλὰ γὰρ ἀναγκαίως θάρσους ἐκ τῶν δειχθέντων ὁ προφήτης πληρωθεὶς ἐβόα λέγων.

ς΄. Ὦ, ὤ, φεύγετε ἀπὸ τῆς βοῤῥᾶ, λέγει κύριος, διότι ἐκ τῶν τεσσάρων ἀνέμων τοῦ οὐρανοῦ συνάξω ὑμᾶς, λέγει κύριος, ζ΄. εἰς Σιὼν, ἀνασώζεσθε οἱ κατοικοῦντες θυγατέρα Βαβυλῶνος. Κελεύει γὰρ δὴ καὶ τοῖς λοιποῖς τῶν ἐπὶ τῆς αἰχμαλωσίας ὄντων ἔτι μετὰ πολλῆς ἐκτρέχειν τῆς σπουδῆς ἐπὶ τὸ Σιὼν ὄρος, θαῤῥοῦντας τοῖς ἐπηγγελμένοις τῷ Θεῷ περὶ τῆς Ἱερουσαλὴμ, ὃς ὑπέσχετο πανταχόθεν αὐτοὺς εἰς αὐτὴν συνάξειν. κἀνταῦθα μέντοι πάλιν τὸ ἐκ τῶν τεσσάρων ἀνέμων οὐκ ἀριθμόν τινα ἀλλὰ τὸ πανταχόθεν δηλοῖ, ὡς ἂν θαῤῥοῦντες οἱ τὴν Βαβυλωνίων οἰκοῦντες χώραν ἔτι τῶν Ἰουδαίων ἐπὶ τὴν Ἱερουσαλὴμ ἐπείγοιντο πάντες, οὗπερ διάγοντες βεβαίαν ἕξουσι τοῦ λοιποῦ τὴν σωτηρίαν τοῦ Θεοῦ κατὰ τὰς οἰκείας αὐτοὺς φυλάττοντος ἐπαγγελίας. Ὅτι μὲν καθῄρητό τε Βαβυλὼν καὶ πᾶσα πέπαυτο ἡ Βαβυλωνίων ἀρχὴ κατὰ τὸν Δαρείου τοῦ βασιλέως καιρὸν,

dam urbem missus erat Dei circa eam consilia indicare, decebat. propheta his omnibus ostensis necessario fiducia repletus exclamabat locutus.

V. 6. *O, o, fugite e terra septemtrionis, inquit Dominus, nam ex quatuor coeli ventis cogam vos, inquit Dominus*; V. 7 *in Sionem salvabimini, qui filiam Babylonis inhabitatis.* Etiam reliquos, qui in captivitate adhuc erant, ad Sionem montem studiosissime properare jubet, confisos Dei circa Hierosolymam promissionibus, ut qui undequaque eos se in istam reducturum esse pollicitus sit. Etiam hoc loco loquela ex quatuor ventis non numerum significat, sed idem quod undequaque; ut, Judaeorum quotquot Babyloniorum adhuc in terra erant, omnes bono animo Hierosolymam properent, ubi in posterum perpetuam nacturi sint salutem, Deo eorum, uti promiserat, tutore. Babylonem quidem destructam fuisse, totumque Babyloniorum imperium Darii regis tempore desiisse, constat,

δῆλον, ἀλλ' ὅμως μηνύων τοὺς κατ' ἐκεῖνον ὀφείλοντας τὸν καιρὸν ἀνελθεῖν. καὶ γὰρ ἀνῆλθον ἐπὶ Δαρείου οὐκ ὀλίγοι τὸν ἀριθμὸν, ὅμως ἐκ τῆς Βαβυλῶνος αὐτοὺς ἀνελθεῖν κελεύει, ἵνα εἴπῃ τῆς αἰχμαλωσίας ἣν ὑπὸ Βαβυλωνίων ὑπομεμενήκεσαν, πρόδηλον δὲ ὡς ἐν ἐπιτάγματος σχήματι μήνυσιν τοῦ ἐσομένου ποιεῖται.

η'. Διότι τάδε λέγει κύριος παντοκράτωρ· ὀπίσω δόξης ἀπέσταλκέ με ἐπὶ τὰ ἔθνη τὰ σκυλεύσαντα ὑμᾶς, διότι ὁ ἁπτόμενος ὑμῶν ὡς ὁ ἁπτόμενος τῆς κόρης τοῦ ὀφθαλμοῦ αὐτοῦ. θ'. διότι ἐγὼ ἐπιφέρω τὴν χεῖρά μου ἐπ' αὐτοὺς, καὶ ἔσονται σκῦλα τοῖς δουλεύουσιν αὐτοῖς, καὶ γνώσεσθε ὅτι κύριος παντοκράτωρ ἀπέσταλκέ με. Ταῦτα γὰρ ὑμῖν, φησὶν, εἰρημένα λέγω τοῦ εἰρηκότος κελεύσαντος θεοῦ, ὃς ἀπέσταλκέ με τὴν δόξαν ὑμῖν γνωριοῦντα καὶ τὸ μέγεθος τῆς αὐτοῦ δυνάμεως, ἧς ἐπιδείξεται κατὰ τῶν ὑμᾶς ἠδικηκότων, οὕτως ὀργιζόμενος ἐπὶ τοῖς τι λυπεῖν ὑμᾶς βουλομένοις, ὡς ἂν ὀργισθείη, εἴ τις αὐτοῦ τὰς κόρας βλάπτοι τῶν ὀφθαλμῶν. Εὔδηλον μὲν οὖν ὅτι ἀνθρωπίνως τὸ τῆς κηδεμονίας ἐξαίρετον εἰπεῖν ἠβουλήθη. Οὕτω δὲ βα-

sed eos significat, qui isto tempore reversuri erant; et redierunt quidem Dario rege haud pauci, nihilominus redire eos jubet Babylone, id est, e captivitate, in quam a Babyloniis abacti erant. Nam sub mandati specie eum futura recitare, nemo non videt.

V. 8. *Haec dicit Dominus omnipotens: propter gloriam misit me ad gentes, quae vos spoliarunt; nam qui vos tetigerit, is velut pupillam oculi ejus tangit.* V. 9. *Nam ego attollam manum meam contra eos, et erunt praedae servis suis. et vos intelligetis, Dominum omnipotentem me misisse.* Haec, inquit, vobis dico, jubente Deo, qui me misit, ut gloriam vobis annuntiem et magnitudinem potentiae suae, quam declarabit, iis, qui vos vexarunt tantopere iratus, quantopere irasceretur, si quis oculi ejus pupillum laederet. Quibus humana ratione insignem suam providentiam eum depingere, neminem fugit. tam gravem nempe, inquit, hostibus vestris infligam punitionem, ut ab iis expugnentur et interimantur, quos an-

ρείαν ἐπάξω, φησὶ, τοῖς ἐχθροῖς τοῖς ὑμετέροις τὴν τιμωρίαν, ὥστε ὑπ᾽ ἐκείνων ἐκπολιορκηθῆναί τε καὶ πορθηθῆναι, οὓς τὸ πρότερον ἐν δούλων εἶχον τάξει, ὡς ἂν ἐξ αὐτῶν γένοιτο δῆλον τῶν πραγμάτων, ὅτι γνώμῃ Θεοῦ τοῦ πάντων κυρίου εὐαγγελίζομαι ταῦτα ὑμᾶς. — Εἶτα καὶ πρὸς τὴν πόλιν ἀποστρέψας τὸν λόγον· θυγατέρα γὰρ τῆς Σιὼν τὴν Ἱερουσαλὴμ εἴωθε ὀνομάζειν.

ι΄. Τέρπου καὶ εὐφραίνου, θύγατερ Σιὼν, διότι ἰδοὺ ἐγὼ ἔρχομαι καὶ κατασκηνώσω ἐν μέσῳ σου λέγει Κύριος. Ἐν ἡδοναῖς ἔσο τοῦ λοιποῦ· ἕξεις γάρ με ἐν σοὶ τῇ κηδεμονίᾳ δεικνύμενον. — ια΄. Καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν Κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἔσονται αὐτῷ εἰς λαὸν καὶ κατασκηνώσουσιν ἐν μέσῳ σου, καὶ ἐπιγνώσῃ ὅτι Κύριος παντοκράτωρ ἀπέσταλκέ με πρὸς σέ. ιβ΄. καὶ κατακληρονομήσει Κύριος τὸν Ἰούδαν καὶ τὴν μερίδα αὐτοῦ ἐπὶ τὴν γῆν τὴν ἁγίαν, καὶ αἱρετιεῖ ἔτι τὴν Ἱερουσαλήμ. Τοσαύτην δὲ, φησὶ, τὴν περὶ ὑμᾶς ἐπιδείξομαι κηδεμονίαν, ὥστε καὶ τῶν ἀλλοτρίων πολλοὺς ἐφ᾽ ὑμᾶς καταφυγεῖν Θεὸν ὁμολογοῦντας ἑαυτῶν ἐμὲ τὸν παρ᾽ ὑμῶν γνωρι-

tea servos habuere, et hinc clarum fiat ex ipsis rebus, me ex Dei omnium domini decreto haec vobis annuntiare. Deinde ad urbem dirigit sermonem, nam filiam Sionis Hierosolymam nominare solet.

V. 10. *Gaude et laetare, filia Sionis, nam ecce ego veniam et in medio tuo habitabo, dicit Dominus.* Laeta jam sis inposterum: habebis enim me apud te providentiâ meâ perspicuum. — V. 11. *Multaeque gentes ad Dominum confugient die illo, eique erunt quasi populus suus, et in medio tuo habitabunt, et tum intelliges, Dominum omnipotentem me misisse ad te.* V. 12. *Et obtinebit Dominus Judam, partemque suam in terra sancta, atque Hierosolymam iterum eliget.* Tantam, inquit, vestrûm geram curam, ut multi etiam alienigenarum ad vos confugientes me suum professuri sint Deum, quem a vobis cognoverint; nec non relictis suis regionibus apud vos domicilium suum consti-

ζόμενον, οἳ καὶ τῶν οἰκείων ἀποστάντες τόπων τὴν οἴκησιν αἱρήσονται τὴν ἐν σοὶ διὰ τὴν κηδεμονίαν τὴν ἐμήν. Τότε δὴ μάλιστα γνώσεσθέ με θεοῦ γνώμῃ τοῦ πάντων κυρίου ὑμῖν ταῦτα εὐαγγελιζόμενον, ὃς τῷ τε Ἰούδα τὴν παλαιὰν αὐτῷ μερίδα τῆς γῆς ἀποδώσει πᾶσαν τὴν Ἱερουσαλήμ τε ἀποφανεῖ παρὰ πᾶσιν λαμπράν. Εἶτα ἀκολούθως ἐπάγει·

ιγ΄. Εὐλαβείσθω πᾶσα σὰρξ ἀπὸ προσώπου Κυρίου, ὅτι ἐξεγήγερται ἐκ νεφελῶν ἁγίων αὐτοῦ. ὥστε πᾶσιν ὁμοίως τοῖς τε οἰκείοις καὶ τοῖς ἀλλοτρίοις ἁρμόττειν δεδοικέναι λοιπὸν τὸν θεόν, ὃς ἐκ τῶν ἀνωτέρων τόπων, οὓς οἰκεῖν τε εἴωθε καὶ ἁγίους ἐκ τῆς οἰκήσεως ἀποδεικνῦναι τῆς οἰκείας, κεκίνηται δὲ ἐπὶ βοήθειαν ἡμετέραν ἐλθεῖν, τοῦτον φοβεῖσθαι πᾶσιν ἁρμόττον, τοῖς τε οἰκείοις, ὡς ἂν μὴ παρανομοῖεν καθάπαξ, καὶ τοῖς ἀλλοτρίοις, ὡς ἂν μηδὲν περὶ τοὺς αὐτῷ προσήκοντας ἐπιχειροῖεν ἔτι. —

Οὕτω δὴ ταῖς ἀποκαλύψεσι ταύταις τὰ ἐπὶ τῆς πρόσθεν ἀποκαλύψεως μηνυθέντα βεβαιώσας, ὅτι τε τιμωρήσεται τοὺς ἐναντίους καὶ ὅτι εὖ ποιήσει τὴν Ἱερουσαλὴμ ἅπαντάς τε τοὺς προσήκοντας αὐτῇ τῶν Ἰουδαίων, ἐφ᾽ ἑτέρας ἀποκαλύψεις τρέπεται μάλα γε πρὸς τὸ προκείμε-

tuent ob curam meam. Tunc potissimum, auctore Deo omnium Domino, qui Judae pristinam suam partem redditurus est totamque Hierosolymam apud omnes declaraturus splendidam, haec vobis me annuntiare, intelligetis. Deinde consequenter addit:

V. 13. *Revereatur omnis caro faciem Domini, quoniam surrexit de nubibus suis sanctis.* Tunc pariter omnes et familiares et alienigenas Deum revereri, par erit, quum e superioribus regionibus, quas habitare habitationeque sua sanctas declarare solet, ob nostram salutem prodire decreverit, eumque revereri omnibus convenit, uti familiaribus suis, ne unquam delinquant, ita alienigenis, ne quidquam adversus illos iterum moliantur.

Jam confirmatis per has revelationes iis, quae in priore revelatione ostensa erant, nempe puniturum se esse adversarios Hierosolymaeque omnibusque ei adhaerentibus Judaeis benefacturum, ad alias se convertit revelationes in praesens maxime

νον ἀναγκαίας. ἐν αἰχμαλωσίᾳ μὲν γὰρ τυγχάνοντες καὶ βασιλέως ἐστέρηντο καὶ ἱερέως, ἃ δὴ κυριώτατα πρὸς τὴν τοῦ ἔθνους συγκράτησιν ἦν, τοῦ βασιλέως μὲν ἔν τε τοῖς πολέμοις καὶ τῇ τῶν λοιπῶν διοικήσει τὴν χρείαν παρεχομένου τὴν οἰκείαν, τοῦ ἱερέως δὲ τῶν τε δεήσεων καὶ τῶν ἱκεσιῶν καὶ πάσης δὴ τῆς θεῷ προσηκούσης ἐξάρχοντος λειτουργίας, ὅπερ οὖν καὶ ὁ προφήτης Ὠσηὲ προλέγων, „Διότι ἡμέρας, φησὶ[1]), πολλὰς καθίσονται οἱ υἱοὶ Ἰσραὴλ οὐκ ὄντος βασιλέως, οὐδὲ ὄντος ἄρχοντος, οὐδὲ οὔσης θυσίας, οὐδὲ ὄντος θυσιαστηρίου, οὐδὲ ἱερατείας, οὐδὲ δήλων.“ Δεικνύει δὲ διὰ τῆς παρούσης ἀποκαλύψεως ὁ θεὸς τῷ προφήτῃ εἰς διδασκαλίαν παντὸς τοῦ λαοῦ, ὅτι καὶ ταῦτα, ἃ δὴ μέγιστά τε καὶ πρῶτα καὶ ἀναγκαῖα πρὸς τὴν τοῦ κοινοῦ συγκράτησιν, ὧνπερ ἐπὶ τῆς αἰχμαλωσίας εἰκὸς ἐστέρηντο, ἀποδοθήσεται νῦν αὐτοῖς παρὰ τοῦ θεοῦ, ἅτε τῆς πόλεως σὺν τῷ ἔθνει πᾶσαν τὴν εὐκοσμίαν ἀπολαμβάνειν μελλούσης τὴν οἰκείαν. λέγει τοίνυν οὕτως.

necessarias. In captivitate enim quum essent, et rege et sacerdote privati erant, quibus tamen ad conservandum populum admodum iis opus erat: namque rex in bellis caeterisque administrandis utilis erat, sacerdos autem precibus et supplicationibus et toti Deo debitae religioni persolvendae operam navabat. id quod etiam Hoseas prophetae praecinerat, qui „Multos dies, inquit, sedebunt filii Israelis sine rege, sine principe, sine sacrificio, sine ara, sine sacerdotio, sine manifestationibus.“ Per praesentem autem revelationem Deus ob instituendum universum populum prophetae ostendit, etiam haec duo, quae sane maxima et praecipua et ad rem publicam conservandam necessaria erant, quibusque in captivitate, ut rerum ferebat natura, caruerant, nunc iis redditum iri a Deo, quia urbs cum populo omnem suum statum decorum recuperatura sit. Et ita quidem incipit.

Κεφάλαιον Γ'.

α'. Καὶ ἔδειξέ μοι Κύριος τὸν Ἰησοῦν τὸν ἱερέα

Caput III.

V. 1. *Et ostendit mihi Dominus Josuam, sacerdo-*

[1]) Hos. III, 4.

τὸν μέγαν ἑστῶτα πρὸ προσώπου ἀγγέλου κυρίου καὶ ὁ διάβολος εἱστήκει ἐκ δεξιῶν αὐτοῦ τοῦ ἀντικεῖσθαι αὐτῷ. β'. καὶ εἶπε Κύριος πρὸς τὸν διάβολον· ἐπιτιμήσαι Κύριος ἐν σοὶ διάβολε καὶ ἐπιτιμήσαι Κύριος ἐν σοὶ ὁ ἐκλεξάμενος τὴν Ἱερουσαλήμ. οὐκ ἰδοὺ τοῦτο ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρός; γ'. Καὶ Ἰησοῦς ἦν ἐνδεδυμένος ἱμάτια ῥυπαρὰ καὶ εἱστήκει πρὸ προσώπου τοῦ ἀγγέλου. δ'. καὶ ἀπεκρίθη καὶ εἶπε πρὸς τοὺς ἑστηκότας πρὸ προσώπου αὐτοῦ λέγων, ἀφέλετε τὰ ἱμάτια τὰ ῥυπαρὰ ἀπ' αὐτοῦ. καὶ εἶπε πρὸς αὐτὸν, ἰδοὺ ἀφήρηκα ἀπὸ σοῦ τὰς ἀνομίας σου, καὶ ἐνδύσατε αὐτὸν ποδήρη, ε'. καὶ ἐπίθετε μίτραν καὶ κίδαριν καθαρὰν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. Ἀναγκαίως δὴ τῆς ἱερωσύνης τὴν ἀποκατάστασιν ἐπὶ τοῦ προσώπου τοῦ ἱερέως ὁρᾷ, ἅτε καὶ τῆς ἱερωσύνης οὐ καθ' αὑτὴν φαινομένης ἀλλ' ἐπὶ τῶν μεταχειρίζεσθαι τεταγμένων αὐτήν. ὁρᾷ τοίνυν Ἰησοῦν τὸν ἱερέα τὸν μέγαν (μέγαν δὲ λέγει τὸν κατὰ διαδοχὴν τῷ Ἀαρὼν προσήκουσαν ἐκτελοῦντα λειτουργίαν) πρὸ ἀγγέλου μὲν ἑστῶτα, ἐπειδὴ πάντων

tem summum, stantem coram angelo Domini; diabolus vero stabat a dextera ejus, ut eum accusaret. V. 2. *Dixitque Dominus diabolo: Increpet te, diabole, Dominus, increpet te Dominus, qui elegit Hierosolymam. Ecce, nonne hoc quasi torris est ex igni ereptus?* V. 3. *Josua vero indutus erat vestibus sordidis, stabatque coram angelo.* V. 4. *Tum hic stantibus coram se dixit, et, detrahite ei, inquit, sordidas vestes. Et deinde ipsum allocutus est ita: Ecce detraxi tibi iniquitates tuas! Jam induite ei vestem talarem,* V. 5. *mitramque et tiaram puram capiti ejus imponite.* In sacerdotis persona necessario sacerdotii redintegrationem videt; namque sacerdotium non per se compareret, sed in eo, cui injunctum est id munus. Josuam igitur videt, sacerdotem summum (summus enim erat, qui per successionem Aaroni injuncto fungebatur munere sacerdotali) coram angelo stantem; omnium enim hominum tutela angelis est

μὲν ἀνθρώπων ἄγγελοι τὴν ἐπιστασίαν εἰσὶν ἐπιτετραμμένοι, καθὼς ὅ τε κύριος ἐν τοῖς εὐαγγελίοις φησίν[1]), „Οἱ ἄγγελοι αὐτῶν διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς," ἔν τε ταῖς πράξεσι τῶν μακαρίων ἀποστόλων ὅτι „Ὁ ἄγγελος αὐτοῦ ἐστι[2])" περὶ τοῦ μακαρίου λέγοντες Πέτρου. Ἀναγκαίως δὲ καὶ οὗτος πρὸ προσώπου φαίνεται ἀγγέλου τούτέστι τοῦ τὴν κηδεμονίαν αὐτοῦ κατὰ θείαν ἐπιτετραμμένου βουλήν. εἱστήκει δὲ καὶ ὁ διάβολος τοῦ ἀντικεῖσθαι αὐτῷ, ὅπερ[a]) ἔργον ἀντιπράττειν τοῖς τῶν ἀνθρώπων ἀγαθοῖς. οὗτος δή, φησί, καὶ τότε ἐπηρεάζειν αὐτῷ πᾶσαν εἶχε σπουδὴν ἐξωθῶν αὐτὸν τῆς τεταγμένης αὐτῷ λειτουργίας, ἣν οὐδὲ ἐκτελεῖν αὐτὸν ἐπὶ τῆς αἰχμαλωσίας οἷός τε ἦν. λέγει δὴ τούτῳ τὸν θεὸν ἐπιτιμῆσαι τὸν τὴν Ἱερουσαλὴμ ἐκλεξάμενον, ὡς ἂν γνοίη πᾶσαν τὴν ἀντίστασιν τὴν διαβολικὴν ὑπὸ τῆς τοῦ θεοῦ πεπαυμένην κηδεμονίας, ὃς τὴν Ἱερουσαλὴμ ἐκλεξάμενος ἀναγκαίως καὶ τούτῳ τῆς ἱερωσύνης ἀποδίδωσι τὴν εὐπρέπειαν. Τὸ δέ, ἰδοὺ τοῦτο ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρός, ἵνα εἴπῃ, ὅτι ὡς ἂν εἴ τις ξύλον μέλλον ὑπὸ πυρὸς καταναmandata, sicut Dominus in evangeliis dicit, „Angeli eorum semper adspiciunt faciem patris mei in coelis;" et in Actibus beatorum apostolorum legimus: „Angelus ejus est," nimirum beati Petri. Recte igitur etiam ille coram angelo conspicitur, nempe eo, cui illius divino consilio cura mandata erat; nec non diabolus adstabat, ut ei adversaretur, ut cui negotium sit bonis hominibus obnitendi. Is, inquit, etiam tunc ei nocere omni cura studebat, ut eum e munere constituto depelleret, quo in captivitate perfungi nequiverat. Deum vero, ut qui Hierosolymae faveret, istum increpuisse, dicit, ut inde, omnem diabolicam repugnantiam Dei providentia esse sedatam intelligeret; namque is quum Hierosolymae faveret etiam illi (Josuae) sacerdotii dignitatem redderet, necesse erat. Verba autem, Ecce nonne hoc quasi torris est ex igne ereptus? significant hoc: quasi quis li-

[1]) Matth. XVIII, 10. — [2]) Act. XII, 15. — [a]) F. l. ᾧπερ.

λίσκεσθαι ἀθρόον ἐκσπάσας ἀβλαβὲς τηρήσειεν, οὕτω δὴ καὶ τοῦτον ὡς ἐν πυρὶ τῇ τῆς αἰχμαλωσίας ἀνάγκῃ καθεστῶτα καὶ καταφλεχθῆναι ὑπ᾽ αὐτῆς κινδυνεύοντα ἐξέσπασά τε καὶ τῶν περιεχόντων ἀπήλλαξα κακῶν. Ἐνεδέδυτο δὲ, φησὶν, ἱμάτια ῥυπαρὰ ὁ Ἰησοῦς, ἵνα εἴπῃ ὅτι τὸ περικεχυμένον ἐκ τῆς αἰχμαλωσίας αὐτῶν[1]) πένθος, ἐν ᾧπερ διῆγε παντελῶς ἔξω τῆς λειτουργίας ὑπάρχων τῆς θείας καὶ ἐν βαρύτητι καθεστὼς δουλείας. ταῦτα ἀφελεῖν ἀπ᾽ αὐτοῦ τοῖς ἑστήκοσιν ἐπιτάττει θεός, τουτέστι ταῖς ὑπηρετουμέναις λειτουργικαῖς δυνάμεσιν, εἴγε[2]) ταῖς θείαις ὑπηρετούμεναι βουλαῖς ἀφεῖλόν τε αὐτοῦ τῆς αἰχμαλωσίας τὴν ἐσθῆτα καὶ τὸ πένθος ἅπαν ἐκεῖνο καὶ εἰς τὴν πόλιν ἐπανήγαγον τὴν οἰκείαν. Εἶτα τούτου γεγονότος φησὶν πρὸς αὐτόν· ἀφήρηκα πάσας τὰς ἀνομίας σου, δηλῶν ὅτι τὰ τῆς αἰχμαλωσίας λέλυται κακὰ ἐπειδὴ τῶν ἁμαρτιῶν ἀφεῖλε τὴν μνήμην. εἶτα ἑξῆς κελεύει, τὸν ποδήρη τε αὐτὸν ἐνδύσασθαι καὶ περιτεθῆναί τε αὐτῷ τὴν μίτραν καὶ τὴν κίδαριν, εἰς ἔνδειξιν τοῦ τῆς ἱερωσύνης αὐτῷ λοιπὸν ἐπιτετράφθαι τὴν ἐξουσίαν. ὅπερ οὖν καὶ γέγονε κατὰ τὸ σύνθημα τὸ θεῖον. — Ταῦτα εἰρηκὼς ὁ προ-

gnum, ubi in eo est, ut igne absumatur, subito protraxerit atque incolume servaverit, ita etiam hunc, quum inter captivitatis miserias ab iis concremari periclitaretur, e malis urgentibus protraxi et expedivi. Vestibus autem sordidis Josuam indutum fuisse, dicit, ut luctum indicet, quo divino ministerio plane exutus et captivitatis gravitate onustus degit. haec vero ei detrahere adstantes i. e. virtutes ministras jubet, quae divinis nutibus obtemperantes detracta isti veste captivitatis omnique illo luctu eum in patriam urbem reduxere. Quo facto ita eum alloquitur: Abstuli omnes iniquitates tuas, significans, abstersa peccatorum memoria etiam captivitatis mala soluta esse. Deinde ei talarem vestem indui mitramque et tiaram imponi jubet, quo sacerdotii munus ei in posterum traditum iri, significet; id quod etiam factum est, uti Deus jussit. — Haec ubi dixit ut sacerdotium iis reddi sacerdotemque rursus munere

[1]) Leg. αὐτῷ. — [2]) Leg. αἵ γε.

φήτης εἰς ἔνδειξιν τοῦ τὴν ἱερωσύνην αὐτοῖς ἀποδεδόσθαι καὶ τὴν ἱερέα πάλιν ἐπὶ τῆς συνήθους ἐξετάζεσθαι λειτουργίας τὴν οἰκείαν περὶ τὸ πρᾶγμα παῤῥησίαν τε ἔχοντα καὶ ἐξουσίαν, ἐπάγει.

ς'. Καὶ ὁ ἄγγελος Κυρίου εἱστήκει, καὶ διεμαρτύρετο ὁ ἄγγελος Κυρίου πρὸς Ἰησοῦν λέγων. ζ. τάδε λέγει κύριος παντοκράτωρ, ἐὰν ἐν ταῖς ὁδοῖς μου πορεύσῃ καὶ ἐὰν τὰ προστάγματά μου φυλάξῃς, καὶ σὺ διακρινεῖς τὸν οἶκόν μου, καὶ ἐὰν διαφυλάσσῃς τὴν αὐλήν μου, καὶ δώσω σοι ἀναστρεφομένους ἐν μέσῳ τῶν ἑστηκότων τούτων. Ἀκολούθως ἀπειληφότι τῆς ἱερωσύνης τὴν ἐξουσίαν ταῦτα εἰρῆσθαί φησιν, ὡς ἂν γνοίη ὅπως αὐτὸν μεταχειρίζεσθαι προσῆκε τὴν λειτουργίαν. ἐὰν γάρ, φησίν, ἐπιμένῃς τῶν προστεταγμένων παρ' ἐμοῦ φροντίδα ποιούμενος, ἔσῃ μὲν ἐν ἱερέως αὐθεντίᾳ κρίνων τοῖς πᾶσι, καὶ τῇ αὐλῇ δὲ τῇ ἐμῇ τὴν προσήκουσαν φυλακὴν διὰ τῆς ἐπιμελείας προσάγων τῆς οἰκείας, παραπέμψεις δὲ καὶ εἰς διαδόχους τὴν τιμήν, οἳ γενήσονται ἐν μέσῳ παντὸς τοῦ λαοῦ τὴν προσήκουσαν αὐτοῖς λειτουργίαν ἐκτελοῦντες. — Εἶτα καὶ τῆς βασιλείας τὴν ἀποκατάστασιν δηλῶν οὕτω λέγει.

suo consueto, venia potestateque ejus rei impetrata, perfuncturum esse, ostendat, jam pergit:

V. 6. *Deinde angelus Domini adstitit, et Josuam contestatus dixit.* V. 7. *Haec ait Dominus omnipotens, si in viis meis incesseris, legemque meam servaveris; tu judicabis domum meam: et si custodieris atrium meum; dabo tibi, qui conversentur in mediis his stantibus.* Consequenter ei, qui sacerdotii munere praeditus erat, haec dicta esse, perhibet, nempe ut quomodo munus sibi administrandum sit, sciret. Si eorum, quae ego praecepi, sedulo curam gesseris, sacerdotali dignitate praeditus omnes judicabis, atrioque meo justam diligentia tua si adhibuerit custodiam, etiam successoribus honorem eum transmittes, qui in toto populo munus suum administrabunt. Deinde etiam regii muneris redintegrationem declarat ita locutus.

η'. Ἄκουε δὴ Ἰησοῦ, ὁ ἱερεὺς ὁ μέγας, σὺ καὶ οἱ πλησίον σου οἱ καθήμενοι πρὸ προσώπου σου, διότι ἄνδρες τερατοσκόποι εἰσίν. ἵνα εἴπῃ, πρός σέ μοι ὁ λόγος καὶ πάντας τοὺς σὺν σοὶ ἄρχειν τοῦ λαοῦ πεπιστευμένους ἔν τε διδασκαλίᾳ καὶ ἐξηγήσει νομίμων καὶ τῇ λοιπῇ τῶν εἰς θεοσέβειαν ἡκόντων λειτουργίᾳ, οὓς τερατοσκόπους διὰ τοῦτο καλεῖ ὡς τῶν παρὰ τοῦ θεοῦ παραδόξως γινομένων τὰς αἰτίας σκοπεῖν τε καὶ εἰδέναι οἵους τε ὄντας. τί οὖν φησι; Διότι ἰδοὺ ἐγὼ ἄγω τὸν δοῦλόν μου ἀνατολήν. θ'. διότι λίθος, ὃν ἔδωκα πρὸ προσώπου Ἰησοῦ ἐπὶ τὸν λίθον τὸν ἕνα ἑπτὰ ὀφθαλμοί εἰσιν. Ἄγω γάρ, φησὶ, τὸν δοῦλον τὸν ἐμὸν, (τὸν Ζοροβάβελ λέγων) καὶ ἀποκαθίστημι τῇ βασιλείᾳ, ἀνατολῆς οὐχ ἧττον λαμπρὸν τῇ τῆς ἐξουσίας περιουσίᾳ δεικνύς. τοῦτον δὴ ὥσπερ τινὰ λίθον τίθημι πρὸ τῶν ὀφθαλμῶν τῶν σῶν, ἐφ' ᾧπερ ἐστηρίχθαι σε χρῆ παρέχοντα μὲν αὐτῷ τὴν ἐκ τῶν προσευχῶν καὶ τῆς ἱερωσύνης βοήθειαν, κομιζόμενον δὲ παρ' αὐτοῦ τὴν σπουδὴν, ἣν ἐν τοῖς κατὰ τῶν ἐναντίων ἐπιδείκνυται πολέμοις, ὡς ἂν ἐν εἰρήνῃ διάγοντες ἐκτελοίητε τὴν ἱερωσύνην δεόντως. θαῤῥεῖν δέ σε τούτῳ προσ-

V. 8. *Audi ergo, Josua, summe sacerdos, tu, quique proximi coram te assident, quoniam viri harioli sunt.* i. e. Tecum loquor et cum omnibus, qui tecum populi principatum tenent quoad doctrinam et legum interpretationem et caetera, quae pietatem spectant, administranda munera. eos vero hariolos nominat, tanquam si portentorum divinorum causas perspicere et intelligere possint. Quid igitur dicit? *Ecce ego adducam servum meum, Orientem.* V. 9. *nam lapis, quem constitui coram Josua — in eo uno lapide septem oculi sunt.* Adducam enim, inquit, servum meum (Zorobabelem dicit) eumque reddam regno atque potestatis suae copia oriente non inferiorem quoad splendorem declarabo. Eum quasi lapidem ob oculos tuos pono, cui inniti te oportet, praebito ei praecationum et sacerdotii auxilio, acceptoque ab eo studio, quod in bellis adversus hostes gerendis declarabit, ut vos pace fructi sacerdotio rite perfungi queatis. fiduciam igitur in hoc lapide ponere te decet, septem oculos eum habere, ratum. Se-

ἧκε τῷ λίθῳ ἑπτὰ μετέχειν αὐτὸν ὀφθαλμῶν νομίζοντα. Κἀνταῦθα δὲ τῷ ἑπτὰ οὐκ ἐπὶ ἀκριβολογίας ἀριθμοῦ λέγει, ἀλλ' ἵνα εἴπῃ, ὅτι δυνήσεται δὲ ταῦτα Ζοροβάβελ εἰς τὴν βασιλείαν παρ' ἐμοῦ προχειρισθεὶς, ἐπειδὴ πολλήν τινα καὶ ἄφατον αὐτῷ παρέξω τὴν ἐποψίαν τὴν ἐμὴν καὶ τὴν ἐπιμέλειαν. ἀφ' ἧς τί γενήσεται πλέον; Ἰδοὺ ἐγὼ ὀρύσσω βόθρον, λέγει κύριος παντοκράτωρ, καὶ ψηλαφήσω πᾶσαν τὴν ἀδικίαν τῆς γῆς ἐκείνης ἐν ἡμέρᾳ μιᾷ. Οὕτω γὰρ αὐτὸν ἐργάσομαι δυνατὸν, ὥστε πάντας διὰ τῆς ἐκείνου στρατηγίας τοὺς πολεμίους τρεπόμενος ὥσπερ βόθρῳ τινὶ τῇ ἀπωλείᾳ περιβάλλειν διὰ τῆς ἐμῆς τιμωρίας, ὑπὲρ ὧν ἂν ἀδικεῖν ἕλωνται τὴν ἐμοὶ προσήκουσαν γῆν, ἥσπερ οὖν ἔταξα προεστάναι τὸν βασιλέα. Εἶτα καὶ τὸ τῆς βοηθείας μέγεθος δεικνὺς, οἷόν τι ἐκ τῆς τοῦ Ζοροβάβελ ἀπολαύσουσι στρατηγίας.

ι'. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος παντοκράτωρ, συγκαλέσεται ἕκαστος τὸν πλησίον αὐτοῦ ὑποκάτω ἀμπέλου καὶ ὑποκάτω συκῆς αὐτοῦ. Οἱ μὲν γὰρ ἐχθροὶ τούτου στρατηγοῦντος πείσονται ἐκεῖνα, οἱ δὲ τῷ λαῷ προσήκοντες τῷ ἐμῷ μετὰ πολλῆς ἡδονῆς ἀπολαύσουσι τῶν οἰκείων καρπῶν, ὥστε καὶ

ptem vero dicit, non quo accurate numerum definiat, sed hoc tantummodo exprimit: haec pollebit Zorobabel rex a me constitutus, quia multam ei adhibebo curam meam ac tutelam. Unde quid amplius fiet? *Ecce ego fodiam foveam, ait Dominus omnipotens, et contrectabo omnem iniquitatem istius terrae uno die.* Tanta eum replebo potentia, ut expeditione sua omnes hostes fugati quasi in foveam protrudantur in perniciem, me eos puniente propterea quod meam terram, cui regem praeesse volui, invadere iis visum fuerit. Deinde etiam opis magnitudinem declarat, quae iis e Zorobabelis expeditione proventura sit.

V. 10. *Illo die, inquit Dominus omnipotens, alter alterum sub vitem et sub ficum suam invitabit.* Hostes quidem, illo expeditionem suam faciente, haec patientur, qui vero ad meum pertinent populum, multa cum voluptate fructibus suis fru-

συνεχῶς ἐπὶ ἑστίασιν συγκαλεῖν ἀλλήλους. —

Ἐν δὴ τούτοις τῆς τε βασιλείας καὶ τῆς ἱερωσύνης τὴν ἀποκατάστασιν δηλώσας ἑξῆς τίθησιν ἀποκάλυψιν μάλα γε ἀναγκαίως ἐπὶ τοῖς εἰρημένοις αὐτῷ δειχθεῖσαν. λέγει δὲ οὕτως.

entur, ita ut invicem se ad epulas suas invitent. —

Sacerdotii ita et regii muneris redintegratione demonstrata, deinde revelationem adnectit denuo ei ostensam et ob antea dicta admodum necessariam, ita exorsus.

Κεφάλαιον Δ'.

Caput IV.

α'. Καὶ ἐπέστρεψεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ, καὶ ἐξήγειρέ με, ὃν τρόπον ὅταν ἐξεγερθῇ ἄνθρωπος ἐξ ὕπνου αὐτοῦ. Ἄγγελον πάλιν τὸν ἐν αὐτῷ λαλοῦντα δηλῶν ἐκεῖνον τὸν ἐν ἀνθρώπου μορφῇ ἐν μέσῳ τῶν κατασκίων ὀρέων ἐφ' ἵππου φανέντα πυῤῥοῦ. μεμαθήκαμεν γὰρ ἐκ τῶν ἀνωτέρων ἀκριβῶς ὅτι τὸν αὐτὸν ἐν αὐτῷ λαλοῦντα πανταχοῦ λέγει, ὃν καὶ νῦν φησιν ἐξεγεῖραι μὲν αὐτὸν ὡσὰν ἐξ ὕπνου τινὸς κατεχόμενον τῇ τῶν ἤδη δειχθέντων θεωρίᾳ, περὶ δὲ τῶν νῦν δεικνυμένων πάλιν ἐρωτῶντα αὐτὸν, ὅ, τι ποτὲ βλέποι, ἵν' ὁ μὲν εἴπῃ τὴν ὄψιν, ὁ δὲ τῶν δειχθέντων δηλώσῃ τὸν νοῦν. λέγει τοίνυν

V. 1. *Dein reversus, qui in me loquebatur angelus excitavit me; sicuti ex somno homo excitatur.* Angelum in se loquentem illum rursus designat, quem hominis in specie mediis in montibus umbrosis et equo rubro insidentem conspexerat. namque in prioribus, eum ubique eundem in se loquentem dicere, quem etiam nunc se excitasse ait, quasi somno pressum ob hucusque ostensorum adspectum, accurate cognovimus. Idem de iis, quae nunc ostenduntur, prophetam interrogat, quid videat, ut alter visum dicat, alter autem ostensorum sensum aperiat. Itaque dicit:

β'. Καὶ εἶπον· ἑώρακα καὶ ἰδοὺ λυχνία χρυσῆ ὅλη, καὶ τὸ λαμπάδιον ἐπάνω αὐτῆς καὶ ἑπτὰ λύχνοι ἐπάνω αὐτῆς καὶ ἑπτὰ ἐπαρυστρίδες τοῖς λύχνοις τοῖς ἐπάνω αὐ-

V. 2. *Et dixi: vidi candelabrum, totum aureum, super quod lampas erat, septemque lucernae septemque infundibula lucernarum, quae erant super illud.* V. 3.

τῆς. γ'. καὶ δύο ἐλαῖαι ἐπάνω αὐτῆς, μία ἐκ δεξιῶν τοῦ λαμπαδίου αὐτῆς καὶ μία ἐξ εὐωνύμων. Ἡ μὲν λυχνία δήλωσις τῆς θείας χάριτός ἐστιν ἁπτομένης μὲν τῶν ἐπὶ τῆς γῆς διηκούσης δὲ ἄχρι τῶν ὑπὲρ γῆν πραγμάτων, ἅτε τῶν ἁπάντων ταύτῃ διοικουμένων, ἣν καὶ εἰκότως ὡς μεγάλην τε καὶ περιφανῆ χρυσῆν ὅλην εἶδεν, ἐπειδὴ χρυσὸς ἁπασῶν τῶν ἀπὸ γῆς ὑλῶν ἐστι τὸ τιμιώτατον· τὸ δὲ ἐπάνω αὐτῆς λαμπάδιον δηλοῖ τὸ ἐκ τῆς χάριτος τῆς θείας ἐξ ὕψους ἅπαντας τοὺς ἐπὶ γῆς περιλάμπον φῶς. ἑπτὰ δὲ λύχνους ὁρᾷ τὸ τέλειόν τε καὶ πλούσιον τῆς χάριτος δεικνὺς, ὡς ἀνωτέρω λέγει τὸ ἐπὶ τὸν λίθον τὸν ἕνα ἑπτὰ ὀφθαλμοί εἰσιν, ἵνα εἴπῃ τῆς ἐπιμελείας τῆς οἰκείας τὸ μέγεθος. εἶτα ἑκατέρωθεν τοῦ λαμπαδίου ἐλαίας, τὴν μὲν ἐκ δεξιῶν τὴν δὲ ἐξ εὐωνύμων, ὅπερ ἐδήλου τήν τε βασιλείαν καὶ τὴν ἱερωσύνην, ἅπερ ἀκρότατα παρὰ τοῖς ἀνθρώποις εἶναι δέδωκεν ὁ θεὸς, ὡς τῇ μὲν διοικεῖσθαι τὰ πρὸς τὴν τοῦ παρόντος βίου κατάστασιν ἐπιτήδεια, τὴν δὲ αὐτάρκη τυγχάνειν εἰς τὸ προσάγειν ἀνθρώπους θεῷ. Ταῦτα πρὸς τὸν ἄγγελον ἑωρακέναι ὁ προφήτης εἰπὼν ἐπάγει·

δ'. Καὶ ἐπηρώτησα καὶ

(praeterea) etiam duo olivae super illud erant, quarum altera ad dextrum lampadis, altera ad sinistrum. Candelabrum divinam designat gratiam, quae rebus terrenis consulit et etiam ad res citra terram pertinet, omnia enim per eam administrantur; unde etiam auream totam conspexit, quippe magnam et insignem; aurum enim omnium materiarum terrestrium pretiosissima est. Lampas vero super illud lumen designat, quod per divinam gratiam ex alto omnes, qui sunt in terra, circumlucet. septem porro lucernas vidit, quae copiam et abundantiam gratiae indicant, sicuti prius dicebat: in lapide uno septem sunt oculi, ut divinae curae magnitudinem indicaret. Deinde ab utraque candelabri parte oleas vidit, alteram dextera alteram sinistra, quae imperium et sacerdotium significant, ut quae summa Deus hominibus largitus est, altero res ad praesentem vitam pertinentes administrante, ad Deum vero homines adducente altero. Quae ubi se conspexisse angelo propheta dixit, addit:

V. 4. *Deinde angelum in*

εἶπον πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοὶ λέγων· τί ἐστι ταῦτα Κύριε; ε΄. καὶ ἀπεκρίθη ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ καὶ εἶπε πρὸς μὲ λέγων· οὐ γινώσκεις τί ἐστι ταῦτα; καὶ εἶπον, οὐχὶ, Κύριε. ϛ΄. καὶ ἀπεκρίθη καὶ εἶπε πρὸς μὲ λέγων· οὗτος ὁ λόγος Κυρίου πρὸς Ζοροβάβελ λέγων, οὐκ ἐν δυνάμει μεγάλῃ, οὐδὲ ἐν ἰσχύϊ, ἀλλ' ἢ ἐν πνεύματί μου, λέγει κύριος παντοκράτωρ. Οὗτος δὴ ὁ ἄγγελος, ὃν ἐν αὐτῷ λαλεῖν ὁ προφήτης λέγει, οὗτος δὴ καὶ τὰς ὑπὲρ τῆς Ἱερουσαλὴμ δεήσεις ὤφθη ποιούμενος, ὡς ἁπάντων μὲν τῶν κατὰ τὴν Ἰουδαίαν τὴν ἐπιστασίαν ἐπιτετραμμένος ἀναγκαίως δὲ καὶ τὴν ὑπὲρ αὐτῶν δέησιν προσάγει τῷ Θεῷ. ὅθεν καὶ ὁ προφήτης τοῦτον καὶ ἐρωτᾷ καὶ τὰ καθ' ἕκαστον μανθάνει, ἐπειδὴ πάντων τῶν δειχθέντων δήλωσιν ἐχόντων τῆς περὶ τὴν πόλιν καὶ τὸ ἔθνος τοῦ Θεοῦ φιλοτιμίας ἀναγκαίως ἤρμοττε παρὰ τούτου τὰ καθ' ἕκαστον τῶν δεικνυμένων ὅπως ἔχοι μανθάνειν. συντόμως οὖν εἶπεν αὐτῷ τῶν δειχθέντων τὴν δύναμιν, ὅτι τῆς χάριτός ἐστι δήλωσις τῆς θείας, ᾗ καὶ τὴν τοῦ Ζοροβάβελ προεχειρίσατο βασιλείαν, ὃς οἴκοθεν μὲν δύναται καὶ καθ' αὐτὸν οὐ-

me loquentem interrogans dicebam: quid ista significant domine? V. 5. *et ille respondens mihi dixit: an nescis, quid ista significant? cui, nescio Domine, respondi.* V. 6. *Tum ille mihi dixit: Is est sermo Domini, Zorobabeli qui dicit: non robore magno nec fortitudine, sed meo spiritu, inquit Dominus omnipotens.* Idem angelus, quem in se loqui propheta dicit, idem etiam precationem Hierosolymae causa fecit, quum omnium rerum Judaicarum cura ei mandata esset necessario itaque etiam Deo preces faceret earum causa. Unde etiam factum est, ut propheta eum et interrogaret, et singula quaeque ab eo disceret. nam quum omnia, quae ostendebantur, Dei circa urbem populumque munificentiam spectarent, haud absonum erat, prophetam, quae singula quaeque significent, ab illo accipere. Brevibus igitur ostensorum vim ei indicabat, nempe Dei gratiam iis designari, quae vel Zorobabelem regem constituerat, ut qui suopte ingenio et per se nihil possit proficere in rebus ad imperium et administrationem populi pertinen-

δὲν διορθοῦν τῶν εἰς τὴν βασιλείαν ἡκόντων καὶ τὴν τοῦ λαοῦ προστασίαν, τῇ δὲ χάριτι τῇ θείᾳ προβεβλημένος ταύτῃ καὶ τὸ δύνασθαι ἔχει. Ὅθεν καὶ δεικνὺς τῆς περὶ αὐτὸν δωρεᾶς τὸ μέγεθος.

ζ'. Τίς εἶ σὺ τὸ ὄρος τὸ μέγα πρὸ προσώπου Ζοροβάβελ τοῦ κατορθῶσαι; καὶ ἐξοίσω τὸν λίθον τῆς κληρονομίας ἰσότητα χάριτος αὐτῆς. Ἐπειδὴ γὰρ λίθον ὠνόμασε τὸν Ζοροβάβελ, ὄρος λέγει μέγα τοὺς ἄγαν δυνατοὺς ἐν βασιλείᾳ τε καὶ στρατοπέδων καὶ ὑπηκόων πλήθει. Τίς γὰρ, φησὶν, οὕτω μέγας ἐστὶν ἢ οὕτω μέγα δυνάμενος διά τε τὸ πλῆθος ὑπηκόων καὶ τὴν τοῦ ὁπλιτικοῦ παρασκευὴν, ὥστε δυνηθῆναι ἀπ' ἐναντίας τι τοῦ Ζοροβάβελ ἰσχύσαι, ὃν διάδοχον τῆς βασιλικῆς ἀποδείξας κληρονομίας, ἧς τὰς ἐπαγγελίας πρὸς τὸν προπάτορα τοῦ γένους ἐποιησάμην, λέγω δὴ τὸν Δαυὶδ, ὅλον δι' ὅλου τῆς χάριτος πληρώσω τῆς ἐμῆς (τοῦτο γὰρ ἰσότητα λέγει χάριτος) ἀφ' ἧσπερ αὐτῷ ἀναγκαίως προσέσται τὸ μεγάλα ὑπὲρ τῶν οἰκείων στρατηγοῦντι δυνηθῆναι κατὰ τῶν ἐναντίων. Εἶτα τὰς ἐπαγγελίας τὰς περὶ αὐτὸν βεβαιῶν.

η'. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων. θ'. αἱ χεῖρες Ζοροβάβελ ἐθε-

tibus, sed divina gratia ad hoc electus ab eadem etiam potestatem earum rerum gerendarum habeat. Ideo etiam, magnitudinem ejus doni declarat.

V. 7. *Quis tu es, mons magne coram Zorobabele, qui corrigas? Educam enim lapidem hereditatis, aequalitatem gratiae ejus.* Quoniam enim Zorobabelem lapidem vocavit, montem appellat eos, qui et imperio suo et agminum et civium multitudine admodum potentes erant. Quis, inquit, tantus est, vel tanta valet numero civium suorum vel bellico apparatu, ut adversus Zorobabelèm quidquam proficiat, quem regiae dignitatis generis sui patri, Davidem dico, promissae heredem a me declaratum, totum quoque gratia mea replebo, (id enim significat aequalitas gratiae) per quam fiet, ut e bello suorum causa suscepto hostibus superior sit discessurus. Et deinde promissiones circa eum confirmat.

V. 8. *Deinde Domini sermo ita me est adlocutus:* V. 9. *Zorobabelis manus hanc*

μελίωσαν τὸν οἶκον τοῦτον καὶ αἱ χεῖρες αὐτοῦ ἐπιτελέσουσιν αὐτόν. καὶ ἐπιγνώσεσθε ὅτι Κύριος παντοκράτωρ ἐξαπέσταλκέ με πρὸς ὑμᾶς. ί. διότι τίς ἐξουδένωσεν εἰς ἡμέρας μακράς; Αὐτὸς δὴ οὗτος καὶ τοῦ οἴκου τοῦ ἐμοῦ τοὺς θεμελίους καταβαλόμενος αὐτὸς αὐτὸν καὶ πρὸς πέρας ἄξει, ὥστε καὶ ἐκ τούτου πᾶσι δῆλον γενέσθαι, ὅτι γνώμῃ θεοῦ παραγέγονα ταῦτα προμηνύσων ὑμῖν μὴ τοίνυν μηδ᾽ ὡς ἐν χρόνῳ πολλῷ τούτων γίνεσθαι μελλόντων ἀπιστήσητε τοῖς λεγομένοις· ἀνοήτατος γὰρ εἴη ἂν ὁ τὰς ἀποφάσεις τὰς ἐμὰς ἀτελεῖς νομίζων τῷ μήκει γίνεσθαι τοῦ χρόνου (τοῦτο γὰρ λέγει τὸ ἐξουδένωσεν ἡμέρας μακρὰς) ἐμοῦ δυναμένου ῥᾳδίως ἅπαντα καθὼς ἂν ἐθελήσω ποιεῖν μετὰ πολλῆς τε ἄγειν τῆς συντομίας εἰς πέρας τὰ πολλοῦ δεόμενα τοῦ χρόνου. — Καὶ βεβαιῶν τὸ εἰρημένον. Καὶ χαρήσονται καὶ ὄψονται τὸν λίθον τὸν κασσιτέρινον ἐν χειρὶ Ζοροβάβελ. Μὴ τοίνυν ἀπιστεῖτε, φησὶ, τοῖς λεγομένοις, ἐπειδὴ καὶ ὄψεσθε αὐτῶν τὸ πέρας καὶ χαρήσεσθε τὴν περὶ παντα δύναμιν ὁρῶντες τοῦ Ζοροβάβελ. τοῦτο γὰρ λέγει τὸν κασσιτέρινον λίθον, τὴν περιεσομένην αὐτῷ δηλῶν ἰσχὺν παρὰ τοῦ

aedem fundarunt, manus ejus etiam absolvent eam. et intelligetis Dominum omnipotentem me ad vos misisse. V. 10. *Quis enim contemsit in dies multos?* Hic, qui aedis meae fundamenta jecit, idem etiam eam ad finem perducet, ut etiam hinc omnibus clarum evadat, Dei jussu me ob haec vobis praedicenda adesse. Ne igitur, quasi post longum demum tempus haec futura sint, dictis fidem denegetis: insani enim esset, putare, mandata mea temporis longitudine incassum fieri (hoc indicant verba *contemsit in dies multos*); omnia enim prouti mihi libet efficere possum, multaque cum celeritate ad finem perducere etiam ea, quae multo indigent tempore. Quae ut confirmet, addit. *Et laetabuntur, ubi lapidem stanneum Zorobabelis in manu videbunt.* Ne igitur fidem denegetis dictis, quum eorum eventum quoque visuri sitis et laetaturi, quando Zorobabelis in omnia videbitis vim. eam enim stanneum lapidem appellat, ut robur a Deo illi datum significet. Ejusque rei causam addit. *Isti septem sunt*

θεοῦ. ὅθεν δὴ καὶ τὴν αἰτίαν ἐπήγαγεν. Ἑπτὰ οὗτοι ὀφθαλμοὶ Κυρίου εἰσὶν οἱ ἐπιβλέποντες ἐπὶ πᾶσαν τὴν γῆν. Ὁ γὰρ τὰ πάντα ἐφορῶν τε καὶ διοικῶν καὶ σώζων πλουσίως τε καὶ ποικίλως, οὗτός ἐστιν ὁ καὶ ταῦτα ὑποσχόμενος τε περὶ τοῦ Ζοροβάβελ καὶ πρός πέρας ἄξων. καὶ γὰρ κἀνταῦθα τὸ ἑπτὰ ἐπὶ τοῦ τελείου λέγει.

oculi Domini totam terram perlustrantes. Qui omnibus prospicit eaque administrat et clementer ac multifariam conservat, idem etiam haec circa Zorobabelem promisit et ad finem perducet. Septem numerus etiam heic perfectum significat.

ια'. Καὶ ἀπεκρίθην καὶ εἶπον πρὸς αὐτόν· τί αἱ δύο ἐλαῖαι αὗται αἱ ἐκ δεξιῶν τῆς λυχνίας καὶ ἐξ εὐωνύμων αὐτῆς; ιβ'. Καὶ ἐπηρώτησα ἐκ δευτέρου καὶ εἶπον πρὸς αὐτόν· τί οἱ δύο κλάδοι τῶν ἐλαιῶν οἱ ἐν ταῖς χερσὶ τῶν δύο μυξωτήρων τῶν χρυσῶν τῶν ἐπιχεόντων καὶ ἐπαναγόντων τὰς ἐπαρυστρίδας τὰς χρυσᾶς; ιγ'. Καὶ εἶπε πρὸς μέ· οὐκ οἶδας ταῦτα; Καὶ εἶπον, οὐχὶ κύριε. ιδ'. Καὶ εἶπεν· οὗτοι οἱ δύο υἱοὶ τῆς πιότητος, οἳ παρεστήκασι τῷ κυρίῳ πάσης τῆς γῆς. Ἐρωτᾷ, τί μὲν οἱ δύο βούλονται ἐλαῖαι, ὧν ἡ μὲν ἐκ δεξιῶν ἡ δὲ ἐξ εὐωνύμων ἐτύγχανε τῆς λυχνίας ἤτοι τοῦ ἐπ' αὐτὴν λαμπαδίου, τί δὲ οἱ ἐκπεφυκότες δύο κλάδοι τῶν ἐλαιῶν, περὶ ὧν ἤκουσεν· οὗτοι οἱ δύο υἱοὶ τῆς πιό-

V. 11. *Et ulterius ex eo quaerens dicebam: quidnam significant duae istae oleae ad candelabri dextram et sinistram?* V. 12. *Et iterum eum interrogabam dicens: quid duo isti olearum rami in manibus duorum epistomiorum aureorum, quae infundunt et adducunt infundibula aurea?* V. 13. *Mihique respondit: an haec nescis? cui, nescio, inquam, domine.* V. 14. *Tum ille: hi sunt duo illi filii pinguedinis, qui adsistunt totius orbis Domino.* Interrogat, quid sibi velint duae istae oleae, quarum altera ad dextram, altera ad sinistram candelabri erant, vel lampadis ei impositae, et quid duo rami ex oleis enati. De quibus haec audiit, hi sunt duo illi filii pinguedinis, qui adsi-

τητος, οἳ παρεστήκασι τῷ κυρίῳ πάσης τῆς γῆς. ἐπειδὴ γάρ, αἱ ἐλαῖαι τῆς βασιλείας καὶ τῆς ἱερωσύνης ἦσαν γνώρισμά, ἃς ἐπὶ γῆς κρατεῖν ἔταξεν ὁ θεός, δύο κλάδους ἐκ τῶν ἐλαιῶν ἐκπεφυκότας λέγει τόν τε Ζοροβάβελ καὶ τὸν Ἰησοῦν, ὧν ὁ μὲν ἐκ θείας χάριτος εἰς τὴν βασιλείαν παρῆκτο, ὁ δὲ τῇ τῆς ἱερωσύνης χάριτι πρὸς τὴν λειτουργίαν προβέβλητο τὴν θείαν. διὰ τοῦτο καὶ πιότητος αὐτοὺς ἐκάλεσεν υἱούς, ἵνα εἴπῃ, οἱ ἐκ τῶν μεγίστων καὶ τιμιωτάτων παρὰ τοῖς ἀνθρώποις ἐκπεφυκότες, βασιλείας τε καὶ ἱερωσύνης, οἳ πάντες ὑπουργεῖν εἰσὶ τῷ θεῷ τεταγμένοι τῷ πάντων κυρίῳ. Διὰ πάντων μὲν δὴ τούτων τὰ κατά τε τὴν Ἱερουσαλὴμ καὶ τὸ τῶν Ἰουδαίων ἔθνος ὅτι μεγίστην ἐπίδοσιν ἐπὶ τὸ κρεῖττον λήψεται δεδήλωκεν ὁ προφήτης, τιμωρουμένων μὲν τῶν ἐχθραινόντων αὐτοῖς, κηδεμονίας δὲ πολλῆς ἀξιουμένων ἐν ἅπασιν αὐτῶν παρὰ τοῦ θεοῦ, ἅτε καὶ ἐπανιέναι ἀπὸ τῆς αἰχμαλωσίας ἐθελόντων ἑτέρων οὐκ εὐαριθμήτων τινῶν, οὓς ἐπ' ἐκείνου τοῦ σχήματος εἶναι τότε συνέβαινεν ἔτι, ἀποδοθείσης δὲ αὐτοῖς καὶ τῆς βασιλικῆς καὶ τῆς ἱερατικῆς ἀξίας διὰ τῶν ἐκ τῆς θείας χάριτος ἐπὶ τοῦτο προβεβλημένων. Ἀλλὰ γὰρ ὥστε μὴ τὴν ὑπερβάλλουσαν μήνυσιν

stunt Domino totius orbis. Quum enim oleae regni et sacerdotii essent signum, quibus terrae principatum dedit Dominus, duos ex oleis enatos ramos Zorobabelem dicit Josuamque, quorum alter divina gratia ad regnum promotus, alter vero sacerdotii beneficio ad divinum cultum persolvendum electus erat. ideo etiam pinguedinis filios nuncupat, quasi qui e summis et honestissimis inter homines prodierint muneribus, regno videlicet et sacerdotio, quique omnes universorum Domino ministeria facere debeant. His omnibus propheta declaravit, quantum Hierosolymae et Judaici populi res incrementum sint capturae, cum punitis hostibus, tum nacta in omnibus rebus multa Dei cura, qua factum est, ut non solum e captivitate redirent alii haud pauci, qui hucusque in ea remanserant, sed etiam regia et sacerdotalis dignitas iis redderetur per eos qui ad hoc divina gratia designati erant. At ne immodica haec bonorum promissio eos segniores faceret, et ne divinis promissionibus confisi officia sua negligerent,

τῶν ἀγαθῶν ῥᾳθυμοτέρους αὐτοὺς ἀπεργάσασθαι, θαῤῥοῦντας μὲν ταῖς ἐπαγγελίαις ταῖς θείαις ἀμελοῦντας δὲ τοῦ προσήκοντος, ἀποκάλυψιν ὁρᾷ λοιπὸν, δι᾽ ἧς αὐτοῖς καὶ φόβος ἐνετίθετο πρὸς τὸ φεύγειν μὲν τὰ χείρω μετιέναι δὲ τὰ κρείττω. λέγει δὲ οὕτως.

aliam vidit revelationem, quae timorem iis inferret, eosque ad fugiendam malitiam, expetendam vero pietatem excitaret. Et ita quidem dicit.

Κεφάλαιον Ε΄.

α΄. Καὶ ἐπέστρεψα καὶ ἦρα τοὺς ὀφθαλμοὺς καὶ εἶδον, καὶ ἰδοὺ δρέπανον πετόμενον. β΄. καὶ εἶπε πρὸς μέ· τί σὺ βλέπεις; καὶ εἶπον· ἐγὼ ὁρῶ δρέπανον πετόμενον μήκους πηχῶν εἴκοσι καὶ πλάτους πηχῶν δέκα. γ΄. Καὶ εἶπε πρὸς μέ· αὕτη ἡ ἀρὰ ἡ ἐκπορευομένη ἐπὶ πρόσωπον πάσης τῆς γῆς· διότι πᾶς ὁ κλέπτης ἐκ τούτου ἕως θανάτου ἐκδικηθήσεται. δ΄. καὶ ἐξοίσω αὐτὸ, λέγει κύριος παντοκράτωρ, καὶ εἰσελεύσεται εἰς τὸν οἶκον τοῦ κλέπτου καὶ εἰς τὸν οἶκον τοῦ ὀμνύοντος τῷ ὀνόματί μου ἐπὶ ψεύδει, καὶ καταλύσει ἐν μέσῳ τοῦ οἴκου αὐτοῦ, καὶ συντελέσει αὐτὸν καὶ τὰ ξύλα αὐτοῦ καὶ τοὺς λίθους αὐτοῦ. Δρέπανον μὲν ὁρᾷ ἱκανὸν κάτωθεν τὰ προσπίπτοντα ἐκτέμνειν, πετόμενον δὲ εἰς δήλωσιν τοῦ ὀξέως τὴν τι-

Caput V.

V. 1. *Reversus deinde quum oculos sustulissem vidi falcem volantem.* V. 2. *Et quum ex me quaereret, angelus, quid vides? respondi: ego video volantem falcem, longam viginti et latam decem cubitos.* V. 3 *Tum ille: haec est maledictio exiens in faciem omnis terrae, quia omnis fur inde ex hoc usque ad mortem punietur.* V. 4. *Et educam eam, inquit Dominus omnipotens, ut ingrediatur domum furis domumque ejus, qui falso jurat per nomen meum; et requiescet in domo ejus et evertet eam cum trabibus suis lapidibusque.* Falcem videt, quae obvia sibi ex imo decidat aptam, eamque volantem. quo significatur, velociter divinam poenam inflictum iri ea dignis, ut forte auditores rei immensitate terreantur. Eam vero poenam

μωρίαν ἐπάγεσθαι τὴν θείαν τοῖς ταύτης ἀξίοις, πλάτος δὲ καὶ μῆκος, ὡς ἂν καὶ τῷ μεγέθει φοβήσειε τοὺς ἀκούοντας. λέγει δὲ τὴν τιμωρίαν ταύτην κατά τε κλεπτόντων καὶ ἐπιορκούντων κινεῖσθαι, δήλου γε ὄντος, ὡς οὐ μόνον ταῦτά ἐστιν ἐν ἀνθρώποις παρανομήματα, πολλὰ δὲ καὶ ἕτερα, φόνος τε καὶ μοιχεία καὶ τὰ λοιπὰ δὴ, ἃ μηδὲ ἀριθμεῖν ῥᾴδιον. τί οὖν ἐστιν, ὅ φησιν; Εἰς δύο ταῦτα κυριώτατα μεμερίσθαι τὰς ἐντολὰς συμβέβηκε τὰς θείας, εἴς τε τὴν περὶ θεὸν γνώμην καὶ εἰς τὴν περὶ τὸν πλησίον ἀγάπην, ὡς καὶ ὁ Κύριος εἰπὼν[1]) „Ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς διανοίας σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτὸν,“ ἐπήγαγεν[2]), „ἐν ταῖς δυσὶ ταύταις ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται.“ βουληθεὶς τοίνυν συντόμως εἰπεῖν τά τε εἰς τὸν θεὸν παρανομήματα τά τε εἰς τὸν πλησίον, τῇ μὲν ἐπιορκίᾳ ὡς εἰς θεὸν τεινούσῃ τὰς ἀσεβείας πάσας, λέγω δὲ τὰς εἰς θεὸν πλημμελείας, συλλήβδην λέγει, τῇ δὲ κλοπῇ τὴν περὶ τὸν πλησίον. ἐπειδὴ γὰρ ἀφαίρεσις τῶν οὐ προσόντων ἐστὶν ἡ κλοπὴ, κλοπὴν κοινῶς ὠνό-

furantibus et pejerantibus excitari dicit, quamvis haec non sola esse appareat inter homines scelera, sed etiam multa alia, velut caedem, adulterium et reliqua, quae ne numerari quidem facile possunt; quid igitur significat? Divina praecepta duo potissimum praecipua spectant, et circa Deum reverentiam et erga proximum amorem; id quod vel Dominus docuit, qui ubi dixerat, „Dominum Deum tuum toto corde tuo, toto animo tuo, totisque viribus tuis amato, itemque amato proximum tuum perinde ac te ipsum,“ statim addit: „Ab his duobus praeceptis tota lex ac prophetae pendent.“ Itaque ut paucis et contra Deum et contra proximum delicta significet, pejurio quidem, ut quod ad Deum pertineat, omnem designat improbitatem, nempe peccata, quae Deum, furto vero ea, quae proximum spectant: quum enim furtum id sit, ut quae non mea sunt, auferam, furtum generatim id dicit, quo aliena auferuntur. brevibus igitur hanc maledictionem gravissimam et horrendam

[1]) Luc. X, 27. — [2]) Math. XXII, 40.

μασεν πᾶσαν τὴν τῶν ἀλλοτρίων ἀφαίρεσιν, ἵνα συντόμως εἴπῃ, ὅτι ἡ ἀρὰ αὕτη μεγίστη τε καὶ φοβερὰ καὶ παντί γε ἐπιοῦσα εἴτε εἰς θεόν τι ἀσεβοίη εἴτε εἰς τὸν πλησίον κατά τι πταίοι. Λέγει δὲ ὅτι καὶ καταλύσει ἐν μέσῳ τοῦ οἴκου αὐτοῦ, ἵνα εἴπῃ, ὅτι μενεῖ παρὰ τῷ τοιούτῳ ἀμετανοήτως πταίοντι ἡ τιμωρία θεία ἄχρις ἂν αὐτὸν σὺν ἅπασιν ἐξαλείψῃ τοῖς προσήκουσι. Διὰ δὲ τούτων αὐτάρκως φοβήσας αὐτοὺς δείκνυσι διὰ τῶν ἑξῆς ἀφῃρημένην αὐτῶν τὴν ὑπὲρ τῶν παρεληλυθότων ἁμαρτίαν τε καὶ τιμωρίαν, ὡς ἂν μειζόνων [1]) ἔχοιεν εἰδέναι ὅτι τῆς ἐπὶ τοῖς προειληφόσι χάριτος τετυχηκότας προσήκοι ἂν ἐπιμελέστερον ἀντέχεσθαι τῶν δοκούντων θεῷ. Διὸ ἐπάγει.

εʹ. Καὶ ἐξῆλθεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ καὶ εἶπε πρός με· ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου καὶ ἴδε τί τὸ ἐκπορευόμενον τοῦτο. ϛʹ. καὶ εἶπον, τί ἐστι; καὶ εἶπε· τοῦτο τὸ μέτρον τὸ ἐκπορευόμενον. καὶ εἶπεν· αὕτη ἡ ἀδικία αὐτῶν ἐν πάσῃ τῇ γῇ. ζʹ. Καὶ ἰδοὺ τάλαντον μολίβου ἐξαιρόμενον. καὶ ἰδοὺ γυνὴ μία ἐκάθητο ἐν μέσῳ τοῦ μέτρου. ηʹ. καὶ εἶπεν· αὕτη ἐστὶν ἡ

esse et ad omnes pertinere dicit, qui vel in Deum vel in proximum aliquo modo delinquant. Addit vero etiam: *Et requiescet in domo ejus* i. e. eum, qui spreta poenitentia peccat, urgebit poena divina usque dum eum cum suis omnibus deleverit. Ita per haec Israelitis satis perterritis, in sequentibus ablatum iis fore et pristinum peccatum et ejus poenam declarat, ut eo diligentius pensitent, quantopere impetrata priorum (delictorum) venia Dei mandatis morem gerere debeant.

V. 5. *Egressus deinde angelus, qui in me loquebatur, mihi dixit: attolle oculos et vide, quid sit id, quod exit.* V. 6. *Et, quid est? inquam. Tum ille, mensura est, quae exit, additque: haec est eorum iniquitas in tota terra.* V. 7. *Et ecce talentum plumbi sublatum; et ecce mulier media in mensura sedebat.* V. 8. *Tum dixit (angelus): haec est iniquitas. et conjecit plumbi talentum in os*

[1]) F. l. μειζόνως.

ἀνομία. καὶ ἔῤῥιψε τὸ τάλαντον τοῦ μολίβου εἰς τὸ στόμα αὐτῆς. Τὸν αὐτὸν ὁρᾷ πάλιν ἄγγελον ἀπιδεῖν αὐτῷ κελεύοντα πρὸς τὸ ἐν τῇ ὄψει διατρέχειν τῇ παρούσῃ δοκοῦν. εἶθ' ὁ μὲν προφήτης θεασάμενος ἤρετο, τί δὴ τοῦτό ἐστιν; ὁ δὲ ἀπεκρίνατο, ὅτι μέτρον τοῦτο τῆς τιμωρίας, ἣν ὑπομεῖναι προσῆκον ἦν τοὺς Ἰσραηλίτας ὑπὲρ ὧν διεπράττοντο. εἶτα θεωρεῖ τάλαντον μολίβου, ὃ καὶ τῇ φύσει βαρὺ καὶ τῷ σταθμῷ πολὺν ἔχον τὸν ὄγκον, ὡς ἂν οὕτω τῆς τιμωρίας δείξειε τὴν βαρύτητα· γυναῖκα δέ τινα καθεζομένην ἐπὶ τοῦ μέτρου, ἣν ἀνομίαν ἔφησεν εἶναι, ἐκ γὰρ τῆς ἀνομίας, ὡς εἰκὸς, ἡ τῆς τιμωρίας ἐγίνετο βαρύτης. εἶτα αὐτήν τε ἔῤῥιψεν εἰς τὸ μέσον τοῦ μέτρου καὶ τὸ τοῦ μολίβου τάλαντον τέθεικεν ἐπὶ τοῦ στόματος αὐτῆς, δεικνὺς ὅτι καὶ τὴν ἁμαρτίαν καὶ τὴν ἐκ ταύτης τιμωρίαν κατὰ ταὐτὸν ἠφάνισε· πᾶσάν τε τῶν κακῶν τὴν βαρύτητα εἰς τὸ ἐκείνης ἀνέθηκε στόμα ὥσπερ ἐμφράττων καὶ διακωλύων αὐτῇ τὴν λίαν[1]) εἰς ἔνδειξιν τοῦ πᾶσαν αὐτῆς ἀφῃρῆσθαι τὴν δύναμιν καὶ μηδὲ φωνῆς ἔτι κυρίαν εἶναι, τῷ καὶ τοῖς ὀνειδίζουσιν αὐτοὺς πρότερον ἐφ' οἷς ἔπασχον ὡς ὑπὸ τοῦ θεοῦ καταλελειμμένην[2]) ἅπασαν ἀνῃρῆσθαι

ejus. Eundem videt angelum; qui eum id, quod in visione pertransire videbatur, adspicere jubet. Quo conspecto propheta, quid id sit, interrogat; cui ille, mensuram esse, ait, poenae, quam Israelitas propter impie facta solvere aequum sit. Porro talentum plumbi conspicit, quod cum natura grave est, tum pondere multae est molis, ut eo poenae indicet gravitatem; nec non mulierem videt mensurae insidentem, quam iniquitatem esse, dicebat; iniquitas enim ut natura fert, poenae efficiebat gravitatem. Deinde (angelus) eam in medium mensurae conjecit, et plumbi talentum ori ejus imposuit; quo declarat Deus, se et peccatum et ejus poenam simul abolevisse, atque omnem malorum gravitatem in illius ore deposuisse, quasi vim ei obstruentem atque cohibentem. quae declarant, omni robore eam privatam esse, et ne vocis quidem habuisse facultatem, nempe dicit, iis, qui prius Israelitas ob calamitates suas convitiis fuerint sectati, quasi a Deo relictos, ejusmodi loquelam intercisam fore. id quod e-

[1]) F. l. βίαν. — [2]) F. l. καταλελειμμένους.

τοιαύτην φωνὴν, ὡς ὁ μακάριος Δαυὶδ[1]) „Ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλα τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν.“ — Ἀλλὰ ταῦτα μὲν εἶδεν εἰς ἀπόδειξιν τοῦ τά τε ἀνομήματα καὶ τὰς ὑπὲρ τούτων τιμωρίας τῶν Ἰσραηλιτῶν παντελῶς ἀφῃρῆσθαι, δεικνὺς δὲ ὅτι ἀφῄρηται μὲν αὐτῶν ἡ τιμωρία εἰς δὲ τοὺς ἐχθροὺς μετενήνεκται τοὺς αὐτῶν ἐπάγει·

θ'. Καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον καὶ ἰδοὺ δύο γυναῖκες ἐκπορευόμεναι, καὶ πνεῦμα ἐν ταῖς πτέρυξιν αὐτῶν, καὶ αὗται εἶχον πτέρυγας ὡς πτέρυγας ἔποπος. καὶ ἀνέλαβον τὸ μέτρον ἀναμέσον τῆς γῆς καὶ ἀναμέσον τοῦ οὐρανοῦ. ι'. Καὶ εἶπον πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί· ποῦ αὗται ἀποφέρουσι τὸ μέτρον; ια'. καὶ εἶπε πρός μέ· οἰκοδομῆσαι αὐτῷ οἰκίαν ἐν γῇ Βαβυλῶνος καὶ ἑτοιμάσαι, καὶ θήσουσιν αὐτὸ ἐκεῖ ἐπὶ τὴν ἑτοιμασίαν αὐτοῦ. Θεωρεῖ δὴ λοιπὸν ἐπ' ἐκείνοις δύο γυναῖκας, αἳ μετὰ πολλοῦ διίπταντο τοῦ τάχους. τοῦτο γὰρ δηλοῖ τὸ πνεῦμα ἐν τοῖς πτέρυξιν αὐτῶν. ὑφ' οὗπερ ὡς ὠθούμεναι ὀξυτέραν ἐποιοῦντο τὴν πτῆσιν. τούτου δὲ ἕνεκεν καὶ ὡς ἔποπος λέγει τὰς πτέ-

tiam beatus David ait: „Obmutescant labra mendacia, quae contra justum impia loquuntur.“ — At haec vidit, ut et delicta et poenas Israelitarum prorsus esse ablatas; deinde autem ut, poenam ita ab illis aversam in eorum hostes translatam esse, ostendat, ita pergit.

V. 9. *Rursus deinde sublatis oculis vidi duas mulieres egredientes, quarum in alis ventus; alas enim habebant quasi upupae alas: illae mensuram inter coelum et terram sustulerunt.* V. 10. *Tum angelo, qui in me loquebatur, dixi: quo ferunt hae mensuram?* V. 11. *Respondit ille mihi: ad exstruendam ei domum in terra Babylonis eamque adaptandam; et deponent eam ibi ad usus ejus.* Post illa duas conspicit mulieres, quae multa cum velocitate volarunt. eam enim designat ventus in earum alis, quo quasi protrusae velociori ferebantur volatu. eam ob causam earum alas quasi upupae fuisse dicit, quum ejus avis volatus celer sit. hae ergo mulieres, inquit, arrepta ista poenae

[1]) Ps. XXX, 32.

ρυγας αὐτῶν εἶναι, ἐπειδὴ ὀξεία τοῦ ὀρνέου ἡ πτῆσις. αὗται δὴ, φησὶν, αἱ γυναῖκες ἐκεῖνο τῆς τιμωρίας τὸ μέτρον ἁρπάσασαί τε καὶ εἰς τὸ ὕψος ἀναγαγοῦσαι μετὰ πολλῆς τῆς σφοδρότητος καθιπτάμεναι ἀπῆγον. διὰ γὰρ τοῦτο εἶπε τὸ ἀναμέσον τῆς γῆς καὶ ἀναμέσον τοῦ οὐρανοῦ, ἐπειδὴ ἐξ ὕψους ἐπὶ τὰ κατώτερα γίνεται. ἠρόμην οὖν, φησὶν, ὅποι μὲν ἀπίοιεν, ὅποι δὲ ἀπάγοιεν τὸ μέτρον· ἔγνων δὲ παρὰ τοῦ ἀγγέλου ὅτι περ αὐτὸ εἰς τὴν Βαβυλῶνος ἀπάγουσι γῆν, αὐτόθι τε αὐτοῦ οἰκίαν οἰκοδομήσουσαι κἀκεῖ πᾶσαν αὐτῷ τὴν οἴκησιν ὁριοῦσαι, ἵνα εἴπῃ, ὅτι τὴν τιμωρίαν πᾶσαν εἰς Βαβυλῶνα ἀπάξει μένουσαν αὐτοῖς καὶ οὐ λυθησομένην ἔτι, ὅνπερ δὴ τρόπον λύσιν ἐδέξατο τὰ ὑμέτερα. — Ἀλλὰ γὰρ εἰς βεβαίωσιν τῶν εἰρημένων ἐπάγει πάλιν.

mensura et in altum sublata multa vehementia avolantes eam auferebant. hoc enim innuunt verba inter terram et coelum, quia ex alto in inferiora loca descendit. Quum vero interrogarem, quo abirent, quoque mensuram ferrent, ab angelo accepi, eas in Babylonis terram istam portare, nempe ibi domum ejus mensurae aedificaturas ibique ei habitationem designaturas. dicit igitur: totam poenam Babylonem Deus translaturus est, ut ibi permaneat, nec unquam auferatur, sicut vobis ablata est. Quae ut confirmet jam addit:

Κεφάλαιον ϛ'.

α'. Καὶ ἐπέστρεψα καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον τέσσαρα ἅρματα ἐκπορευόμενα ἐκ μέσου δύο ὀρέων· καὶ τὰ ὄρη ἦν ὄρη χαλκᾶ. β'. ἐν τῷ ἅρματι τῷ πρώτῳ ἵπποι πυῤῥοὶ καὶ ἐν τῷ ἅρματι τῷ δευτέρῳ ἵπποι μέλανες, γ'. καὶ ἐν τῷ ἅρματι τῷ τρίτῳ ἵπποι λευκοὶ, καὶ ἐν τῷ

Caput VI.

V. 1 *Rursus dein sublatis oculis meis, quatuor currus vidi exeuntes e medio duorum montium, qui montes erant aenei montes.* V. 2. *Primo currui juncti erant equi rubri, secundo vero nigri equi,* V. 3. *et currui tertio equi albi, quarto vero currui equi varii et maculosi.* V. 4. *Et quum angelum, qui*

ἅρματι τῷ τετάρτῳ ἵπποι ποίκιλοι ψαροί. δ΄. καὶ ἀπεκρίθην καὶ εἶπον πρὸς ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί, τί ἐστι ταῦτα κύριε; ε΄. καὶ ἀπεκρίθη ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί, καὶ εἶπε πρός με· ταῦτά ἐστιν οἱ τέσσαρες ἄνεμοι, οἳ ἐκπορεύονται παραστῆναι τῷ κυρίῳ πάσης τῆς γῆς. ς΄. ἐν ᾧ ἦσαν οἱ ἵπποι οἱ μέλανες, ἐξεπορεύοντο ἐπὶ γῆν βοῤῥᾶ καὶ οἱ λευκοὶ ἐξεπορεύοντο κατόπισθεν αὐτῶν, καὶ οἱ ποικίλοι ἐξεπορεύοντο ἐπὶ γῆν νότου. ζ΄. [καὶ οἱ ποίκιλοι] καὶ οἱ ψαροὶ ἐξεπορεύοντο καὶ ἐζήτουν καὶ ἔβλεπον τοῦ περιοδεῦσαι τὴν γῆν. καὶ εἶπε· πορεύεσθε καὶ περιοδεύσατε τὴν γῆν· καὶ περιώδευσαν τὴν γῆν. η΄. καὶ ἐκάλεσέ με καὶ ἐλάλησε πρός μὲ λέγων, ἰδοὺ οἱ ἐκπορευόμενοι ἐπὶ γῆν βοῤῥᾶ ἀνέπαυσαν θυμόν μου ἐπὶ γῆν βοῤῥᾶ. Τέσσαρα ἅρματα λέγει δηλῶν τὰς ἐν τοῖς τέσσαρσι κλίμασι τῆς οἰκουμένης ἐφεστώσας ἀοράτους δυνάμεις καὶ κατὰ θείαν ἅπαντα διαπραττομένας βουλήν. διόπερ ὁ ἄγγελος ἐρωτηθεὶς παρὰ τοῦ προφήτου τίνα δὴ ταῦτα εἴη, τέσσαρας ἀνέμους ἔφη τοῦ οὐρανοῦ τοὺς παρισταμένους τῷ κυρίῳ

in me loquebatur, interrogarem: quidnam isti significant? V. 5. *angelus, qui in me loquebatur mihi respondebat: sunt quatuor coeli venti, qui egrediuntur, ut adsistant Domino totius orbis.* V. 6. *Ille currus in quo erant nigri equi, — exibant versus terram septemtrionalem, et albi exibant illos secuti, et varii exibant versus terram austri.* V. 7. *[varii vero] et maculosi exeuntes circumspicientes conabantur terram pervadere. tum ille, ite et pervadite terram. et pervadebant terram.* V. 8. *Tum angelus me advocans dixit: ecce, illi, qui versus terram septentrionalem exierunt, iram meam in terram septentrionalem sedarunt.* Quatuor currus dicit, invisibiles significans virtutes quatuor orbis regionibus praefectas, omniaque secundum Dei voluntatem administrantes. Unde a propheta interrogatus angelus, quinam isti sint, ventos esse perhibet quatuor coeli, qui totius terrae Domino adsistant. Quum enim ex quatuor regionibus etiam quatuor ventos nominare soleamus, quatuor coeli ventos virtutes ap-

πάσης τῆς γῆς. ἐπειδὴ γὰρ κατὰ τὰ κλίματα τέσσαρας καὶ τοὺς ἀνέμους λέγειν εἰώθαμεν, τέσσαρας, ἀνέμους τοῦ οὐρανοῦ τὰς ἐν τοῖς τέσσαρσι κλίμασι δυνάμεις, ἃς οὐρανίους οὔσας παρεστάναι λέγει τῷ Θεῷ, τουτέστι διηνεκῆ τὴν λειτουργίαν ἐκτελοῦντας αὐτῷ. καλεῖ δὲ αὐτὰς τοῦ οὐρανοῦ, ἐπεὶ μηδὲν ὑπὲρ οὐρανόν ἐστι τῶν ἀοράτων καὶ λειτουργικῶν δυνάμεων. κέκληκε δὲ αὐτὰς καὶ ἀνέμους εἰκότως εἰς δήλωσιν τοῦ μετὰ πολλοῦ τοῦ τάχους ἁπανταχοῦ παραγίνεσθαι τοῖς συνθήμασιν ὑπηρετουμένας τοῖς θείοις. ἐκ μέσου μὲν ὀρέων εἶδεν αὐτὰς ἐκπορευομένας, ὡς ἂν τὸ ὑψηλὸν καὶ τὸ δυνατὸν δηλώσῃ τῶν φύσεων. τούτου δὲ ἕνεκεν καὶ χαλκᾶ εἶναι τὰ ὄρη ἔφη, ὥστε τὸ στεῤῥὸν αὐτῶν καὶ εὔτονον περὶ τὴν ὑπουργίαν δηλῶσαι. τοὺς μὲν οὖν μέλανας ἐπὶ τὸν βοῤῥᾶν ἐξέπεμψε, τὴν κατήφειαν τῇ χρόᾳ δηλοῦντας, ἐν ᾗπερ ἤμελλον καθιστάναι πάντας τοὺς αὐτόθι, δι᾿ ἧς ἐπήγαγον αὐτοῖς τιμωρίας. περὶ ὧν καί φησιν ὁ ἄγγελος ὅτι ἐκπορευόμενοι ἐπὶ τὴν βοῤῥᾶν ἀνέπαυσαν τὸν θυμόν μου ἐπὶ γῆν βοῤῥᾶ, ἵνα εἴπῃ, ὅτι ἀνάλογον τῷ θυμῷ τῷ ἐμῷ οἱ ἐπ᾿ ἐκείνους ἀπελθόντες τοὺς τόπους ἅπαντα διεπράξαντο, μεγίσταις αὐτοὺς καὶ οἵαις προσῆκον ἦν περιβαλόντες ταῖς τιμωρίαις. κατόπισθεν δὲ αὐτῶν τοὺς λευκούς, οἳ

pellat in istis quatuor regionibus, easque, utpote coelestes, Deo adsistere narrat, id est perpetuo ministeria ei facere. coeli autem virtutes vocat, quoniam supra coelum esse neminem invisibilium et ministrarum virtutum constat. nec non merito ventos vocavit, nempe ut, magna cum celeritate eas ubivis divinis nutibus adesse et ministeria facere, indicet. E medio montium porro eas progredientes vidit, ut earum naturarum sublimitatem et potentiam declararet; quam ob rem etiam montes aeneos esse tradit earum in ministerio firmitatis et strenuitatis significandae causa. Jam vero nigros versus septemtrionem emisit, qui colore suo moerorem praefigurant, quem omnibus istius regionis incolis illaturi erant poena iis inflicta. unde etiam angelus illi ait, qui versus septemtrionem exierunt iram meam in terram septentrionalem sedarunt; i. e. qui in illos locos abierunt omnia irae meae congrue fecerunt, inflicta iis justa poena. Illos autem secuti sunt albi, qui post eversos Babylonios multisque poenis cruciatos efficiebant, ut, quos e captivitate reverti

τῶν Βαβυλωνίων ἀναιρουμένων καὶ σφοδραῖς περιβαλλομένων ταῖς τιμωρίαις συνήργουν τῇ ἀφέσει τῶν ἀναχωρῆσαι τῆς αἰχμαλωσίας ὀφειλόντων τὴν περιεσομένην αὐτοῖς λαμπρότητα τοῦ λοιποῦ τῇ χροιᾷ δεικνύντες τῇ οἰκείᾳ. ὡς[1]) πυῤῥοὶ δὲ ἐξεπορεύοντο ἐπὶ γῆν νότου, ὡς θυμοῦ πνέοντες κατὰ τῶν αὐτόθι τοὺς Ἰσραηλίτας διατεθεικότων κακῶς, μεθ' οὓς οἱ ποικίλοι καὶ ψαροὶ ὤφθησαν ζητοῦντες, ὅποι ποτὲ ἀπελθεῖν αὐτοὺς δέοι τῆς γῆς, δηλοῖ δὲ ὅτι καὶ τοῖς ὑπολειπομένοις φροντὶς ἦν πρὸς ποικίλην λειτουργίαν κατὰ τὴν χροιὰν ἐκτεταμένοις ἰδεῖν, μήπου τι καὶ ἕτερόν ἐστι γενέσθαι παρ' αὐτῶν ὀφεῖλον κατὰ τὸ δοκοῦν τῷ θεῷ εἰς τιμωρίαν τε τῶν ἐναντίων καὶ εὐεργεσίαν τοῦ τῶν Ἰουδαίων ἔθνους, πρὸς οὓς καὶ λέγει· πορεύεσθε καὶ περιοδεύσατε τὴν γῆν. εἶτα καὶ ἐπήγαγε, καὶ περιώδευσαν τὴν γῆν, δεικνὺς, ὅτι καὶ ἐπετράπησαν τὴν φροντίδα τὴν οἰκείαν ἀναγαγεῖν εἰς πέρας, καὶ ἐπιτραπέντες εἴχοντο τούτου.

oportebat, ea expedirentur; splendorem his postea futurum suo colore indicantes. Deinde rubri egrediebantur versus terram austri, quasi incensi ira in eos qui ibi Israelitas maletractaverant. Post illos autem comparebant varii et maculosi, qui quaerebant, quo tandem terrarum sibi abeundum sit. quibus indicatur, etiam reliquis, qui variis, uti eorum color docebat, ministeriis faciendis destinati erant, curae fuisse videre, annon forte aliud quid sibi relictum sit, quod ad exsequenda Dei mandata fieri oportebat, aut adversariis puniendis, aut Israelitico populo beneficiis exornando: idcirco iis etiam dixit: ite et pervadite terram; quibus addit: et pervaserunt terram, significans, veniam iis esse datam curae suae ad finem perducendae; quod impetrata venia etiam faciebant.

θ'. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων· ι'. λάβε τὰ ἐκ τῆς αἰχμαλωσίας παρὰ τῶν ἀρχόντων καὶ παρὰ τῶν χρησίμων τῆς γῆς, καὶ παρὰ τῶν ἀνεγνωκότων αὐ-

V. 9. *Et sermo Domini mihi factus est dicens:* V. 10. *Sume quaedam de captivitate a principibus et ab utilibus terrae et ab iis, qui eam cognoverunt, ab Eldao,*

[1]) F. l. οἱ.

[illegible] τὸν μεγάλου. ιβ'. καὶ ἐρεῖς πρὸς αὐτὸν, τάδε λέγει Κύριος παντοκράτωρ· ἰδοὺ ἀνήρ, ἀνατολὴ ὄνομα αὐτῷ. καὶ ὑποκάτωθεν αὐτοῦ ἀνατελεῖ, καὶ ἀνοικοδομήσει τὸν οἶκον Κυρίου. ιγ'. καὶ αὐτὸς λήψεται ἀρετὴν καὶ καθιεῖται καὶ κατάρξει ἐπὶ τοῦ θρόνου αὐτοῦ, καὶ ἔσται ὁ ἱερεὺς ἐκ δεξιῶν αὐτοῦ καὶ βουλὴ εἰρηνικὴ ἔσται ἀναμέσον ἀμφοτέρων. ιδ'. ὁ δὲ στέφανος ἔσται τοῖς ὑπομένουσι καὶ τοῖς χρησίμοις αὐτῆς καὶ τοῖς ἐπεγνωκόσιν αὐτήν, καὶ εἰς χάριτα υἱοῦ Σοφονίου καὶ εἰς ψαλμὸν ἐν οἴκῳ Κυρίου. ιε'. Καὶ οἱ μακρὰν ἀπ' αὐτῶν ἥξουσι καὶ οἰκοδομήσουσιν ἐν οἴκῳ Κυρίου, καὶ γνώσεσθε, ὅτι Κύριος παντοκράτωρ ἀπέσταλκέ με πρὸς ὑμᾶς· καὶ ἔσται, ἐὰν εἰσακούοντες εἰσακούσητε τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ὑμῶν.

[illegible] V. 11. [illegible] impone capiti. V. 12. [illegible] nomine Orientis [illegible] tur, quisque eadem Domini construet. V. 13. Hic [illegible] accipiet, et sedebit, et [illegible] perabit in solio suo, [illegible] ad dextram erit sacer[illegible] et inter utrumque consilium pacificum. V. 14. Corona autem erit expectantibus et utilibus ejus, iisque, qui eam cognoverunt, et in favorem filii Sophoniae et in psalmum in domo Domini. V. 15. Et qui longinqui sunt ab iis, venient et aedificabunt in domo Domini; et vos intelligetis Dominum omnipotentem me ad vos misisse. Haec vero evenient, si audiveritis vocem Domini, Dei vestri. Eadem ratione atque beatus Moses, Aegypto quum egrederetur, e divino mandato de populo sumsit quae ad ex-

Ὅνπερ δὴ τρόπον ὁ μακάριος Μωσῆς ἐξεληλυθὼς τῆς Αἰγύπτου κατὰ πρόσταγμα θεῖον εἴληφε παρὰ τοῦ λαοῦ τὰ πρὸς κατασκευήν τε καὶ εὐκοσμίαν τῆς σκήνης συντελοῦντα, τὸν αὐτὸν δὴ καὶ ὁ μακάριος Ζαχαρίας κελεύεται παρὰ τῶν ἐκ τῆς αἰχμαλωσίας ἐληλυθότων εἴθ' ἡγουμένων εἴθ' ὅπως δήποτε δι' εὐπορίαν ἐπιτηδείων πρὸς τοῦτο καὶ παρὰ πάντων δὴ τῶν ὅλως ἀπειληφότων τὰ οἰκεῖα, (χρησίμους μὲν γὰρ λέγει τῆς γῆς τοὺς δι' εὐπορίαν συνεισενεγκεῖν τι τῇ χρείᾳ δυναμένους, ἐπεγνωκότας δὲ αὐτὴν τοὺς ἀπειληφότας αὐτὸν ὡς παρ' ἐλπίδα δεξαμένους, ἣν ἀπολωλήκεσαν ἤδη) ὥστε παρὰ τούτων ἁπάντων ἑκάστου δὴ τὰ κατὰ δύναμιν εἰσφέροντος λαβεῖν ἐπὶ τῷ τὸν οἶκον θεοῦ γενέσθαι τε καὶ κοσμηθῆναι. Καὶ κατὰ προσῆκον εἰρηκὼς δὲ καί τινων ὀνομασίας τῶν μάλιστα ὡς εἰκὸς ἐπιτηδείων πρὸς τοῦτο, κελεύει εἰς τὸν Ἰωσίου τοῦ Σοφονίου οἶκον εἰσεληλυθότα, ἐληλυθότος μὲν ἐκ τῆς κατὰ τὴν Βαβυλῶνα αἰχμαλωσίας καὶ αὐτοῦ νικῶντος δὲ τοὺς ἄλλους καὶ εὐπορίᾳ καὶ τῇ περὶ τὸ πρᾶγμα προθυμίᾳ, καὶ δὴ κομισάμενον ἀργύριόν τε καὶ χρυσίον, ὁπόσον ἂν διδῷ, στέφανον ἐξ αὐτοῦ κατασκευάσαι τὸν ἐπικεῖσθαι τῇ τοῦ ἱερέως ὀφείλοντα κεφαλῇ εἰς τὴν τῆς ἱερωσύνης εὐκοσμίαν τε καὶ

struendum et exornandum tentorium apta erant; etiam beatus Zacharias jubetur, ab iis qui e captivitate venerunt, sive principibus, sive quicunque opulentia sua ad id utiles erant, et ab omnibus generatim, qui sua receperant; (utiles enim terrae eos nominat, qui propter opulentiam suam usui aliquid conferre poterant, cognovisse eam vero illos dicit, qui eum recuperaverant praeter spem jam prorsus abjectam,) ab his omnibus, pro suis quoque largiente viribus, sumere, quibus Dei domus exstruatur et ornetur. Nec non nonnullorum, uti par erat nomina significans, nempe eorum, qui huic operi prae caeteris apti erant, eum Josiae, filii Sophoniae, qui e captivitate Babylone revenerat caeterosque et opulentia et animi ad opus istud propensione superabat, domum intrare jubet, et accepto ab hoc argenti aurique tanto, quantum dare voluerit, ex eo coronam sacerdotis capiti imponendam, tanquam sacerdotis ornamentum ac decus, parare, paratamque sa-

εὐπρέπειαν, τοῦτον δὲ γεγονότα ἐπιθεῖναι μὲν τῇ τοῦ ἱερέως κεφαλῇ, εἰπεῖν δὲ πρὸς αὐτὸν, ὡς ἂν περὶ τῶν προκειμένων πολλῶν τε ὄντων καὶ μεγίστων ἔχοι θάῤῥον, ὅτι γνώμῃ θείᾳ ἀνὴρ ἀναπέφανται, ᾧπερ ἐκ τοῦ πράγματος ὄνομα ἀνατολή. λέγει δὲ τὸν Ζοροβάβελ ὡς ἐπὶ τῆς βασιλικῆς ἡγεμονίας δι' αὐτῶν λαμπρὸν φανούμενον τῶν πραγμάτων. ἀνατελεῖ δὲ φησὶν ὑποκάτωθεν αὐτοῦ, ἀντὶ τοῦ πᾶσα λαμπρότης ἐξ αὐτοῦ περιέσται τῷ πλήθει τῶν Ἰουδαίων· τόν τε γὰρ ναὸν οὗτος οἰκοδομήσει καὶ πᾶσαν ἐκ τῆς θείας ῥοπῆς ἀρετὴν περιθέμενος ἐπὶ τῆς βασιλικῆς καθέδρας διαμενεῖ βεβαίως. ἐκ τούτου δή σοι θαῤῥεῖν περὶ τῶν προκειμένων περιέσται· ἔσῃ γὰρ αὐτῷ μετὰ πολλῆς συνὼν τῆς τιμῆς (τοῦτο γὰρ λέγει τὸ ἔσται ἐκ δεξιῶν αὐτοῦ), ὁμονοίας ἐν ἀμφοτέροις ὑμῖν κρατούσης, ὡς σοί τε τὰ πράγματα διὰ τῆς βασιλικῆς ἐξουσίας γίνεσθαι ῥᾴως, ἐκεῖνόν τε διὰ τῆς σῆς ὑπουργίας πολλῆς τυγχάνειν τῆς θείας ῥοπῆς. Ὁ δέ γε ἐκ τοῦ περιτεθέντος στεφάνου κόσμος οὐκ αὐτοῦ μόνου, παντὸς δὲ ἔπαινος ἔσται τοῦ πλήθους τῶν τε πρὸς τὴν θείαν ὁρώντων ἐλπίδα καὶ τῶν νῦν τὰ ἐνδεχόμενα συμβαλλομένων πρὸς τὴν τοῦ οἴκου κατασκευὴν καὶ πρό γε πάντων τοῦ Σοφονίου τοσαύτην ἐπιδε-

cerdotis capiti imponere, eique, ut in rebus tantis tamque gravibus animum confirmet, dicere haec: Dei jussu vir comparuit, cui Orientis nomen rei consentaneum. Zorobabelem nempe dicit, qui ipsis rebus splendidus declarabatur in regio imperio. Deinde sub eo, inquit, orietur; significans, omnem Judaeorum populi splendorem ab illo venturum esse. Is enim et templum aedificabit, et divina ope omni ornatus virtute firmam tenebit in regio solio sedem; per eum tu quoque de rebus gerendis bono animo replebere. magno enim in honore cum eo deges (hoc significant verba Et erit ad dextram ejus), et concordia vos ita continebit, ut tibi regia potestate negotia facilia sint, illi vero tua ope multum Dei auxilium contingat. Impositae autem coronae ornatus non illius solum est, sed totius plebis decus; quum et in Deo spem suam posuerint, et nunc, ut possunt, ad domum aedificandam conferant, et inprimis Sophonias tantum ejus

δειγμένου τὴν φιλοτιμίαν, ἃ δὴ πάντα γέγονέ τε καὶ γίνεται, ὡς ἂν διηνεκὴς ἥ τε τῶν ἱερέων λειτούργία καὶ οἱ διὰ τῶν συνιόντων ὕμνοι πρὸς τὸν θεὸν ἐκπληροῦσθαι δύναιντο. καὶ γὰρ δὴ καὶ τῶν πόῤῥωθεν ὄντων πλείστους ὅσους συντρέχοντες ὄψεσθαι [1]) τὰ παρ᾽ ἑαυτῶν εἰς τὴν τοῦ οἴκου συνεισφέροντας οἰκοδομὴν, ὡς ἐξ αὐτῶν πρόδηλον ἅπασι γένεσθαι τῶν πραγμάτων, ὅτι γνώμῃ θεοῦ νῦν εὐαγγελιούμενος ὑμᾶς ἐλήλυθα ταῦτα, ἅπερ οὖν καὶ πρὸς πέρας ἐλεύσεται, ἐάνπερ διαμένητε τοῖς νομίμοις ἐσπουδακότες πείθεσθαι τοῖς ἐμοῖς.

rei ostendat studium. quae omnia ideo facta sunt et fiunt, ut et sacerdotum ministeria et convenientium hymni in Deum perpetuo fieri possint. Denique enim etiam e longinquo plurimos adcurrentes suaque ad aedis aedificationem conferentes videbitis. ita ut ex ipsis rebus clarum evadat, Dei ex voluntate me haec vobis annuntiaturum venisse, quae etiam eventu non carebunt, si meis praeceptis morem gerere semper volueritis.

Κεφάλαιον Ζʹ.

αʹ — ςʹ. Μετὰ τοῦτο λέγει τετάρτῳ ἔτει βασιλεύοντος Δαρείου ἀπεστάλθαι μέν τινας παρ᾽ ἐνίων τῶν ἐν τοῖς ἀλλοτρίοις τοῦ ἔθνους τοῦ Ἰσραηλιτικοῦ βασιλευόντων πρὸς τοὺς ἐπὶ τῆς Ἱερουσαλὴμ ἱερέας τε καὶ προφήτας, ὥστε ἐξιλάσασθαι μὲν τὸν θεὸν θυσίαις ὑπὲρ ὧν ἡμαρτηκόσιν συνῄδεσαν, ἑαυτοῖς, ἐρωτῆσαί τε καὶ μαθεῖν, εἰ τὸν οἰκεῖον ἀπείληφε κόσμον ὁ θεοῦ ναὸς, ὡς ἂν καὶ ταῖς καθηκούσαις ἐπὶ τῇ τοῦ θείου θεραπείᾳ χρήσαιντο νηστείαις, ὅπερ οὖν καὶ πεποιήκασιν ἐπὶ πλείοσι τοῖς ἔτεσιν ἤδη, γεγονότος δὲ τούτου παρ᾽ ἐκεί-

Caput VII.

V. 1 — 6. Postea quarto anno Darii regis aliquos a nonnullis eorum, qui inter peregrinos Israeliticae gentis imperium tenebant, ad sacerdotes Hierosolymitanos et prophetas missos esse, narrat, qui sacrificiis oblatis Deum ob peccata, quorum sibi conscii erant, expiarent et interrogarent et ediscerent, an Dei templum suum recuperaverit decus, et tum etiam legitimis ad Deum religiose colendum uterentur jejuniis, quemadmodum inde a multis jam annis fecerint.

[1]) F. l. ὄψεσθε.

νων καὶ δὴ καὶ τῶν ἀπεσταλμένων παρόντων τε καὶ χρείαν ἐκπληρούντων, ἐφ' ἥπερ ἦσαν ἀπεσταλμένοι, δι' ἀποκαλύψεως οἷας τῷ προφήτῃ κελευσθῆναι ταῦτα πρὸς τὸν λαὸν ἅπαντα τῆς γῆς καὶ τοὺς ἱερεῖς διαλεχθῆναι, ἅπερ οὖν κἀκείνους μαθεῖν παρόντας ἐχρῆν, ὡς ἂν τὸ λεγόμενον μὴ τῶν οἰκείων μόνον ἀλλὰ καὶ τῶν ἐληλυθότων ἔχῃ διδασκαλίαν. ἦν δὲ τὰ λεγόμενα ταῦτα· οὐ σπουδή μοι, φησὶν, νηστεύοντας ὑμᾶς καὶ κοπτομένους βλέπειν, οὐ γὰρ ἐν τούτοις τὴν ἐμαυτοῦ τίθεμαι θεραπείαν, ἐπὶ ἑβδομήκοντα γοῦν τοῖς ἔτεσιν ἐν τῇ αἰχμαλωσίᾳ γεγονότες οὐδεμίαν ἐπεδείξασθε θεραπείαν, καὶ ὅμως οὐδὲν τοιοῦτον παρ' ὑμῶν αἰτήσας μεταβαλομένους τῆς κακίας ἰδὼν κατέστησα τοῖς οἰκείοις· εἴτε γὰρ φάγοιτε καὶ πίοιτε εἴτε καὶ μὴ, ὑμετέρα μὲν τὸ φαγεῖν ἀπόλαυσις ὑμετέρα δὲ καὶ τὸ μὴ φαγεῖν στέρησις, ἐμοὶ δὲ λόγος τούτων οὐδείς. Καὶ δεικνὺς ὅτι οὐ νῦν ταῦτα πρῶτόν φησι πρὸς αὐτούς.

Quod ubi ab illis factum erat et legati aderant mandataque, quorum causa missi erant, perficiebant, propheta revelatione haec populo toti terrae et sacerdotibus dicere jubebatur, quae et illos advenas audire necessarium erat, ut nuntiatum non solum indigenas, verum etiam alienigenas institueret. Haec autem dicta sunt: id non curo, ut jejunantes vos videam, inquit, et plangentes, in eo enim religio mihi debita non posita est; certe septuaginta per annos, quum in captivitate eratis, nullam mihi persolvistis religionem, et tamen ego nihil ejusmodi a vobis postulans, quum a malitia revocatos viderem, sedibus vos reddidi patriis. sive enim ederitis et biberitis, sive non, vestrum commodum esus, vestrumque incommodum esus abstinentia, ego neutrius rationem habeo. Deinde vero non primum se hoc iis dicere ostendit.

ζ. Οὐχ οὗτοι οἱ λόγοι, οὓς ἐλάλησε Κύριος ἐν χερσὶ τῶν προφητῶν τῶν ἔμπροσθεν, ὅτε ἦν Ἱερουσαλὴμ κατοικουμένη καὶ εὐθηνοῦσα καὶ αἱ πόλεις αὐτῆς κυκλόθεν, καὶ ἡ ὀρεινὴ

V. 7. *Nonne haec sunt verba, quae Dominus per prophetas priores locutus est, quum Hierosolyma adhuc habitaretur et floreret, et urbes finitimae et montes campique adhuc habita-*

καὶ ἡ πεδινὴ κατῳκεῖτο; Ταῦτα δὲ, φησὶ, καὶ πάλαι διὰ τῶν προφητῶν ἔλεγον πρὸς ὑμᾶς, ὁπηνίκα ἐπί τε τῆς οἰκείας εὐθηνίας ἦν ἡ Ἱερουσαλὴμ καὶ πᾶσαι αἱ ὑπ᾽ αὐτὴν πόλεις ὡσαύτως, ἅτε καὶ τῆς ὀρεινῆς καὶ τῆς πεδινῆς χώρας τῆς προσηκούσης αὐτοῖς πεπληρωμένης τῶν οἰκούντων. καὶ ὅμως ταῦτα τότε πρὸς ὑμᾶς ἔλεγον ὅτε μοι λόγος οὐδεὶς τῆς νηστείας, ὑμῶν οὐκ ἀγαθῇ γνώμῃ νηστευόντων. τίνων δὲ μοι λόγων[1]); ὧν ἐπιμελεῖσθαι μάλιστα προσήκειν ὑμᾶς ἐδίδασκον διὰ τῶν προφητῶν.

θ'. *Κρῖμα δίκαιον κρίνατε, καὶ ἔλεον καὶ οἰκτιρμὸν ποιεῖτε ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. ι'. καὶ χήραν καὶ ὀρφανὸν καὶ προσήλυτον καὶ πένητα μὴ καταδυναστεύετε, καὶ κακίαν ἕκαστος τοῦ ἀδελφοῦ αὐτοῦ μὴ μνησικακεῖτε ἐν ταῖς καρδίαις ὑμῶν·* Συνεβούλευον γὰρ ὑμῖν ἁπανταχοῦ τοῦ δικαίου ποιεῖσθαι πρόνοιαν πλείστην, συμπαθείᾳ τε χρῆσθαι πρὸς τοὺς πέλας καὶ δὴ καὶ πάσης βλάβης τῆς εἰς τοὺς πένητάς τε καὶ ἀπροστασιάστους ἀπέχεσθαι, καὶ μήνιδος δὲ καὶ ὀργῆς τῆς κατ᾽ ἀλλήλων ἀφεστάναι, ἀφαιροῦντας τὴν μνήμην ἑαυτῶν τῶν

rentur? Haec, inquit etiam antiquitus per prophetas vobis dixi, quum Hierosolyma in suo adhuc flore esset, nec minus omnes urbes illi subjectae, et quum etiam regio montana et planities incolis plena esset. Et quamvis nullam jejunii vestri haberem rationem, mala enim mente jejunabatis, tamen haec tunc vobis dixi. Quarum tandem rerum mihi ratio? earum, quas diligentissime curandas per prophetas vobis declaravi.

V. 9. *Justum judicate judicium, et humanitatem ac misericordiam suo quisque proximo exhibeat.* V. 10. *nec viduam, nec pupillum, nec advenam, nec pauperem opprimatis, et malitiae fratris nolite in cordibus vestris meminisse.* Suadebam enim vobis, ut ubique aequi maximam haberetis curam, et erga proximum mitis essetis animi, omnique pauperum et inquilinorum injuria abstineretis, nec vobis invicem irasceremini vel succenseretis, sed potius eorum, quae molesta forte inter vos acciderent, memoriam deleretis. Ego qui-

[1]) F. l. λόγος.

ἐν μέσῳ πως συμβάντων λυπηρῶν· ἀλλ' ἐγὼ μὲν τὴν νηστείαν παρωθούμενος ταῦτα συνεβούλευον ὑμῖν ποιεῖν. τί δέ;

ια'. Καὶ ἠπείσθησαν τοῦ προσέχειν καὶ ἔδωκαν νῶτον παραφρονοῦντα καὶ τὰ ὦτα αὐτῶν ἐβάρυναν τοῦ μὴ εἰσακούειν, ιβ'. καὶ τὴν καρδίαν αὐτῶν ἔταξαν ἀπειθῆ τοῦ μὴ εἰσακοῦσαι τοῦ νόμου μου καὶ τῶν λόγων, ὧν ἐξαπέσταλκε Κύριος παντοκράτωρ ἐν πνεύματι αὐτοῦ ἐν χερσὶ τῶν προφητῶν τῶν ἔμπροσθεν. Οὐδὲ τούτων δὴ λόγον ποιεῖσθαι ἠθέλετε, ἀλλ' ἐκ παραφροσύνης μὲν πολλῆς παντελῶς ἀπεστρέφεσθε τὰ λεγόμενα (τοῦτο γὰρ λέγει ἔδωκαν νῶτον αὐτῶν παραφρονοῦντα), προσέχειν δὲ τοῖς λεγομένοις οὐκ ἠθέλετε, κρίναντες καθάπαξ ἀπειθῶς ἔχειν πρὸς τοὺς νόμους τοὺς ἐμοὺς, οὓς διὰ τῶν προφητῶν τῶν πρόσθεν ὑμῖν ἐξηγούμην· ἐφ' οἷς τί γέγονε; καὶ ἐγένετο ὀργὴ μεγάλη παρὰ Κυρίου παντοκράτορος. ὑπὲρ τούτων τὴν τοσαύτην ὑπομεμενήκατε τιμωρίαν, ὑπὲρ ὧν τὰς νηστείας ὑμῶν παρωθούμενος ἐκεῖνα συνεβούλευον, ὧν μάλιστα προσῆκον ἦν ὑμᾶς ἀντέχεσθαι, λόγος δὲ ἦν ὑμῖν τῶν νόμων οὐδεὶς τῶν ἐμῶν.

ιγ'. Καὶ ἔσται ὃν τρόπον

dem spreto jejunio vestro haec vobis ut faceretis suadebam; et vos?

V. 11. *At illi renuerunt audire et dorsum praebuerunt desipiens, et aures suas obstruxerunt, ne audirent!* V. 12. *et cor exhibuerunt non obediens, ne praecepta mea et verba mea audirent, quae Dominus omnipotens per spiritum suum ministrantibus prophetis prioribus misit.* Neque horum rationem habere volebatis, sed pro magna vestra, quae erat, desipientia a dictis avertebamini (hoc significant verba Dorsum praebuerunt desipiens) audire ea nolentes, et morem gerere legibus meis, quas per priores prophetas vobis praecipiebam, prorsus recusantes. quam ob rem quid factum est? *Et ira Domini omnipotentis vehementer exarsit.* Tantam solvistis poenam propterea quod, me spretis jejuniis illa vobis suadente quae observare vos perquam aequum erat, legum mearum nullam habuistis rationem.

V. 13. *Et futurum est*

εἶπε καὶ οὐκ εἰσήκουσαν αὐτοῦ, οὕτω κεκράξονται καὶ οὐ μὴ εἰσακούσω αὐτῶν, λέγει Κύριος παντοκράτωρ. Ὥσπερ δὲ ἐκεῖνοι τῶν παρ' ἐμοῦ λεγομένων ἀκούειν οὐκ ἤθελον, οὕτω δὴ κἀγὼ γεγονότων αὐτῶν ἐν ταῖς τοιαύταις ἀνάγκαις βοώντων οὐ προσεῖχον. τί δὲ πεποίηκα;

ιδ'. Καὶ ἐκβαλῶ αὐτοὺς ὡς ἐν λαίλαπι εἰς πάντα τὰ ἔθνη, ἃ οὐκ ἔγνωσαν, καὶ ἡ γῆ ἀφανισθήσεται κατόπισθεν αὐτῶν ἐκ διοδεύοντος καὶ ἀναστρέφοντος· καὶ ἔταξαν γῆν ἐκλεκτὴν εἰς ἀφανισμόν. Ἠπείλησα γὰρ ἅπαντας ὑμᾶς ὡσπερεὶ συστροφῇ περιβαλὼν ἀνέμου μεγίστῃ διασκορπίσαι τε καὶ αἰχμαλωσίᾳ παραδοὺς εἰς χώραν ἀπαγαγεῖν, ἣν οὐκ ᾔδειτε πρότερον, ἀφανισμῷ τε περιβληθήσεσθαι τὴν γῆν ἀπεφηνάμην τὴν ὑμετέραν, οὐκ ἀναστρέφοντος ἐπ' αὐτῆς ἔτι τινὸς, οὐ διοδεύοντος διὰ τὴν ὑπερβάλλουσαν ἐρημίαν. ταῦτα καὶ ἠπείλησα, φησὶ, καὶ πεποίηκα, καὶ ἣν ἐξελεξάμην γῆν πρότερον εἰς κτῆσιν ὑμετέραν ἀφανισμῷ παραδέδωκα· τὸ γὰρ κεκράξονται καὶ ἀφανισθήσεται, ὡς ἐπιμέλοντος λέγει τὸ γεγονὸς ἐξηγούμενος, τὸν χρόνον κατὰ τὸ εἰωθὸς ἐναλλάττων, ὃ πολλαχοῦ γινόμενον ἐπὶ τῆς θείας γραφῆς παρὰ

ut quemadmodum locutus est et eum non audierunt, ita illi clamabunt, nec audiam eos, ait Dominus omnipotens. Quemadmodum illi verba mea audire nolebant, ita ego quoque, ubi illi miseriis irretiti me acclamaverunt, non audiebam. sed quid feci?

V. 14. *Et ejiciam eos quasi procella in omnes gentes ignotas, et terra post eos devastabitur nemine pervadente et ambulante. Et in vastitatem terram redegerunt dilectam.* Minatus sum, me quasi vehementissima procella correptos vos dispersurum et captivitati traditos in regionem abducturum esse, quam antea non novistis; nec non vestram terram devastatam fore indicavi, nemine eam amplius pervadente vel in ea ambulante prae nimia ejus vastitate. haec, inquit, et minatus sum, et feci, terramque vestram, quam prius quasi possessionem mihi elegeram eversioni tradidi. *Clamabunt* enim et *devastabitur* quasi de industria, quod jam factum erat, narrans dicit, ex consueto mutato tempore, quod saepe in scriptura sacra cum apud bea-

ἐν μέσῳ πως συμβάντων λυπηρῶν· ἀλλ' ἐγὼ μὲν τὴν νηστείαν παρωθούμενος ταῦτα συνεβούλευον ὑμῖν ποιεῖν. τί δέ;

ια'. Καὶ ἠπείσθησαν τοῦ προσέχειν καὶ ἔδωκαν νῶτον παραφρονοῦντα καὶ τὰ ὦτα αὐτῶν ἐβάρυναν τοῦ μὴ εἰσακούειν, ιβ'. καὶ τὴν καρδίαν αὐτῶν ἔταξαν ἀπειθῆ τοῦ μὴ εἰσακοῦσαι τοῦ νόμου μου καὶ τῶν λόγων, ὧν ἐξαπέσταλκε Κύριος παντοκράτωρ ἐν πνεύματι αὐτοῦ ἐν χερσὶ τῶν προφητῶν τῶν ἔμπροσθεν. Οὐδὲ τούτων δὴ λόγον ποιεῖσθαι ἠθέλετε, ἀλλ' ἐκ παραφροσύνης μὲν πολλῆς παντελῶς ἀπεστρέφεσθε τὰ λεγόμενα (τοῦτο γὰρ λέγει ἔδωκαν νῶτον αὐτῶν παραφρονοῦντα), προσέχειν δὲ τοῖς λεγομένοις οὐκ ἠθέλετε, κρίναντες καθάπαξ ἀπειθῶς ἔχειν πρὸς τοὺς νόμους τοὺς ἐμούς, οὓς διὰ τῶν προφητῶν τῶν πρόσθεν ὑμῖν ἐξηγούμην· ἐφ' οἷς τί γέγονε; καὶ ἐγένετο ὀργὴ μεγάλη παρὰ Κυρίου παντοκράτορος. ὑπὲρ τούτων τὴν τοσαύτην ὑπομεμενήκατε τιμωρίαν, ὑπὲρ ὧν τὰς νηστείας ὑμῶν παρωθούμενος ἐκεῖνα συνεβούλευον, ὧν μάλιστα προσῆκον ἦν ὑμᾶς ἀντέχεσθαι, λόγος δὲ ἦν ὑμῖν τῶν νόμων οὐδεὶς τῶν ἐμῶν.

ιγ'. Καὶ ἔσται ὃν τρόπον

dem spreto jejunio vestro haec vobis ut faceretis suadebam; et vos?

V. 11. *At illi renuerunt audire et dorsum praebuerunt desipiens, et aures suas obstruxerunt, ne audirent!* V. 12. *et cor exhibuerunt non obediens, ne praecepta mea et verba mea audirent, quae Dominus omnipotens per spiritum suum ministrantibus prophetis prioribus misit.* Neque horum rationem habere volebatis, sed pro magna vestra, quae erat, desipientia a dictis avertebamini (hoc significant verba Dorsum praebuerunt desipiens) audire ea nolentes, et morem gerere legibus meis, quas per priores prophetas vobis praecipiebam, prorsus recusantes, quam ob rem quid factum est? *Et ira Domini omnipotentis vehementer exarsit.* Tantam solvistis poenam propterea quod, me spretis jejuniis illa vobis suadente quae observare vos perquam aequum erat, legum mearum nullam habuistis rationem.

V. 13. *Et futurum est,*

εἶπε καὶ οὐκ εἰσήκουσαν αὐτοῦ, οὕτω κεκράξονται καὶ οὐ μὴ εἰσακούσω αὐτῶν, λέγει Κύριος παντοκράτωρ. Ὥσπερ δὲ ἐκεῖνοι τῶν παρ' ἐμοῦ λεγομένων ἀκούειν οὐκ ἤθελον, οὕτω δὴ κἀγὼ γεγονότων αὐτῶν ἐν ταῖς τοιαύταις ἀνάγκαις βοώντων οὐ προσεῖχον. τί δὲ πεποίηκα;

ιδ'. Καὶ ἐκβαλῶ αὐτοὺς ὡς ἐν λαίλαπι εἰς πάντα τὰ ἔθνη, ἃ οὐκ ἔγνωσαν, καὶ ἡ γῆ ἀφανισθήσεται κατόπισθεν αὐτῶν ἐκ διοδεύοντος καὶ ἀναστρέφοντος· καὶ ἔταξαν γῆν ἐκλεκτὴν εἰς ἀφανισμόν. Ἠπείλησα γὰρ ἅπαντας ὑμᾶς ὡσπερεὶ συστροφῇ περιβαλὼν ἀνέμου μεγίστῃ διασκορπίσαι τε καὶ αἰχμαλωσίᾳ παραδοὺς εἰς χώραν ἀπαγαγεῖν, ἣν οὐκ ᾔδειτε πρότερον, ἀφανισμῷ τε περιβληθήσεσθαι τὴν γῆν ἀπεφηνάμην τὴν ὑμετέραν, οὐκ ἀναστρέφοντος ἐπ' αὐτῆς ἔτι τινὸς, οὐ διοδεύοντος διὰ τὴν ὑπερβάλλουσαν ἐρημίαν. ταῦτα καὶ ἠπείλησα, φησὶ, καὶ πεποίηκα, καὶ ἣν ἐξελεξάμην γῆν πρότερον εἰς κτῆσιν ὑμετέραν ἀφανισμῷ παραδέδωκα· τὸ γὰρ κεκράξονται καὶ ἀφανισθήσεται, ὡς ἐπιμέλοντος λέγει τὸ γεγονὸς ἐξηγούμενος, τὸν χρόνον κατὰ τὸ εἰωθὸς ἐναλλάττων, ὃ πολλαχοῦ γινόμενον ἐπὶ τῆς θείας γραφῆς παρὰ

ut quemadmodum locutus est et eum non audierunt, ita illi clamabunt, nec audiam eos, ait Dominus omnipotens. Quemadmodum illi verba mea audire nolebant, ita ego quoque, ubi illi miseriis irretiti me acclamaverunt, non audiebam. sed quid feci?

V. 14. *Et ejiciam eos quasi procella in omnes gentes ignotas, et terra post eos devastabitur nemine pervadente et ambulante. Et in vastitatem terram redegerunt dilectam.* Minatus sum, me quasi vehementissima procella correptos vos dispersurum et captivitati traditos in regionem abducturum esse, quam antea non novistis; nec non vestram terram devastatam fore indicavi, nemine eam amplius pervadente vel in ea ambulante prae nimia ejus vastitate. haec, inquit, et minatus sum, et feci, terramque vestram, quam prius quasi possessionem mihi elegeram eversioni tradidi. *Clamabunt* enim et *devastabitur* quasi de industria, quod jam factum erat, narrans dicit, ex consueto mutato tempore, quod saepe in scriptura sacra cum apud bea-

τε τῷ μακαρίῳ Δαυὶδ καὶ τοῖς λοιποῖς προφήταις διὰ πολλῶν ἐδείξαμεν ἤδη. ὅπερ οὖν καὶ δεδήλωκεν εἰπών, καὶ ἔταξαν γῆν ἐκλεκτὴν εἰς ἀφανισμόν· ἔδειξε γὰρ ὅτι οὐ μέλλον πρᾶγμα λέγει, ἀλλὰ παρεληλυθός τε ἤδη καὶ γεγονός. ἠβουλήθη δὲ δι' ὅλων εἰπεῖν, ὅτι τὴν μὲν νηστείαν ὑμῶν παρῃτούμην κακῶς γινομένην, συνεβούλευον δὲ ἃ προσῆκον ἦν πράττεσθαι παρ' ὑμῶν, καὶ ἐπειδὴ τούτοις μὴ προσείχετε, τοιαύτην ὑμῖν ἐπήγαγον τιμωρίαν. Ἀλλὰ τότε μὲν ταῦτα, φησί, νῦν δὲ τί;

tum Davidem tum apud caeteros prophetas fieri, pluribus jam monuimus. id quod etiam verbis et in vastitatem redegerunt terram dilectam declaravit; non enim rem futuram se narrare significavit, sed jam factam et praeteritam. His omnibus vero haec dicere voluit: jejunium vestrum, quod male fiebat, deprecabar, sed officio vestro ut satisfaceretis suadebam. cui quum non obtemperaretis talem vobis inflixi poenam. Tunc quidem res ita comparatae erant, quomodo autem nunc?

Κεφάλαιον Η'.

β'. Τάδε λέγει Κύριος παντοκράτωρ· ἐζήλωσα τὴν Ἱερουσαλὴμ καὶ τὴν Σιὼν ζῆλον μέγαν, καὶ θυμῷ μεγάλῳ ἐζήλωσα αὐτήν. Μεταβέβληκά μου τὴν περὶ αὐτὴν σχέσιν, ὥστε ἄγαν ὀργίζεσθαι ὑπὲρ ὧν πέπονθε κατὰ τῶν ἠδικηκότων αὐτήν. καὶ ἐπιμένων τοῖς εἰρημένοις.

γ'. Τάδε λέγει Κύριος· ἐπιστρέψω ἐπὶ Σιὼν καὶ κατασκηνώσω ἐν μέσῳ Ἱερουσαλὴμ, καὶ κληθήσεται Ἱερουσαλὴμ πόλις ἀληθινή, καὶ τὸ ὄρος Κυρίου παντοκράτορος ὄρος ἅγιον.

Caput VIII.

V. 2. *Haec dicit Dominus omnipotens. irascor ob Hierosolymam Sionemque vehementer, et magnam pro ea iram concepi.* Animum meum circa Hierosolymam mutavi adeo, ut propterea quod passa sit, admodum vexatoribus suis irascar. Eadem ratione pergit:

V. 3. *Haec dicit Dominus omnipotens: reversus ad Sionem in medio Hierosolymae habitabo; et Hierosolyma urbs vera nominabitur, et mons Domini omnipotentis mons sanctus.*

Ἐπανάξω γάρ μου τὴν περὶ τὸ Σιὼν ὄρος διάθεσιν καὶ φανοῦμαι πάλιν διὰ τῆς κηδεμονίας τῆς οἰκείας ἐπὶ Ἱερουσαλὴμ, ἀποδείξω τε αὐτὴν πόλιν ὄντως[1]) συνεστῶσαν καὶ ἐν εὐθηνίᾳ καθεστῶσαν πολλῇ, τό τε ὄρος ἐφ' οὗπερ ἡ πόλις οἰκοδομεῖται ἅγιον ἀποδείξω ὡς τῆς παρουσίας ἠξιωμένον τῆς ἐμῆς. Καὶ προςτιθεὶς ἔτι τοῖς αὐτοῖς.

δ'. Τάδε λέγει Κύριος παντοκράτωρ· ἔτι καθήσονται πρεσβύτεροι ἐν ταῖς πλατείαις Ἱερουσαλὴμ ἕκαστος τὴν ῥάβδον αὐτοῦ ἔχων ἀπὸ πλήθους ἡμερῶν. ε'. καὶ αἱ πλατεῖαι τῆς πόλεως πλησθήσονται παιδαρίων καὶ κορασίων παιζόντων ἐν ταῖς πλατείαις αὐτῆς. Οὕτω δὲ, φησὶν, ἀβλαβῆ φυλάξω τὴν πόλιν καὶ πάντας τοὺς οἰκοῦντας αὐτὴν, ὥστε μὴ παραπλησίως τοῖς πρόσθεν ὑπὸ τῶν κατεχόντων κακῶν ἀώρους ὑπομένειν θανάτους, ὡς ἐν εὐθηνίᾳ δὲ πολλῇ τῆς πόλεως οὔσης ἀναγκαίως καὶ τοῖς οἰκοῦσιν αὐτὴν παρεκτείνεσθαι τὴν ζωὴν, ὥστε καὶ ἀσθενοῦντας διὰ τὸ μῆκος τοῦ χρόνου τῆς ζωῆς βακτηρίαις ἀναγκάζεσθαι κεχρῆσθαι εἰς τὴν τῆς πορείας βοήθειαν. ἔσται δὲ καὶ ἡ πόλις μεστὴ παιδαρίων καὶ κορασίων παιζόν-

Pristinum rursus circa Sionem montem animum exhibebo, et per curam meam Hierosolymae commorabor, eamque vere urbem esse multaque felicitate frui, declarabo, et montem, in quo urbs exstructa est sanctum declarabo eum mea praesentia dignando. Quibus etiam addit.

V. 4. *Haec dicit Dominus omnipotens: senes et anus in Hierosolymae plateis sedebunt, suum quisque baculum tenentes prae dierum multitudine.* V. 5. *et plateae urbis plenae erunt puerulis et puellis in iis ludentibus.* Tam incolumen, inquit, et urbem servabo omnesque ejus incolas, ut non sicut antea a malis prementibus maturis interficiantur necibus, sed urbe multa felicitate fruente, etiam incolae ejus longaeva gaudeant vita. unde futurum est, ut debiles ob longum vitae suae tempus baculis uti coacti sint ad gressus fulciendos. Erit quoque urbs puerulis et puellis ludentibus plena. hoc enim urbis florentis et incolis abundantis signum est. Quae quum ad praesentem rerum statum

[1]) Cod. ὄντος.

των [1])· εὐθηνουμένης γὰρ καὶ πολυανθρώπου πόλεως σημεῖον καὶ τοῦτο. εἶτ' ἐπειδή πως πρὸς τὰ παρόντα ἀδύνατα ταῦτα εἶναι ἐφαίνετο.

incredibilia esse viderentur, (addit).

ς'. Τάδε λέγει Κύριος παντοκράτωρ· εἰ ἀδυνατήσει ἐνώπιον τῶν καταλοίπων τοῦ λαοῦ τούτου ἐν ταῖς ἡμέραις ἐκείναις, μὴ καὶ ἐνώπιον ἐμοῦ ἀδυνατήσει; λέγει Κύριος παντοκράτωρ. Ἀλλ' εἰ καὶ ἀδύνατα, φησὶ, ταῦτα ὑμῖν καταφαίνεται ἀφορῶσι πρὸς τὴν ὀλιγότητα τῶν νῦν συνειλεγμένων ἐπὶ τῆς πόλεως, ἀλλ' οὐκ ἐμοί γε ἀδύνατον τοσαύτην ἐργάσασθαι τῶν πραγμάτων τὴν μεταβολὴν, ὥστε ἐκ τῆς νῦν ταλαιπωρίας εἰς εὐθηνίαν πολλὴν μεταστῆναι τήν τε πόλιν καὶ τὰ κατ' αὐτήν. (ζ' — η'.) Καὶ πιστωσάμενος ἐξ ἑαυτοῦ τὸ δυνατὸν τῶν ἐπηγγελμένων προστίθησι πάλιν, ὅτι πολλοὺς μὲν καὶ ἑτέρους τῶν Ἰσραηλιτῶν πολλαχόθεν ἐπ' αὐτὴν συνάξω τῶν ἐπὶ τῆς αἰχμαλωσίας ὄντων ἔτι, οὓς ἀποδώσω τῇ οἰκήσει τῆς γῆς τῆς οἰκείας. ἔσομαι δὲ ἐν αὐτοῖς διὰ τῆς κηδεμονίας γνωριζόμενος, ὡς ἐκείνους τε ἐκ τῶν πραγμάτων δείκνυσθαι λαὸν ὄντας ἐμὸν, ἀφ' ὧν τοσαύτης ἀξιοῦνται παρ' ἐμοῦ τῆς προνοίας, ἐμέ τε φαίνεσθαι αὐτῶν ὄντως Θεὸν ἀφ' ὧν

V. 6. *Haec dicit Dominus omnipotens: si quid coram superstitibus ex populo hoc fieri prorsus nequire videtur istis diebus, numquid etiam coram me fieri nequibit? ait Dominus omnipotens.* Quamvis haec fieri nullo modo posse vobis videatur exiguum eorum numerum respicientibus, qui nunc in urbe coacti sunt, mihi tamen non difficile est tantam rerum efficere mutationem, ut e praesenti miseria in multam felicitatem urbs cum suis omnibus restituatur. (V. 7—8.) Et ut promissorum immensitati fidem paret, ita pergit: multos etiam reliquorum Israelitarum, qui adhuc in captivitate sunt, reduces patriae terrae denuo habitandae reddam. Et cura mea inter eos conspicuum me adeo praebebo, ut ex rebus ipsis cognoscatur, meum populum eos esse, qui tanta providentia a me sint digni habiti, et me vere esse eorum Deum, qui firmam iis

[1]) Cod. πεζόντων.

βεβαίαν τε αὐτοῖς παρέχω τὴν οἰκείαν χάριν καὶ τῇ δικαιοσύνῃ τῇ οἰκείᾳ κεχρημένος πάντας τιμωροῦμαι τοὺς ὅπως ποτὲ βλάπτειν αὐτοὺς ἐπιχειροῦντας, ταύταις ἐπισυνάπτει ταῖς ἐπαγγελίαις.

θʹ. Τάδε λέγει Κύριος παντοκράτωρ· κατισχυέτωσαν αἱ χεῖρες ὑμῶν τῶν ἀκουόντων ἐν ταῖς ἡμέραις ταύταις τοὺς λόγους τούτους ἐκ στόματος τῶν προφητῶν, ἀφ᾽ ἧς ἡμέρας τεθεμελίωται ὁ οἶκος Κυρίου παντοκράτορος καὶ ὁ ναὸς ἀφ᾽ οὗ ᾠκοδόμηται. Τοίνυν, φησὶ, ταύταις ταῖς ἐπαγγελίαις προσέχοντες ταῖς ἐμαῖς, ἃς πολλάκις διὰ τῶν προφητῶν πρὸς ὑμᾶς ἐποιησάμην, μετὰ πολλῆς τῆς ἐπιμελείας τὸν οἶκον ἐκπληρῶσαι σπεύσατε τὸν ἐμὸν, ἀναλογιζόμενοι, ἐξότεπερ περὶ ταῦτα ἐσχήκατε καὶ περὶ τὴν κατασκευὴν τοῦ οἴκου τοῦ ἐμοῦ, ὁπόσην τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν ἐδέξατο τὰ ὑμέτερα. Εἶτ᾽ ἐκ παραθέσεως τῶν προτέρων δεικνὺς τὴν μεταβολήν.

ιʹ. Διότι πρὸ τῶν ἡμερῶν ἐκείνων ὁ μισθὸς τῶν ἀνθρώπων οὐκ ἦν εἰς ὄνησιν. καὶ ὁ μισθὸς τῶν κτηνῶν οὐχ ὑπῆρχε, καὶ τῷ ἐκπορευομένῳ καὶ τῷ εἰσπορευομένῳ οὐκ ἦν εἰρήνη

largiar meam gratiam, et pro mea, quae est, justitia omnes puniam, qui iis ullo modo nocere conati sint. His promissis ita pergit.

V. 9. *Haec dicit Dominus omnipotens: Fortes sint manus vestrae, qui hisce diebus haec auditis verba per os prophetarum, ex quo fundata est domus Domini omnipotentis, et templum ex quo aedificatur.* Jam auditis, inquit, his promissionibus meis, quas per prophetas saepe vobis pollicitus sum, omni diligentia domum meam absolvere studete, quantopere, ex quo rerum ad templi aedificationem pertinentium curam geritis, res vestrae ad meliora conversa sint, vobiscum reputantes. Eamque mutationem comparatis prioribus ostendit.

V. 10. *Nam ante istos dies merces hominum nullum praebebat fructum, nec jumentorum lucrum quidquam erat, et egredientibus atque ingredientibus nulla erat pax prae calamitate. Et emit-*

ἀπὸ τῆς θλίψεως. καὶ ἐξαποστελῶ πάντας τοὺς ἀνθρώπους ἕκαστον ἐπὶ τὸν πλησίον αὐτοῦ. Πάλαι μὲν γάρ, φησί, καὶ πρὸ τῆς οἰκοδομῆς τοῦ ναοῦ ἐν πολλῇ καθειστήκειτε ταλαιπωρίᾳ καὶ οὔτε αὐτοὶ πονοῦντες οὔτε τῇ τῶν κτηνῶν ὑμετέρων ἐργασίᾳ προσκείμενοι ἐκ τῶν πολλῶν τι πόνων ἀπεφέρεσθε κέρδος. ἀνόνητα γὰρ ὑμῖν ἅπαντα ἐποίει τὸ μηδεμιᾶς μὲν εἰρήνης ἀπολαύειν, ἐν θλίψεσι δὲ πάντοτε ἐξετάζεσθαι ποικίλαις ἅπαντας τοὺς ἐπὶ τῆς πόλεως εἰσιόντας τε καὶ ἐξιόντας τῶν ἐν ὑμῖν, ἵνα εἴπῃ τοὺς ἐπὶ τῆς πόλεως ἀναστρεφομένους· ηὔξηνε δὲ ταῦτα ὑμῖν τήν τε θλῖψιν καὶ τὸ μὴ ἐν εἰρήνῃ καθεστάναι τὸ πολλοὺς ὑμῖν ἐπεγείρεσθαι τῶν ἔξωθεν ἀνθρώπων διὰ τὴν ἀποστροφὴν τὴν ἐμήν. Ἔοικε δὲ ταῦτα κατὰ τὴν ἔννοιαν τοῦ μακαρίου Ἀγγαίου τοῦ προφήτου [1]) σαφῶς ὀνειδίζων αὐτοῖς τὴν ῥᾳθυμίαν ἐμνημόνευσε μὲν τῶν ἐπιγεγονότων αὐτοῖς κακῶν, ὁπηνίκα τῆς οἰκοδομῆς κατεῤῥᾳθύμουν, ἐδήλωσε δὲ πόσην ἔσχε μεταβολὴν ἐπὶ τὸ κρεῖττον τὰ κατ᾽ αὐτοὺς ἑλομένους τῆς οἰκοδομῆς τοῦ ναοῦ φροντίζειν τοῦ θείου. τοῦτο γὰρ κἀνταῦθα ὁ μακάριος Ζαχαρίας λέγει, ὅτι ἐν

tam omnes homines unumquemque adproximum suum. Olim, inquit, et ante templi aedificationem multa eratis in miseria, neque si ipsi laborabatis, neque si lucro e jumentis faciendo vacabatis multis vestris laboribus ullum faciebatis quaestum; omnia enim inutilia vobis erant, quia nulla fruebamini pace, et variis semper calamitatibus angebantur in urbe, qui ingrediebantur et egrediebantur i. e. qui in urbe versabantur. quae calamitas pacisque inopia inde etiam crevit, quod multi peregrinorum me vos aversante adversus vox surgerent. Haec quoad cogitationes beati Haggaei prophetae esse videntur, (qui) segnitiem iis clare objurgans, et mala commemoravit, quae iis acciderint, quum aedificationem negligerent, et quantopere eorum res ad meliora conversae fuerint, quum templi exstruendi curam gerere voluerint, demonstravit. id quod etiam beatus Zacharias hoc loco dicit; nam in multis eratis adversitatibus, inquit, quum aedem negligeretis, ex quo vero mutata

[1]) H. l. supplendum videtur ὅς.

πολλαῖς ἦτε, φησὶ, ταλαιπωρίαις ἀμελοῦντες τοῦ οἴκου, ἐπειδὴ δὲ μεταβαλόντες τὴν γνώμην τὴν προσήκουσαν ἔχετε περὶ τὸν οἶκον σπουδὴν, τί γέγονε;

ια'. Καὶ νῦν οὐ κατὰ τὰς ἡμέρας τὰς ἔμπροσθεν ἐγὼ ποιῶ τοῖς καταλοίποις τοῦ λαοῦ τούτου, λέγει Κύριος παντοκράτωρ, ιβ'. ἀλλ' ἢ δείξω εἰρήνην· ἡ ἄμπελος δώσει τὸν καρπὸν αὐτῆς καὶ ἡ γῆ δώσει τὰ γεννήματα αὐτῆς καὶ ὁ οὐρανὸς δώσει τὴν δρόσον αὐτοῦ καὶ κατακληρονομήσω τοῖς καταλοίποις τοῦ λαοῦ μου τούτου πάντα ταῦτα. ιγ'. Καὶ ἔσται, ὃν τρόπον ἦτε ἐν κατάρᾳ ἐν τοῖς ἔθνεσιν, οἶκος Ἰσραὴλ, οὕτω διασώσω ὑμᾶς, καὶ ἔσεσθε ἐν εὐλογίᾳ. Οὐχ ὅμοια τοῖς πρόσθεν τὰ νῦν περὶ τοὺς ἐπανεληλυθότας γενήσεται, οὓς ἐκ πολλῶν τῶν ἀπολλυμένων ὀλίγους περιληφθέντας αὐξήσω πάλιν ἐγὼ καὶ πρὸς πλῆθος ἄξω, εἰρήνης τε αὐτοὺς πλήρεις ἐργασάμενος καὶ τὴν ἀπὸ τῶν καρπῶν εὐθηνίαν αὐτοῖς παρέχων καὶ πάντων δὴ συντόμως εἰπεῖν τῶν ἀγαθῶν δωρούμενος αὐτοῖς τὴν ἀπόλαυσιν, ἵν' ὥσπερ τὸ πάλαι τιμωρίας ἐφαίνεσθε πᾶσιν ἄξιοι διὰ τὴν ὀργὴν τὴν ἐμὴν, οὕτως ἐκ τῆς ἐμῆς κηδεμονίας μακάριστοι φαίνοισθε παρὰ

mente justum aedi vovetis studium, quid factum est?

V. 11. *Jam vero non ut eadem atque pristinis diebus faciam his de populo hoc superstitibus, ait Dominus omnipotens;* V. 12. *sed ostendam pacem. Vitis fructum suum feret, et terra dabit proventum suum, et coelum dabit rorem suum, et curabo, ut, qui ex hoc populo meo superstites sint, his omnibus fruantur.* V. 13. *Et futurum est, ut quemadmodum exsecrati eratis inter gentes, domus Judae, domusque Israelis, ita vos conservem, et benedictione gaudeatis.* Non qualia prius talia nunc regressis evenient, quos, licet pauci tantum sint superstites de multis, qui interierunt, nunc rursus adaugebo ad magnum numerum, pace iis parata, et frugum abundantia data, et, paucis ut absolvam, omnibus bonis iis donatis, ut quemadmodum olim punitione omnibus digni videbamini, nunc ob meam curam felicissimi ab omnibus hominibus celebremini. Deinde magis etiam

πᾶσιν ἀνθρώποις. Καὶ ἐπὶ πλέον παραθαῤῥύνων αὐτούς. Θαρσεῖτε καὶ κατισχύετε ἐν ταῖς χερσὶν ὑμῶν. ιδ΄. διότι τάδε λέγει Κύριος παντοκράτωρ· ὃν τρόπον διενοήθην τοῦ κακῶσαι ὑμᾶς ἐν τῷ παροργίσαι με τοὺς πατέρας ὑμῶν, λέγει Κύριος παντοκράτωρ, καὶ οὐ μετενόησα, ιε΄. οὕτω παρατέταγμαι καὶ διανενόημαι ἐν ταῖς ἡμέραις ταύταις τοῦ καλῶς ποιῆσαι τὴν Ἱερουσαλὴμ καὶ τὸν οἶκον Ἰούδα. Ἀποθέμενοι δὴ πάντα φόβον καὶ πᾶσαν ἀπόγνωσιν ἐν εὐθυμίαις ἔσεσθε καὶ θάρσει πολλῷ, καὶ μετὰ πολλῆς τῆς σπουδῆς ἔχεσθε τῆς οἰκοδομῆς τοῦ ναοῦ, εὖ εἰδότες ὅτι ὥσπερ πρότερον τιμωρίαν ἀπεφηνάμην καθ᾽ ὑμῶν ὑπὲρ ὧν πλημμελεῖν τοὺς πρὸς[1]) τοὺς ὑμετέρους συνέβαινεν εἰς ἐμὲ καὶ ταύτην ἤγαγον εἰς πέρας οὐ μεταβαλόμενος τὴν γνώμην· οὕτω νῦν τὰς ἐπαγγελίας εἰς πέρας ἄξω πάντως, ἃς περί τε τῆς Ἱερουσαλὴμ ἀπεφηνάμην καὶ πάσης δὲ τῆς Ἰούδα φυλῆς, ὡς ἡ μὲν ἐν εὐθηνίᾳ γενήσεται οἱ δὲ πολλῆς μεθέξουσι τῆς εὐετηρίας. Καὶ δεικνὺς ὅ, τι ποτὲ ποιοῦντας προσῆκε τῷ βεβαίῳ θαῤῥεῖν τῶν ἐπαγγελιῶν.

eos erigit. *Bono estote animo, fortesque manibus vestris.* V. 14. *nam haec dicit Dominus omnipotens: quemadmodum affligere vos decreveram, quum majores vestri iram meam provocassent, quin me poeniteret, ait Dominus omnipotens;* V. 15. *ita paratus sum et decrevi his temporibus benefacere Hierosolymae Judaeque domui.* Deposito omni timore omnique desperatione hilares estote et alacres et omni cura templi agitate aedificationem, bene gnari, quemadmodum prius poena vos afflixerim, propterea quod patres vestri in me deliquerunt, et hanc sententiam immutatam retinuerim, ita me nunc promissa omnino persoluturum esse, quae circa Hierosolymam totamque Judae tribum feci, nempe fore ut, illa felicitate fruatur, hi vero ubertate gaudeant. Deinde vero, quidquid faciant, firmis Dei promissis fidem habere eos oportere ostendit.

[1]) Leg. πατέρας.

ιϛʹ: Θαρσεῖτε. οὗτοι οἱ λόγοι, οὓς ποιήσετε· λαλεῖτε ἀλήθειαν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, καὶ κρῖμα εἰρηνικὸν κρίνατε ἐν ταῖς πύλαις ὑμῶν. ιζʹ. καὶ ἕκαστος τὴν κακίαν τοῦ πλησίον μὴ λογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν, καὶ ὅρκον ψευδῆ μὴ ἀγαπᾶτε. διότι πάντα ταῦτα ἐμίσησα, λέγει Κύριος παντοκράτωρ. Θαρσεῖτε δὴ ταῖς ἐπαγγελίαις ταῖς ἐμαῖς, εἰ τούτων δὴ, ὥνπεροῦν συμβουλεύω πολλὴν ἔχοιτε τὴν ἐπιμέλειαν ἀδόλως μὲν τὰ πρὸς ἀλλήλους διατεθέντες, ἀληθινῇ δὲ διανοίᾳ τὴν πρὸς ἀλλήλους ἀποσώζοντες φιλίαν, καὶ δὴ φροντίζοιτε πάσας τὰς ἐμπιπτούσας φιλονεικίας διαλύοντες εἰς φιλίαν συνάγεσθαι, πρέπουσάν γε καὶ πρὸς εἰρήνην συνιοῦσαν τῶν ἀμφισβητουμένων ποιούμενοι τὴν διάλυσιν τά συμβαίνοντά τε παραλογίζεσθαι τῶν πταισμάτων, καὶ πᾶσαν ἔχοιτε φροντίδα τοῦ μὴ μετ' ἐπιορκίας ὀμνύναι· ταῦτα γὰρ ἐμοὶ μὲν διὰ μίσους ἐστὶν ἄγαν. ὑμεῖς δὲ εἰ τοῖς λόγοις πειθόμενοι τοῖς ἐμοῖς βούλοισθε σπουδῇ διαπράττεσθαι τὰ παρηγγελμένα, τεύξεσθαι [1]) δὲ βεβαίως ὧν ἅπαξ ἐπηγγειλάμην ὑμῖν ἀγαθῶν.

V. 16. *Bono estote animo. haec sunt verba, quae facietis: veritatem loquimini vobiscum invicem; et pacificum judicate judicium in portis vestris.* V. 17. *nec alter alteri maligna machinetur in corde suo, nec perjuria ametis. nam haec omnia odi, inquit Dominus omnipotens.* Bono animo estote propter promissa mea, sin eorum quae vobis suadeo multam geratis curam, sinceritate mentis inter vos invicem utentes, veracique animo amicitiam vobis invicem foventes; nec non omnes lites, quae forte contingunt, solvere et in amicitiam convertere studeatis et disceptationes ad pacem, ut decet, componere, injuriasque fortuitas omittere; et ne perjuria committatis, sedulo caveatis. ea enim omnia admodum exosa mihi sunt; vos vero, ubi dictis meis obtemperantes, quae praecepi accurate sequi volueritis, certissime bona, quae semel pollicitus sum, nanciscemini.

[1]) Leg. τεύξεσθε.

ιη'. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ λέγων· τάδε λέγει Κύριος παντοκράτωρ· ιθ'. νηστεία ἡ τοῦ τετάρτου καὶ νηστεία ἡ τοῦ πέμπτου, καὶ νηστεία ἡ τοῦ ἑβδόμου καὶ νηστεία ἡ τοῦ δεκάτου ἔσονται τῷ οἴκῳ Ἰούδα εἰς χαρὰν καὶ εἰς εὐφροσύνην καὶ εἰς ἑορτὰς ἀγαθὰς, καὶ εὐφρανθήσεσθε καὶ τὴν ἀλήθειαν καὶ τὴν εἰρήνην ἀγαπήσατε. Ἐπειδὴ γὰρ ἐν τοῖς ἀνωτέροις παρόντων τῶν ἀλλοτρίων, οὓς οἱ τῶν ἐθνῶν ἀπεστάλκεσαν βασιλεῖς, παρῃτήσατο μὲν τὴν νηστείαν, ἀντεισήγαγε δὲ ἃ χρῆναι πράττεσθαι ἀναγκαῖον ἡγεῖτο, ὡς ἂν καὶ τοὺς οἰκείους κατὰ ταὐτὸν καὶ τοὺς ἀλλοτρίους παρόντας παιδεύσειεν, ἀναγκαίως μετὰ τὴν τῶν καθεξῆς διδασκαλίαν ἐπάγει ταυτὶ, δεῖξαι βουλόμενος, ὡς οὐ τὴν νηστείαν ἁπλῶς παραιτεῖται, ἀλλ' ὅταν γίνηται μὴ δεόντως, εἰ δὲ μετὰ τοῦ προσήκοντος γένοιτο, καὶ μάλα γε αὐτὴν ἀποδέχεται γινομένην. Τοῦτο τοίνυν φησὶν, ὅτι πρότερον μὲν ὑπὲρ τῶν ἁμαρτημάτων νηστεύοντες ἐπενθεῖτε τῶν οἰκείων, ὑπὲρ ὧν δὴ καὶ τοσαύταις ἦτε περιβεβλημένοι ταῖς συμφοραῖς, νῦν δὲ ἐπειδὴ τῆς ἐπανόδου τετυχήκατε ἅρμοττον εἴη ἂν ὑμῖν, μὴ ἐπὶ πένθει μετιέναι τὴν νη-

V. 18. *Et sermo Domini mihi factus est dicens; haec inquit Deus omnipotens.* V. 19. *Jejunium quarti, jejunium quinti, jejunium septimi, jejunium decimi (mensis) gaudio erunt domui Judae et laetitiae festoque hilari; et laetabimini atque veritatem pacemque diligatis.* Quum, in prioribus praesentibus peregrinis, quos gentium reges miserant, deprecaretur jejunia, eorumque loco ea postularet, quae fieri necessarium duxit, ut simul familiares suos et praesentes peregrinos erudiret, necessario post deinceps interpositam institutionem haec dicit, quibus significat, jejunia se non simpliciter deprecari, sed quatenus non recte fiant, ubi vero religiose instituantur, se ea omnino admittere. Haec igitur dicit: prius quidem ob peccata vestra, quae tot vos calamitatibus injecerant, jejunantes lugebatis, nunc vero nacto reditu non cum luctu jejunium suscipere vos decet, sed cum gaudio ac laetitia, jejunium festo dignum censentes, quippe reconciliando Deo aptum. cum hilaritate enim jejunare vos

στείαν, ἀλλὰ μεθ᾽ ἡδονῆς τε καὶ εὐφροσύνης ἑορτῆς ἄξιον τιθεμένοις τὸ νηστεύειν ὡς αὐτάρκες ὂν οἰκειοῦν θεῷ. ἁρμόσει γὰρ ὑμῖν τὸ μεθ᾽ ἡδονῆς νηστεύειν, εἰ ἀληθείας τε καὶ εἰρήνης ποιεῖσθε λόγον. Καὶ δεικνὺς τῶν ἀγαθῶν τὸ μέγεθος, ἐφ᾽ οἷς προσῆκεν αὐτοὺς ἑορτάζοντάς τε καὶ εὐφραινομένους χρῆσθαι ταῖς νηστείαις ἐπάγει.

oportet, si veritatis et pacis studiosi estis. Et deinde bonorum magnitudinem indicat, quorum causa festive et laete jejuniis uti eos oportebat.

κ΄. Τάδε λέγει Κύριος παντοκράτωρ· ἔτι ἥξουσι λαοὶ πολλοὶ καὶ κατοικοῦντες πόλεις πολλάς, κα΄. καὶ συνελεύσονται κατοικοῦντες μίαν εἰς μίαν πόλιν λέγοντες, πορευθῶμεν πορευόμενοι δεηθῆναι τοῦ προσώπου Κυρίου, καὶ ἐκζητῆσαι τὸ πρόσωπον Κυρίου παντοκράτορος πορεύσομαι κἀγώ. Θαυμαστὸν γὰρ οὐδὲν, φησὶν, εἰ παρ᾽ ὑμῶν γένοιτο ταῦτα, ὅπου γε πολλοὶ καὶ τῶν ἀλλοτρίων ἐν διαφόροις πόλεσιν οἰκοῦντες ἐπὶ ταὐτὸν ἀφ᾽ ἑκάστης πόλεως γεγονότες (τοῦτο γὰρ λέγει τὸ συνελεύσονται κατοικοῦντες μίαν εἰς μίαν πόλιν) διεγεροῦσί τε καὶ προτρέψονται ἀλλήλους εἰς τὴν ἐνταῦθα παρουσίαν, ὡς ἂν καὶ αὐτοὶ διαμένοιέν τε δεόμενοι τοῦ θεοῦ καὶ παρ᾽ αὐτοῦ πᾶν ὅ, τι ἀναμένοντες ἀγαθόν· ὥστε ἕκαστον προτρεπόμενον τὸν ἕτερον λέγειν·

V. 20. *Haec dicit Dominus omnipotens: Aliquando gentes venient multarumque urbium incolae;* V. 21. *et qui eandem urbem habitant convenient in unam urbem ita locuti: agite, eamus ad preces coram Domino faciendas; et ad quaerendam faciem Domini ibo ego quoque.* Non mirum, inquit, si vobis talia fiunt, ubi multi etiam peregrinorum et variarum urbium incolae, una convenientes e singulis oppidis (hoc enim significant verba, qui eandem urbem habitant convenient in unam urbem) se invicem excitant et cohortantur ad illuc proficiscendum, ut et ipsi preces Deo faciendas non negligant, et quidvis bonum ab eo impetrent. in quo alter alterum his verbis cohortatur: et ego quoque ibo; quae significant,

πορεύσομαι κἀγὼ, ἵνα εἴπῃ, ὅτι ἕκαστος προθυμίᾳ τῇ περὶ τὸ πρᾶγμα κεχρημένος ἐπὶ τὰ ὅμοια διεγερεῖ καὶ τοὺς ἄλλους. — κβ'. Εἶτα λέγει ὅτι πλεῖστοι ὅσοι ἐκ πολλῶν καὶ διαφόρων ἐθνῶν παρέσονται εἰς τὴν Ἱερουσαλὴμ ἐξιλεούμενοί τε τὸ θεῖον ἐπὶ ταῖς ἑαυτῶν ἁμαρτίαις καὶ πᾶν ὅτου ἂν δέοιντο παρ' αὐτοῦ ζητοῦντες. Οἷς ἐπάγει·

κγ'. Τάδε λέγει Κύριος παντοκράτωρ· ἐν ταῖς ἡμέραις ἐκείναις ἐπιλήψονται δέκα ἄνδρες ἐκ πασῶν τῶν γλωσσῶν τῶν ἐθνῶν καὶ ἐπιλήψονται τοῦ κρασπέδου ἀνδρὸς Ἰουδαίου λέγοντες, πορευσόμεθα μετὰ σοῦ, διότι ἀκηκόαμεν, ὅτι θεὸς μεθ' ὑμῶν ἐστι. Οὕτω γὰρ λαμπρὰν τῶν ὑπολειπομένων ποιήσεται θεὸς τὴν ἐπάνοδον, ὥστε πολλοὺς ἐκ διαφόρων ὄντας ἐθνῶν καὶ τῆς συμφορᾶς κεκοινωνηκότας ἐκείνης θεασαμένους τοῦ θεοῦ περὶ τὸν λαὸν κηδεμονίαν ἐπιλαβέσθαι τε ὅτου δήποτε τῶν ἐξ αὐτῶν, καὶ ἡγουμένῳ χρήσασθαι ἐκείνῳ εἰς τὴν ἐπὶ τὴν Ἱερουσαλὴμ ἐπάνοδον, διεγειρομένων αὐτάρκως ἁπάντων ἐπὶ τοῦτο ἐκ τοῦ γνῶσιν ἀκριβῆ λαβεῖν τοῦ μεθ' ὑμῶν εἶναι τὸν θεὸν διὰ τοῦ παραδόξου τῶν περὶ ὑμᾶς γενομένων. Καὶ γὰρ κἀνταῦθα τὸ δέκα ἄνδρες οὐκ ἐπὶ ἀρι-

sua quemque ad rem hanc propensione etiam alios ad eam provocaturum esse. — V. 22. Deinde permultos e variis multisque nationibus Hierosolymam venturos esse, expiatum Deum ob peccata sua, et quacunque re indigeant, hanc ab eo petitum. Quibus porro addit.

V. 23. *Haec dicit Dominus omnipotens: illis diebus decem variarum linguarum et nationum viri tenebunt prehensam fimbriam Judaei, dicentes, eamus tecum, quia Deum vobiscum esse audivimus.* Adeo splendidum superstitum reddet Deus reditum, ut multi de diversis nationibus iisque calamitatis illius socii, cognita Dei circa populum cura, quolibet ex iis prehenso tanquam duce reditus Hierosolymam utantur. cujus rei causa iis haec erit, quod, Deum vobiscum esse e rebus miris circa vos gestis, perspicue intelligant. Decem homines etiam heic dicit, non ut numerum referat, sed ut multos indicet.

θμῷ λέγει, ἀλλ' ἵνα εἴπῃ πολλοί. —

Εἶτα μέμνηται τῶν ἐν τοῖς ἔθνεσιν, τῶν μὲν ἐργασομένων τοῦτο δέει τοῦ θεοῦ, τῶν δὲ δι' ὑπεροψίαν οὐ ποιησαμένων τούτου λόγον. Διό φησι.

Deinde eorum e gentibus meminit, qui hoc vel ob Dei timorem faciant, vel superbientes ejus rei nullam habuerint rationem. Itaque dicit.

Κεφάλαιον Θ'.

Caput IX.

α'. Λῆμμα λόγου Κυρίου ἐν γῇ Ἑδρὰχ, καὶ Δαμασκὸς θυσία αὐτοῦ. διότι Κύριος ἐφορᾷ ἀνθρώπους καὶ πάσας φυλὰς τοῦ Ἰσραὴλ καὶ Ἑμὰθ ἐν τοῖς ὁρίοις αὐτῆς. Δαμασκηνοὶ μὲν γὰρ, φησὶν, οἵ τε τῆς Ἑδρὰχ καὶ τῆς Ἑμὰθ μετὰ πολλῆς τῆς σπουδῆς προσάξουσι τῷ θεῷ θυσίας, ὡσὰν δεσπότῃ τοῦ παντὸς καὶ πάντας μὲν ἀνθρώπους ἐφορῶντι ὡσὰν ἔργα τε καὶ οἰκέτας ἰδίους, ἐξαίρετον δὲ νέμοντι τὴν κηδεμονίαν τῷ Ἰσραήλ.

V. 1. *Correptio Domini in terra Hadrach, et Damascus sacrificium ejus. nam Dominus homines, cum omnes Israelis tribus, tum Ematham in finibus suis gubernat providentia sua.* Damasceni, inquit, et Hadrachitae et Emathenses studiosissime Deo sacra facturi sunt, quasi Domino omnium, qui omnium hominum tanquam operum suorum et servorum res gubernat, praecipue vero Israelitis cura sua consulat.

β'. Τύρος καὶ Σιδὼν, ὅτι ἐφρόνησαν σφόδρα, γ'. καὶ ᾠκοδόμησε Τύρος ὀχυρώματα αὐτῆς καὶ ἐθησαύρισεν ἀργύριον ὡς χοῦν καὶ χρυσίον ὡς πηλὸν ὁδῶν. δ'. διὰ τοῦτο Κύριος κληρονομήσει αὐτοὺς, καὶ κατάξει εἰς θάλασσαν τὴν δύναμιν αὐτῆς, καὶ αὐτὴ ἐν πυρὶ καταναλωθήσεται. Τύριοι

V. 2. *Tyrus et Sidon enim admodum sapientes erant.* V. 3. *et Tyrus munitiones sibi fecit, et argenti tantum sibi congessit, quantum est pulveris, et tantum auri quantum est luti in viis.* V. 4. *Propterea Dominus eos occupabit, ejusque robur in mare projiciet, et ipsa igne concremabitur.* Ty-

μέντοι καὶ Σιδώνιοι ἐπειδὴ μεγάλῳ χρησάμενοι τῷ φρονήματι ὑπερεῖδον τῆς ἐμῆς θεραπείας, καὶ ἀρκεῖν ἑαυτοῖς νομίσαντες τῆς τῶν τειχῶν ἐπεμελήσαντο ἀσφαλείας χρυσόν τε καὶ ἄργυρον πήλου δίκην ἀθροίσαντες ἀνάλογον τῆς ἀπονοίας τῆς οἰκείας δέξονται τὴν τιμωρίαν. κτήσεται γὰρ αὐτοὺς ὁ Θεὸς καὶ ταπεινώσει πάντας αὐτοὺς, ἔγγυθεν οὔσῃ τῇ θαλάσσῃ πᾶσαν αὐτῶν τὴν δύναμιν παραδούς. ἔσται δὲ καὶ αὐτὴ πυρὸς ἔργον ἐκ τῶν ἐπιόντων αὐτῇ πολεμίων. Ταῦτα περὶ Τύρου τε καὶ Σιδῶνος εἰπὼν ἐπάγει.

ε'. Ὄψεται Ἀσκάλων καὶ φοβηθήσεται, καὶ Γάζα, καὶ ὀδυνηθήσεται σφόδρα, καὶ Ἀκκάρων, ὅτι κατησχύνθη ἐπὶ τῷ παραπτώματι αὐτῆς. καὶ ἀπολεῖται βασιλεὺς ἐκ Γάζης, καὶ Ἀσκάλων οὐ μὴ κατοικηθῇ. ς'. καὶ κατοικήσουσιν ἀλλογενεῖς ἐν Ἀζώτοις καὶ καθελῶ ὕβριν ἀλλοφύλων. ζ'. καὶ ἐξαρῶ τὸ αἷμα αὐτῶν ἐκ τοῦ στόματος αὐτῶν, καὶ τὰ βδελύγματα αὐτῶν ἐκ μέσου ὀδόντων αὐτῶν, καὶ ὑπολειφθήσονται καὶ οὗτοι τῷ Θεῷ ἡμῶν, καὶ ἔσονται ὡς χιλίαρχος ἐν Ἰούδᾳ, καὶ Ἀκκάρων ὡς ὁ Ἰεβουσαῖος. Βούλεται μὲν

rii Sidoniique, quoniam multa inflati atrocia religionem mihi exhibendam neglexere, et sibimet ipsis freti moenium suorum fortitudinem curarunt argentumque atque aurum luti instar corraserunt, poenam solvent dementiae suae consentaneam. Deus enim eorum potitus eos profligabit et in mare finitimum omne eorum robur demerget. ipsa vero (urbs) ab invadentibus hostibus igne concremabitur. His de Tyro ac Sidone dictis, pergit.

V. 5. *Quod quum Ascalon viderit, timebit, et Gaza admodum dolebit et Accaron, quia propter peccatum suum ignominia adfecta est; et peribit rex Gazae, et Ascalon non habitabitur.* V. 6. *Alienigenae autem Azotis habitabunt, et aliegenarum superbiam supprimam.* V. 7. *Et auferam sanguinem ex eorum ore, et abominanda ex eorum dentibus. et superstites erunt etiam hi Deo nostro, eruntque quasi dux in Juda, et Accaron quasi Jebusaei.* Significat, fore ut gravissima poena religionis Deo exhibendae contemtores corripiat; haec ve-

εἰπεῖν ὅτι τοὺς ἀλλοφύλους ἐκδέξεται τιμωρία μεγίστη παραλελοιπότας δὴ τὴν περὶ τὸν θεὸν θεραπείαν. λέγει δὲ αὐτὰ ποικίλως ἀπαριθμούμενος τὰς πόλεις, ὅτι φόβῳ μὲν Ἀσκάλων ληφθήσεται ἐν ὀδύναις δὲ ἔσται Γάζα, Ἀκκάρων τε ἐν αὐτοῖς αἰσχυνθήσεται ἐφ' οἷς ἥμαρτε καὶ δοῦσα δίκην, ἀφανισθήσεται δὲ καὶ τῆς Γάζης ὁ βασιλεὺς, Ἀσκάλωνος μὲν οὐκ οἰκουμένης ἔτι, ἀλλοτρίων δὲ τὴν Ἄζωτον οἰκούντων. Ταῦτα δὲ ἐπήγαγεν, οὐχ ὅτι τόδε μὲν ἔσται τόδε οὔ, οἷον εἰπεῖν Γάζῃ τόδε δὲ τόδε [1]) οἷον εἰπεῖν Ἀσκάλωνι, ἀλλὰ κατὰ τὸ οἰκεῖον ἰδίωμα ἐν τῇ διαιρέσει τὸ κοινὸν εἰπὼν, ὅτι ταῦτα περὶ πάντας ἔσται τοὺς ἀλλοφύλους. ὅθεν μετὰ τὴν ἀπαρίθμησιν ἐπάγει, καθελῶ ὕβριν ἀλλοφύλων, ἵνα εἴπῃ, ὅτι ὑπὲρ πάσης αὐτοὺς τιμωρήσομαι τῆς παροινίας, τιμωρήσομαι αὐτοὺς ἀνάλογον οἷς ἐξέχεαν αἵμασι τῶν Ἰσραηλιτῶν, ἔτι συγκαθελὼν αὐτοῖς καὶ τὰ εἴδωλα πάντα, ἃ δὴ θρησκεύειν ἐδόκουν, ὥστε ἐκ τῆς ἐπαγομένης αὐτοῖς τιμωρίας πολλοὺς καὶ τούτων ληφθέντας τῷ δέει τῶν γινομένων ἐπὶ τὴν θεοῦ καταφυγεῖν λατρείαν, οἳ μεθ' ὑμῶν ἀριθμηθήσονται χιλιάρχου τινὸς ἐπέχοντες τάξιν, οὕτως ἑαυτοὺς

ro enumerando diversas urbes dicit, nempe timore Ascalonem correptum iri, Gazam vero dolore, Accaronem ignominia affectam delictorum suorum poenas soluturam esse, nec non Gazae regem interemtum, Ascalonem incolis destitutam et Azotum a peregrinis habitatam fore. Haec vero non ita narrat, quasi quod alteri earum eventurum sit, alteri non eveniat, veluti Gazae hoc quidem, illud vero Ascaloni, sed pro singulari more quae communia sunt disjunctim dicit; igitur haec omnibus alienigenis eventura esse, significat. unde quoque enumeratis urbibus addit, superbiam alienigenarum supprimam i. e. propter omnem suam petulantiam eos puniam, puniamque imprimis propter Israelitarum fusum sanguinem, deletis simul idolis omnibus, quibus cultum persolvere solebant. et poena illis ita inflicta multos eorum, ut timore repleti ad Deum venerandum confugiant, impellet; qui vobis adscripti quasi ducis habebunt dignitatem, adeo no-

[1]) Fort. ita leg. οἷον εἰπεῖν Γάζῃ μὲν τόδε, τόδε δὲ οἷον εἰπεῖν Ἀσκ.

τῆς ἡμετέρας ἐργασάμενοι μερίδος. περισωθήσονται δὲ οὐχ ἧττον τοῦ Ἰεβουσαίου καὶ οἱ ἐξ Ἀκκάρων τοιοῦτοι. καὶ γὰρ κἀνταῦθα ἀπὸ τῆς μνήμης τῆς Ἀκκάρων τοὺς ἐκ τῶν πέντε σατραπειῶν νεύσαντας πρὸς τὸ δέον εἰπεῖν ἠβουλήθη, δηλῶν, ὅτι συναριθμηθήσονταί τε τῷ λαῷ τῷ Ἰσραηλιτικῷ καὶ περισωθήσονται ἐκσπασθέντες τῆς ἐπαγομένης αὐτοῖς τιμωρίας, ὡς ἂν ἐξ αὐτῶν σωφρονισθέντες νεύσωσι πρὸς τὸ δέον.

stris partibus se addicentes. Praeterea etiam Accaronenses haud inferiore loco Jebusaeis habebuntur. Nam etiam hic memoratis Accaronensibus eos significat, qui de quinque satrapiis ad rectum aequumque se converterant, et vel eos populo Israelitico adnumeratum iri indicat, poena sibi inflicta expeditos, ut eo edocti ad justi studium revocarentur.

η΄. Καὶ ὑποστήσομαι τῷ οἴκῳ μου ἀνάστημα τοῦ μὴ διαπορεύεσθαι μηδὲ ἀνακάμπτειν, καὶ οὐ μὴ ἐπέλθῃ ἐπ᾽ αὐτοὺς οὐκέτι ἐξελαύνων. διότι νῦν ἑώρακα ἐν τοῖς ὀφθαλμοῖς μου. Ἰσχυρὰν δή τινα τοῖς ἐμοὶ προσήκουσιν ἀναστήσω βοήθειαν, ἣ πάντας τοὺς ἀλλοτρίους μακρὰν διώξεται ἐπιβαίνειν, τῶν ὁρίων οὐκ ἐῶσα τῶν ἐμοὶ προσηκόντων, ὡς μήτε ἐπιέναι τινὰ τολμᾷν ἔτι μήτε ἐπὶ τὴν χώραν ἐλαύνειν τὴν ἐμοὶ προσήκουσαν, ἐπειδήπερ ἅπαξ ἐφορᾷν αὐτοὺς ἐδοκίμασα τῆς τε προνοίας ἀξιοῦν τῆς ἐμῆς. τὸ γὰρ τῷ οἴκῳ μου πάσῃ τῇ χώρᾳ λέγει τοῦ Ἰσραὴλ, ὡς αὐτῷ προσηκούσῃ. Εἶτα καὶ σαφέστερον ποιῶν, δι᾽ ὅτουπερ ἔσται ταῦτα, καὶ τίς ὁ ἐπὶ τοῦτο παρὰ τοῦ θεοῦ προβεβλημένος.

V. 8. *Et stare faciam domui meae munimentum, ne quisquam pertranseat neque revertatur; nec superveniet eos amplius abactor. nunc enim meis oculis perspexi.* Firmum familiaribus meis praestabo praesidium, quod omnes alienigenas longe persequatur nec fines populi mei invadere sinat; unde nemo amplius in terram meam irruere vel eam aggredi audebit, ubi semel eos moderare, eosque cura mea dignari decrevero. Domum suam enim totam appellat Israeliticam terram, tanquam suam. Deinde clarius significat, per quem haec futura sint, et quis a Deo ad id negotium sit designatus.

θ'. *Χαῖρε σφόδρα, θύγατερ Σιὼν, κήρυσσε, θύγατερ Ἱερουσαλὴμ, ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων, αὐτὸς πραῢς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον.* ι'. *καὶ ἐξολοθρεύσω ἅρματα ἐξ Ἐφραΐμ καὶ ἵππον ἐξ Ἱερουσαλήμ· καὶ ἐξολοθρευθήσεται τόξον πολεμικὸν καὶ πλῆθος καὶ εἰρήνη ἐξ ἐθνῶν.* Εὐφραίνου τοίνυν Ἱερουσαλὴμ τοιούτου σοι βασιλέως παρὰ τοῦ θεοῦ προβεβλημένου, ὃς πάρεστι σοι περισώζειν τε δυνάμενος τοὺς οἰκείους διὰ τὴν προσοῦσαν αὐτῷ θείαν ῥοπὴν καὶ πᾶσι τοῖς ἐναντίοις τὴν δικαίαν ἐπάγων τιμωρίαν, ὃς ἐπιβέβηκε μὲν ἐπ' εὐτελοῦς τοῦ ζώου, ἅτε νῦν ἐκ τῆς αἰχμαλωσίας παραγεγονὼς, πολλῆς δὲ ἐπιλήψεται δυνάμεως διὰ τῆς θείας ῥοπῆς, ὥστε ἀπό τε τοῦ Ἐφραΐμ καὶ ἀπὸ τῆς Ἱερουσαλὴμ πάντα μὲν τῶν ἐναντίων ἀφανίσαι τὰ ἅρματα πάντα δὲ ἵππον καὶ πᾶν τόξον πολεμικὸν, ἵνα εἴπῃ ὅτι πάντας τροπώσεται τοὺς πολεμίους, ὡς μηδενὶ τῶν ἐναντίων βατὰ τὰ τῆς χώρας εἶναι τῆς Ἰουδαίας ἔτι. ἀφανιεῖ δὲ, φησὶ, καὶ πλῆθος πολὺ τῶν ἐναντίων, εἰρήνης τε πάσης ἐκτὸς αὐτοὺς καταστήσει, ἅτε συντριβομένους τε καὶ ἀπολλυμένους

V. 9. *Vehementer laetare, filia Sionis, praedica, filia Hierosolymae; ecce enim rex tuus ad te venit, justus et servator, isque mansuetus, vectus asino et pullo ejus.* V. 10. *Atque exscindam currus ex Ephraimo et equos ex Hierosolyma; et frangetur arcus bellicus; et multitudo ac pax e gentibus evanescent.* Laetare igitur Hierosolyma, quod talis tibi a Deo rex sit creatus, qui tibi aderit, qui et suos per vim sibi a Deo datam servare potest et adversariis poenam infligere. Vectus idem tenui animale, quia modo e captivitate rediit; tanta autem adaugebitur potentia Deo adjuvante, ut ab Ephraimo et ab Hierosolyma omnes hostium currus omnesque equos arcusque bellicos propulsaturus sit; i. e. adeo omnes ille hostes fugabit, ut nemo eorum Judaeae tractus adire audeat. ingentem quoque adversariorum multitudinem perdet, pacemque iis adimet, quippe bello ab isto illato prorsus confectis atque exstinctis. — Haec ad Zorobabelem pertinere nemo non videt. Recte igitur miratus sum, eos, qui pro-

τῷ παρ' αὐτοῦ πολέμῳ. — Ὅτι μὲν οὖν ταῦτα περὶ τοῦ Ζοροβάβελ ἐνταῦθα λέγεται δῆλον. ἐγὼ δὲ ἐθαύμασα τῶν ἐπ' ἀλλοκότους τρεπομένων διανοίας, καὶ τὸ μέν τι μέρος ἐπὶ τοῦ Ζοροβάβελ ἐκλαμβανόντων τὸ δὲ ἐπὶ τοῦ δεσπότου Χριστοῦ, εἶτα πάλιν ἐπὶ τοῦ Ζοροβάβελ, καὶ πάλιν ἐπὶ τοῦ δεσπότου Χριστοῦ, ὅπερ οὐδὲν ἕτερόν ἐστιν ἢ μεριζόντων τῷ τε Ζοροβάβελ καὶ τῷ δεσπότῃ Χριστῷ τὴν προφητείαν. ἔστι δὲ ταῦτα μὲν ἀνοίας τῆς ἐσχάτης. Ὁ δὲ ἀληθὴς τῶν τοιούτων νοῦς ἐκεῖνός ἐστιν, ὃν καὶ πρόσθεν εἰρηκὼς οἶδα, ὅτι σκίαν ὁ νόμος εἶχεν ἁπάντων τῶν κατὰ τὸν δεσπότην Χριστόν. πολλὰ τοίνυν τῶν παραδόξως γινομένων, εἴτε περὶ τὸν λαὸν εἴτε τοὺς ἐπί τισιν ἐκλεγέντας, λέγει μὲν ὑπερβολικώτερον ἐπ' αὐτῶν ἐκείνων ἡ γραφὴ, τῆς λέξεως κατὰ τὸ πρόχειρον τὴν ἀλήθειαν οὐκ ἐχούσης, εὑρίσκεται δὲ ἀληθῆ τὰ τοιαῦτα, ὅταν ἐπ' αὐτοῦ κρίνηται τοῦ δεσπότου Χριστοῦ, ὃς ἐν ἅπασι παύσας μὲν τοῦ νόμου τὴν σκίαν ἐπεισαγαγὼν δὲ τὴν ἀλήθειαν τὴν οἰκείαν εἰκότως καὶ τῶν φωνῶν τῶν τοιούτων ἐπιδείκνυσι τὴν ἀλήθειαν. τοιοῦτόν ἐστι τὸ πρὸς τὸν Ἀβραὰμ [1]) „Ὅτι ἐνευλογη-

digiosis delectati opinionibus ea partim ad Zorobabelem referunt, partim ad Christum Dominum, et denuo ad Zorobabelem et denuo ad Christum dominum. nihil enim aliud hi agunt, nisi inter Zorobabelem Christumque dominum vaticinium distribuant. quod imprudentiae est extremae. Verus autem sensus is est, quem etiam supra indicavi, nempe legem umbram habuisse omnium circa Christum dominum gestorum. Multa igitur mirabilium, quae sive circa populum sive circa quosdam electos evenerunt, hyperbolice scriptura de his dicit, ita tamen, ut verba, uti sonant, veritati non congruant, eam vero exhibeant, ubi ea ad Christum dominum retuleris; qui, umbra legis omnino abrogata, suaque contra stabilita veritate, etiam illorum dictorum veritatem declarat. Tale est illud Abrahamo dictum: „In te et semine tuo omnes gentes beandae sunt;" quo, ut sonant verba, posteri ejus significantur, veritas dicti autem in Christo domino exstat, per

1) Gen. XXII, 18. coll. XVIII, 18.

θήσεται ἐν σοὶ καὶ ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη.“ δηλοῖ μὲν γὰρ τοὺς ἐξ αὐτοῦ γεγονότας κατὰ τὸ πρόχειρον, ἡ ἀλήθεια δὲ τοῦ ῥήματος ἐπὶ τοῦ δεσπότου συνίσταται Χριστοῦ, ἐφ᾽ οὗπερ ὄντως ἐνευλογηθῆναι γέγονε τὰ ἔθνη. τοιοῦτόν ἐστι καὶ τῷ μακαρίῳ Δαυίδ[1]) „Ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα, καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ.“ τῷ μὲν γὰρ προχείρῳ δοκεῖ τοὺς διαδόχους λέγειν, ἐφ᾽ ὧν διαμένειν ἤμελλεν ἡ βασιλεία, ἡ δὲ τοῦ πράγματος ἀλήθεια ἐπὶ τοῦ δεσπότου δείκνυται Χριστοῦ. οὗ ὄντως ἡ βασιλεία παντὸς μὲν ἡλίου λαμπροτέρα καθέστηκε παντὸς δὲ οὐρανοῦ μονιμωτέρα. τοιοῦτόν ἐστι τὸ[2]) „Οὐκ ἐγκατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδου, οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν.“ ὅπερ ὑπερβολικῶς εἰρημένον παρὰ τοῦ μακαρίου Δαυὶδ ἐπὶ τοῦ λαοῦ τῶν Ἰσραηλιτῶν ἐπ᾽ αὐτῆς τῆς τῶν πραγμάτων ἀληθείας ὦπται γεγονὸς ἐπὶ τοῦ δεσπότου Χριστοῦ, ὅθεν δὲ καὶ τῇ φωνῇ δικαίως ὁ μακάριος ἐχρήσατο Πέτρος λέγων[3]) „Ὅτι οὐκ ἐγκατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδου, οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθο-

quem vere beatae sunt gentes. tale est etiam illud beati Davidis, „Solium ejus ut sol coram me, et ut luna in aeternum duratura; et ejus semen in aeternum, ejusque solium, dum coeli durabunt, conservabo.“ quae verba, ut sonant, successores significare videntur, penes quos regnum permansurum sit, rei autem veritas in Christo Domino conspicienda est, cujus regnum vere omni sole clarius omnique coelo firmius stat. Tale etiam illud „Anima ejus in orco non relicta est, nec ejus caro corruptionem vidit.“ quod a Davide hyperbolice de Israelitarum populo dictum vere factum esse constat in Christo domino; unde merito hoc dicto etiam beatus Petrus usus est, qui „Anima ejus, inquit, in orco non relicta est, nec caro ejus corruptionem vidit.“ Cujus generis etiam alia plura inveniuntur, (longum autem est ea in praesens recensere), quae olim hyperbolice dicta et ita, ut veritati non prorsus respondeant, deinceps vero in Christo domino ad rem collata esse, compertum

[1]) Ps. LXXXVIII, 37. 38. etc. — [2]) Ps. XVI, 10. — [3]) Act. II, 31.

ῥάν. πολλὰ τοιαῦτα εὕροι τις ἂν, ἃ μακρὸν λέγειν ἐπὶ τοῦ παρόντος, ἃ πρότερον μὲν ὑπερβολικῶς ἐλέγετο οὐκ ἔχοντα τοῦ λεγομένου τὴν ἀλήθειαν ἀκριβῆ, εὑρίσκετο δὲ οὕτως ἔχοντα ὥσπεροῦν εἴρηται ἐπὶ τοῦ δεσπότου Χριστοῦ. Τοιοῦτο δή τι καὶ τοῦτό ἐστιν. Ὁ μὲν γὰρ περὶ τοῦ Ζοροβάβελ ἔλεγεν ἐκ τῆς διαδοχῆς τοῦ Δαυὶδ κατὰ γνώμην θεοῦ ἡγουμένου τῶν Ἰουδαίων, ὤφθη δὲ τὸ πρᾶγμα ἀναντίῤῥητον ἔχον ἐπὶ τοῦ δεσπότου Χριστοῦ τὴν ἀλήθειαν. τοῦ μὲν γὰρ ἡ κατὰ τῶν ἐθνῶν τιμωρία μικρὰ καὶ ἡ τῶν οἰκείων σωτηρία εὐτελὴς, ὅθεν καὶ ἀκολούθως ἐπάγει ὅτι ἐξολοθρεύσει ἅρματα ἐξ Ἐφραῒμ καὶ ἵππον ἐξ Ἱερουσαλὴμ, δεικνὺς ὅτι πρὸς τοῦτο αὐτοῖς συμβαλεῖται τὸ τῶν πολέμων αὐτοὺς ἀπαλλάττειν. ἀληθὴς δὲ ἡ φωνὴ πέφηνεν ἐπὶ τοῦ δεσπότου Χριστοῦ, ἐφ᾽ οὗπερ ὄντως ἔνεστι χαίρειν μόνιμόν τε χαρὰν καὶ διηνεκῆ καὶ βεβαίαν, ὃς ὄντως δίκαιός ἐστιν, ἅτε μετὰ τούτου [1]) πάσῃ κρίνων τῇ οἰκουμένῃ καὶ σώζων ὄντως, ὅ γε πάντας ἐξ ἀπωλείας εἰς σωτηρίαν μεθιστὰς διηνεκῆ καὶ βεβαίαν. Ἐνταῦθα μὲν οὖν εἴρηται περὶ τοῦ Ζοροβάβελ συμμετρουμένης τῆς φωνῆς τῷ ἐφ᾽ οὗπερ λέγεται τὰ γεγραμμένα, ἐν δὲ τοῖς εὐαγ-

[1]) F. l. τοῦτο.

est. Huc etiam praesens Zachariae pertinet; qui de Zorobabele, Israelitarum ex Dei consilio de Davidica stirpe constituto rege, praedicat, quae firmissimam in Christo domino demum habere veritatem constat. Quae enim ille ob puniendas gentes peregit, exigua tantum erant perinde ac ea, quae populi salutem spectarunt. unde etiam consequenter addit, eum currus ex Ephraimo equosque ex Hierosolyma exscisurum esse, significans, fore ut eum in finem a bellis eos liberet; verum autem esse illud dictum, in Christo domino ostensum est, de quo constante ac perpetua firmaque laetitia efferri vere nos decet, ut qui vere justus sit, et quondam totum terrarum orbem vere judicaturus, omniumque revera sit servator; omnes enim e pernicie solutos ad perpetuam firmamque transtulit salutem. Quae igitur hoc loco dicuntur, ad Zorobabelem pertinent, verbis ei convenientibus, de quo sermo est in contextu; in evangeliis autem eadem ad Christum dominum translata sunt, quem

γελλοις ἐπὶ τὸν δεσπότην ἧκται Χριστὸν, ὃς διὰ πάντων ὦπται καὶ μέγας καὶ ὑψηλὸς καὶ δίκαιος καὶ σώζων καὶ μονίμους τὰς οἰκείας παρέχων εὐεργεσίας ἀμεταθέτους τε παντελῶς καὶ μεταβολὴν οὐδεμίαν δέξασθαι δυναμένας. τοῦτο μὲν οὖν ἀκολουθότατόν τε καὶ πρέπον καὶ λέγειν καὶ νοεῖν, τὸ δὲ μέρος μὲν αὐτοῦ λέγειν εἰρῆσθαι περὶ τοῦ Χριστοῦ, κατιόντας δὲ μεθίστασθαι ἐπὶ τὸν Ζοροβάβελ, καὶ πάλιν ἐπὶ τὸν Χριστὸν ἀπ' ἐκείνου, καὶ πάλιν ἐπὶ τὸν Ζοροβάβελ ἀπὸ τοῦ δεσπότου Χριστοῦ, οὐθὲν ἕτερόν ἐστιν, ἢ πρότερον μὲν ἀλλόκοτον δεικνύντων τὴν προφητείαν, εἶτα τὰς φωνὰς τὰς γραφικὰς ἐξ ἴσου μεριζόντων εἴς τε τὸν οἰκέτην καὶ τὸν δεσπότην, ἐπεὶ καὶ τὸ λέγειν εἰς ἀπόδειξιν τοῦ μὴ τῷ Ζοροβάβελ προσήκειν τὰ εἰρημένα, ὅτι ἔρχεται ὁ προφήτης ἔφη, καίτοιγε πάλαι τοῦ Ζοροβάβελ ἀπὸ τῆς αἰχμαλωσίας μετὰ τῶν λοιπῶν ἐπανεληλυθότος, ψυχρολογίας ἐστὶ περίττης καὶ ἀπειρίας τῶν θείων γραφῶν· τὸ γοῦν[1]) „Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη," οὐχ ὡς περὶ μέλλοντος ὡς περὶ γεγονότος δὲ ἤδη λέγει· οὐ γὰρ ἀχθήσεται εἶπεν, ἀλλὰ ἤχθη, ὥστ' οὐκ ἂν ἁρμόσειεν οὐδὲ τοῦτο τῷ δεσπότῃ Χριστῷ κατὰ

[1]) Jes. LIII, 7.

ubique magnum, sublimem, justum, servatorem, et perpetuorum planeque immutabilium, nec unquam tollendorum beneficiorum largitorem novimus. Hoc perquam congruum ac decorum est et dicere et persuasum habere, statuere vero, partem spectare Christum, deinde vero partem ad Zorobabelem transferre, et ab hoc iterum in Christum, et ab Christo domino rursus ad Zorobabelem redire, nihil est nisi primum prophetiam prodigiosam praedicare, deinde scripturae dicta aequabiliter inter servum dominumque dispertiri. Namque etiamsi, ut, quae dicta sunt, non ad Zorobabelem pertinere, ostendatur, dicatur, prophetam voce *venit* uti, quamvis Zorobabel jam dudum cum caeteris e captivitate reversus fuerit; id tamen nihil est nisi perquam frigida oratio et scripturae sacrae imperitiae indicium. Illud enim, „Ut agnus ad caedem actus est," non quasi de re futura sed de jam praeterita dicitur, non *ducetur*, ait, sed, *ductus est*; igitur hoc non Christo congruum esset ex sapientissi-

τὸν τῶν σοφωτάτων λόγον, οὓς ἔχρην εἰδέναι τῶν χρόνων τὴν ἐναλλαγὴν ποικίλην οὖσαν ἐπὶ τῆς θείας γραφῆς. ὅπεροῦν διὰ πολλῶν ἡμεῖς ἔν τε τῇ τῶν ψαλμῶν ἑρμηνείᾳ καὶ ἐπὶ τῶν προφητῶν ἐδείξαμεν αὐτάρκως. ἐνταῦθα μέντοιγε οὐδὲ ἡ χρῆσις τῆς φωνῆς, εἰ δή τις αὐτὴν κατὰ τὸν χρόνον κρίνοι, ἁρμόττουσα τῇ τοῦ δεσπότου Χριστοῦ παρουσίᾳ· ἡ μὲν γὰρ μετὰ πολὺν ἤμελλε γενέσθαι τὸν χρόνον, ὁ δὲ οὐκ ἐλεύσεται εἶπεν, ὅπερ ἥρμοττεν ἐπὶ τοῦ μέλλοντος εἰπεῖν, ἀλλ' ἔρχεται, ὅπερ εἴωθεν ἐπὶ τῶν ἔγγυς καὶ παράχρημα γινομένων λέγεσθαι· κατὰ δέ γε τοῦτον αὐτῶν τὸν λόγον πολλὰ καὶ ἕτερα περιττῶς εὑρεθήσεται κείμενα παρὰ τῷ προφήτῃ, ἐπεὶ καὶ τοῦ Ἰησοῦ νῦν ἀφαιρεῖσθαι λέγει τὰ ῥυπαρὰ ἱμάτια, ἅπερ ἦν δήλωσις τῆς αἰχμαλωσίας, νῦν τε αὐτῷ τὸ ἱερατικὸν περιτίθεσθαι σχῆμα. καίτοιγε δῆλον, ὅτι καὶ αὐτὸς μετὰ τοῦ Ζοροβάβελ ἐληλύθει ἀπαλλαγεὶς τε τῆς αἰχμαλωσίας καὶ ἐν τῷ τῆς ἱερωσύνης σχήματι καθεστώς. ὅθεν καὶ ὁ προφήτης ὁ μακάριος Ἀγγαῖος κοινῇ πρός τε τὸν Ζοροβάβελ καὶ πρὸς αὐτὸν φαίνεται λέγων τὸ χρῆναι τῆς οἰκοδομῆς τοῦ ναοῦ φροντίσαι, καὶ τὸ μέτρον δὲ τῆς τιμωρίας νῦν ἀφαιρεθὲν

morum istorum ratione, qui tamen non ignorare debebant, temporum mutationem perquam variam esse in scriptura sacra. id quod multis cum in psalmis tum in prophetis explanandis satis superque ostendimus. praeterea vero hoc loco verba, si quis ea ex temporis ratione judicare velit, ne quadrant quidem in Christi domini adventum. is enim post longum demum tempus futurus erat, propheta autem non dicit *veniet*, quod de futuro dicendum fuisset, sed *venit*, quod de iis dicitur, quae mox et extemplo eveniunt. Ex hac autem illorum ratione etiam multa alia abundanter apud prophetam nostrum reperimus: modo enim Josuae sordidas vestes detractas esse, quae sane captivitatis habebant significatum, modo sacerdotali habitu eum indutum narrat, quamquam eum cum Zorobabele captivitate expeditum et sacerdotali munere praeditum venisse, constat. unde etiam beatus Haggaeus propheta communi oratione, et Zorobabelem et illum ad curam templi aedificandi gerendam exhortatur,

μετὰ τῆς ἁμαρτίας τοῦ Ἰσραὴλ φησιν εἰς Βαβυλῶνα ἀπενηνέχθαι· καίτοιγε Κῦρος μὲν ὁ τοῦ Περσῶν βασιλεὺς τῆς.τε αἰχμαλωσίας ἀπέλυσε τὸν λαὸν καὶ τὴν Βαβυλῶνα καθεῖλε. φαίνεται δὲ ταῦτα ἐπὶ Δαρείου τοῦ βασιλέως λέγων ὁ προφήτης, ὃς τέταρτος ἦν ἀπὸ Κύρου, ὥστ' οὐκ εἶχε καιρὸν κατά γε τοὺς τοιούτων νομοθέτας νῦν λέγειν γίνεσθαι ταῦτα, ἃ πάλαι καὶ πρὸ πολλοῦ ἐγεγόνει τοῦ χρόνου. ἀλλ' εὔδηλον, ὅτι τὰ μὲν πράγματα γέγονεν, ὁ προφήτης δὲ δι' ἀποκαλύψεως ὁρᾷ νῦν αὐτὰ γινόμενα, ὡς ἂν καὶ γεγονότων οἱ τοῦ λαοῦ μάθοιεν πάντες, ὅτι μηδὲν ἀπὸ ταὐτομάτου γέγονε, θείᾳ δὲ βουλήσει καὶ ὅρῳ ἐπιτετέλεσται δὴ πάντα τὰ περὶ αὐτοὺς ἀγαθά. ὥστ' οὐδὲν ἀπεικὸς ἦν καὶ νῦν περὶ τῶν προσεσομένων τῷ λαῷ διὰ τῆς τοῦ Ζοροβάβελ βασιλείας κατὰ θεοῦ γνώμην εἰς τοῦτο προχειρισθέντος λέγοντα τὸν προφήτην εἰπεῖν, ὅτι ἔρχεται δίκαιος καὶ σώζων, ὡς ἂν δηλώσειεν, ὅτι ἐπὶ τούτοις πάρεστί τε καὶ πρὸς τὴν βασιλείαν ἐξείλεκται παρὰ τοῦ θεοῦ ἐπὶ τὸ ποιῆσαι ταῦτα. ἀπεροῦν ἐν τοῖς ἑξῆς περὶ τὸν λαὸν δι' αὐτοῦ γεγενῆσθαί φησιν. — Ἀλλὰ ταῦτα μὲν εἰς τὴν ἀκριβεστέραν εἰρήσθω διδασκαλίαν. ὁ δὲ προφήτης περὶ τοῦ

et poenae mensuram una cum peccato Israelc ablatam et Babylonem deductam esse, dicit; nihilominus tamen Cyrus jam populum captivitate expedivit Babylonemque evertit; propheta autem Dario regnante, quarto post Cyrum rege, ista locutus est. per temporis igitur rationem non licebat dici, sub istis principibus facta esse nunc, quae jam antea multoque tempore ante facta erant. Sed res jamjam gestas fuisse, prophetam vero revelatione eas pariter acsi modo gererentur vidisse, perspicuum est; nempe ut e jam factis omnes de populo, nihil fortuito evenisse, sed divina voluntate et consilio omnia in eorum salutem peracta esse, intelligerent. Itaque non incommodum erat, prophetam etiam nunc, ubi de iis, quae populo regnante Zorobabele, ad hoc divino consilio creato, eventura essent, loqui jussus erat, dicere, venire illum justum ac servatorem; nempe ut significet, ad id eum adesse a Deo regem designatum, ut ea peragat, quae in sequentibus, eo auctore populo contigisse, narrat. Sed

τὸν τῶν σοφωτάτων λόγον, οὓς ἔχρην εἰδέναι τῶν χρόνων τὴν ἐναλλαγὴν ποικίλην οὖσαν ἐπὶ τῆς θείας γραφῆς. ὅπερ οὖν διὰ πολλῶν ἡμεῖς ἔν τε τῇ τῶν ψαλμῶν ἑρμηνείᾳ καὶ ἐπὶ τῶν προφητῶν ἐδείξαμεν αὐτάρκως. ἐνταῦθα μέντοιγε οὐδὲ ἡ χρῆσις τῆς φωνῆς, εἰ δή τις αὐτὴν κατὰ τὸν χρόνον κρίνοι, ἁρμόττουσα τῇ τοῦ δεσπότου Χριστοῦ παρουσίᾳ· ἡ μὲν γὰρ μετὰ πολὺν ἤμελλε γενέσθαι τὸν χρόνον, ὁ δὲ οὐκ ἐλεύσεται εἶπεν, ὅπερ ἥρμοττεν ἐπὶ τοῦ μέλλοντος εἰπεῖν, ἀλλ' ἔρχεται, ὅπερ εἴωθεν ἐπὶ τῶν ἔγγυς καὶ παράχρημα γινομένων λέγεσθαι· κατὰ δέ γε τοῦτον αὐτῶν τὸν λόγον πολλὰ καὶ ἕτερα περιττῶς εὑρεθήσεται κείμενα παρὰ τῷ προφήτῃ, ἐπεὶ καὶ τοῦ Ἰησοῦ νῦν ἀφαιρεῖσθαι λέγει τὰ ῥυπαρὰ ἱμάτια, ἅπερ ἦν δήλωσις τῆς αἰχμαλωσίας, νῦν τε αὐτῷ τὸ ἱερατικὸν περιτίθεσθαι σχῆμα. καίτοιγε δῆλον, ὅτι καὶ αὐτὸς μετὰ τοῦ Ζοροβάβελ ἐληλύθει ἀπαλλαγείς τε τῆς αἰχμαλωσίας καὶ ἐν τῷ τῆς ἱερωσύνης σχήματι καθεστώς. ὅθεν καὶ ὁ προφήτης ὁ μακάριος Ἀγγαῖος κοινῇ πρός τε τὸν Ζοροβάβελ καὶ πρὸς αὐτὸν φαίνεται λέγων τὸ χρῆναι τῆς οἰκοδομῆς τοῦ ναοῦ φροντίσαι, καὶ τὸ μέτρον δὲ τῆς τιμωρίας νῦν ἀφαιρεθὲν

morum istorum ratione, qui tamen non ignorare debebant, temporum mutationem perquam variam esse in scriptura sacra. id quod multis cum in psalmis tum in prophetis explanandis satis superque ostendimus. praeterea vero hoc loco verba, si quis ea ex temporis ratione judicare velit, ne quadrant quidem in Christi domini adventum. is enim post longum demum tempus futurus erat, propheta autem non dicit *veniet*, quod de futuro dicendum fuisset, sed *venit*, quod de iis dicitur, quae mox et extemplo eveniunt. Ex hac autem illorum ratione etiam multa alia abundanter apud prophetam nostrum reperimus: modo enim Josuae sordidas vestes detractas esse, quae sane captivitatis habebant significatum, modo sacerdotali habitu eum indutum narrat, quamquam eum cum Zorobabele captivitate expeditum et sacerdotali munere praeditum venisse, constat. unde etiam beatus Haggaeus propheta communi oratione, et Zorobabelem et illum ad curam templi aedificandi gerendam exhortatur,

μετὰ τῆς ἁμαρτίας τοῦ Ἰσραὴλ φησιν εἰς Βαβυλῶνα ἀπενηνέχθαι. καίτοιγε Κῦρος μὲν ὁ τοῦ Περσῶν βασιλεὺς τῆς τε αἰχμαλωσίας ἀπέλυσε τὸν λαὸν καὶ τὴν Βαβυλῶνα καθεῖλε. φαίνεται δὲ ταῦτα ἐπὶ Δαρείου τοῦ βασιλέως λέγων ὁ προφήτης, ὃς τέταρτος ἦν ἀπὸ Κύρου, ὥστ' οὐκ εἶχε καιρὸν κατά γε τοὺς τοιούτων νομοθέτας νῦν λέγειν γίνεσθαι ταῦτα, ἃ πάλαι καὶ πρὸ πολλοῦ ἐγεγόνει τοῦ χρόνου. ἀλλ' εὔδηλον, ὅτι τὰ μὲν πράγματα γέγονεν, ὁ προφήτης δὲ δι' ἀποκαλύψεως ὁρᾷ νῦν αὐτὰ γινόμενα, ὡς ἂν καὶ γεγονότων οἱ τοῦ λαοῦ μάθοιεν πάντες, ὅτι μηδὲν ἀπὸ ταὐτομάτου γέγονε, θείᾳ δὲ βουλήσει καὶ ὅρῳ ἐπιτετέλεσται δὴ πάντα τὰ περὶ αὐτοὺς ἀγαθά. ὥστ' οὐδὲν ἀπεικὸς ἦν καὶ νῦν περὶ τῶν προσεσομένων τῷ λαῷ διὰ τῆς τοῦ Ζοροβάβελ βασιλείας κατὰ θεοῦ γνώμην εἰς τοῦτο προχειρισθέντος λέγοντα τὸν προφήτην εἰπεῖν, ὅτι ἔρχεται δίκαιος καὶ σώζων, ὡς ἂν δηλώσειεν, ὅτι ἐπὶ τούτοις πάρεστί τε καὶ πρὸς τὴν βασιλείαν ἐξείλεκται παρὰ τοῦ θεοῦ ἐπὶ τὸ ποιῆσαι ταῦτα. ἅπερ οὖν ἐν τοῖς ἑξῆς περὶ τὸν λαὸν δι' αὐτοῦ γεγενῆσθαί φησιν. — Ἀλλὰ ταῦτα μὲν εἰς τὴν ἀκριβεστέραν εἰρήσθω διδασκαλίαν. ὁ δὲ προφήτης περὶ τοῦ

et poenae mensuram una cum peccato Israele ablatam et Babylonem deductam esse, dicit; nihilominus tamen Cyrus jam populum captivitate expedivit Babylonemque evertit; propheta autem Dario regnante, quarto post Cyrum rege, ista locutus est. per temporis igitur rationem non licebat dici, sub istis principibus facta esse nunc, quae jam antea multoque tempore ante facta erant. Sed res jamjam gestas fuisse, prophetam vero revelatione eas pariter acsi modo gererentur vidisse, perspicuum est; nempe ut e jam factis omnes de populo, nihil fortuito evenisse, sed divina voluntate et consilio omnia in eorum salutem peracta esse, intelligerent. Itaque non incommodum erat, prophetam etiam nunc, ubi de iis, quae populo regnante Zorobabele, ad hoc divino consilio creato, eventura essent, loqui jussus erat, dicere, venire illum justum ac servatorem; nempe ut significet, ad id eum adesse a Deo regem designatum, ut ea peragat, quae in sequentibus, eo auctore populo contigisse, narrat. Sed

Ζοροβάβελ λέγων καὶ περὶ αὐτοῦ δὴ τὰ νῦν προφητεύων, εἰ καί τινα φαντασίαν ὡς προφήτης καὶ αὐτὸς περὶ τῶν μελλόντων εἶχεν, ἐπάγει. Κατάρξει ὑδάτων ἀπὸ θαλάσσης ἕως θαλάσσης καὶ ἀπὸ ποταμῶν ἕως διεκβολῶν γῆς. Ὑπερβολικῶς καὶ τοῦτο κατὰ τὸ εἰωθὸς εἰρηκὼς, ὅτι πολλῶν περιγενήσεται τῶν ἐναντίων καὶ πολλὴν καθέξει χώραν Ἰουδαίοις τὴν οἴκησιν αὐτῆς παραδούς. τοιοῦτος ἐστι καὶ παρὰ τῷ μακαρίῳ Δαυὶδ ὁ ἑβδομηκοστὸς πρῶτος ψαλμὸς, ἐν εὐχῆς σχήματι δήλωσιν ἔχων τῆς κατὰ τὸν Σολομῶνα εὐετηρίας, ἔνθα φησί [1]), „Πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα αὐτοῦ καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν, κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης καὶ ἀπὸ ποταμῶν ἕως περάτων τῆς οἰκουμένης.“ οὐ γὰρ δῆλον, ὅτι ὑπερβολικῶς εἴρηται καὶ ταῦτα; Εἶτα ἐπάγει·

haec ob accuratiorem institutionem dicta sufficiant: propheta vero de Zorobabele videlicet sermonem instituens in praesens, et de eo vaticinia edens, etiamsi (caeteroquin) tanquam propheta rerum futurarum quoque imagines perceperit, pergit ita: *Dominabitur aquis a mari usque ad mare, et a fluminibus usque ad fines terrae.* Etiam hoc hyperbolice ex consueto dictum est, significans, multos hostium eum superaturum esse magnamque terram expugnatam Judaeis habitandam adsignaturum. Ita etiam beati Davidis psalmus septuagesimus primus comparatus est, qui precationis sub specie ubertatem Salomonici imperii describit. ubi „Prae sole manebit nomen ejus et prae luna per omnia genera, dominabitur a mari usque ad mare et a fluminibus usque ad fines terrae. quomodo enim non clarum, etiam hoc hyperbolice dictum esse? Deinde addit.

ια΄. *Καὶ σὺ ἐν αἵματι διαθήκης σου ἐξαπέστειλας τοὺς δεσμίους σου ἐκ λάκκου οὐκ ἔχοντος ὕδωρ.* ιβ΄. *καὶ καθίσασθε ἐν ὀχυρώ-*

V. 11. *Et tu per sanguinem foederis tui dimisisti vinctos tuos e fovea aqua carente.* V. 12. *Et sedebitis in munimento, vos vincti coe-*

[1]) Ps. LXXI, 5. 8.

ματι δέσμιοι τῆς συναγωγῆς, καὶ ἀντὶ μιᾶς ἡμέρας παροικεσίας σου διπλᾶ ἀνταποδώσω σοι. Ἐν ἅπασι δὴ τούτοις μάλιστα τὰ περὶ τὸν Γὼγ ἐσόμενα ἐν ταῖς τοῦ Ζοροβάβελ ἡμέραις μηνύει, πρὸς ὃν λέγει, ὅτι πολλοὺς ἀνελὼν καὶ πολλῶν αἵματα ἐκχέας καὶ τῇ τῶν ἐναντίων ἀναιρέσει ὥσπερ τισὶ συνθήκαις βεβαιώσας ἑαυτῷ τὴν τοῦ λαοῦ βασιλείαν, ἀπαλλάξει μὲν ἅπαντας κινδύνων μεγίστων, ἐν οἷς ὥσπερ ἐν λάκκῳ τινὶ διάγουσιν ὕδωρ οὐκ ἔχοντι (ἵνα εἴπῃ, ἀπαραμυθήτοις κακοῖς), καὶ ψυχαγωγίαν ἔχουσιν οὐδεμίαν, διαμενεῖτε δὲ οἱ πάλαι δέσμιοι τῆς τῶν Ἰουδαίων συναγωγῆς μετὰ πολλῆς τῆς ἀσφαλείας διάγοντες ἐν τοῖς οἰκείοις τῇ τοῦ προεστῶτος ὑμῶν ἀσφαλείᾳ. ὥστε ἀνθ᾽ ὧν πεπόνθατε, ὁπηνίκα ἐν αἰχμαλωσίαις ἦτε διάγοντες μείζονά σου πολλῷ τῶν παρόντων ἀγαθῶν γενέσθαι τὴν ἀντίδοσιν. Εἶτα ἀκολούθως ἐπάγει.

tus, et pro uno die exsilii tui duplum tibi reddam. In his omnibus ea indicat, quae circa Gogum eventura erant Zorobabelis tempore. cui multis (Deum) interfectis, multorumque sanguine profuso et populi imperio hostium caede quasi foedere sancito, omnes e maximis periculis, in quibus tanquam in fovea aqua carenti (i. e. ineffabilibus calamitatibus solatioque destitutis) degant, liberaturum esse; qui vero antea vincti fuerint de Israelitico coetu, eos per ducis sui providentiam multa securitate suis in sedibus fruituros esse. et haec praesentia bona compensationi iis fore illis malis majori, quae in captivitate passi fuerint. Consequenter deinde addit:

ιγ΄. Διὰ τοῦτο ἐνετεινά σε ἐμαυτῷ Ἰούδα ὡς τόξον, ἔπλησα τῷ Ἐφραΐμ, καὶ ἐξεγερῶ τὰ τέκνα Σιὼν ἐπὶ τὰ τέκνα τῶν Ἑλλήνων, καὶ ψηλαφήσω σε ὡς ῥομφαίαν μαχητοῦ. Ἰούδα καὶ Ἐφραΐμ λέγει, ἵν᾽ ἐκ μέρους τοῦ κυριωτάτου τὸ σύστημα τῶν Ἰουδαίων εἴπῃ. ὡς τόξον τοίνυν ἐντετα-

V. 13. *Itaque te mihi tetendi, o Juda, ut arcum; implevi Ephraimo, et excitabo filios Sionis contra filios Graecorum, et tractabo te tanquam gladium militis.* Judam et Ephraimum dicit, ut ex parte praecipua totam Judaeorum molem designet. Ut arcum tensum, inquit, con-

μένον κατὰ τῶν πολεμίων ὑμᾶς ἐργάσομαι ἰσχυροὺς ὥστε κατὰ πάντων τῶν ἐπεληλυθότων ὑμῖν ἀλλοτρίων μετὰ πολλῆς ὑμᾶς ὁρμήσαντας τῆς προθυμίας πολὺν αὐτῶν ἐργάσασθαι τὸν φόνον καὶ ὅσον εἰκὸς ἐξ ἀνδρὸς γενέσθαι ἐν μάχαις καὶ πολέμοις καὶ φόνοις τὸ ξίφος ἀεὶ γυμνάζοντος τὸ οἰκεῖον. Καὶ ὅθεν ταῦτα αὐτοῖς περιέσται δηλῶν.

ιδ΄. Καὶ κύριος ἐπ᾽ αὐτοὺς ὀφθήσεται, καὶ ἐξελεύσεται ὡς ἀστραπὴ βολὶς αὐτοῦ. καὶ Κύριος παντοκράτωρ ἐν σάλπιγγι σαλπιεῖ, καὶ πορεύσεται ἐν σάλῳ ἀπειλῆς αὐτοῦ. ιε΄. Κύριος παντοκράτωρ ὑπερασπιεῖ αὐτῶν καὶ καταναλώσουσιν αὐτούς, καὶ καταχώσουσιν αὐτοὺς ἐν λίθοις σφενδόνης, καὶ ἐκπίονται τὸ αἷμα αὐτῶν ὡς οἶνον, καὶ πλήσουσι τὰς φιάλας ἐλαίου ὡς θυσιαστήριον. Γενήσεται δὲ ταῦτα, φησὶν, ἐπειδὴ Θεὸς στρατηγῶν ὑμῖν φοβερὸν κατὰ τῶν ἐναντιουμένων ὑμῖν ἀνατείνει τὸ ὄμμα ἀστραπῆς δίκην, ἐπιπέμπων αὐτοῖς τὰ ξίφη, καὶ ὥσπερ τινὶ σάλπιγγι τῇ οἰκείᾳ δυνάμει πάντας ὑμᾶς εἰς τὸν πόλεμον διεγείρας προηγήσεται ὑμῶν, τῇ ἀπειλῇ τῇ ἰδίᾳ πάντας σαλεύων τοὺς ἐναντίους, τοσαύτην τε ὑμῖν

tra hostes vos adeo fortes reddam, ut omnes, quotquot vobis superveniant, alienigenas ingenti animo aggressi tantam edatis eorum caedem, quantam virum decet edere, qui in bellis ac pugnis caedibusque gladium suum perpetuo stringit. Et unde hoc iis venturum sit, ostendit.

V. 14. *Dominus super eos apparebit, ejusque sagitta ut fulgur exibit; et Dominus omnipotens tuba clanget, ac procedet in turbine minarum suarum.* V. 15. *Dominus omnipotens eos proteget: et conficient istos ac lapidibus fundi obruent, eorumque sanguinem bibent ut vinum, et implebunt phialas oleo quasi aram.* Haec vobis accident, inquit, quoniam Deus pro vobis dimicans horrendum suum oculum quasi fulgur in adversarios vestros torquet, gladiosque iis immittit. Et quasi tuba vi sua omnes vos ad bellum provocatos ipse anteibit, minis suis omnes adversarios commovens; et tantum vobis auxilio suo lato praesidium praestabit, ut vos incolumes servati hostes omnes conficiatis lapidumque jactibus ob-

παρέξει διὰ τῆς οἰκείας συνεργείας τὴν βοήθειαν, ὥστε ὑμᾶς ἀβλαβεῖς διαμεῖναι καὶ τοὺς ἐναντίους καταναλῶσαι πάντας καὶ ταῖς τῶν λίθων καταχῶσαι βολαῖς τὸ αἷμά τε αὐτῶν τῇ ὑπερβολῇ τῆς ἐκχύσεως μόνον οὐκ ἐκπιεῖν, πολλῇ τῇ τῆς ἀναιρέσεως αὐτῶν προθυμίᾳ κεχρημένους, ὥστε μετὰ τὴν νίκην πληρώσαντας ὑμᾶς ἐλαίου φιάλας θυσίας δίκην τῷ θεῷ προσκομίσαι εἰς ἔλεγχον τῆς φιλανθρωπίας, δι' ἣν τετυχήκατε τῆς τοσαύτης δυνάμεως. — Τούτοις ἀκολούθως ἐπάγει, ὅτι πάντας τοὺς οἰκείους περισώσει θεὸς προβάτων δίκην ἀβλαβεῖς φυλάττων. καὶ τὴν αἰτίαν λέγων. διότι λίθοι ἅγιοι κυλίονται ἐπὶ τῆς γῆς αὐτοῦ. ιζ'. ὅτι εἴ τι ἀγαθὸν, αὐτοῦ, καὶ εἴτι καλὸν, αὐτοῦ. Πολλοὺς μὲν γὰρ ἐν ὑμῖν εἶναι συμβέβηκε, φησὶν, ἀρετῆς ἐπιμελουμένους, οἳ μετὰ τῶν λοιπῶν ἀνθρώπων ἐπὶ τῆς γῆς ἕρπειν δοκοῦσιν ἀφανεῖς ὄντες τοῖς πολλοῖς, θεὸς δὲ δι' ἐκείνους οὐδὲ τοὺς λοιποὺς περιόψεται, ἐπειδὴ πᾶν, ὅ, τι ἀγαθόν τε καὶ καλὸν, ἔργον αὐτοῦ. διὸ δὴ καὶ τῶν ἁγίων καὶ πρὸς ἀρετὴν βλεπόντων οἰκειούμενος τὰ πάθη, ἕτοιμός ἐστι καὶ ἑτέρους ὑπὲρ αὐτῶν εὖ ποιεῖν. — Εἶτα καὶ εὐετηρίαν αὐτοῖς εὐαγγελιζόμενος μετὰ τὴν τῶν πολεμίων σφαγὴν, ἐπάγει.

ruatis, et eorum sanguinem abundanter profusum paene bibatis, adeo caedendi cupidine stimulati. Unde futurum est, ut post victoriam nactam phialas oleo repletas Deo quasi sacrificium offeratis, gratias acturi ob favorem, qui vos tanto robore implevit. V. 16. His convenienter addit, Deum familiares suos omnes incolumes servaturum esse quasi oves. cujus rei etiam causam exhibet. *Nam lapides sancti volvuntur.* V. 17. *sive enim quid boni, sive quid pulchri, ejus (est.)* Multi, inquit, inter vos sunt virtutis studiosi, qui cum caeteris hominibus in solo repere videntur, quippe a vulgo despecti; Deus vero eorum causa etiam reliquos non rejiciet; nam quidquid boni vel pulchri inveniatur, ejus est opus. Idcirco quoniam sanctorum virtutisque studiosorum angustias curat, eorum causa etiam caeteris benefacere promptus est. — Deinde fertilitatem post factam hostium caedem futuram iis nuntians pergit.

Κεφάλαιον Ι'.

α'. Αἰτεῖσθε ὑετὸν παρὰ Κυρίου καθ' ὥραν πρώϊμον καὶ ὄψιμον. Κύριος ἐποίησε φαντασίας, καὶ ὑετὸν χειμερινὸν δώσει αὐτοῖς, ἑκάστῳ βοτάνην ἐν ἀγρῳ. Παρὰ τούτου δὴ καὶ ὑετοὺς αἰτεῖτε ἐπιτηδείους εἰς τὴν τῶν καρπῶν φορὰν, ὃς εἰωθὼς μετὰ πολλοῦ τοῦ φόβου συστρέφειν τὸν ἀέρα καὶ φαντάζειν ἅπαντας τοὺς ἐπὶ τῆς γῆς τῷ μεγέθει τῶν γενομένων, αὐτάρκης ὑετὸν ὑμῖν παρασχεῖν τὸν καθήκοντα, ὥσθ' ἅπαντα φύειν ἐκ τῆς γῆς τὰ ὑμῖν ἀναγκαῖα. βοτάνην γὰρ καινῶς τοὺς καρποὺς λέγει, οἷόν ἐστι καὶ τὸ [1]) „Βλαστησάτω ἡ γῆ βοτάνην κάρπου,“ εὔδηλον γὰρ, ὅτι κἀκεῖ πάντα λέγει τὰ ἐκ γῆς φυόμενα τῶν σπερμάτων. — Εἶτα πάλιν ἐπὶ σωφρονισμῷ τῶν προειληφότων αὐτοὺς ὑπομιμνήσκων ἐπάγει.

β'. Διότι ἐλάλησαν κόπους καὶ οἱ μάντεις ὁράσεις ψευδεῖς καὶ τὰ ἐνύπνια ψευδῆ ἐλάλουν, μάταια παρεκάλουν, διὰ τοῦτο ἐξηράνθησαν ὡς πρόβατα καὶ ἐκακώθησαν, ὅτι οὐκ ἦν ἴασις. γ'. ἐπὶ τοὺς ποιμένας παρωξύνθη ὁ θυ-

Caput X.

V. 1. *Petite pluviam a Domino suo tempore matutinam et serotinam. Deus adparitiones fecit, et pluviam hiemalem dabit eis, et unicuique plantam agrorum.* Ab eo etiam pluvias petite procreandis frugibus commodas, qui multo tremore aërem contrahere et omnes qui in terra sunt magnitudine eorum quae fiunt, terrere solitus, etiam necessariam vobis largiri valet pluviam, ut terra omnia, quibus vobis opus est, progignat. plantam enim generatim fruges appellat. cui comparandum illud „Germinato terra plantam graminis,“ nam et hoc loco omnia, quae e terrae seminibus crescunt, significat. — Deinde rursus, ut eos sapientiores reddat, praeteritorum recordatur.

V. 2. *Qui loquebantur, locuti sunt labores, et vates visiones falsas et somnia falsa loquebantur, vanae consolationes eorum erant. propterea arefacti sunt et adflicti sicut oves, quia nulla erat sanatio.* V. 3. *In pastores exarsit ira mea, et*

[1]) Gen. 1, 11.

μός μου, καὶ ἐπὶ τοὺς ἀμνοὺς ἐπισκέψομαι. Πάλαι μὲν γάρ, φησίν, ὁπηνίκα τοῖς μάντεσι προσείχετε μετὰ πολλοῦ τοῦ ψεύδους ἅπαντα διαλεγομένοις ὑμῖν, καὶ δὴ τῶν μὲν προφητῶν ἠμελεῖτε τῶν ἐμῶν, τοῖς παρ᾽ ἐκείνων δὲ λεγομένοις ἐπείθεσθε μᾶλλον, τότε δὴ ἀνίατά τε καὶ ἀδιόρθωτα καθ᾽ ὑμᾶς εὑρὼν ὡσανεὶ πρόβατα τιμωρίαις ἐκδέδωκα, ἑνὶ τῷ θυμῷ ἐπί τε τοὺς ἡγουμένους ἐπί τε τοὺς ὑπηκόους χρησάμενος, ᾧ δὴ κἀκείνους κατὰ ταὐτὸν ἀπώλεσα καὶ τούτους. Τότε μὲν δὴ τοιαῦτα ὑπὲρ ἐκείνων πεπόνθατε, νυνὶ δὲ τί; Καὶ ἐπισκέψεται Κύριος ὁ θεὸς ὁ παντοκράτωρ τὸ ποιμνίον αὐτοῦ τὸν οἶκον Ἰούδα, καὶ τὰ ἑξῆς, ὧν ὥστε μὴ μηκύνειν τὴν λέξιν ἅπασαν ἐπὶ τοῦ παρόντος ἐκτιθέναι παρεὶς τὸν νοῦν ἐρῶ, θεοῦ χάριτι ταῖς προφητικαῖς λέξεσιν αὐτὸν εἰς τὴν τῶν ἐντυγχανόντων κατανόησιν ἐφαρμόττων.

Λέγει γάρ, ὅτι ἐπιμελήσομαι τοῦ οἴκου Ἰούδα, οὓς ὥσπερ ποιμνίον ἴδιον ἐθέμην, γενήσονται δὲ ἰσχυροὶ κατὰ τῶν ἐναντίων ἐν τοῖς πολέμοις μᾶλλον ἢ ἵππος ἰσχυρὸς ὑπὸ ἀνδρὸς πολεμιστοῦ κατὰ τῶν πολεμίων ἐξελαυνόμενος. (δ΄.) ἐξ αὐτοῦ γάρ, λέγω δὲ τοῦ Ἰούδα, προεῖδον χρῆναι τὸν Ζοροβάβελ προβληθῆναι,

agnos puniam. Olim enim, inquit, quum hariolis, qui nil nisi mendacia vobis loquebantur, adhaerentes meos prophetas contemneretis, illorum vero verbis morem gerere praeferretis, tunc insanabiles vos et inemendabiles videns poenis vos tradidi, et ducibus pariter ac subditis iratus ut illos ita hos simul exstinxi. Tunc igitur ob illa talia passi estis quid vero nunc? *Et curam geret Dominus Deus omnipotens gregis sui, nempe domus Judae*, et quae sequuntur, quibus, ne longius excedat oratio, omnibus nunc describendis abstinens sensum tantum exponam, Dei juvante propheticis dictis eum ob lectores erudiendos adaptans.

Nempe haec dicit: Judae stirpis curam geram, quos gregem meum feci, fortioresque reddam eos contra hostes suos equo forti a milite adversus inimicos incitato. V. 4. Ex eo enim, nempe Juda, Zorobabelem eligere decrevi, et inde sumptum regem constitui, et for-

κἀκεῖθεν αὐτὸν λαβὼν εἰς τὴν βασιλείαν ἔπαξα ἰσχυρόν τε αὐτὸν καὶ θυμοῦ πνέοντα κατὰ τῶν ἐναντίων εἰργασάμην, ἐπειδὴ καὶ καθάπαξ ἐκ τῆς τοῦ Ἰούδα φυλῆς ὥρισα προιέναι τοὺς ἄρχοντας. (ε'.) οὓς καὶ προηγεῖσθαι προσῆκεν ἐν τοῖς πολέμοις πάντοτε τοῦ λαοῦ, ἐπεὶ καὶ κατακρατήσουσιν οὕτω τῶν ἐναντίων ἐν τοῖς πολέμοις, ὥστε καταπατεῖν αὐτοὺς πηλοῦ δίκην ἐν ὁδοῖς ὑπὸ τῶν διϊόντων πατουμένου. οὕτως ἐκκείσονται, φησὶν, οἱ πολέμιοι πάσχοντες μὲν, ἀντιμηχανᾶσθαι δὲ δυνάμενοι οὐθέν. Καὶ θαῤῥοῦντες δὴ πρὸς πάντας παρατάξονται τοὺς ἐναντίους τὴν θείαν αὐτοῖς προσεῖναι πιστεύοντες βοήθειαν. τότε αἰσχυνθήσονται μὲν τῶν πολεμίων ἐφ' ἵπποις μέγα φρονοῦντες, φανήσονται δὲ οὗτοι μεγάλοι τε καὶ ἰσχυροὶ τῇ ἐμῇ βοηθείᾳ (ς'.) Οἶκον γὰρ Ἰούδα καὶ οἶκον Ἰωσὴφ, ἵνα εἴπῃ τὸν λαὸν, ἐκ μέρους τὸν ὅλον ὀνομάζων. παρέξω τε αὐτοῖς ἀσφαλῆ τὴν ἐν τοῖς ἰδίοις οἴκησιν, ἐπειδήπερ αὐτοὺς ἀγαπήσας ἐδοκίμασα αὐτοὺς τῆς ἐμῆς μὴ ἀποβαλεῖν προνοίας. ἔσομαι γὰρ ἀεὶ μετ' αὐτῶν καὶ ἐν ἀνάγκαις τὴν ἐμὴν αἰτούντων βοήθειαν ἀκούσομαι. (ζ'.) καὶ κρατήσουσι μαχητῶν ἐναντίων (τὸ γὰρ οἱ τοῦ Ἐφραῒμ πάλιν ἀπὸ μέρους τὸν

tem iraque adversus hostes ardentem animum ei inflavi, quia ex Judae tribu principes prodire volui. V. 5. quos itidem etiam bellorum populo duces esse, convenit; nam ita adversariis superiores semper erunt, ut eos conculcent, quasi lutum in plateis a viatoribus conculcatum. tanta enim hostes conficiendi sunt clade, omni resistendi vi destituti. (Judaei) autem fortiter aciem adversus omnes hostes instruent, divinam opem sibi adesse scientes; tunc etiam in fugam convertentur hostium ii, qui equis suis freti sunt, illos vero meum auxilium magnos fortesque praestabit V. 6. *Domum Judae domumque Josephi* dicit, populum significans partis appellatione. securam iis, inquit, in suis finibus praebebo habitationem, nam more meo ductus nunquam providentiam meam ab iis retrahere decrevi. Et semper iis adero, et siquando in calamitatibus me invocaverint, eos audiam. (V. 7.) Nec non adversarios debellabunt (Ephraimitas enim rursus ex parte totum populum significans dicit), et reportata vi-

λαὸν λέγει) ὥστε αὐτοὺς ἐκ τῆς σφαγῆς τῶν ἐναντίων νικηκότας χαίρειν τῇ διανοίᾳ μᾶλλον ἐμφορηθέντων οἴνου. ταῦτα δὲ καὶ οἱ ἐξ αὐτῶν ἰδόντες ἐν εὐφροσύναις γενήσονται διὰ τὴν ὑπάρχουσαν αὐτοῖς παρὰ τοῦ θεοῦ βοήθειαν. (η΄.) Ὥσπερ σάλπιγγι τοίνυν σεμήνας ἅπαντας αὐτοὺς ἀθροίσω τε καὶ εἰσδέξομαι ἀπολύων αὐτοὺς πάσης ἀνάγκης, ὥστε μετὰ ἀσφαλείας ἐν τοῖς οἰκείοις διάγοντας εἰς πλῆθος ἐπιδοῦναι, παραπλησίως τῷ πρόσθεν χρόνῳ στενοχωρουμένους ἐπὶ τῆς γῆς οἰκείας ὑπὸ τοῦ πλήθους τοῦ οἰκείου ἐν πολλοῖς διασπαρῆναι καὶ τῶν ἀλλοτρίων, ὧν κατακρατήσαντες κτήσονταί τε καὶ οἰκήσουσι τὴν χώραν, οἱ πάντες μνήμῃ τῇ ἐμῇ διὰ τὸ τῶν γινομένων μέγεθος οὐ μόνον βλάψουσιν οὐδὲν, ἀλλὰ γὰρ καὶ πᾶσαν αὐτῶν ἐπιμέλειαν ποιήσονται. τοῦτο γὰρ λέγει τὸ ἐκθρέψουσι τὰ τέκνα αὐτῶν καὶ ἐπιστρέψουσιν, ἀντὶ τοῦ, ταῦτα ποιήσουσι πρὸς ἐμὲ νεύσαντες καὶ τὴν γνῶσιν τὴν ἐμήν. ι΄. Πανταχόθεν δὴ λοιπὸν τοὺς ἐξ αὐτῶν διεσπαρμένους, εἴτε κατ᾽ Αἴγυπτον εἴτε ἐν τῇ τῶν Ἀσσυρίων χώρᾳ, μεταβαλόμενος ἐπανάξω εἰς τὰ οἰκεῖα ὥστε τοὺς τόπους οἰκεῖν τοὺς οἰκείους, μηδενὸς ἔξω τούτων διάγοντος[1]) ἔτι. ια΄. οἱ διὰ πολλοῦ

[1]) Cod. διάγοντες.

ctoria de clade facta magis quam vino hilares laetitia in mente agitabuntur. quod ubi nati eorum viderint et ipsi gaudebunt ob auxilium sibi a Deo latum. (V. 8.) Et signo quasi tuba dato omnes colligam et ab omnibus angustiis redemptos recipiam, quo fiet, ut secure in suis habitationibus sedentes in magnum numerum crescant; et perinde ac temporibus antiquis in propria terra multitudine sua inter alios dispergantur. et peregrini, quorum terram occupatam obtinebunt et habitabunt, iis non modo injurias non facient mei operumque meorum grandium memores, sed etiam omni eos studio prosequentur. id enim significant verba *Et nutrient filios suos ac redibunt* i. e. haec facturi sunt me meique cognitionem amplexi. V. 10. Undequaque autem, eos, qui ex illis dispersi sunt vel in Aegypto vel in Assyriorum terra, mutata mente mea in sua rursus reducam, iisque patria loca habitanda reddam, nec quisquam eorum extra ea amplius deget. V. 11. Iique pertransibunt ingenti copia, hostium multi-

παρελεύσονται πλήθους στενοχωρούμενοι μὲν τῷ πλήθει τῶν ἐναντίων, καταχρατοῦντες δὲ αὐτῶν τῇ ἐμῇ δυνάμει. ὥστε καὶ πᾶσαν αὐτῶν ἀπολέσαι τὴν ἰσχὺν, ἅπαντάς τε αὐτοὺς δίκην θαλάσσης κυματουμένης ἀγριαινομένους καθ᾽ ὑμῶν τιμωρήσασθαι, περιστῆσαί τε τῇ οἰκείᾳ τιμωρίᾳ καὶ σφαγῇ εἰς μηδὲν τοὺς τοιούτους. τοῦτο γὰρ λέγει ξηρανθήσεται πάντα τὰ βάθη ποταμῶν, ἵνα εἴπῃ, ὅτι ἀφανιεῖ τοὺς οὕτω πολλούς. οὔτε δὲ Ἀσσυρίοις ἰσχὺς ἔτι περιλειφθήσεται τουτὶ δύνασθαι κατ᾽ αὐτῶν, οὔτε Αἰγυπτίοις, ὧν οἱ μὲν αὐτοὺς πάλαι εἶχον ἐν τῇ δουλείᾳ, οἱ δὲ ὕστερον ἀπήγαγον αἰχμαλώτους. ἀπαλλαγήσονται γὰρ ἁπάντων τούτων τίνι τῷ τρόπῳ; ιβ΄. Καὶ κατισχύσω αὐτοὺς ἐν κυρίῳ θεῷ αὐτῶν, καὶ ἐν τῷ ὀνόματι αὐτοῦ κατακαυχήσονται, λέγει Κύριος. ἐπειδὴ ἰσχυροὺς τε αὐτοὺς ἐργάσομαι καὶ ἀλήπτους πᾶσι τοῖς ἐναντίοις, ὥστε αὐτοὺς καὶ σεμνύνεσθαι ἐπὶ τῇ ὀνομασίᾳ καὶ τῇ βοηθείᾳ τῇ ἐμῇ. Ταῦτα εἰρηκὼς ἐπάγει.

tudine coarctati; at adeo eos devicturi sunt mea ope, ut omnem eorum vim deleant, omnesque, qui fluctuantis maris instar adversus vos saeviebant, puniant, punitosque et caede confectos ad nihilum redigant. hoc enim indicant verba *Omnes aluei fluminum exarescent*, quae significant, tam multos numero deletum iri. Neque enim Assyrii quidquam contra eos valebunt, neque Aegyptii, quorum hi eos olim in servitute tenebant, illi vero in captivitatem deducebant. His enim omnibus expediti erunt. et qua ratione? V. 12. *Et fortitudinem iis in Domino suo praestabo, ut nomine ejus glorientur, inquit Dominus.* Fortes eos reddam omnibusque adversariis invicibiles: ideo etiam nomine meo auxilioque meo gloriabuntur, Quibus dictis addit:

Κεφάλαιον ΙΑ΄.

α΄. Διάνοιξον, ὁ Λίβανος, τὰς θύρας σου, καὶ καταφαγέτω πῦρ τὰς κέδρους σου. β΄. ὀλολυξάτω πίτυς.

Caput XI.

V. 1. *Aperi, Libane, fores tuas, ut ignis cedros tuas absumat.* V. 2. *Ejulato abies, quia cecidit cedrus;*

διότι πέπτωκε κέδρος, ὅτι μεγάλως μεγιστᾶνες ἐταλαιπώρησαν. ὀλολύξατε δρύες τῆς Βασανίτιδος, ὅτι κατεσπάσθη ὁ δρυμὸς ὁ σύμφυτος. γʹ. φωνὴ θρηνούντων ποιμένων, ὅτι τεταλαιπώρηκεν ἡ μεγαλωσύνη αὐτῶν. φωνὴ ὀδυρομένων λεόντων, ὅτι τεταλαιπώρηκε τὸ φρύαγμα τοῦ Ἰορδάνου. Ἐπειδὴ γὰρ εἶπεν ὅτι πανταχόθεν αὐτοὺς ἄξω ἀπό τε τῆς Αἰγύπτου καὶ ἀπὸ τῆς Ἀσσυρίων χώρας καὶ ὅτι μηδενὸς ἔτι πειραθήσονται τοιούτου, ἀκολούθως λοιπὸν ἐπὶ τοὺς κατέχοντες τρέπει τὸν λόγον τοῦτο λέγων. οἱ μεγάλοι καὶ δυνατοὶ καὶ δίκην Λιβάνου τῷ μεγέθει σεμνυνόμενοι τῶν κέδρων τὴν ἰσχὺν ἐπιδεικνύμενοι τὴν οἰκείαν ἀποστάντες τοῦ ἔτι μάχεσθαι τοῖς ἐμοὶ προσήκουσιν, ὥσπερ τινὰς θύρας ἀνοίξατε τὰ ἑαυτῶν, πᾶσιν ἀδεῆ παρέχοντες τὴν ἀφ᾽ ὑμῶν ἀναχώρησίν τε καὶ ἐπάνοδον εἰς τὰ οἰκεῖα, πρὶν ἢ πυρὸς μὲν δίκην τὴν ἐμὴν τιμωρίαν τοὺς ἐν ὑμῖν ἀφανίσαι δυνατούς, ὀλολύζειν δὲ τοὺς ἀσθενεστέρους ὁρῶντας τῶν δυνατῶν τὴν πτῶσιν. τοῦτο γὰρ λέγει τὸ ὀλολυξάτω πίτυς διότι πέπτωκε κέδρος. θεασάμενοι γὰρ τῶν δυνατῶν τὴν ἀπώλειαν ἀπογνώσον-

et optimates summopere adflicti sunt. Ejulate, quercus Basanitides, quia succisa est sylva munita. V. 3. (Auditur) vox pastorum lugentium, quia eorum decus fractum est; (auditur) vox lugentium leonum, quia excellentia Jordanis vastata est. Quia dixerat, undequaque se eos deducturum esse et ex Aegypto et ex Assyriorum terra, nihilque ejusmodi eos amplius experturos esse, convenienter nunc ad eos vertit orationem, qui illos retinebant. Vos igitur, inquit, optimates et potentes, quique Libani instar magnitudine vestra gloriamini, atque robur quasi cedrorum ostenditis, jam familiaribus meis reniti desinentes, quasi portas iis aperite, libero omnibus in patriam suam concesso reditu, priusquam tanquam ignis punitio mea potentes inter vos exstinguat, inferioresque conspecta potentum ruina lugeant; (hoc significant verba, Ejulato abies quia cecidit cedrus.) quos potentum interitum intuitos de se desperare necesse est. omnesque qui potentia sua qualicunque su-

ται εἰς¹) εἰκὸς ἑαυτῶν, καὶ πάντες οἱ ἐπί τινι δυνάμει μέγα φρονοῦντες ὀλολύξουσιν, ὁρῶντες τὸ οἰκεῖον πλῆθος ὡσανεὶ σύμφυτον δρυμὸν ἀφανιζόμενον, δίκην πυρὸς ἐμπιπτούσης αὐτοῖς τῆς θείας τιμωρίας. ἔσονται μὲν γὰρ καὶ οἱ ἐξάρχοντες ὑμῶν ἐν θρήνοις, ἀνθίστασθαι ἔτι τοῖς ἐμοὶ προσήκουσι τολμῶντες, ὁρῶντες ἅπασαν αὐτῶν τὴν ἰσχὺν ἀπολλυμένην. θρηνήσουσι δὲ καὶ οἱ λεόντων δίκην τῇ οἰκείᾳ πεποιθότες ἰσχύϊ, πάντας ὁρῶντες ἐν ταλαιπωρίαις ὄντας τοὺς μέγα πεφρονηκότας κατὰ τοῦ Ἰορδάνου. ἐπειδὴ γὰρ μέρος τῆς Ἰουδαίας ἦν ὁ Ἰορδάνης ποταμὸς, ἀπὸ τῆς τοῦ ποταμοῦ μνήμης τὴν χώραν τῶν Ἰσραηλιτῶν εἰπεῖν ἠβουλήθη.

Ἄχρι μὲν δὴ τούτου τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν τῶν Ἰσραηλιτῶν δεδήλωκεν ὁ προφήτης, ὅτι τε ἡ Ἱερουσαλὴμ εἰς τὴν παλαιὰν ἀποκατασταθήσεται εὐπραγίαν, ἀποδοθείσης μὲν τῆς τε ἱερωσύνης καὶ τῆς βασιλείας τῷ ἔθνει, ἐπισυναχθέντος δὲ τοῦ λαοῦ πανταχόθεν, καὶ ὅτι τιμωρήσεται μὲν αὐτῶν τοὺς ἐχθροὺς ὁ θεὸς, ἐν ἀγαθῶν δὲ πλείστων ἀφθονίᾳ καταστήσει τούτους, ἀλλὰ καὶ ὅτι τῷ Ζοροβάβελ πρὸς τὴν βασιλείαν ἐξειλεγμένῳ πλείστην τινὰ παρέξει τὴν ῥοπὴν, ἀφ' ἧς ἰσχυροὶ μὲν ἔσονται κατὰ τῶν

¹) F. l. ὡς.

perbierunt lugebunt, ut primum numerum suum quasi densam silvam deletum viderint, divina punitione tanquam igne correpti. Nec non qui principatum vestrum tenent, lamentabuntur, ubi familiaribus meis reniti ausi, confectum videbunt omne suum robur. Lugebunt etiam, qui leonum instar robori suo confisi sunt, quum miseriis irretitos conspexerint, qui adversus Jordanem superba cogitarunt. Jordanes enim quum Judaeae pars esset, ejus nomine Israelitarum terram designavit.

Hucusque propheta rerum Israeliticarum in meliora conversionem declaravit, nempe, fore ut Hierosolyma in veterem felicitatem, reddito populo sacerdotio ac regno, populoque undique collecto, restituatur, et Deus hostes eorum puniat, ipsis vero plurimorum bonorum abundantiam largiatur, porro vero etiam Zorobabeli ad regnum electo multum praestet suum praesidium, quo sustentati hostes victuri sint, copiasque Gogi innumerabi-

ἐναντίων, περιγενήσονται δὲ καὶ τῶν περὶ τὸν Γὼγ ἀναριθμήτων τε ὄντων καὶ ἀμαχητοτάτων, καὶ συντόμως εἰπεῖν διὰ πάντων τῶν προῤῥηθέντων ἐγνώρισεν, ὁπόσην ἐπὶ τὸ κρεῖττον τὰ κατ' αὐτοὺς λήψεται τὴν ἐπίδοσιν. Ἐπειδὴ δὲ οὐκ εὖ ἐχρήσαντο οἱ Ἰουδαῖοι τῇ τε εὐπραγίᾳ καὶ τῇ εἰρήνῃ, ἧς ἐπὶ πλεῖστον ἀπέλαυσαν, μεταβαλόμενοί τε ἐντεῦθεν πρὸς τὸ χεῖρον ἐξώκειλαν, πρὸς τοὐναντίον μὲν αὐτοῖς ἐκβέβηκεν ἅπαντα, πολλὴ δέ τις ἀκοσμία καὶ σύγχυσις αὐτῶν κατείληφε τὸ ἔθνος, ἅτε τῶν νόμων ἀμελουμένων παρ' αὐτοῖς τῶν θείων. ἔνιοι γὰρ τῶν ὑποδεεστέρων πρὸς τοὺς ἀρχιερέας καὶ ἡγουμένους τοῦ λαοῦ παντὸς μετὰ πολλῆς τε διέποντας αὐτὸν τῆς ἀκριβείας ἐκ τοῦ πρὸς τὸ χεῖρον ῥέπειν αὐτοὶ διηνέχθησαν ὡς εἰκὸς, καὶ μηδὲν κατ' αὐτῶν ἰσχύσαντες διὰ τὴν παρὰ τῷ λαῷ δόξαν τῶν ἀνδρῶν, ἐπὶ τοὺς βασιλέας ἐληλύθασι τοὺς ἐκ τῆς Μακεδονικῆς διαδοχῆς τῶν κατὰ τὴν Συρίαν κρατοῦντας μερῶν, καὶ παρεσκεύασαν μὲν ἐν κινδύνοις τοὺς ἡγουμένους αὐτῶν γενέσθαι, ἄνδρας νομίμως τε ἱερατεύοντας καὶ δοκίμως, μεθίστατο δὲ τὰ τῆς ἀρχιερωσύνης εἰς ἑτέρους παρὰ τὴν τῶν θείων νόμων ἀκολουθίαν κατὰ τὸ τοῖς βασιλεῦσι δοκοῦν, οἱ μονονουχὶ πωλοῦντες τὸ ἔθνος

les ac fortissimos superaturi. Et brevi ut dicam, omnibus hucusque dictis, quanta quamque prospera res eorum sint capturae incrementa demonstravit. Sed quoniam Judaei felicitate ac pace, qua summa fruiti sunt, haud bene usi, malitiae rursus se dederunt; omnia contrarie iis evenerunt, magnaque ignominia et confusio res eorum cepit ob legum divinarum neglectum. Nonnulli enim inferiorum hominum, qui pravissima quaeque sectantes a sacerdotibus totiusque populi principibus, maxima diligentia eum moderantibus, dissederant, quum adversus illos viros eorumque penes populum auctoritatem nihil valerent, ad reges venerunt e Macedonica successione Syriacarum provinciarum potitos, et effecerunt, ut principes sui virique legitime et probe sacerdotio functi, periclitarentur. Quo factum est, ut sacerdotalis dignitas praeter successionem divinis legibus constitutam, ex regum voluntate ad alios transiret, qui gente regibus paene vendita et divitiis (cumulatis sibi), ac, nefarie populi regimine acquisito, permulta commise-

τοῖς βασιλεῦσι καὶ χρήματα ...[1]) παρὰ τὸ δέον τὴν προστασίαν ὠκνούμενοι[2]) τοῦ λαοῦ, πλεῖστα μὲν ὅσα διεπράττοντο κακὰ, ἐν ἀκοσμίᾳ δὲ καὶ συγχύσει καθιστῶν πάντα τὸν λαὸν, καὶ κατελέλυτο μὲν καθάπαξ ἡ τῶν νόμων ἀκρίβεια, ἀντεισήγετο δὲ ἀταξία τε καὶ ἀνομία καὶ τὸ πρὸς τοὐναντίον τοῖς θείοις νόμοις ἅπαντα γίνεσθαι. ὑπὲρ δὴ τούτων ἁπάντων μυρίοις μὲν ὅσοις περιεβλήθησαν τοῖς κακοῖς Ἰουδαῖοι. τῶν Μακκαβαίων δὲ ἐκ τοῦ μὴ φέρειν τὴν περὶ τὰ θεῖα πλημμέλειαν μηδὲ ἀνεκτὸν ἡγεῖσθαι ἡσυχάζειν οὕτω μὲν παραβαινομένων τῶν νόμων τῶν θείων τοσαύτης δὲ ἀσεβείας ἀντεισαχθείσης τε καὶ πολιτευομένης ἐν αὐτοῖς, τὸν πρὸς τοὺς τῆς Μακεδονικῆς διαδοχῆς βασιλέας πόλεμον ἀναδεξαμένων, οὐκ ὀλίγοι τινὲς τῶν εἰς τὸ ἔθνος τελούντων τὴν ἐκείνων ζηλώσαντες γνώμην ἐκοινώνησαν τοῦ προῤῥηθέντος πολέμου. καὶ γέγονε μὲν περί τε τὴν πόλιν καὶ τὸν ναὸν τοῦ θεοῦ καὶ πᾶν δὴ τό ἔθνος συντόμως εἰπεῖν μυρία ὅσα παρὰ τῶν Μακεδόνων κακὰ, ἃ μηδὲ ῥᾴδιον εἰπεῖν. ἐδέξατο ταῦτα διόρθωσιν, ὁπηνίκα θεὸς τῇ γνώμῃ τῶν περὶ τὸν Μακκαβαῖον ἀρεσθεὶς πάρεσχεν αὐτοῖς τὴν οἰκείαν ῥοπὴν, ὥστε παρὰ πᾶσαν

runt flagitia, universumque populum dedecori et turbis immersere tantis, ut abolitis legibus omnia absque ordine ac lege permiscerentur, et divinis legibus contrarie omnia gererentur. Quam ob rem innumerabilibus malis Judaei inciderunt. Maccabaei vero Dei neglectum non ferentes, et quietem intolerabilem censentes, ubi relictis legibus divinis impietas inducta esset omniaque regeret, bellum adversus reges Macedonicae successionis susceperunt, participantibus id bellum haud paucis, qui ejusdem fuere cum illis gentis ac mentis. Multa igitur adversa atque nefaria, quae urbi et templo Dei et toti, brevi ut dicam, populo auctoribus Macedonibus evenerunt, et quae narrari nequeunt facile, prosperum habuere eventum, quum Deus Maccabaeorum molimine probato, iis opem suam praestaret et efficeret, ut praeter omnem spem, licet pauci tantummodo essent, reges superarent, et, devicta eorum magna acie, honestum populo statum redintegrarent. Jam vero propheta, accepta

[1]) Excidisse nonnulla videntur. — [2]) F. l. οἰκειούμενοι.

ἐλπίδα κεκρατηκότας ἐκείνους τῶν βασιλέων, καίτοιγε εὐαριθμήτους ὄντας καὶ πρὸς πολλὴν δύναμιν μαχομένους, δυνηθῆναι τὴν πρέπουσαν εὐκοσμίαν ἀποδοῦναι τῷ ἔθνει. Ἀναγκαιότατα δὴ καὶ τούτων τὴν γνῶσιν δεξάμενος ὁ προφήτης ἐξ ἀποκαλύψεως θείας μηνύει τε τῷ λαῷ τὰ ἐσόμενα καὶ ἔγγραφον αὐτῶν εἰς τοὺς ἑξῆς παραπέμπει τὴν γνῶσιν ἐν τοῖς καθεξῆς τοῖς περὶ τούτων χρώμενος λόγοις. Ἄρχεται δὲ οὕτως.

necessario etiam earum rerum per revelationem cognitione, futuros casus populo praedicit, nec non litteris posteros de iis certiores facturus, in sequentibus de his sermonem instituit, ita exorsus.

δ,' *Τάδε λέγει Κύριος παντοκράτωρ. ποιμαίνετε τὰ πρόβατα τῆς σφαγῆς.* Ἔθος τῇ θείᾳ γραφῇ πολλάκις προστακτικῷ σχήματι μηνύειν τὸ μέλλον, οἷόν ἐστι τὸ „χαῖρε σφόδρα θύγατερ Σιών," καίτοιγε οὐδὲ ἐν ἐπιτάγματι κεῖται τὸ χαίρειν, ἐπεὶ μήτε παρόντων τῶν ἡδέων δυνατὸν μὴ χαίρειν, χαίρειν τε οὐκ ἔνεστιν ἀπόντων τῶν ἡδέων, ἀλλὰ μηνύσαι βουλομένη τὴν προσεσομένην αὐτοῖς ἡδονὴν ἐκ τῆς τοῦ Ζοροβάβελ ἡγεμονίας προστακτικῶς τοῦ λόγου πεποίηται τὴν ἀρχὴν, καὶ μετὰ βραχέα — αἰτεῖτε παρὰ Κυρίου ὑετὸν καθ' ὥραν πρώϊμον καὶ ὄψιμον, δήλου μὲν ὄντος, ὡς οὐκ ἄν τις ἐν χρείᾳ ὢν παραλίποι τὸ αἰτεῖν, εἴπερ οὖν ὅτι δοθήσεται πάντως εἰδείη, ἀλλ' ὅμως βουλόμενος εἰπεῖν, ὅτι ἀφθόνως ὑμῖν καὶ καθ' ὥραν τὸν ὑετὸν παρέξει θεὸς, ἐν σχήματι προστακτικῷ τὴν μήνυ-

V. 4. *Haec dicit Dominus omnipotens: pascite oves occisionis.* Scripturae sacrae in more est, imperativo modo futura indicare; cujusmodi etiam illud est, „Laetare vehementer filia Sionis," quamquam laetitia juberi nequit, quum praesentibus jucundis nemo possit non laetari, nec absentibus jucundis possit quisquam laetari; sed ad futuram laetitiam indicandam imperando sermonis initium facit, paulo post addens: Petite a Domino pluviam suo tempore matutinam et serotinam, quamvis constet, neminem, cui aliqua re opus est, non petiturum esse, dummodo, accepturum se quoque esse, sciat. id igitur solum ut significet: abundanter, suoque tempore vobis Deus dabit pluviam, im-

σιν πεποίηται τοῦ ἐσομένου. Τὸν αὐτὸν δὴ τρόπον κἀνταῦθα τὰ περὶ τὸν λαὸν ἐσόμενα κακὰ προστακτικῷ σχήματι προλέγει, τοιοῦτό τι λέγων, ὅτι τὰ μὲν παρ' ἐμοῦ περὶ τὸν λαὸν ἔσται, οἷάπερ ἔφθην εἰπών, καὶ τοσούτων μὲν ἀπολαύσει τὸ ἔθνος ἀγαθῶν, ἐν τοσαύτῃ δὲ γενήσεται ἡ Ἱερουσαλὴμ εὐθηνίᾳ, κατακρατήσουσί τε τῶν πολεμίων, ἀφ' ὧν δὴ καὶ πολὺν ἀθροίσουσι πλοῦτον. οὐκ εἰς δέον δὲ τῇ εὐπραγίᾳ χρησάμενοι, καὶ δὴ πρὸς τὸ χεῖρον ἰδόντες ὑπὸ ποιμένας ἔσονται τοιούτους, ὥστε δίκην προβάτων ἄγεσθαι ὑπ' αὐτοῖς εἰς σφαγὴν ἐκκειμένων. οἷόν ἐστι καὶ παρὰ τῷ μακαρίῳ Δαυὶδ τὸ [1]) „Ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς" περὶ τῶν αὐτῶν εἰρημένον· βούλεται δὲ εἰπεῖν, ὅτι οὐδεμιᾶς ἀξιωθήσονται ἐπιμελείας πάντα δὲ πείσονται ὡς εἰς τὸ σφάττεσθαι μόνον ἐκδεδομένοι. Καὶ τὸν τρόπον λέγων. ε'. ἃ οἱ κτησάμενοι κατέσφαζον καὶ οὐ μετεμέλοντο. οἱ μὲν γὰρ κρατοῦντες αὐτῶν βασιλεῖς οὐχ ὡς ἰδίων ἐπεμελοῦντο κτημάτων, ὡς δὲ πολεμίους ἀνῄρουν ἀνιλέως. τοῦτο γὰρ δηλοῖ τὸ οὐ μετεμέλοντο. — Καὶ οἱ πωλοῦντες αὐτὰ ἔλεγον, εὐλογητὸς Κύριος, καὶ πεπλουτήκαμεν. Οἱ δὲ ἀποδιδόμενοι τοῖς βασιλεῦσι τὸ

peratívo modo futura indicat. Eadem ratione etiam hoc loco futuros populi casus imperativo modo praedicit, ita fere locutus: talia per me populo contingent, qualia modo dixi, et tot fruetur gens bonis, et in tanta deget Hierosolyma felicitate, hostes quoque subigent, multasque ab iis reportabunt divitias. Qua vero prosperitate non eo, quo par est, modo usi pravaque consilia ineuntes sub tales devenient pastores, ut quasi oves occisioni destinatae agantur ab iis. huc pertinet etiam illud Davidis „Habiti sumus ut oves occidendae," de iisdem dictum, quo significat, nulla cura eos dignos habendos esse, omnia autem esse passuros, quasi occisioni solum traditos. Modumque definit. V. 5. *Quas qui possederunt, mactabant, quin eos poeniteret.* Reges, qui iis dominabantur, non ut suorum curam gerebant, sed ut hostes interficiebant immisericorditer. hoc enim significant verba, quin eos poeniteret. — *Et qui eas vendebant, dicebant, benedictus Dominus, quod divites facti su-*

[1]) Ps. XLIII, 23.

ἔθνος καὶ πόρους ἐκ τούτου συλλέγοντες τοσοῦτον ἀπεῖχον τοῦ αἰσχύνεσθαι ἐπὶ τῇ τοσαύτῃ καὶ τοιαύτῃ πλεονεξίᾳ, ὥστε καὶ εὐχαριστίας ἄξιον ἡγεῖσθαι τὴν τοιαύτην εὐπορίαν. — Καὶ οἱ ποιμένες αὐτῶν οὐκ ἔπασχον οὐδὲν ἐπ᾽ αὐτοῖς. Ἐπιστεύοντο δὲ αὐτῶν καὶ τὴν ἐπιστασίαν ἄνδρες οὐδένα ἔλεον αὐτῶν ποιεῖσθαι ἐθέλοντες.

ς΄ Διὰ τοῦτο οὐ φείσομαι οὐκέτι ἐπὶ τοὺς κατοικοῦντας τὴν γῆν, λέγει Κύριος. Ὑπὲρ τούτων αὐτοὺς ἀφήσω μηδεμιᾶς ἀξιῶν προνοίας τῆς παρ᾽ ἐμοῦ. Καὶ ἰδοὺ ἐγὼ ἀποδίδωμι τοὺς ἀνθρώπους ἕκαστον εἰς χεῖρα τοῦ πλησίον αὐτοῦ καὶ εἰς χεῖρα βασιλέως αὐτοῦ, καὶ κατακόψουσι τὴν γῆν, καὶ οὐ μὴ ἐξελοῦμαι ἐκ χειρὸς αὐτῶν. ζ΄. καὶ ποιμανῶ τὰ πρόβατα τῆς σφαγῆς εἰς τὴν γῆν Χαναάν. Καταλιμπάνω δὲ αὐτοὺς πάσχοντας τὰ ἀνήκεστα παρά τε τῶν ἐν τοῖς οἰκείοις μοχθηρῶν καὶ παρὰ τῶν βασιλέων ἐπιστρατευόντων αὐτοῖς, ἐπειδήπερ ἑαυτοὺς ἐξ ὧν πράττουσι τούτων ἀξίους εἰργάζοντο. οὕτω τε πάντες ἀναιρεθήσονται μικροῦ οἱ τὴν Ἰουδαιάν οἰκοῦντες (τοῦτο γὰρ λέγει κατακόψουσι τὴν γῆν) οὐδεμιᾶς αὐτοῖς παρ᾽ ἐμοῦ βοη-

mus! Qui populum regibus prodebant et vectigalia ab eo exigebant, tantum aberant ut eos tàntae talisque avaritiae puderet, ut hunc quaestum vel gratiis agendis dignum censerent. — *Et pastores eorum nihil de iis solliciti erant.* Vel ii, quibus illorum praesidium concreditum erat, eorum non miserabuntur.

V. 6. *Ideo non parcam amplius incolis terrae, inquit Dominus.* Hanc ob caussam eos relicturus sum, nec ulla cura dignaturus. *Et ecce ego homines suorum invicem manibus permittam, et manibus regis sui. et terram concident, quin eripiam manibus eorum.* V. 7. *Et pascam oves occisionis in terra Chanaan.* Permittam eos diris, quibus et ab impiis penes semet ipsos, et ab hostilibus regibus cruciabuntur; factis enim suis ipsi se hoc dignos praestiterunt. Itaque futurum est, ut omnes fere Judaeae incolae occidantur (hoc significant verba Terram concident), nullo a me auxilio adjuti, quo inimicorum dominatione se expediant. abigam vero eos, ut qui ob opera sua occisioni

θείας παρεχομένης εἰς τὸ τῆς τῶν ἐναντίων ἐπικρατείας ἀπαλλαγῆναι. ἄξω δὲ τοὺς πρὸς τὴν σφαγὴν ἐκ τῶν οἰκείων ἔργων ἐκκειμένους, ὡς εἰκὸς ἄγεσθαι τοὺς τοιούτους, ἐπ᾽ ὄψεσι τῶν Χαναναίων. τὸ γὰρ ποιμανῶ τὰ πρόβατα τῆς σφαγῆς, ἵνα εἴπῃ, ὅτι ἐπὶ τὴν σφαγὴν αὐτοὺς ἄξω, οὐχ ὡς αὐτὸς ποιῶν, ἀλλὰ τῷ ἀφιέναι, ἐπεὶ καὶ τοῦτο ἔθος τῇ θείᾳ γραφῇ τὸ τὴν συγχώρησιν τὴν θείαν ὡς πρᾶγμα λέγειν. οἷόν ἐστι τὸ [1]) „Καὶ ἐξέκλινες τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου," οὐχ ὅτι θεὸς ἐξέκλινεν, ἀλλ᾽ ὅτι συνεχώρησε παθεῖν, ἅπερ αὐτοὺς ἐκτρέψαι τοῦ προσήκοντος ἦν ἱκανά. Τὸ δὲ εἰς τὴν γῆν Χαναάν, τουτέστι ἐπ᾽ ὄψεσι τῶν ἀλλοτρίων. βαρύτερον γὰρ ἦν τὸ τοὺς τὴν παλαιὰν αὐτῶν εὐπραγίαν εἰδότας ἀθρόον ἰδεῖν ἐν τοιούτοις ἐξεταζομένους κακοῖς. — Καὶ λήψομαι ἐμαυτῷ δύο ῥάβδους, τὴν μίαν ἐκάλεσα κάλλος, καὶ τὴν ἑτέραν ἐκάλεσα σχοίνισμα. καὶ ποιμανῶ τὰ πρόβατα. Ἃς δέδωκα αὐτοῖς, φησὶν, εἰς ἡγεμονίαν συντελούσας ἀρχὰς, βασιλείαν τε καὶ ἱερωσύνην, αἷς δὴ μάλιστα κοσμεῖσθαί τε αὐτοὺς καὶ συγκρατεῖσθαι πρὸς τὸ δέον ἐχρῆν, ταύτας ἐπειδὴ μοχθηροὶ τὸν τρόπον γεγόνασι ἀφελὼν ἐξ αὐτῶν ἡγή-

[1]) Ps. XLIII, 19.

tradendi sint, quomodo tales agi decet, nempe ob oculos Chananaeorum. *Pascam enim oves occisionis* i. q. ad occisionem eos agam; non quo ipse hoc sit facturus, sed quia eos sinit. scriptura enim, quae Deus fieri sinit, tanquam ab eo facta dicere solet. cujusmodi est illud „Declinasti semitas nostras a via tua;" non quo Deus declinaverit, sed quoniam iis talia accidere sivit, quae eos ab aequo revocare potuerunt. Verba autem *in terra Chanaan*, significant, ob oculos peregrinorum hoc fore. gravius enim erat, si, qui veterem eorum felicitatem noverant, nunc eos repente in tantas calamitates projectos viderent. — *Et sumam mihi duas virgas, quarum unam vocavi Decorum, alteram Funiculum. et oves pascam.* Quas dedi iis imperii dignitates, nempe regnum et sacerdotium, quibus maximopere ornari et officio adstringi eos oportebat, eas, quum ad pejora sint conversi, iis auferam, iisque punitionis auctorem me praestabo in posterum. Idem enim quod supra indicaverat ver-

σομαι αὐτῶν ἐπὶ τιμωρίᾳ λοιπόν. ὃ γὰρ εἶπεν ἀνωτέρω ποιμανῶ τὰ πρόβατα τῆς σφαγῆς, τοῦτο πάλιν ἐνταῦθα δευτερῶν εἶπε καὶ ποιμανῶ τὰ πρόβατα.

η'. *Καὶ ἐξαρῶ τοὺς τρεῖς ποιμένας ἐν μηνὶ ἑνί.* Οὐδὲ ἐνταῦθα τὸ τρεῖς ἀριθμὸν βούλεται λέγειν, ἀλλ' ἐπειδήπερ ἀπὸ Ἰησοῦ τοῦ Ἰωσεδὲκ μέχρις ἐκείνων τῶν καιρῶν ὑπὸ ἀρχιερεῦσιν ἐποιμάνοντο δοκίμοις, ἅπαντας, φησὶν, ἐκείνους τοὺς ἱερέας τοὺς δοκίμους ὑφ' ἑνὶ τῷ καιρῷ παύσω, ὅτε δὴ πρὸς τὸ χεῖρον οὗτοι τραπέντες ἀντὶ τῆς κρείττονος ἱερωσύνης καὶ νομίμου τὴν χείρονα καὶ παράνομον ἑαυτοῖς ἐπιλέξονται. εἰωθότως γὰρ τὰ συμβαίνοντα αὐτοῖς κακὰ τῷ προσώπῳ τοῦ θεοῦ περιάπτει, ὡς ἂν ἐν τιμωρίας εἴδει φαίνοιτο πάντα αὐτοῖς περιγεγονότα τὰ χείρω. οὕτω καὶ ὁ μακάριος λέγει Παῦλος ποτὲ μὲν [1]), „Παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς ἀδόκιμον νοῦν,“ οὐχ ὡς θεοῦ παραδόντος, ἀλλ' ἐν τιμωρίας μέρει τιθεὶς καὶ τὴν χείρονα αἵρεσιν τῶν πρὸς τοῦτο νευόντων, ὡσὰν τῶν τοιούτων ἀλλοτριουμένων μὲν τῆς θείας κηδεμονίας οὕτω δὲ ἀμεταμέλητον τὴν ἐν τῷ χείρονι λαμβανόντων ῥοπήν. Κἀνταῦθα οὖν τοῦτό φησιν, ὅτι παυθήσεται μὲν ὑφ' ἑνὶ τῷ και-

[1]) Rom. I, 24.

bis, *pascam oves occisionis,* hoc loco rursus significat verbis *pascam oves.*

V. 8. *Et exscindam tres pastores uno mense.* Neque hoc loco tribus numerum indicat; sed quum inde ab Josua Josedeci filio usque ad illa tempora ab sacerdotibus summis (Deo) probatis pascerentur, omnes, inquit, illos probatos sacerdotes eodem desinere faciam tempore, nempe tum, quando hi ad nefaria conversi, posthabito meliori sacerdotio, pejus ac non legitimum sibi eligent. Ut enim consuevit, mala quae iis contingunt Deo adscribit, ut omnia mala, quibus laborabant poenae iis exhiberent speciem. ita etiam beatus Paulus dicit „Tradidit eos Deus in mores reprobandos“; non quo ipse Deus eos tradiderit, sed poenam esse docet eorum, qui malo inclinent, ipsam ejus electionem, ut qua a divina providentia abalienentur, ita vero totos et in perpetuum malitiae se dent. Itaque hoc loco haec dicit: uno tempore (hoc enim significant ver-

ῥῷ (τοῦτο γὰρ λέγει τὸ μηνὶ ἑνὶ) ἡ τῶν πάλαι καλῶς ποιμαινόντων ἐπιστασία, ἔσονται δὲ ὑπό τινας μοχθηροὺς καὶ παρανόμως τῇ προστασίᾳ ταύτῃ κεχρημένους. — Καὶ βαρυνθήσεται ἡ ψυχή μου ἐπ' αὐτούς. ὅθεν δὴ μάλιστα μέγιστον κατ' αὐτῶν ἀναδέχομαι τὸ μῖσος, ὁρῶν αὐτοὺς ἀντὶ τοιούτων τοιαῦτα ἑλομένους καὶ οὕτως ἐκβεβληκότας μὲν τὰ κρείττω ἑλομένους δὲ τὰ χείρω. Καὶ δεικνὺς ὅτι δικαίαν αὐτοῖς ταύτην ἐπήγαγε τὴν τιμωρίαν, ἀνθ' ὧν αὐτοὶ γεγόνασιν οἰκείᾳ μοχθηρίᾳ κακοί· Καὶ γὰρ αἱ ψυχαὶ αὐτῶν ἐπωρύοντο ἐπ' ἐμέ. Τοιαύτῃ γάρ, φησίν, ἐχρησάμην γνώμῃ περὶ αὐτούς, ἐπειδὴ κἀκεῖνοι δίκην θηρίων κατ' ἐμοῦ τὸν θυμὸν αὐτῶν ἐξέτειναν, ἐπειδὴ ἅπερ εἰς τοὺς δοκίμους ἔπραττον ἱερέας εἰς ἐμὲ προδήλως ἐτόλμων. οἷόν ἐστι τὸ πρὸς τὸν Σαμουήλ· „Οὐ σὲ ἐξουδενώκασιν ἀλλ' ἢ ἐμέ·“

θ'. Καὶ εἶπον, οὐ ποιμανῶ ὑμᾶς ἐντεῦθεν. Τοῦ τε ποιμαίνειν αὐτοὺς ἀπέστην καὶ τοῦ τὴν προσήκουσαν αὐτῶν ἐπιμέλειαν ὡς προβάτων οἰκείων ποιεῖσθαι. ἔδειξε δὲ ὅτι ἐν τοῖς ἀνωτέροις τὸ ποιμανῶ ἐπὶ τοῦ παραδώσω τῇ τιμωρίᾳ λέγει· ἐνταῦθα γοῦν σαφῶς τέθεικε τὸ οὐ ποιμανῶ, τὸ μετ' ἐπιμελείας

ba uno mense) regimen bonorum veterum pastorum desinet, et in potestatem redigentur pravorum quorumdam, qui ea impie usi sunt. — *Et animus meus valde exacerbatus erit adversus eos.* Magnum igitur in eos foveo odium, quoniam video, eos pro talibus talia elegisse, nempe rejecto bono turpia adoptasse. Et deinde, justam hanc esse poenam ostendit, propterea quod nativa sua pravitate mali evaserint. *Nam mentes eorum rugiebant adversus me.* Hac, inquit, circa eos mente adfectus sum, quum bestiarum instar atrociam suam adversus me converterint; nam quae contra mihi probatos illos sacerdotes moliti sunt, ea contra me audebant. Cui simile est illud Samueli dictum „Non te contemserunt sed me.“

V. 9. *Ideo dicebam: non pascam vos amplius.* Eos pascere desinebam eorumque tanquam ovium mearum curam gerere. Indicat, si supra dixerit *pascam*, hoc se significasse, punitioni se eos traditurum esse; hoc enim loco perspicue posuit: *non pascam*, pro *diligenter pa-*

ποιμαίνειν σημαίνων, καὶ ὅτι ταύτην αὐτοῖς οὐκέτι παρέξει τὴν θεραπείαν. Ἐπάγει γοῦν. Τὸ ἀποθνῆσκον ἀποθνησκέτω, καὶ τὸ ἐκλεῖπον ἐκλιπέτω, καὶ τὰ κατάλοιπα κατεσθιέτω ἕκαστον τὰς σάρκας τοῦ πλησίον αὐτοῦ. Ἀφίημι δὴ, φησὶν, ἕκαστον ἐκ τῆς ἑαυτοῦ κακίας δέχεσθαι τὴν τιμωρίαν, αὐτῶν ἀλλήλους ἀναλισκόντων ταῖς τε ἔρισι καὶ ταῖς μήναις[1]) καὶ τῇ τῆς ἐπιβουλῆς ἐμμελείᾳ[2]).

ι'. Καὶ λήψομαι τὴν ῥάβδον μου τὴν καλὴν καὶ ἀποῤῥίψω αὐτὴν, τοῦ διασκεδάσαι τὴν διαθήκην μου, ἣν διεθέμην πρὸς πάντας τοὺς λαοὺς τῆς γῆς. Ἀφελῶ δὲ τὴν δοκιμωτάτην καὶ ἀρίστην ἱερωσύνην καὶ χαμαί που κειμένην ὑπὸ τῶν καταβαλόντων αὐτὴν, ἀφ' ἧς μεταστήσω καὶ τὰ τῶν ἐκτὸς τοῦ ἔθνους πρὸς τοὐναντίον. οἱ γὰρ ἐκ τῶν ἀλλοτρίων μετὰ πολλῆς πρότερον τῆς προθυμίας ἐπὶ τὸν ναὸν κατατρέχοντες τὸν ἐμὸν αἰδοῖ τῶν αὐτόθι νομίμως ἐκτελουμένων, ἀποστήσονται καὶ οὗτοι τοῦ τὰ αὐτὰ ποιεῖν ὑπὸ τῆς κρατούσης τὰ αὐτόθι συγχύσεώς τε καὶ ἀκοσμίας ἀνίεναι συνήθως εἰς τὸν ναὸν κωλυόμενοι. τοῦτο οὖν λέ-

scam, significans, se eos hoc studio non amplius prosecuturum esse. Unde addit: *Moritura moriantur*, *deficiant*, *et reliqua mutua caede carnes suas consumant.* Unumquemque, inquit, malitiae suae necessariam poenam solvere sinam, dum rixis, ira et insidiis scite structis se exstinguant.

V. 10. *Et virgam sumam pulchram eamque abjiciam*, *ut dissolvam foedus meum*, *quod cum omnibus terrae populis pepigeram.* Probatum optimumque sacerdotium, conculcatum ab iis, qui illud projecerunt, auferam, exterorumque gentium animum in contrarium mutabo. nam qui antea multo studio ad templum meum ob religionis legitime ibi persolutae verecundiam festinarunt, eo jam abstinebunt, quippe, rebus ibi turpiter turbatis, quominus templum pro consueto adeant, prohibiti. Hoc indicant verba: ut dissolvam foedus meum, quod cum omnibus terrae populis

[1]) F. l. μήνισι. — [2]) F. l. ἐπιμελείᾳ.

γει, διασκεδάσαι τὴν διαθήκην μου, ἣν διεθέμην πρὸς πάντας τοὺς λαοὺς τῆς γῆς, ἵνα εἴπῃ ὅτι παύσω τοῦτο γινόμενον, ὃ καὶ παρὰ τῶν ἀλλοτρίων ἐγίνετο πρότερον (τῷ οἰκείῳ προσώπῳ πάλιν περιτιθεὶς τὸ ἐκ τῆς ἑτέρων συμβαίνον κακίας) ὥστε ὀργῆς αὐτοὺς[1]) συντόμως εἰπεῖν ἅπαντα τὰ χείρω φαίνεσθαι σημεῖα.

ιά. Καὶ διασκεδασθήσεται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ γνώσονται οἱ Χαναναῖοι τὰ πρόβατα τὰ φυλασσόμενά με, διότι λόγος Κυρίου ἐστί. Τότε, φησὶ, παύσεται μὲν ἡ παρὰ τῶν ἐναντίων εἰς τὸν ναὸν γενομένη θεραπεία, συγκαταλυομένης ὡς εἰκὸς τούτῳ τῷ τρόπῳ τῆς διαθήκης, ἣν πρὸς αὐτοὺς ἐθέμην, ἔσονται δὲ γνώριμοι καὶ τοῖς ἀλλοτρίοις οἱ ὄντως ἐμοὶ καὶ πολλὴν τῆς τῶν ἐμοὶ δοκούντων φυλακῆς ἔχοντες τὴν φροντίδα, καὶ ὅτι ὅρος τίς ἐστι θεῖος, ὃ τοὺς μὲν μοχθηροὺς ἐκδοὺς τοῖς χείροσι τῶν δὲ τὸ δέον ποιουμένων καὶ ὀλίγων ὄντων αὐτῷ πολλὴν ποιούμενος τὴν φροντίδα, ὥστε ὄντως τὸ κέρδος τῆς ἐμῆς οἰκειότητος αὐτῶν γίνεσθαι δῆλον, ἐξ ὧν τοσαύτης ἀξιοῦνται τῆς παρ' ἐμοῦ προνοίας, ὡς καὶ τῶν ἐναντίων πολλῶν τε ὄντων καὶ δυνατῶν ῥᾳδίως κρατεῖν. Εἶτα βουλόμενος δεῖξαι τὸ δόκιμον

pepigeram, i. e. quae antea a peregrinis fieri solebant, ea cessare faciam (nempe sibimet rursus adscribit, quae aliorum malitia eventura erant.) omnesque calamitates irae signa meae iis exhibebunt.

V. 11. *Et dissolvetur (illud) isto die. Chananaei autem oves cognoscent, quae me observant; sermo enim est Domini.* Tunc igitur, inquit, cultus cessabit templo ab adversariis exhibitus, dissoluto hac ratione, ut par est, foedere, quod cum iis pepigeram; tunc etiam peregrini cognoscent eos, qui vere sunt mei et observandarum legum mearum gerebant curam, et intelligent, divinum esse consilium quoddam, quod malos adversis tradat casibus, eorum vero qui bonum spectant, licet pauci sint, tantam gerat curam, ut familiaritatis meae commodum iis perspicuum fiat eo, quod tanta a me digni habeantur cura, quae iis adversariorum, quamvis multi sint potentesque, facilem parat victoriam. Deinde, ut

[1]) Leg. αὐτοῖς.

τοῦ τρόπου τῶν οἰκείων, λέγει δὲ τοὺς περὶ τῶν Μακκαβαίων, οἳ τὸν ὑπὲρ τοῦ ἔθνους καὶ τῶν νόμων τῶν θείων πόλεμον πρὸς τοὺς τῶν Μακεδόνων εἵλοντο βασιλέας, ἐπάγει.

ιβ'. Καὶ ἐρῶ πρὸς αὐτούς· εἰ καλὸν ἐνώπιον ὑμῶν ἐστι, δότε τὸν μισθόν μου, ἢ ἀπείπασθε. Οὕτω γάρ, φησίν, ἔσονται δόκιμοι περὶ ἐμὲ καὶ βέβαιοι, ὥστε θαῤῥοῦντά με πρὸς αὐτοὺς λέγειν, ὅτι εἰ μὲν ἀρεστὸν ὑμῖν τὸ ὑπ' ἐμοί τε εἶναι καὶ τῆς ἐπιστασίας ἀξιοῦσθαι τῆς ἐμῆς, καὶ δὴ παρέχετέ μοι τῆς εὐνοίας καὶ τῆς ὑπακοῆς τῆς ὑμετέρας τὸν μισθόν, εἰ δὲ βαρὺ τὸ πρὸς ἐμὲ νεύοντας τοσούτων πειρᾶσθαι κακῶν, ὁπόσαπερ ὑπομένειν ἀναγκάζεσθε νῦν παρὰ τῶν πολεμίων, φανερὰν τῆς ἐμῆς ἐπιστασίας ποιήσασθε τὴν παραίτησιν. Ὅμοιον γάρ ἐστι τῷ παρὰ τοῦ Κυρίου πρὸς τοὺς μαθητὰς εἰρημένῳ[1]) „Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν;“ ὅπερ οὐκ ἀποτρέπων αὐτοὺς συνεῖναι λέγει, ἀλλὰ τῇ φωνῇ βεβαιοτέρους δεικνύς. τὸν αὐτὸν δὴ τρόπον κἀνταῦθα λέγει, ὅτι θαῤῥῶν αὐτοῖς προτείνω τοῦτο, εἰδὼς ὅτι δέξονται τὸ δι' ἐμὲ πάσχειν κακῶς ἢ ἐν ἀπολαύσει τῶν κρειττόνων εἶναι τῆς ἐπιστασίας ἔξω τυγχάνοντες τῆς ἐμῆς. Ἐπάγει

[1]) Joh. VI, 67.

spectatos suorum familiarium ostendat mores, nempe Maccabaeorum, qui gentis divinarumque legum causa bellum in Macedonum reges susceperunt, addit.

V. 12. *Tum iis dicam, si vobis placet, mercedem meam date, vel etiam renuite.* Adeo, inquit, mihi erunt spectati meique tenaces, ut fidenter eis dicere possim, si vobis placet, meis obtemperare consiliis meoque regimine frui; benevolentiam vestram et obedientiam ut mercedem mihi praestate: sin vero molestum vobis est, me colentes tantis vexari angustiis, quas nunc ab hostibus tolerare vos necesse est; palam meam dominationem deprecamini. Simile est illud a Domino discipulis dictum „Num etiam vobis me relinquere placet?“ quod non, avertentis eos ac veniam eis concedentis est, sed etiam firmiores eos reddentis verbum. Eodem modo etiam hoc loco dicit, fidenter eis hoc propono, eos angustias mei causa perferendas bonis extra meam dominationem percipiendis praeoptaturos esse, sciens. Ideo

τοίνυν. Καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργυρίων. Οὐκ ἀριθμὸν οὐδὲ ἐνταῦθα λέγων τὰ τριάκοντα, ἀλλ' ἵνα εἴπῃ, ὅτι πολλήν μοι τὴν εὔνοιαν ἀπέδωκαν τὴν οἰκείαν, καὶ διέμειναν τὴν εὐγνωμοσύνην ἐπιδεικνύντες τὴν ἑαυτῶν.

ιγ'. *Καὶ εἶπε Κύριος πρός με· κάθες αὐτοὺς εἰς τὸ χωνευτήριον καὶ σκέψαι αὐτὸ εἰ δόκιμόν ἐστιν, ὃν τρόπον ἐδοκιμάσθην ὑπὲρ αὐτῶν. Καὶ ἔλαβον τοὺς τριάκοντα ἀργυρίους, καὶ ἐνέβαλον αὐτοὺς εἰς τὸν οἶκον Κυρίου εἰς τὸ χωνευτήριον.* Βούλεται δὲ εἰπεῖν, ὅτι ὥσπερ χωνείᾳ τινὶ τῷ πειρασμῷ τῶν κακῶν περιβέβληκα αὐτῶν τὴν περὶ ἐμὲ προαίρεσιν, ὥστε με ἰδεῖν, εἰ οὕτως εἰσὶ δεδοκιμασμένοι περὶ ἐμὲ τὴν εὔνοιαν ὡς ἐγὼ δὴ βεβαίαν αὐτοῖς τὴν ἐπιστασίαν παρέχω τὴν ἐμήν. ἐμβέβληκα τοίνυν αὐτοὺς εἰς τὸν οἶκον Κυρίου εἰς τὸ χωνευτήριον, (εἰκότως τὸ εἰς τὸν οἶκον, ὑπὲρ οὗ δὴ ἅπαντα τὸν ἀγῶνα ὑβριζομένου παρὰ τῶν πολεμίων εἶχον) ἵνα εἴπῃ, ὅτι καὶ διὰ τῆς χωνείας τῶν κακῶν ὤφθησαν δόκιμοι. Εἶτα τὴν τῶν οἰκείων εὔνοιαν εἰρηκώς, ἀποδίδωσι τοῖς προτέροις τὸ λεῖπον, καὶ ἐπειδήπερ εἶπεν ἐν ἀνωτέροις, ὅτι ἔλαβον τὴν ῥάβδον μου τὴν κα-

addit: *Et statuerunt mercedem meam triginta argenteos.* Neque hoc loco triginta certum indicant numerum, sed, multam mihi, inquit, declararunt benevolentiam, probamque suam mentem mihi exhibuerunt perpetuo.

V. 13. *Deinde Dominus mihi dixit: Projice eos in fornacem aerariam, et considera an probatum sit, quod ab iis aestimatus sum. Sumsi igitur triginta illos argenteos eosque in domum Dei in fornacem aerariam projeci.* Quasi in fornacem, inquit, in labores eorum erga me mentem projeci, ut inde intelligerem, an fides eorum erga me pariter spectata sit atque cura quam ego eorum gero. Itaque in aedem Domini, in fornacem aerariam (merito aedem Domini dicit, quia propter hujus profanationem totum iis cum hostibus erat certamen) projeci, significans, malorum fornace probatos prodiisse. Descripta ita familiarium bona mente, quae prioribus adhuc deerant addit; postquam enim dixerat supra, Sumsi virgam meam pulchram eamque abjeci, nunc addit:

λὴν καὶ ἀπέῤῥιψα αὐτὴν, ἐπάγει.

ιδ'. Καὶ ἀπέῤῥιψα τὴν ῥάβδον τὴν δευτέραν τὸ σχοίνισμα, τοῦ διασκεδάσαι τὴν διαθήκην τὴν ἀναμέσον Ἰούδα καὶ ἀναμέσον τοῦ Ἰσραήλ. ἵνα εἴπῃ, ὅτι καὶ τὴν βασιλείαν καὶ τὰ ἐκ ταύτης ἀγαθὰ περιεῖλον αὐτῶν διὰ τὴν μοχθηρίαν τοῦ τρόπου. κάλλος μὲν γὰρ κέκληκε τὴν ἱερωσύνην ὡς εὐπρεπεῖς καὶ δοκίμους ἐργαζομένην θεῷ, σχοίνισμα δὲ τὴν βασιλείαν ὡς διαμετροῦσαν καὶ διορίζουσαν τοῖς ὑπηκόοις τὸ πρέπον, οἷόν ἐστι τὸ [1]) „Λέγων σοι δώσω τὴν γῆν Χαναὰν σχοίνισμα κληρονομίας ὑμῶν“ ἀντὶ τοῦ, τὴν γῆν Χαναὰν ὑμῖν διελών τε καὶ ἀφορίσας τῆς γῆς ἁπάσης δέδωκα εἰς κληρονομίαν. Εἶτα καὶ δεικνὺς ὅτι ἐπὶ πλεῖστον ἐν τούτοις στραφήσονται τοῖς κακοῖς, ἐπάγει.

ιε'. Καὶ εἶπε Κύριος πρός με· ἔτι λάβε σεαυτῷ σκεύη ποιμενικὰ ποιμένος ἀπείρου. ιϛ'. διότι ἰδοὺ ἐγὼ ἐξεγερῶ ποιμένα ἄπειρον ἐπὶ τὴν γῆν· τὸ ἐκλεῖπον οὐκ ἐπισκέψεται, καὶ τὸ ἐσκορπισμένον οὐ μὴ ζητήσῃ, καὶ τὸ συντετριμμένον οὐ μὴ κατευθύνῃ, τὰ κρέα τῶν ἐκλεκτῶν καταφάγεται καὶ

V. 14. *Etiam alteram virgam, Funiculum abjeci, ut foedus inter Judam Israelemque ictum dissolverem.* i. e. etiam regiam dignitatem ejusque commoda iis ob morum pravitatem ademi. Pulchritudinem enim sacerdotalem nominavit dignitatem; ut quae honestos ac spectatos reddat, funiculum autem regiam dicit, utpote quae subditis aequum metetur ac terminet. Simile est illud „Dicens, dabo tibi Chananaeam terram, funiculum possessionis tuae“ i. e. Chananaeam terram vobis destinavi et de toto terrarum orbe possidendam distribui. Deinde etiam ostendit, fore ut his calamitatibus admodum laborent, et addit;

V. 15. *Et Dominus dixit mihi: porro sume tibi instrumenta pastoralia pastoris imperiti.* V. 16. *En enim, ego excitabo terrae pastorem imperitum, qui aegrotantium curam non habebit, nec dispersos quaeret, nec fractos sanabit, sed carne electorum vescetur, talosque eorum evellet.* Hoc loco rursus im-

[1]) Ps. CIV, 11.

τοὺς ἀστραγάλους αὐτῶν ἐκστρέψει. Ἐνταῦθα πάλιν ἐν προστακτικῷ σχήματι τὸ ἐσόμενον λέγει. ἐπιμένει μὲν γάρ, φησὶν, ἡ περὶ τὸν λαὸν ἐκ τῶν κακῶς ποιμαινόντων ταλαιπωρία, οἳ μεταχειριοῦνται τὴν ἱερωσύνην κακῶς. σκεύη γὰρ ποιμενικὰ ἀνήκοντα τῇ προβολῇ τῆς ἱερωσύνης ἔργα δηλοῖ, δι' ὧν ἔθος ταύτην ἐκτελεῖσθαι τὴν λειτουργίαν. ἐπιλήψονται τοίνυν, φησὶ, τῆς ἱερωσύνης ἄνδρες οὐδεμίαν τοῦ πράγματος ἐμπειρίαν ἔχοντες, οὐδέ τι πράττειν τῶν δεόντων εἰδότες, οἳ οὐδὲ τὸ ἠσθενηκὸς ἐπισκέπτονται οὔτε τῶν ἀφισταμένων τήρησιν ποιοῦνται, θεραπείαν τε τοῖς κεκακευμένοις ἐπάγουσιν οὐδεμίαν· ἀλλ' οὐδὲ τῶν ὑγιῶν λόγος αὐτοῖς, ὅπως ἂν ἐπὶ τῆς οἰκείας μένοιεν εὐρωστίας, τοὐναντίον μὲν οὖν τῶν πρὸς τὸ κρεῖττον ὁρώντων καὶ τὰς σάρκας, εἰ οἷόν τε, καὶ τοὺς ἀστραγάλους κατεσθίουσι, πάντι τρόπῳ κακῶς αὐτοὺς διατιθέντες, καὶ τὰ μὲν αὐτοῖς τὰ δὲ τοῖς προσήκουσιν αὐτοῖς λυμαινόμενοι, ἐπειδὴ πρὸς τὸ χεῖρον ῥέποντες αὐτοὶ πολεμίως ἔχουσι πρὸς τοὺς τοῦ δέοντος ἐραστάς. Οἷς καλῶς μετὰ ἀποδυσπετησέως ἐπάγει πολλῆς ἐμφαίνων τὴν ἐπὶ τοῖς γενομένοις ἀγανάκτησιν τοῦ θεοῦ πλείστην οὖσαν.

ιζ΄. Ὦ οἱ ποιμαίνοντες

perandi forma futura indicat. Manebit populo calamitas auctoribus pastoribus malis, qui sacerdotio male fungentur. Instrumenta enim pastoralia nuncupat opera ad sacerdotium rite tractandum pertinentia, quibus ejus negotia persolvi solent. Occupabunt igitur, inquit, sacerdotium viri ejus negotii plane imperiti, qui nihil eorum, quae facere oportet, noverunt, itaque neque ejus quod aegrotat curam habebunt, neque eos, qui oberrant, curabunt; nec sanorum rationem habebunt, ut in bona sua valetudine conserventur, contra vero virtutem amplexorum vel carnes, et fieri si possit, etiam talos devorant, omni modo eos cruciantes, et cum in ipsos tum in ea, quae illi possident saevientes; nam quia ipsi ad malum inclinant, hostiliter in aequi amatores se gerunt. Deinde, ut Dei propter haec facta indignationem maximam esse, ostendat, multo stomacho addit:

V. 17. *Vae vobis, qui pa-*

τὰ μάταια καὶ οἱ καταλελοιπότες τὰ πρόβατα, μάχαιρα ἐπὶ τοῦ βραχίονος αὐτοῦ καὶ ἐπὶ τὸν ὀφθαλμὸν τὸν δεξιὸν αὐτοῦ. ὁ βραχίων αὐτοῦ ξηραινόμενος ξηρανθήσεται καὶ ὁ ὀφθαλμὸς αὐτοῦ ὁ δεξιὸς ἐκτυφλούμενος ἐκτυφλωθήσεται. Ἀλλὰ οὐκ ἀτιμώρητα ταῦτα ἔσται, φησὶν, ὑμῖν τοῖς ἐπὶ κακῷ τῇ ποιμεσίᾳ κεχρημένοις καὶ πρὸς σφαγὴν ἐκδεδωκόσι τοῦ θεοῦ τὸν λαόν. εἰς γὰρ τοὺς βραχίονας καὶ τοὺς ὀφθαλμοὺς δώσετε δίκην, τῶν μὲν μαραινομένων παντελῶς τῶν δὲ ἐκτυφλουμένων. Βούλεται δὲ εἰπεῖν, ὅτι καὶ ἡ ἰσχὺς αὐτῶν πᾶσα διὰ τῆς τιμωρίας ἀφαιρεθήσεται τῆς θείας, καὶ ἡ ἐξουσία τοῦ δοκεῖν ἐφορᾷν ἑτέροις. Τούτοις ἐπάγει.

scitis frustra ovesque reliquistis! Gladius in brachium ejus et oculum dextrum (irrumpet). Brachium ejus arefiet, ejusque oculus dexter excoecabitur. Non impune vobis erit, inquit, quod pastorali munere male functi sitis Deique populum occisioni tradideritis: in brachiis enim et oculis mulctabimini; illa enim plane arefient, hi vero obcoecabuntur. significat autem, omne eorum robur aliisque dominandi facultatem divina punitione exstinguendam esse. His addit.

Κεφάλαιον ΙΒ΄.

α΄. *Λῆμμα λόγου Κυρίου ἐπὶ τὸν Ἰσραὴλ, λέγει Κύριος ἐκτείνων τὸν οὐρανὸν καὶ θεμελιῶν τὴν γῆν καὶ πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ.* ἵνα εἴπῃ, ταῦτα κατὰ ἀποκάλυψίν μοι δειχθέντα παρὰ τοῦ θεοῦ λέγω, ὃς ποιητὴς μὲν ἁπάντων ἐστὶ τῶν ὄντων, αὐτὸς δὲ καὶ ἄνθρωπον πεποίηκε, ψυχῆς τε αὐτῷ καὶ προθέσεως λογικῆς μεταδούς. ἵνα εἴπῃ, ὅτι ὡς ἠβουλήθη θεὸς συνεχώ-

Caput XII.

V. 1. *Oraculum verbi Domini in Israëlem: dicit Dominus, qui extendit coelum et terram fundavit, hominibusque spiritum inflat.* i. e. haec a Deo revelatione mihi ostensa loquor, qui omnium rerum creator etiam hominem fecit eique animam et voluntatem rationalem indidit i. e. pro voluntate sua Deus haec fieri concessit, qui, ut omnium Dominus, ho-

ρησε ταῦτα γενέσθαι, ὃς ἅτε πάντων Κύριος συγχωρεῖ καὶ ἀνθρώποις ὁπόταν ἐθέλοι τὰ δοκοῦντα αὐτοῖς ποιῆσαι. τί οὖν οὗτος φησίν;

β΄. Ἰδοὺ ἐγὼ τίθημι τὴν Ἱερουσαλὴμ ὡς πρόθυρα σαλευόμενα πᾶσι τοῖς λαοῖς κύκλῳ, καὶ ἐν τῇ Ἰουδαίᾳ ἔσται περιοχὴ ἐπὶ Ἱερουσαλήμ. Ἐγὼ τοίνυν, φησὶ, διὰ τὴν τῶν οἰκούντων κακίαν ἀσθενείᾳ παραδέδωκα πλείστῃ τὴν Ἱερουσαλὴμ, ὥστε πᾶσιν ἐξεῖναι τοῖς βουλομένοις ἐπιέναι τε αὐτῇ καὶ σαλεύειν, ὡς ἂν ἐθέλοιεν. Ὅθεν δὴ καὶ ὁ παρὰ τῶν Μακεδονίας βασιλέων αὐτοῖς ἐπεγήγερται πόλεμος.

γ΄. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θήσομαι τὴν Ἱερουσαλὴμ λίθον καταπατούμενον πᾶσι τοῖς ἔθνεσι. πᾶς ὁ καταπατῶν αὐτὴν ἐμπαίζων ἐμπαίξεται, καὶ ἐπισυναχθήσεται ἐπ᾽ αὐτὴν πάντα τὰ ἔθνη τῆς γῆς. Ἐντεῦθεν αὐτὴν ἐπιβήσονται μὲν ἀλλότριοι, πᾶσι δὲ τοῖς ἐπιβαίνουσιν ἄδεια γενήσεται τοῦ πράττειν εἰς αὐτὴν ἅπερ ἂν ἐθέλοιεν, ἅτε καὶ πολλῶν ἀθροισθησομένων ἐπ᾽ αὐτὴν τούτου γε ἕνεκεν. Εἶτα εἰρηκὼς τὰς συμφορὰς ὡς κατὰ συγχώρησιν τοῦ Θεοῦ γενομένας, λέγει λοιπὸν καὶ τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν, ἣν ἕξουσι τοῦ Θεοῦ βουληθέντος.

minibus quoque, quae iis videntur faciendi concedit facultatem. Quid igitur hic dixit?

V. 2. *En, ego efficiam ut Hierosolyma omnibus populis vicinis quasi vestibulum concussum sit; et in Judaea erit obsidio adversus Hierosolymam.* Ego Hierosolymam propter incolarum malitiam extremae infirmitati permisi, adeo ut omnibus eam invadere et pro lubitu concutere liceat. Unde etiam Macedoniae reges ei bellum intulerunt.

V. 3. *Et erit isto die, ut Hierosolymam lapidem faciam ab omnibus gentibus conculcatum; et qui eam conculcaverit, irridebit eam, et omnes gentes terrae coibunt contra eam.* Peregrini eam invadent; omnibusque eam invadentibus contra eam quidquid voluerint impune faciendi facultas erit; unde multi etiam eam ad rem convenient. Ita calamitatibus, quas fieri Deus permissurus sit, dictis, jam, quomodo etiam Deo jubente in meliorem ordinem restituendi sint, recitat.

δ΄. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος παντοκράτωρ, πατάξω πάντα ἵππον ἐν ἐκστάσει καὶ τὸν ἀναβάτην αὐτοῦ ἐν παραφρονήσει· ἐπὶ δὲ τὸν οἶκον Ἰούδα ἀνοίξω τοὺς ὀφθαλμούς μου, καὶ πάντας τοὺς ἵππους τῶν λαῶν πατάξω ἐν ἀποτυφλώσει. ε΄. καὶ ἐροῦσιν οἱ χιλίαρχοι Ἰούδα πάντες ἐν ταῖς καρδίαις αὐτῶν· εὑρήσομεν ἑαυτοῖς τοὺς κατοικοῦντας Ἱερουσαλὴμ ἐν Κυρίῳ παντοκράτορι θεῷ αὐτῶν. Ἀλλὰ γὰρ οὐκ εἰς τέλος αὐτοῖς ἐπιτείνεσθαι ἐάσω τῶν κακῶν τὴν πεῖραν, ἀθρόαν δὲ ἅπασιν αὐτοῖς παρέξω τὴν βοήθειαν καὶ διὰ τῶν πρὸς τὴν ἐμὴν ὁρώντων βοήθειαν (βούλεται δὲ τῶν Μακκαβαίων εἰπεῖν) πᾶσαν τὴν ἱππικὴν τῶν ἐναντίων καταπλήξω δύναμιν, ὥστε καὶ τοὺς ἐπιβεβηκότας αὐτῶν εἰς παντελῆ παραφροσύνην τῷ μεγέθει τῶν κακῶν ἐμπεσεῖν. καὶ ταῦτα μὲν περὶ τοὺς ἐναντίους ἐργάσομαι, τοῖς δὲ ἐκ τῆς Ἰούδα φυλῆς, ἐξ ἧσπερ ἦσαν καὶ οἱ ἡγούμενοι τοῦ πολέμου Μακκαβαῖοι, τήν τε ἐποψίαν καὶ τὴν κηδεμονίαν παρέξω τὴν ἐμὴν, ἁπάντων ἐναντίων τὸ ἱππικὸν ὡσὰν τυφλώσει τινὶ περιβάλλων καὶ οὕτως ἄπρακτον κατὰ τῶν ἐμοὶ προσηκόντων ποιῶν. τότε δὴ λοι-

V. 4. *Isto die, inquit Dominus omnipotens, omnes equos stupore adficiam eorumque equites amentia; super domum autem Judae oculos aperiam, omnesque equos populorum coecitate percutiam.* V. 5. *Tunc Judae principes in cordibus suis dicent: inveniemus nobis, qui Hierosolymam habitent in Domino omnipotente Deo suo.* Nec tamen in perpetuum eos mala gustare sinam, sed repente iis opem feram, et per eos quidem, qui opi meae confidunt, nempe Maccabaeos, omne hostium robur equestre percellam adeo, ut etiam eorum equites ob malorum magnitudinem amentia toti impleantur. Et haec quidem contra hostes facturus sum; Judae vero tribus civibus, de quibus etiam Maccabaei belli illius duces erant, cura ac providentia mea prospiciam, toto inimicorum equitatu quasi obcoecato, ut nihil amplius adversus meos clientes proficiat. Tum Judae principes laetabuntur, quod sibi facultas a Deo data sit in Hierosolymae terram libere redeundi ibique in pristina felicitate omnia curandi, quae

πὸν οἱ ἡγούμενοι τοῦ Ἰούδα ἡσθήσονται, ὅτιπερ αὐτοῖς ἄδεια δέδοται παρὰ τοῦ θεοῦ τοῦ πάλιν ἀνελθεῖν τε εἰς γῆν Ἱερουσαλὴμ μετὰ παῤῥησίας καὶ μετὰ τῆς πρόσθεν αὐτὴν οἰκεῖν εὐθηνίας ἁπάντων ἐπιμελουμένους, ὧν προσῆκόν ἐστιν ἐπιμελεῖσθαι τοὺς οἰκοῦντας αὐτόθι, εἰ δὴ μέλλοιεν ἀρέσκειν θεῷ. καὶ καθεξῆς ἐπάγει.

ϛ'. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θήσομαι τοὺς χιλιάρχους Ἰούδα ὡς δάλον πυρὸς ἐν ξύλοις καὶ ὡς λάμπαδα πυρὸς ἐν καλάμῃ, καὶ καταφάγονται ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων πάντας τοὺς λαοὺς κυκλόθεν, καὶ κατοικήσει ἡ Ἱερουσαλὴμ ἔτι καθ' ἑαυτὴν ἐν Ἱερουσαλήμ. ζ'. καὶ σώσει Κύριος τὰ σκηνώματα Ἰούδα καθὼς ἀπ' ἀρχῆς, ὅπως μὴ μεγαλύνηται καύχημα οἴκου Δαυὶδ, καὶ ἔπαρσις τῶν κατοικούντων Ἱερουσαλὴμ ἐπὶ τὸν Ἰούδαν. Τότε δὴ, φησὶν, οὕτως ἰσχυροὺς ἐργάσομαι τοὺς ἡγουμένους τῆς Ἰούδα φυλῆς κατὰ τῶν πολεμίων, ὥστε πάντας αὐτοὺς ταῖς πληγαῖς καὶ τῷ φόνῳ δίκην πυρὸς ἐπινέμεσθαι ξύλοις ἐπιπεπτωκότος ἢ καλάμῃ. οὕτω πολὺν ἐντεῦθέν τε κἀκεῖθεν καὶ πανταχόθεν ἐργάσονται φόνον τῶν ἐναντίων. περιγενήσεται δὲ τῇ Ἱερουσαλὴμ τὸ ἐν εἰρήνῃ διά-

curari necesse est ab iis, qui illic habitant, sin aliter Deo placere volunt. Et deinde addit.

V. 6. *Illo die efficiam, ut principes Judae sint instar torris ignei inter ligna et instar lampadis igneae inter stipulas, et absument ad dextram et sinistram omnes populos finitimos; et Hierosolyma per se habitabit Hierosolymae.* V. 7. *Servabit etiam Dominus sedes Judae uti olim, ne superbia Davidicae domus crescat, nec insolentia incolarum Hierosolymae adversus Judam.* Tunc, inquit, adeo validos praestabo Judae tribus principes adversus adversarios suos, ut eos ictibus et caedibus penitus absumant, ignis instar lignis vel stipulis admoti, tantam hic et illic et ubique hostium edent cladem. Et deinde Hierosolyma in pace deget, nullis amplius ab hostibus molestiis lacessita; omnes enim Judae tribules et eos, qui ad hunc

γειν λοιπὸν μηδεμίαν ὄχλησιν ὑπὸ τῶν ἐναντίων δεχομένῃ, ἅτε πάντας ἐμοῦ τοὺς τῆς Ἰούδα φυλῆς τούς τε προσήκοντας αὐτοῖς περισώζοντος, καὶ ἐπὶ τὴν πρόσθεν ἐπανάγοντος εὐπραγίαν. τότε δὴ τοῦ μὲν μεγάλα φρονεῖν ἐπὶ τοῖς ἑαυτῶν ἀγαθοῖς οἵ τε ἐκ τοῦ Δαυὶδ καὶ πάντες οἱ τὴν Ἱερουσαλὴμ οἰκοῦντες Ἰουδαῖοι παύσονται, αἰσθήσονται δὲ ἐξ αὐτῶν τῶν πραγμάτων, ὅτι πρότερόν τε ἐν εὐπραγίαις ἦσαν ἐμοῦ βουλομένου, οὐδὲν ἐκ τῆς οἰκείας αὐτοῖς περιποιεῖν δυνάμεως οἷοί τε ὄντες, καὶ τῆς ἐμῆς ἀποβληθέντες κηδεμονίας διὰ τὴν ἑαυτῶν μοχθηρίαν ἐλέγχθησαν ἀσθενέστατοί τε ὄντες καὶ οὐδεμίαν ἑαυτοῖς βοήθειαν παρέχειν δυνάμενοι. Καὶ ὅπως τοῦτο γενήσεται λέγων.

pertinent, servabo et in pristinam felicitatem restituam. Tunc bonis suis gloriari desinent cum Davidis progenies tum omnes Hierosolymam habitantes Judaei, ex ipsis rebus intelligentes, mea se prius voluntate secundis rebus usos fuisse, quin propria virtute quidquam sibi parare potuerint, et deinde mea providentia privatos propter suam malitiam imbecillitatem suam expertos fuisse, dum nihil auxilii sibi invenire potuerint. Deinde quomodo hoc eventurum sit, exponit.

η'. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὑπερασπιεῖ Κύριος ὑπὲρ τῶν κατοικούντων Ἱερουσαλὴμ, καὶ ἔσται ὁ ἀσθενῶν ἐν αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὡς Δαυὶδ, ὁ δὲ οἶκος Δαυὶδ ὡς οἶκος Θεοῦ, ὡς ἄγγελος Κυρίου ἐνώπιον αὐτοῦ. Αἰσθήσονται γὰρ τότε τῇ ἐμῇ βοηθείᾳ τοσοῦτον κατὰ τῶν ἐναντίων δυνάμενοι πάντες, ὡς τοὺς πρὸ βραχέος ἀσθενεῖς ἐν τοσαύτῃ γνωρίζεσθαι δυνάμει κατὰ τῶν πολεμίων, ἐν ὅσηπερ ὦπται Δαυὶδ κατὰ τὸν

V. 8. *Et illo die Dominus Hierosolymae incolas obteget, ita ut infirmus illo die quasi David sit, Davidis domus autem quasi domus Dei, quasi angelus Dei coram eo.* Tunc mea ope tanta adversus hostes potentia praeditos se esse, animadvertent ut vel is, qui paulo ante infirmus erat, pari indutus sit robore atque suo tempore David ex divino favore acceperat. Tunc etiam Davidis domus admiratione et aemulatione

οἰκεῖον καιρὸν τῇ ῥοπῇ τῇ θείᾳ. ἔσται τε ζηλωτὸς ὁ οἶκος τοῦ Δαυὶδ πάλιν καὶ θαυμαζόμενος ἀφ' ὧν οἱ ἐκεῖθεν καὶ τῆς ἐκείνου φυλῆς τοῦ λαοῦ προεστῶτες τοσοῦτον ὤφθησαν ἰσχύοντες κατὰ τῶν ἀλλοτρίων, ὡς ἅπαντας καταφεύγειν ἐπ' αὐτοὺς ὡς ἐπ' οἶκον θεοῦ, πολλὴν τοῖς καταφυγοῦσι παρέχοντα τὴν βοήθειαν, ἢ ὥσπερ ἐπί τινα ἄγγελον ἐπὶ πληγῇ πεμφθέντα τῶν ἐναντίων, ὅνπερ δὴ τρόπον ἤδη τῶν Ἀσσυρίων ἐπεληλυθότων τῇ Ἱερουσαλὴμ ἐπὶ τὸν οἶκόν τε κατέφυγον ἅπαντες τοῦ θεοῦ κἀκεῖθεν αὐτοῖς περιγέγονε τὸ τὸν ἄγγελον ἐπεληλυθότα τοσοῦτο πλῆθος ἀνελεῖν τῶν πολεμίων. Καὶ τίνα τρόπον τοῦ ἔσται λέγων.

digna videbitur, propterea quod populi principes de illo ejusque familia nati adeo hostibus suis superiores sunt facti, ut omnes ad illos tanquam ad Dei domum, quae sibi multam ferat opem, vel quasi ad angelum confugiant, ad hostes interimendos missum; quemadmodum Assyriis Hierosolymam invadentibus omnes ad Dei domum confugiebant, ideoque angelus, mittebatur, qui tantam inimicorum multitudinem exstinxit. Quod qua ratione eventurum sit, jam exponit.

θ'. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ζητήσω ἐξᾶραι πάντα τὰ ἔθνη τὰ ἐρχόμενα ἐπὶ Ἱερουσαλήμ. ι'. Καὶ ἐκχεῶ ἐπὶ τὸν οἶκον Δαυὶδ καὶ ἐπὶ τοὺς κατοικοῦντας Ἱερουσαλὴμ πνεῦμα χάριτος καὶ οἰκτιρμοῦ. Τότε γὰρ δὴ τοὺς μὲν κατὰ τῆς Ἱερουσαλὴμ ἐπικεχειρηκότας πάντας ἀφανιῶ, ἐπὶ δὲ τὸν οἶκον Δαυὶδ (ἵνα εἴπῃ τοὺς ἐκεῖθεν ἡγουμένους τοῦ λαοῦ) ἅπαντάς τε τοὺς τῇ Ἱερουσαλὴμ προσήκοντας πολλὴν τὴν χάριν καὶ τὴν φιλανθρωπίαν ἐπιδείξομαι τὴν ἐμὴν πᾶν

V. 9. *Illo tempore omnes gentes Hierosolymam aggredientes quaeram, ut eas perdam.* V. 10. *Domui autem Davidis Hierosolymaeque incolis spiritum gratiae et misericordiae largiar.* Tunc omnes, qui Hierosolymam aggressi sunt, evertam. Davidicae autem familiae (i. e. principibus populi inde oriundis) multam meam gratiam atque humanitatem ostendam, quodvis curae genus largiendo. Unde quid fiet? *Tum intuebuntur me, quem transfixerunt,*

εἶδος αὐτῆς[1]) παρέχων κηδεμονίας. ἀφ' οὗ δὴ τί γενήσεται; Καὶ ἐπιβλέψονται πρὸς μὲ, εἰς ὃν ἐξεκέντησαν, καὶ κόψονται ἐπ' αὐτῷ κοπετὸν ὡς ἐπὶ ἀγαπητῷ, καὶ ὀδυνηθήσονται ἐπ' αὐτῷ ὀδύνην ὡς ἐπὶ πρωτοτόκῳ. Τότε δὴ οἱ τἀναντία τῶν ἐμοὶ δοκούντων ἑλόμενοι πρότερον καὶ τοσαύτῃ τόλμῃ χρησάμενοι κατ' ἐμοῦ τῆς ἀβουλίας καὶ τῆς παρανομίας αἰσθήσονται τῆς ἰδίας ὥστε καὶ μεταμελομένους αὐτοὺς μεγάλῳ χρῆσθαι κοπετῷ καὶ οἵῳπερ ἄν τις χρήσαιτο ὀδυνώμενος ἐπὶ τελεύτῃ πρωτοτόκου. Εἶτα λέγει μὲν ὅτι πολλοὶ τῶν τῆς Ἱερουσαλὴμ μεταμελόμενοι τοῦ κόπου μεθέξουσι τούτου, οἱ τἀναντία τῶν δεόντων αἱρούμενοι πρότερον τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν τοῦ ἔθνους θεασάμενοι μεταμέλεσθαι ὡς εἰκὸς ἐπὶ ταῖς παρανομίαις ἤμελλον ταῖς ἰδίαις.

ια'—ιδ'. Λέγει δὲ καὶ καθεξῆς ἀπαριθμούμενος τὰς φυλὰς, δηλῶν ὅτι ἑκάστη καθ' ἑαυτὴν χρήσεται τῷ πένθει, ἵνα συντόμως εἴπῃ, ὅτι πάντας τοὺς τὰ χείρονα ἑλομένους μεταμέλεια λήψεται. ἐπειδὴ γὰρ πολλὴ μέν τις πρότερον ἡ ἐπὶ τὸ χεῖρον γέγονε ῥοπὴ τοῦ ἔθνους πολλὴ δὲ ὕστερον ἡ ἐκ τῆς τῶν Μακκαβαίων

[1]) Leg. αὐτοῖς.

atque ea de re admodum lugebunt, quasi de dilecto filio, et plangent, quasi de filio primogenito. Tunc ii, qui prius quidem quaecunque voluntati meae contraria fecerunt audaciaque ingenti contra me usi sunt, temeritatem et impietatem suam cognoscent, et poenitentia ducti vehementer lugebunt, quemadmodum de primogeniti morte lugeat aliquis. Deinde dicit, multos incolarum Hierosolymae item poenitentia ductos eidem luctui se quoque daturos esse, qui postquam prius contra fas deliquerint, adspecto populo in meliorem ordinem restituto, delictorum suorum, uti par sit, poenitentiam acturi sint.

V. 11—14. Idem deinde repetit, tribubus enumeratis significans, quamvis earum singillatim plancturam esse; nempe ut indicet, omnes, qui antea malitia acti fuerint, nunc poenitentiam acturos esse. Antea enim multum malitiae studium populus ostenderat, deinde vero

προστασίας ἐπὶ κρεῖττον μεταβολῇ τετυχηκότων τῆς θείας ῥοπῆς, ὡς ἀναιρεθῆναι μὲν τοὺς ἐναντίους ὑπ' αὐτῶν, ἀποκαταστῆναι δὲ τῇ πόλει καὶ τῷ τοῦ θεοῦ ναῷ τὴν εὐκοσμίαν τούς νόμους τε πάλιν τοὺς θείους τήν τε τῆς ἱερωσύνης ἐπιμέλειαν τῆς προσηκούσης τύγχάνειν σπουδῆς, ἀναγκαίως ἄρα ἐκ τῆς μεταβολῆς μετεμέλοντο, ἐφ' οἷς πρόσθεν εἰς τοσαύτας ἀσεβείας τε καὶ παρανομίας ἐξώκειλαν. Δηλώσας δὲ τὸν κοπετὸν καὶ τὴν μεταμέλειαν, λέγει τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν, ἀφ' ἧς δὴ μάλιστα τὰ τῆς τοσαύτης μεταμελείας ἐνεγίνετο πᾶσιν.

in meliora se converterunt, sub Maccabaeorum auspiciis, qui Dei favore hostes devicerunt et urbi Deique templo reddiderunt veterem splendorem, eoque effecerunt, ut divinae leges et sacerdotii ritus legitima cura observentur. Qua mutatione facta, eos priorum impietatum et scelerum poenitentia jam moveri necesse erat. Ita vero luctu et poenitentia indicatis, rerum in meliorem ordinem mutationem describit, quae praecipue tantae poenitentiae agendae omnibus causa erat.

Κεφάλαιον ΙΓ'.

α'. Ἐν ἐκείνῃ γάρ, φησί, τῇ ἡμέρᾳ πᾶς τόπος ἔσται διανοιγόμενος τῷ οἴκῳ Δαυίδ. ἵνα εἴπῃ, ὅτι πάντες ἑτοίμως ὡς ἡγουμένους προσδέξονται μετὰ πάσης αὐτοῖς προθυμίας προστρέχοντες ὡς εὐσεβέσι τε καὶ ἰσχυροῖς τῇ θείᾳ ῥοπῇ κατὰ τῶν ἐναντίων φανεῖσιν. Εἶτα δεικνὺς ὅπως καὶ τὰ τῆς θεοσεβείας ἐπὶ τὸ δέον διὰ τῆς τῶν Μακκαβαίων ἐπικρατείας μεταστήσεται, παρασκευαζόντων ἀφανίζεσθαι μὲν ἅπαντα τὰ χείρω κρατεῖν δὲ τὰ τῷ θεῷ δοκοῦντα.

β'. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος Σα-

Caput XIII.

V. 1. *Illo die*, *inquit*, *omnis locus domui Davidis patebit.* i. e. omnes tunc illos ut principes accipient, iisque laetabundi adhaerebunt, utpote piis, qui divina ope hostibus superiores evaserint. Deinde autem ostendit, quomodo Maccabaeis imperantibus Dei cultus in legitimum restituendus sit ordinem, abrogata omni perversitate et stabilitis Dei legibus.

V. 2. *Et illo die, inquit Dominus Sabaoth, exstinguam*

βαὼθ, ἐξολοθρεύσω τὰ ὀνόματα τῶν εἰδώλων ἀπὸ τῆς γῆς, καὶ οὐκέτι ἔσται αὐτῶν μνεία. Καὶ τοὺς ψευδοπροφήτας καὶ τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐξαρῶ ἀπὸ τῆς γῆς. Τότε μὲν γὰρ δὴ διὰ τῆς ἐκείνων ἐπιστασίας πᾶσα μὲν ἡ τῶν εἰδώλων ἀφαιρεθήσεται θεραπεία, πᾶσα δὲ καταλυθήσεται τῶν ψευδοπροφητῶν ἡ ἀπάτη, οὐδενὸς ἔτι τολμῶντος ἐπιτηδεύειν τοῦτο. γ΄. Καὶ δεικνὺς, ὁπόση τις ἡ ἐπικρατεία γενήσεται τοῦ καλοῦ, φησὶν ὅτι εἰ τολμήσειε τις παρελθὼν κατὰ τὸν καιρὸν ἐκεῖνον προσποιήσασθαί τι τῶν ἐσομένων μηνύειν ἐκ πνεύματος ἐνεργούμενος ἀλλοτρίου, οὐδενὸς ἐπὶ τῷ τολμήματι τούτῳ καὶ τῷ παρανομήματι οὐδὲ παρὰ τῶν γεννησαμένων αὐτῶν συγγνώμης ἢ ἐλέου τεύξεται· ἔτι αὐτοὶ γὰρ ἐκεῖνοι μονονουχὶ συνδήσαντες αὐτὸν ὑπὲρ ὧν δὴ ψευδεῖ καὶ πεπλανημένῃ προφητείᾳ κεχρῆσθαι τολμᾷ, παραδώσουσι τιμωρίᾳ. Οὕτως αἰσχύνῃ περιβληθήσονται πάντες οἱ τηνικαῦτα τοιούτοις ἐπιχειροῦντες, πρὸς μεταμέλειαν δὲ νεύσουσι καὶ πένθος ἐκ τῶν ἐπιγενομένων αὐτοῖς κακῶν. τοῦτο γὰρ λέγει τὸ ἐνδύσονται δέῤῥιν τριχινὴν (δ΄.), οἷόν ἐστι ἐπὶ τῷ μακαρίῳ Δαυὶδ τὸ [1]·

etiam nomina idolorum de terra, ut nulla amplius eorum sit memoria. prophetas quoque falsos et spiritum impurum de terra auferam. Istorum cura etiam omnis tunc idolorum veneratio abrogabitur, et omnis fraus falsorum prophetarum solvetur, nemine hoc agere negotium amplius audente. Et ut declaret futurum tunc temporis boni vigorem, dicit, etiamsi quis isto tempore futurorum vaticinia aliquatenus simulare audeat spiritu alieno concitatus, talem audaciae et impietatis suae nullam vel ne a suis filiis quidem veniam vel misericordiam impetraturum esse, sed hos ipsos eum, quod fraude et fallaci prophetia uti ausus sit, vincturos et supplicio tradituros esse. Tanta ignominia, inquit, adficiendi sunt omnes, qui tunc illos adgressi fuerint, nempe quando hi adversis suis casibus ad poenitentiam et luctum commoti erunt. Hoc enim significant verba *Et induentur pelle cilicina.* cui simile est illud Davidicum „Exuisti me centone, et gaudio me

[1]) Psalm. XXIX, 12.

„Διέῤῥηξας δὲ τὸν σάκκον μου καὶ περιέζωσάς με εὐφροσύνην,“ ἵνα εἴπῃ, τὸ πένθος περιελὼν εὐφροσύνης με πεπλήρωκας. ε'. Οἱ δὴ τοιοῦτοι, φησὶ, πρὸς μεταμέλειαν νεύσαντες καὶ πενθικὸν περιθέμενοι σχῆμα ἀπαρνήσονται τὴν ἀπάτην τὴν οἰκείαν, λέγοντες, ὡς οὔτε ἴσασί τι οὔτε χρήσονται ἔτι τοιούτῳ, ἀσχοληθήσονται δὲ τοῦ λοιποῦ περὶ τὴν ἐργασίαν τῆς γῆς, ὅπεροῦν καὶ ἐπιτηδεύειν εὐθὺς ἐκ πρώτης ἔμαθον ἡμέρας παρὰ τῶν γεννησαμένων αὐτούς. ς'. Κἂν εἴ τινες δὲ αὐτοὺς νεαρὰς φέροντας τῶν τυπήσαντων αὐτοὺς τὰς πληγὰς ἐρωτῷεν, ὅθεν δὴ ταύτας ἐπιφέροιντο, ἀπαγγελοῦσι σαφῶς, ὅτι ἐπιχειροῦντες οἷς οὐ προσῆκον ἦν ἐπὶ τῆς οἰκίας τῆς ἑαυτῶν εἶεν δεδέγμενοι τὰς μάστιγας παρ' ἐκείνων, οἷς δὴ μάλιστα πάντων ἀγαπητοὶ τυγχάνειν ἐδόκουν ἅτε γονεῦσιν υἱοὶ, οἳ μηδεμίαν αὐτῶν φειδῶ πεποίηνται ἁμαρτανόντων, ἐπειδὴ τῆς εὐσεβείας τὴν ἐπιμέλειαν ἀνωτέραν τῆς φυσικῆς ἔθεντο συμπαθείας.

cinxisti;“ i. e. ablato luctu gaudio me replevisti. V. 5. Acta ita poenitentia et lugubri habitu induto fraudem suam a se abesse volent dicentes, eam in posterum recusaturos se esse, nec unquam ea usuros; contra vero agro colendo operam navabunt, quod etiam inde a pueris a parentibus suis didicerunt. V. 6. Et si quis eos interrogabit, undenam plagas, quas recens a ferientibus inflictas ferunt, acceperint, palam confitebuntur, has sibi plagas, quum contra fas deliquerint, ab iis inflictas esse, quibus omnium dilectissimi sint, nempe ut filii parentibus, qui iis, quum peccarent, non pepercerint, pietatis officia sensibus natura sibi insitis potiora censentes.

Ἀλλὰ γὰρ τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν τῶν πραγμάτων εἰρηκὼς ὁ προφήτης, ὅπως τε τῇ τῶν Μακκαβαίων προστασίᾳ καθῃρέθησαν μὲν οἱ ἐναντίοι, γέγονε δὲ ἐν εὐκοσμίᾳ τὸ ἔθνος πολλῇ, ὥστε πᾶσαν μὲν ἀσέβειαν ἐξ αὐτῶν καὶ παρανομίαν ἀνη-

Hucusque propheta prosperam rerum mutationem narraverat, quomodo a Maccabaeis rerum potitis et hostes debellati sint, et populus in justum et meliorem ordinem restitutus, adeo ut quodvis impietatis et delictorum ge-

ῥῆσθαι κρατεῖν δὲ πάντα γε ὁπόσα τοῖς θείοις νόμοις ἀκόλουθα συνέβαινεν εἶναι, ὥσπερ ἐκ τῆς τοιαύτης ἀποκαλύψεως, ἣν ἐκ τῆς τοῦ ἁγίου πνεύματος ἐδέδεκτο ἐνεργείας, ἔνθους τε γεγονὼς καὶ κατιδὼν ἀκριβῶς τὰ ἐσόμενα, οἷά τε ἐξ οἵων γενήσεται τὰ τῶν Ἰουδαίων, καὶ οἵαν μὲν ἐκ τῆς τῶν Μακκαβαίων προστασίας διόρθωσιν δέξεται τὰ κατ' αὐτοὺς, ἐν ὅσῃ δὲ γέγονεν ἀκοσμίᾳ ἐκ τῆς ἐκείνων μοχθηρίας, οἳ παρὰ τῶν βασιλέων παρά τε τὸ πρέπον καὶ τὸ τοῖς νόμοις ἀκόλουθα τοῖς θείοις τήν τε ἱερωσύνην ἀναδεχόμενοι καὶ τὴν τοῦ λαοῦ προστασίαν συγχύσεως μεγίστης πεπληρώκασιν ἅπαντα, μεγίστην τινὰ ἀγανάκτησιν ἐπὶ τῇ μοχθηρίᾳ τῶν τοῦ τοσούτου κακοῦ γεγονότων αἰτίων δεξάμενος τοιάδε φησί.

ζ'. Ῥομφαία ἐξεγέρθητι ἐπὶ τὸν ποιμένα καὶ ἐπ' ἄνδρα πολίτην αὐτοῦ, λέγει Κύριος παντοκράτωρ. Προστακτικῶς πάλιν κἀνταῦθα τὸ ἐσόμενον μηνύει καὶ ὥσπερ πρὸς αὐτὸ τὸ ξίφος τρέψας τὸν λόγον, κινήθητι δὴ φησὶν, ὦ μάχαιρα, κατά τε ἐκείνων τῶν οὕτω κακῶς τῇ προστασίᾳ χρησαμένων καὶ κατὰ πάντων [τῶν] ὅσοι τῷ ἔθνει προσήκοντες συμπράττειν αὐτῶν ἔσπευδον τῇ μοχθηρίᾳ. Πάταξον τὸν ποιμένα

nus penes eos desineret, quaecunque vero divinis legibus consentanea increbescerent. Jam vero quasi illa revelatione, quam spiritus sancti efficacia acceperat, afflatus et futurorum cognitione accurata imbutus et edoctus, quales e qualibus Judaeis secuturi sint casus, et quantopere Maccabaeis moderantibus in meliorem statum omnia sint convertenda, quantopere vero res perturbatae fuerint illorum malitia, qui contra aequum et legum divinorum jussum sacerdotium populique regimen suscipientes omnia miscuerunt, summa ob eam horum tot malorum auctorum malitiam indignatione commotus haec dicit.

V. 7. *Excitare, o ensis in pastorem et virum civem ejus, inquit Dominus omnipotens.* Imperando rursus futura indicat, et quasi ipsum ensim adlocutus, movere, inquit, o ensis, in illos, qui tam perverse exercuerunt imperium, et in omnes, quotquot de populo malitiam cum illis communicarunt. — *Percute pastorem, ut oves dissipentur.* Plaga sua leto tradidit eos, qui tam perverse imperium

καὶ διασκορπισθήτω τὰ πρόβατα. τῇ γὰρ πληγῇ τῇ οἰκείᾳ θάνατον μὲν ἐπήγαγε τοῖς οὕτω κακῶς τῇ προστασίᾳ τοῦ λαοῦ χρησαμένοις, ἅπαν δὴ τῶν συμπραττόντων αὐτοῖς τὸ σύστημα ἅμα τῇ ἐκείνων πληγῇ διασκέδασον[1]) τῇ τιμωρίᾳ. Ταῦτα προστακτικῶς εἰρηκὼς εἰς τὴν τῶν ἐσομένων μήνυσιν, ἐπάγει τὰ ἑξῆς, ἀκόλουθον ἐπαγαγὼν τοῖς μηνυομένοις τοῦ λόγου τὸ σχῆμα. *Καὶ ἐπιστρέψω τὴν χεῖρά μου ἐπὶ τοὺς μικροὺς ποιμένας.* Καὶ γὰρ καὶ οἵτινες ὑπὸ τοῖς ἡγουμένοις εἶεν συμπράττειν τε αὐτῶν τῇ μοχθηρᾷ προστασίᾳ βουλόμενοι, καὶ δὴ καὶ αὐτοὶ κατά τινα τάξιν τὴν δοκοῦσαν αὐτοῖς ἐμπεπιστεῦσθαι κατάρχειν ἐσπουδακότες τοῦ χείρονος, τιμωρήσομαι κἀκείνους. μικροὺς γὰρ ποιμένας τοὺς τοιούτους καλεῖ. Εἶτα δεικνὺς τὸ τῆς τιμωρίας δίκαιον.

η'. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐν πάσῃ τῇ γῇ, λέγει Κύριος, τὰ δύο μέρη αὐτῆς ἐξολοθρευθήσεται καὶ ἐκλείψει, τὸ δὲ τρίτον ὑπολειφθήσεται ἐν αὐτῇ. θ'. καὶ διάξω τὸ τρίτον διὰ πυρὸς, καὶ πυρώσω αὐτοὺς ὡς πυροῦται τὸ ἀργύριον, καὶ δοκιμῶ αὐτοὺς ὡς δοκιμάζεται τὸ χρυσίον. αὐτὸς ἐπικαλέσεται τὸ ὄνο-

exercuerunt, punitione sua simul quoque omnes dissipans, qui cum illis conspirarunt. His imperando dictis ob significanda futura, sequentia addit, adhibita sermonis forma iis, quae praedicuntur, congrua. *Et protendam manum meam in parvos pastores.* Etiamsi qui principum ministri sint, qui horum perversum imperium adjuvent, et ipsi munere illo praediti mala moliantur, eos quoque puniam, hos enim parvos pastores nominat. Deinde justam punitionis causam declarat.

V. 8. *Et futurum est illo die, in tota terra, inquit Dominus, ut duae ejus partes pereant, ac exspirent, tertia vero reliqua sit in ea.* V. 9. *et hanc tertiam ego per ignem ducam, eosque uram sicuti argentum uritur, eosque probabo sicuti aurum probatur. Hic autem nomen meum invocabit, atque ego eum exaudiam*

[1]) F. l. διασκεδάσας.

μά μου, καὶ ἐγὼ ἐπακούσομαι αὐτῷ καὶ ἐρῶ, λαός μου οὗτός ἐστι, καὶ αὐτὸς ἐρεῖ, Κύριος ὁ Θεός μου. Ὅτι γάρ, φησί, δικαίαν ὑπομενοῦσιν οἱ τοιοῦτοι τὴν τιμωρίαν αὐτὸ δηλοῖ τὸ πρᾶγμα, οἳ τοσαύτην ἐποίησαν ἐπὶ τὸ χεῖρον τοῦ ἔθνους τὴν ἐκτροπήν, ὥστε τὰ δύο μέρη τοῦ λαοῦ ῥέψαντας πρὸς τὸ χεῖρον τιμωρίᾳ παραδοθῆναι. τὰ δὲ δύο μέρη φησίν, ἵνα εἴπῃ τοὺς πλείστους· ἀλλὰ γὰρ καὶ οὕτως ὑποληφθήσονται[1]) οὐκ ὀλίγοι τοῦ δέοντος ἐρασταί, εἰ καὶ ἐλάττους ἐκείνων οὗτοι (τοῦτο γὰρ λέγει τὸ τρίτον), οἳ ὥσπερ διὰ πυρός τινος τῷ μεγέθει τῶν ἐπαχθέντων αὐτοῖς κακῶν δοκιμασθέντες μείζονα τῆς ἀρετῆς τῆς οἰκείας παρέσχοντο τὴν ἀπόδειξιν, πλεῖστα μὲν ὅσα ὑπομεμενηκότες κακά, οὐδαμοῦ δὲ τῆς περὶ ἐμὲ ἐκστάντες εὐνοίας, οἳ καὶ πρὸς τὴν ἐμὴν βοήθειαν εἶδον καὶ τετυχήκασιν ταύτης. ἐγώ τε γὰρ αὐτοὺς οἰκείους ἐθέμην τὴν κηδεμονίαν ὑποσχόμενος τὴν ἐμήν, κἀκεῖνοι δὲ ἐν ἐμοὶ τὸ πᾶν ἔθεντο τῇ τε δεσποτείᾳ καὶ τῇ προστασίᾳ τὸ πᾶν πιστεύσαντες τῇ ἐμῇ. — Καὶ δὴ πάλιν εἰπὼν τήν τε γεγεννημένην ἐπικράτειαν τοῦ κακοῦ τῇ τῶν κακῶς προεστώτων μοχθηρίᾳ καὶ τὴν ἐντεῦθεν ἐπαχθεῖσαν αὐτοῖς τιμω-

et dicam: hic est populus meus; et ille dicet: Dominus est Deus meus. Justam eos hanc poenam perferre, rei natura declarat. Adeo enim ad deteriora populum detorserunt, ut duas ejus partes. quia sceleribus se dederant, poenis tradi oporteret. duabus autem partibus plerosque significat. Sed nihilominus haud pauci aequi amantes supererunt, quamvis numero minores sint illis (ideo hos tertiam appellat partem), qui malorum sibi impositorum magnitudine tanquam igne probati, praeclarum praestiterunt virtutis suae exemplum, quod extremam quidem calamitatem passi sint, nunquam veró honorem mihi debitum neglexerint, sed potius spem suam in mea ope posuerint, eamque nacti quoque sint. Ego enim meos feci, providentiam meam iis pollicitus; ipsi autem totos se mihi dederunt, meae dominationi meoque regimini firmissimam fiduciam habentes. — Deinde quum dixisset, quantopere per male imperantium pravitatem malitia creverit, et quum eorum punitionem indicasset, nunc cu-

[1]) Leg. ὑπολειφθήσονται.

ρίαν, ἀντιπαρατίθησι τὴν κηδεμονίαν, ἣν τοῖς περὶ αὐτὸν μεμενηκόσι βεβαίως προσέχετο.

ram depingit, quam eorum habiturus sit, qui stabiles penes eum permanserint.

Κεφάλαιον ΙΔ'.

α'. Ἰδοὺ ἡμέραι ἔρχονται τοῦ Κυρίου καὶ διαμερισθήσεται τὰ σκῦλά σου ἐν σοί. β'. καὶ ἐπισυνάξω πάντα τὰ ἔθνη ἐπὶ Ἱερουσαλὴμ εἰς πόλεμον, καὶ ἁλώσεται ἡ πόλις καὶ διαρπαγήσονται αἱ οἰκίαι, καὶ αἱ γυναῖκες μολυνθήσονται, καὶ ἐξελεύσεται τὸ ἥμισυ τῆς πόλεως ἐν αἰχμαλωσίᾳ· οἱ δὲ κατάλοιποι τοῦ λαοῦ μου οὐ μὴ ἐξολοθρευθῶσιν ἐκ τῆς πόλεως. Παραγένηται [1]) γάρ, φησίν, ὁ καιρὸς ἐν ᾧ πλεῖστοι τῶν ἀλλοτρίων ἐπιστρατεύσαντες τῇ Ἱερουσαλὴμ ἅπασαν [2]) αὐτὴν σκυλεύσουσιν ἔνδον, καὶ ἡ μὲν ὑπὸ τῶν πολεμίων ληφθήσεται, διαρπαγήσεται δὲ πάντα τὰ ταῖς οἰκίαις ἐνόντα, τοσαύτῃ τε οἱ ἐπεισεληλυθότες τῇ πόλει χρήσονται τῇ παροινίᾳ, ὡς μήτε τῆς εἰς τὰ σώματα τῶν γυναικῶν ὕβρεως ἀποσχέσθαι καὶ πλείστους ὅσους τῆς πόλεως αἰχμαλώτους λαβεῖν. Ἀλλὰ καὶ τῶν τούτων οὕτω γινομένων διὰ τῆς ἑτέρων κακίας, οἱ τῆς ἐμῆς εὐνοίας ἀντεχόμενοι ἀβλαβεῖς ἐπὶ

Caput XIV.

V. 1. *Ecce, veniunt dies, Domini, quibus tua in te praeda dividetur.* V. 2. *et congregabo omnes gentes ad bellum Hierosolymae inferendum; et urbs capietur, domus destruentur, mulieres violabuntur, dimidia urbis pars migrabit in captivitatem; reliqui autem de populo meo non ejicientur ex urbe.* Aderit, inquit, tempus quo permulti peregrinorum Hierosolymam adgressi totam intrinsecus evertent, adeo ut ab hostibus urbe expugnata, omnia, quae in domibus sunt, diripiantur; tantaque in urbem adgressores utentur saevitia, ut ne vi quidem abstineant mulierum corporibus inferenda, atque plurimos urbis incolas abducturi sint. Attamen quamvis haec ita fierent propter illorum scelera, ii tamen, qui piam erga me mentem retinuerunt, mea cura incolumes in urbe servati sunt.

[1]) Leg. παραγενήσεται. — [2]) Cod. ἅπασιν.

τῆς πόλεως τῇ κηδεμονίᾳ διεφυλάχθησαν τῇ ἐμῇ.

γ'. Εἶτα λοιπὸν ἐφεξῆς τὴν βοήθειαν λέγει τὴν θείαν ἀφ' ἧς ἅπαντα αὐτοῖς ἐπὶ τὸ κρεῖττον τῇ τῶν Μακκαβαίων προστασίᾳ μετέστη. Προηγήσεται μὲν γὰρ, φησὶ, τῶν οἰκείων ὁ θεὸς, ὥσπερ ἐν παρατάξει πολέμου νόμῳ στρατηγῶν τε αὐτοῖς καὶ κατὰ τῶν ἐναντίων παρατατιόμενος. σταθεὶς δὲ, φησὶν (δ'.), ἐπὶ τὸ τῶν ἐλαίων ὄρος κατέναντι τῆς Ἱερουσαλὴμ κλονήσει μὲν τὸ ὄρος, συγκινήσει δὲ ἅπαντα τὰ πρὸ τῆς πόλεως καὶ τὴν πόλιν αὐτὴν, ὥστε δοκεῖν μὲν ποικίλως διατέμνεσθαι τὸ ὄρος τῷ φόβῳ τοῦ κηρύγματος, δοκεῖν δὲ τὰ τότε πράγματα ἐοικέναι τοῖς ἐπὶ τοῦ σεισμοῦ γεγονόσι, ὃν ἐπὶ τῆς τοῦ Ὀζίου βασιλείας κατὰ θείαν ὀργὴν ἀποτελεσθῆναι συνέβη. Λέγει μὲν οὖν ἅπαντα ὑπερβολικῶς ὡς εἴωθε, καὶ ὅτι τῷ μεγέθει τῆς βοηθείας, ἣν παρέχεται τοῖς οἰκείοις τῇ τε κατὰ τῶν ἐναντίων ἀγανακτήσει ὥσπερ σαλεύειν ἅπαντα δόξει. ἐχρήσατο δὲ τῇ πρὸς τὸν Ὀζίαν ὁμοιότητι ἐπειδὴ κἀκεῖνος οὐδὲν τῇ ἱερωσύνῃ προσήκων ἐπεχείρησεν αὐτῆς ἐπιλαβέσθαι, ἐφ' ᾧ δὴ καὶ τῷ μεγέθει τοῦ σεισμοῦ τὴν ἀγανάκτησιν τὴν οἰκείαν ὁ θεὸς ἐπεδείξατο. Τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν, φησὶ, διὰ τοὺς ἀσεβεῖ γνώμῃ

V. 3. Deinde divinam opem enarrat, qua factum est, ut Maccabaeis imperantibus omnia ad meliora converterentur. Praecedet enim, inquit, Deus familiaribus suis quasi in acie bellica instruenda lege sua eos ducens atque adversus hostes instruens. V. 4. in monte olivarum vero stans e regione Hierosolymae montem movebit, et omnia ante urbem ipsamque urbem una concutiet adeo, ut mons annuntiatorum metu varie scindi videatur, et quae accidunt omnia terrae motui evadant similia ei, qui Ozia regnante ab ira divina concitabatur. Haec omnia pro consueto, hyperbolice dicit, significans, fore ut, opis, quam suis familiaribus praestiturus sit, hostibus iratus vi omnia quassari videantur. in quo Oziam regem provocat, quum etiam hic sacerdotium, quod nihil ad eum pertinebat, sibi arrogasset, unde vehementia motus terrae indignationem suam Deus declaravit. Eadem ratione etiam nunc, inquit, propter eos, qui proterva mente ordinem legitimum

παρωσαμένους μὲν τὴν νομίμην εὐταξίαν τῇ ἱερωσύνῃ δὲ παρὰ τὸ πρέπον ἐπικεχειρηκότας πολλὴν ἐπιδείξεται τὴν ἀγανάκτησιν ὁ Θεὸς τὴν οἰκείαν, συσσείων ἅπαντα ἐπὶ τιμωρίᾳ μὲν ἐναντίων, σωτηρίᾳ δὲ τῶν οἰκείων. Οἷς ἐπάγει· Καὶ ἥξει ὁ Θεός μου καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ. Ἀπ' αὐτοῦ γὰρ δή, φησί, τοῦ μεγέθους τῶν πραγμάτων ὡσανεὶ πόῤῥωθέν ποθεν εἰς βοήθειαν ἡμῶν ἐληλυθὼς ὁ Θεὸς φανεῖται, ἄγων τὸ οἰκεῖον στρατόπεδον ἅπαν σὺν ἑαυτῷ. λέγει δὲ τὰς ἀοράτους δυνάμεις. ταύτας γὰρ καλεῖ τοὺς ἁγίους, οἷς [1]) πρὸς ἅπαντα αὐτῷ τὰ δοκοῦντα ἐν τοῖς περὶ τοὺς ἀνθρώπους γινομένοις ὑπηρετεῖσθαι εἰώθασιν.

reliquerunt et sacerdotium nefarie sibi arrogarunt, Deus magnam suam declarabit indignationem, omnibus ob inimicorum punitionem familiarium autem salutem commotis. Quibus haec addit. *Tunc veniet Deus meus et cum ipso omnes sancti.* In rerum gerendarum magnitudine quasi e longinquo ad nos opitulandos Deus veniet, secum totum suum exercitum agens; nempe invisibiles virtutes; has enim sanctos appellat, qui in exsequendis ejus circa homines consiliis omnibus ei adesse solent.

ς'. Καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἔσται φῶς ἀλλὰ ψυχὸς καὶ πάγος ἔσται μιᾷ ἡμέρᾳ. Οὐ φῶς ὄντως καὶ ψυχὸς καὶ πάγος λέγει, ἀλλ' ὥσπερ εἴωθε λέγειν, ὅτι ὁ ἥλιος σκοτισθήσεται καὶ δύσεται αὐτοῖς ὁ ἥλιος, καὶ ὅσα τοιαῦτα ὡς τῶν ἐν συμφοραῖς ὄντων οὐδεμίαν αἴσθησιν τοῦ φωτὸς λαμβανόντων ἀλλ' ὥσπερ ἐν σκότῳ τινὶ τότε εἶναι δοκούντων, οὕτω κἀνταῦθά φησι. δόξουσι μὲν γὰρ ὑπὸ τοῦ μεγέθους τῶν γινομένων οἱ ἄνθρωποι, φησίν, οὐδὲ φῶς ὁρᾷν, ὥσπερ δὲ ἐν ψύχει καὶ

V. 6. *Illo die lux non erit, sed frigus et gelu erunt uno die.* Non verum frigus et gelu dicit, sed pro more suo significat, fore ut sol caligetur iisque occidat, et quae ejus generis iis contingere solent, qui summis in calamitatibus nullum lucis sensum percipiunt, sed quodammodo caligine offusi videntur. Ita etiam hoc loco dicit: prae magnitudine eorum, quae eveniunt, homines lucem non videre sibi videbuntur, sed quasi frigore et gelu rigen-

[1]) Leg. οἱ.

πάγῳ ταραττόμενοι ἐν τρόμῳ τε καὶ κλόνῳ μενοῦσι συναράττοντες τοὺς ὀδόντας τῷ μεγέθει τῶν γενησομένων κακῶν ἐκ τῆς ἐπιφανείας τῆς θείας. οἷόν ἐστι καὶ τὸ παρὰ τοῦ Κυρίου λεγόμενον [1]) „Ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.“

ζ'. Καὶ ἡ ἡμέρα ἐκείνη γνωστὴ τῷ Κυρίῳ. ἵνα εἴπῃ ὅτι κατὰ γνώμην θεοῦ γενήσεται τοιαῦτα, ἐπείπερ ἀρεστὸν αὐτῷ τὸ οὕτω ταῦτα συμβῆναι. οἷόν ἐστι τὸ [2]) „Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ,“ ἀντὶ τοῦ ᾠκειώσατο αὐτοὺς καὶ ἀρεστοὺς ἐνόμισεν ἑαυτῷ. οὕτω καὶ τὴν ἡμέραν λέγει γνωστὴν τῷ Κυρίῳ ὡς ἀρεστὴν αὐτῷ, τὸ [3]) κατὰ γνώμην αὐτοῦ τὰ τοιαῦτα ἐν αὐτῇ γενέσθαι, ἐπὶ τιμωρίᾳ μὲν τῶν ἐναντίων σωτηρίᾳ δὲ τῶν οἰκείων. Ὅθεν ἐπάγει· Καὶ οὐχ ἡμέρα καὶ οὐ νὺξ, καὶ πρὸς ἑσπέραν ἔσται φῶς. Ἐπικρατούντων μὲν γὰρ τῶν κακῶν τοσοῦτο περιχυθήσεται σκότος ἅπασιν, ὡς μηδεμίαν εἶναι νυκτός τε καὶ ἡμέρας διαφορὰν, οὕτω σκότος λήψεται τὰ πάντα. ἀκολουθήσει δὲ τούτοις (τοῦτο γὰρ λέγει πρὸς ἑσπέραν) φῶς, τουτέστιν ἡ ἀντίληψις ἡ θεία, ἐπειδὴ πάντα ἐκεῖνα διαπράττεται ἐπὶ τιμωρίᾳ τῶν ἐναντίων, ὡς ἂν τοὺς οἰκεί-

tes tremore et horrore dentibus crepitabunt ob magnitudinem malorum Deo apparente futurorum. Cui respondet etiam illud Domini „Ibi ploratus erit dentiumque stridor.“

V. 7. *Ille vero dies Domino notus est.* i. e. secundum Dei decretum haec accident; ita enim haec fieri ei placuit. Cui simile est illud: „Novit Dominus, qui sint sui,“ quod significat: suos fecit gratosque sibi eos censuit. Ita etiam diem Domino notum dicit, nempe gratum ei esse, significans, qualenus omnia ex sua sententia illo die fiant et ad puniendos adversarios et ad beandos amicos. Unde addit: *Nec dies erit nec nox, sed circa vesperam erit lux.* Invalescentibus enim angustiis tanta omnibus caligo offundetur, ut nullum noctis et diei discrimen sit, omnibus caligine obtectis. quibus sequetur (hoc indicant verba, ad vesperam) lux i. e. divinum auxilium; nam illa omnia ob puniendos inimicos facit, ut his suos sibi adstringat. Ideo pergit.

[1]) Matth. VIII, 12. XIII, 42. etc. — [2]) II Tim. II, 19. — [3]) F. l. τῷ.

ους ἑαυτῷ περιποιήσειεν διὰ τούτων. ἐπάγει γοῦν.

η'. Καὶ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελεύσεται ὕδωρ ζῶν ἐξ Ἱερουσαλήμ. ἵνα εἴπῃ, τότε καθαρὰ ἱερωσύνη ἐπὶ τῆς Ἱερουσαλὴμ ἐπιτελεσθήσεται καὶ νόμιμος προστασία τε ἀρέσκουσα τῷ θεῷ καὶ διδασκαλία τοῖς νόμοις ἀκόλουθος τοῖς θείοις, ἥτις οὐ τοῖς κατ' ἐκεῖνον τὸν καιρὸν τοῦ ἔθνους ἐπιτηδεία μόνον ἔσται, ἀλλὰ καὶ τοῖς μετὰ ταῦτα. Θάλασσαν μὲν γὰρ πρώτην τοὺς τότε λέγει, ἐσχάτην δὲ τοὺς μετ' ἐκείνους. οἷς προστέθεικεν ὅτι ἐν θέρει καὶ ἐν ἔαρι ἔσται οὕτως. ἵνα εἴπῃ ὅτι κατὰ πάντα καιρὸν διὰ τῆς θείας κηδεμονίας ἐπικρατήσει τὰ κρείττω. θ'. Οὕτω τε, φησί, κατὰ πάσης τῆς γῆς ἔσται βασιλεὺς γνωριζόμενός τε καὶ ὁμολογούμενος μόνος εἶναι θεὸς ὁ τοῦ παντὸς ποιητής τε καὶ κύριος. αὐτοί τε γάρ, δι' ὧν ποιεῖ τὴν κηδεμονίαν καὶ τὴν ἐξουσίαν ἐπιδείκνυται τὴν οἰκείαν, καὶ δὴ πάντες οἱ κατὰ γῆν (ἵνα εἴπῃ τοὺς τοῦ ἔθνους) διαμένουσι λοιπὸν ἀπηλλαγμένοι μὲν πλάνης ἁπάσης τὴν ὀνομασίαν δὲ μόνην τὴν αὐτοὺς καλοῦντες ὡς θεοῦ. Εἶτα (ι'.) καὶ περὶ τόπων λέγει διαφόρων, βουλόμενος διὰ πάντα εἰπεῖν, ὅτι κατὰ παντὸς μέρους προσήκοντος τῇ γῇ τῇ ἡμετέρᾳ διαμενεῖ θεὸς γνωριζόμενός τε

V. 8. *Et illo die aqua viva de Hierosolyma exibit.* i. e. tunc purum sacerdotium Hierosolymae constituetur, et legale Deoque congruum imperium, et doctrina divinis legibus consentanea, quae non solum populi civibus tunc temporis sed etiam futuris utilis erit. Primum enim mare illos nominat, extremum vero illorum posteros. Quibus addidit: *Aestate et vere ita erit.* i. e. divina cura auspice quovis tempore bonum regnabit. V. 9. Ita per omnem terram unum regem agnoscent atque profitebuntur Deum, omnium creatorem ac Dominum. Omnes enim terrae (i. e. Judaeae) incolae, Deo eorum curam gerente potentiamque suam manifestante, omni deinceps errore vacabunt, et nonnisi Dei familiarium sibi imponent nomen. V. 10. Deinde etiam varia loca enumerat, ut dicat: ab omnibus terrae vestrae partibus Deus agnoscetur, et coletur exstincto inter vos omni errore et quavis impietate. Qua cognitione imbuti omnes, qui nostri sunt populi, Hierosoly-

καὶ προσκυνούμενος, ἀπεληλαμένης πάσης πλάνης τε καὶ ἀσεβείας ἐξ ἡμῶν. μετὰ ταύτης δὲ, φησὶ, τῆς γνώσεως καὶ οἰκήσουσι τὴν Ἱερουσαλὴμ λοιπὸν ἅπαντες βεβαίως οἱ τῷ ἔθνει προσήκοντες τῷ ἡμετέρῳ, καὶ οὐδεὶς ἔσται λοιπὸν ἐν τῷ ἔθνει ἀσεβείᾳ χαίρων οὐδὲ ἀπηλλοτριωμένος θεοῦ. τοῦτο γὰρ λέγει Καὶ ἀνάθεμα οὐκ ἔσται ἔτι (ια΄.), ὡς γὰρ ὁ μακάριος λέγει Παῦλος [1]) „Εἴ τις οὐ φιλεῖ τὸν κύριον Ἰησοῦν Χριστὸν, ἤτω ἀνάθεμα.“ Οὐκ ἔσται οὖν, φησὶν, οὐδὲ τοῦτο, ἐπεὶ μηδὲ ἔσται τις λοιπὸν ἀπηλλοτριώμενος θεοῦ, διαμενεῖ τε λοιπὸν οἰκουμένη ἡ Ἱερουσαλὴμ ὑπὸ πάντων μετὰ πολλῆς τῆς ἀσφαλείας, ἣν ὑπὸ τῆς θείας ἕξει κηδεμονίας διὰ τὴν τοῦ κρείττονος ἐπιμέλειαν. —

Ἐν μὲν δὴ τούτοις συνεπέρανε τῶν Μακκαβαϊκῶν τὴν προφητείαν, καὶ τὰ κατ᾽ ἐκεῖνον ἐσόμενα τὸν καιρὸν τά τε παρ᾽ αὐτῶν πλημμελεῖσθαι μέλλοντα καὶ τὰ περὶ αὐτοὺς γενησόμενα παρὰ τῶν ἐναντίων, καὶ μὴν καὶ ὅσην τινὰ τὴν περὶ αὐτοὺς ἐπιδείξεται κηδεμονίαν θεὸς τοῖς τοῦ καλοῦ προεστῶσι τὴν οἰκείαν παρέχων ῥοπήν. ἐντεῦθεν δὲ ἀναλαμβάνει τὰ πρὸ τῆς τῶν Μακκαβαϊκῶν μηνύσεως αὐτῷ ῥηθέντα, ἐν οἷς τὰ διὰ τοῦ Ζοροβάβελ προσεσό-

mam firme habitabunt, nec quisquam in hac gente erit, qui impietate oblectetur, vel a Deo recesserit. Hoc indicant verba (V. 11.) *Nec destestabile aliquid amplius erit*; sicuti beatus Paulus „Si quis Jesum Christum non amet, inquit, is detestabilis esto“; ita, hoc non erit, inquit, quum nemo amplins a Deo discessurus sit; sed Hierosolyma ab omnibus multa securitate a Deo ob aequi amorem ei benigne exhibita, habitabitur.

His rerum Maccabaicarum praedictionem absolvit et res tunc futuras; nempe vaticinatus quaenam illi delicturi, et quidnam hostes adversus eos sint peracturi, addita insuper praesignificatione beneficii, quo Deus probis eorum rectoribus favorem suum largiturus sit. Hinc rursus ad ea redit, quae ante rerum Maccabaicarum praedictionem enarraverat, ubi post praesagitas Zorobabele

[1]) I Cor. XVI, 22.

ὁ μὲν δὴ θάνατος αὐτῶν, φησὶ, καὶ ἡ ἀπώλεια τοσαύτη τις ἔσται καὶ τοιαύτη. ὁπόσοι δ' ἂν αὐτῶν περισωθεῖεν, ἐπιγνόντες τοῦ θεοῦ τὴν δύναμιν ἐξ ὧν πεπόνθασι, νόμον θήσονται παρ' ἑαυτοῖς, διηνεκῶς ἀνιόντες ἐπὶ τὴν Ἱερουσαλὴμ τὴν καθήκουσαν ἀποτιννύναι τῷ θεῷ προσκύνησιν, ἐπιτελεῖν δὲ καὶ τὴν ἑορτὴν τῆς σκηνοπηγίας, ἐπειδὴ τοῖς πόῤῥωθεν παραγινομένοις ἐπιτήδειος ὁ καιρὸς θερινὸς ὑπάρχων. Καὶ πολλοῖς δὲ τῶν δι' ὑπεροψίαν οὐκ ἀποπληρούντων ταῦτα τιμωρίαν ἐπάξω, ἀβροχίᾳ καὶ τῇ ἐντεῦθεν ἀκαρπίᾳ καταδικάζων αὐτοὺς, ὡς ἂν αἴσθοιντο τῆς τοῦ πάντων κυρίου τιμῆς ἀμελοῦντες. κἂν οἱ τῆς Αἰγύπτου δὲ, κἂν οἵτινες δήποτε ταύτην ἀναδέξωνται τὴν γνώμην τὴν αὐτὴν δώσουσι τιμωρίαν. βούλεται δὲ εἰπεῖν, ὅτι πολλοὶ τῶν ἀλλοτρίων ἐκπλαγέντες ἐπὶ τῷ μεγέθει τῶν γεγονότων πολλαχόθεν ἐπὶ τὴν Ἱερουσαλὴμ συῤῥεύσουσι τὴν καθήκουσαν τῷ θεῷ προσκύνησιν ἀποδιδόντες, ὡς καὶ τιμωρίαν ἀπεκδέχεσθαι, εἰ μὴ τοῦτο ποιοῖεν. Τούτοις ἐπάγει.

κ'. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται τὸ ἐπὶ τὸν χαλινὸν τοῦ ἵππου ἅγιον τῷ Κυρίῳ παντοκράτορι, καὶ ἔσονται οἱ λέβητες οἱ ἐν τῷ οἴκῳ Κυρίου ὡς φιάλαι πρὸ

internecio tantae erunt ac tales, pergit; quotquot eorum vero conserventur, ii cognita e calamitatibus suis Dei potentia legem apud se constituent eam, ut Hierosolymam semper profecti legitimam Deo religionem persolvant, festumque tabernaculorum celebrent, quum iis, qui e longinquo adveniunt, tempus aestivum commodum sit. Multis vero eorum, qui ob petulantiam haec non persolvunt, punitionem inducam, pluviorum inopia ideoque sterilitate mulctandis, ut sane omnium Domini honorem se neglexisse sentiant. et si Aegyptii, vel quilibet alii eam amplectantur sententiam, eandem luent poenam. Quibus significat, fore ut multi peregrinorum, portentorum magnitudine perterriti, undique Hierosolymam confluant, debitam Deo venerationem praestituri, veriti ne puniantur, si hoc omittant. Deinde addit.

V. 20. *Illo die, quod in freno equi est, Domino omnipotenti sacrum erit, et ollae, quae in aede Domini sunt, quasi paterae erunt coram facie altaris.* Significat, Isra-

προσώπου τοῦ θυσιαστηρίου. Βούλεται μὲν εἰπεῖν, ὅτι πολλὰ καὶ τῷ θεῷ ἀνατιθήσεται παρὰ τῶν Ἰσραηλιτῶν ἀπὸ τῶν λαφύρων, ἃ παρὰ τῶν πολεμίων λήψονται, πολλά τε ὄντα καὶ ἀριθμὸν νικῶντα· οἷόν τι πεποίηκεν ὁ μακάριος Δαυίδ, μετὰ τὴν τοῦ Γολιὰθ ἀναίρεσιν τὸ ξίφος ἀναθεὶς τῷ θεῷ. τὸ αὐτὸ δὲ λέγει κἀνταῦθα, ὅτι καὶ χαλινοὺς ἵππων, οὓς τῶν ἀναιρεθέντων ἀφείλοντο προσοίσουσι τότε τῷ θεῷ. ἀπὸ γὰρ τοῦ χαλινοῦ ὡς ἀπὸ μέρους ἠβουλήθη τὰ λοιπὰ ὅπλα τε καὶ λάφυρα εἰπεῖν, ἅπερ οὖν ἀνατιθέναι ἤμελλον, ἑκάστου κατὰ τὴν οἰκείαν πρόθεσιν προσάγοντος τὸ δοκοῦν ἐκ τῶν λαφύρων. ὅθεν ἐπάγει ὅτι προσαχθήσονται καὶ λέβητες πλεῖστοι, οὓς ἐπήγοντο οἱ πολέμιοι, ἐπιτηδείους ἑαυτοῖς εἶναι νομίζοντες εἰς τὴν ἕψησιν τῶν κρεῶν, οἳ διὰ τὸ πλῆθος φιαλῶν δίκην ἔσονται τοῦ οἴκου προκείμεναι τοῦ θείου, ἠβουλήθη δὲ ἀπὸ μὲν τοῦ χαλινοῦ τὰ ἀπὸ τῶν ὅπλων ἀνατιθέμενα εἰπεῖν, ἀπὸ δὲ τῶν λεβήτων τὰ ἀπὸ τῶν κτημάτων, ὡς εἴωθεν ἀπὸ μέρους τὰ πλεῖστα δηλοῦν ἡ θεία γραφή, ὅταν περιττὴν ἥγηται τὴν κατὰ μέρος ἀκριβολογίαν, ἐπεὶ κἀνταῦθα περιττὸν ἦν τὸ ἀριθμεῖν δόρατα καὶ ξίφη καὶ θώρακας λέβητάς τε καὶ τὰ ἐν ἀν-

elitas multa Deo voturos esse de exuviis, quas ingenti et innumerabili copia ab hostibus facturi sint. quod etiam beatus David fecit, qui interfecto Goliatho Deo ensem vovit. Idem etiam hoc loco dicit, nempe fore, ut frena equis occisis detracta tunc Deo offerant. freno enim quasi parte, caetera arma et spolia significat, quae voturi erant, pro sua quoque voluntate de exuviis vovente, quidquid voluerit. Itaque addit, ollasque quoque plurimas vovendas esse, quas hostes secum ferebant, ad coquendam carnem necessarias sibi, rati; easque ob multitudinem paterarum instar ante aedem divinam collocandas esse. Et freno quidem ea significavit, quae de armis, ollis vero ea, quae de opibus vovenda erant; sicut ex parte totum designare solet scriptura sacra, quando accuratam singulorum enumerationem supervacaneam censet. nam etiam hoc loco supervacaneum erat, hastas et enses, ollas et quae sunt reliqua hominum usui commoda, veluti tabellas et pocula et quae sunt ejus generis, enumerare, sed ex parte, ut

ἙΡΜΗΝΕΙΑ ΜΑΛΑΧΙΟΥ ΤΟΥ ΠΡΟΦΗΤΟΥ.

ΠΡΟΟΙΜΙΟΝ.

Τῶν μακαρίων προφητῶν Ἀγγαίου τε καὶ Ζαχαρίου μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον τοῦ λαοῦ κατὰ θείαν προφητευσάντων ἐνέργειαν, Ἀγγαῖος μὲν ὁ μακάριος περί τε τῆς τοῦ ναοῦ οἰκοδομῆς διείλεκται τῷ λαῷ καὶ δὴ καὶ τῶν περὶ τὸν Γὼγ μηνύει τὴν ἀπώλειαν, ὁ δὲ μακάριος Ζαχαρίας ταὐτά τε λέγει καὶ προστιθεὶς καὶ τὰ κατὰ τοὺς Μακκαβαίους μετὰ πολὺν γεγονότα τὸν χρόνον καὶ δὴ καὶ ἀποκαλύψεις πολλὰς καὶ διαφόρους ἐκτίθεται, δι' ὧν τότε ποικίλον τῆς περὶ αὐτοὺς εὐεργεσίας ἐδήλωσε τοῦ Θεοῦ, καὶ διδασκαλίαν παρέσχετο θεοσεβείᾳ τε καὶ ἐπιμελείᾳ βίου προσάγειν αὐτοὺς δυναμένην αὐτάρκως. Ἐπειδὴ δὲ τῆς θείας προνοίας ἀξιωθέντες Ἰουδαῖοι καὶ τῆς ἀπὸ Βαβυλῶνος ἐπανόδου πλείστων τε ὅσων

COMMENTARIUS IN MALACHIAM PROPHETAM.

PRAEFATIO.

Beati prophetae Haggaeus et Zacharias post populi Babylone reditum divino instinctu ita oracula ediderunt, ut beatus Haggaeus de templo aedificando cum populo loqueretur et insuper etiam Gogi praediceret perniciem, beatus vero Zacharias eadem narraret, insuper autem etiam res a Maccabaeis post longum tempus gerendas adderet, nec non multas ac varias revelationes recitaret, quibus multifaria futura Dei erga populum beneficia declaravit, et doctrinam exhibuere, quae eos ad pietatem vitaeque honestatem satis impellere posset. Quum vero Judaei divina cura digni habiti, et cum Babylone reditus tum aliorum multorum

τετυχηκότες ἀγαθῶν καὶ δὴ καὶ ἐν εὐπραγίᾳ καταστάντες πολλῇ οὐκ εἰς δέον ἐχρήσαντο τῇ ἀνέσει, τὰ μὲν τῶν ἱερεών τὰ δὲ τοῦ λαοῦ πλημμελοῦντος παντὸς, ὡς καὶ τὰς κατὰ νόμον ὡρισμένας θυσίας μὴ μετὰ τοῦ προσήκοντος ἐκτελεῖν, ἀναγκαίως ὁ παρὼν οὑτοσὶ προφήτης κατὰ θείαν ἐνέργειαν ἐπὶ τοῦτο προβληθεὶς ἐλέγχει μὲν τῶν τε ἱερέων καὶ τοῦ λαοῦ τὰς πλημμελείας, ἃς αἵτινές εἰσιν ἐξ αὐτῶν τῶν γεγραμμένων ἄμεινον μάθοι τις ἂν, μηνύει δὲ καὶ τινὰ τῶν ἐσομένων. Ὄνομα δὲ τῷ προφήτῃ κατὰ μὲν τὴν τῶν Ἑλλήνων γλῶτταν ἄγγελος, κατὰ δὲ τὴν Ἑβραίων Μαλαχίας, ἐπειδὴ τὸν ἄγγελον οὕτως καλεῖν Ἑβραίοις ἔθος, ὅθεν καὶ μεταβολῇ τῇ εἰς τὴν Ἑλλήνων γλῶτταν ἄγγελος κέκληται ἀντὶ Μαλαχίου. Λέγει δὲ οὕτως.

Κεφάλαιον Α'.

α'. Λῆμμα λόγου Κυρίου ἐπὶ τὸν Ἰσραὴλ ἐν τῇ χειρὶ Ἀγγέλου αὐτοῦ. ἵνα εἴπῃ, ὅτι κατὰ θείαν ἐνέργειαν ἐνεπιστεύθη τὸ τῆς προφητείας ἔργον ὁ Ἄγγελος εἰς ἔλεγχον τοῦ Ἰσραὴλ, ἐπειδὴ κοινῇ ταύτῃ προσηγορίᾳ τούς τε ἱερέας καὶ τὸν λαὸν σημαίνειν ἤμελλεν. Ἰσραηλῖται γὰρ ἅπαντες ἐλέγοντο κοινῶς. — Εἶτα μετὰ τὴν εἰωθυῖαν ταύτην προ-

bonorum beneficia multamque felicitatem nacti, his donis non eo, quo par erat, modo uterentur, sed cum sacerdotes tum totus populus delinquerent ita, ut ne sacra quidem lege praescripta juste fierent; praesens hic propheta divino instinctu ductus, sacerdotum et populi necessario objurgat delicta, quae cujus modi sint, ex ejus libro optime quilibet cognoscet. Sed futura quoque praedicit. Nomen autem huic prophetae secundum Graecorum linguam Angeli est, secundum Hebraeorum autem Malachiae; ita enim Hebraei angelum dicunt; unde ille in Graecorum lingua Angelus audit pro Malachia. Ita autem incipit.

Caput I.

V. 1. *Oraculum verbi Dei adversus Israelem per Angelum suum.* i. e. divina efficacia Angelo prophetiae munus concreditum est, ob reprehendendum Israelem; quo communi nomine et sacerdotes et populum significaturus erat. omnes enim communiter Israelitae dicebantur. — Post hanc consuetam pro-

γραφὴν τῶν προφητικῶν βιβλίων ἄρχεται τῶν οἰκείων λόγων ὁ προφήτης οὕτως. Θέσθε δὴ ἐπὶ τὰς καρδίας ὑμῶν. Κάλλιστα ὡσὰν περιλελοιπόσιν ἄχρι τοῦ δεῦρο, ἃ ποιεῖν αὐτοὺς προσῆκον ἦν, κελεύει νῦν γοῦν τὸ δέον εὐλογίσασθαι καὶ συνιδεῖν μὲν ἅπερ ἔπραττον, δοκιμάσαι δὲ ὁπόσον ἐξέβαινον τοῦ προσήκοντος, ὡς ἄν τινα καὶ διόρθωσιν ταῖς ἑαυτῶν προσαγάγοιεν πλημμελείαις. — Εἶτα μετὰ τὴν προτροπὴν καὶ τὴν παραίνεσιν, καθ' ἣν ἐπιμελεστέρους αὐτοὺς περὶ τὸ δέον εἰργάζετο, ἐπάγει.

β. Ἠγάπησα ὑμᾶς, λέγει Κύριος. Καλῶς γὰρ τοῖς ἀγνώμοσι πρὸ πάντων τὴν ἀγάπην λέγει τὴν οἰκείαν, ὡσανεὶ πρὸς ταύτην κρίνοιντο μάλιστα ἐλεγχομένοις[1]) ἐπὶ τῇ φαυλότητι τῶν τρόπων τῶν οἰκείων. Καὶ εἴπατε, ἐν τίνι ἠγάπησας ἡμᾶς; Οὐ φωνὴν λέγει, ἐπειδὴ μηδὲ οἷόν τε ἦν αὐτοὺς ἀποκρινομένους εἰπεῖν τῷ θεῷ, ἐν τίνι ἠγάπησας ἡμᾶς, δῆλον παρὰ πᾶσι τυγχάνοντος, ὁπόσων αὐτοῖς ἀγαθῶν αἴτιος ἐγεγόνει, εἴτε ἐκ τῶν πρόσθεν ὑπαρξάντων εἴτε καὶ τῶν ὕστερον πολλάκις καὶ δὴ καὶ τῶν πρόσφατον γεγονότων. ἀλλὰ γὰρ ἔθος τῇ θείᾳ γραφῇ τὴν φωνὴν ἐπὶ πράγματος λέγειν καὶ τί[2])

pheticorum librorum inscriptionem, sermones suos propheta ita exorditur. *Animo volutate.* Egregie eos, qui hucusque, quae facere debebant, omiserant, nunc certe officium respicere, et ea quae faciant perpendere, itemque, quantum ab aequo recesserint, considerare jubet, ut delicta sua aliquatenus certe emendent. — Post hanc exhortationem et admonitionem, quae illos officii studiosiores etiam faciebat, addit.

V. 2. *Amavi vos, inquit Dominus.* Egregie prae caeteris amorem suum improbis dicit, ut ad hunc judicati eo acrius de morum suorum pravitate reprehendi queant. *Sed dicitis, quanam in re nos amavisti?* Non sermocinationem significat, quum fieri nequiret, ut Deo respondentes, quanam in re nos amavisti, dicerent, omnibus enim, quot bonorum iis Deus auctor fuerit, cum e prius, tum e posterius saepe etiam modo factis notum erat. Sed scriptura sacra locutionem ob significandam rem exhibere solet, et ea ra-

1) Leg. ἐλεγχόμενοι. — 2) Leg. τήν.

τῶν τὶ ποιούντων διάθεσιν φωνῇ σημαίνειν. οἷον τὸ[1]) „εἶπον τίς ὄψεται αὐτούς;“ ἀντὶ τοῦ διέκειντο ὡς οὐδενὸς ἐφορῶντος τὰ γινόμενα. οὐ γὰρ δὴ ἔλεγον οὕτως. „Καὶ εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ μὴ σαλευθῶ ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακοῦ.“ [2]) διέκειντο γάρ, φησὶν ὡς οὐδὲν ὑπομενοῦντες πώποτε κακόν. καὶ πολλὰ τοιαῦτα εἴποι τις ἄν, ἃ μὴ τοῦ παρόντος ἐστὶ συλλέγειν καιροῦ. οὕτως οὖν κἀνταῦθα λέγει τὸ καὶ εἴπατε, ἐν τίνι ἠγάπησας ἡμᾶς, ἀντὶ τοῦ ἀγαπηθέντες παρ' ἐμοῦ καὶ εὖ πεπονθότες πολλάκις μοχθηρᾷ καὶ ἀγνώμονι κεχρημένοι τῇ διανοίᾳ διέκεισθε ὡσὰν οὔτε ἠγαπημένοι παρ' ἐμοῦ οὔτε τινὸς τετυχηκότες πώποτε ἀγαθοῦ. — Εἶτα λέγει τὰ πράγματα, ἀφ' ὧν ἐξῆν αὐτοὺς συνορᾷν, ἡλίκων ἔτυχον παρὰ τοὺς ἄλλους ἀγαθῶν.

tione affectum indicare, quo quis aliquid faciat. huc pertinet illud: „Dicebant, quis eos videbit? i. e ita affecti erant, quasi nemo ea curet, quae accidunt; non enim sane ista dicebant. „Animo suo dixit: non movebor per aeterna tempora; sine malo (semper ero).“ ita animo affecti erant, inquit, quasi nunquam quidquam mali passuri essent. multa etiam alia ejus generis in promptu sunt, quae colligere hujus loci non est. Eodem igitur modo heic quoque, *Dicitis*, inquit, *quanam in re nos amavisti?* quorum sensus is est: quamvis a me dilecti fueritis et muneribus saepe expleti, nihilominus proterva ac improba mente ita vos geritis, quasi nunquam amorem vel quidquam boni a me acceperitis. Deinde ea enumerat, e quibus, quanta sibi prae aliis contigerint bona, intelligere potuerunt.

γ. Οὐκ ἀδελφὸς ἦν Ἠσαῦ τοῦ Ἰακώβ, λέγει Κύριος, καὶ ἠγάπησα τὸν Ἰακὼβ, γ'. τὸν δὲ Ἠσαῦ ἐμίσησα, καὶ ἔταξα τὰ ὅρια αὐτοῦ εἰς ἀφανισμὸν καὶ τὴν κληρο-

V. 3. *Nonne Esavus frater fuit Jacobi? inquit Dominus, atque tamen amavi Jacobum, Esavum vero odio habui, et fines ejus vastandos curavi, ejusque posses-*

[1]) Ps. LXIII, 6. — [2]) Ps. IX, 27

νομίαν αὐτοῦ εἰς δώματα ἐρήμου; δ'. διότι ἐὰν εἴπῃ, ἡ Ἰδουμαία κατέστραπται, καὶ ἐπιστρέψωμεν καὶ ἀνοικοδομήσωμεν τὰς ἠρημωμένας αὐτῆς, τάδε λέγει Κύριος παντοκράτωρ· αὐτοὶ οἰκοδομήσουσι καὶ ἐγὼ καταστρέψω, καὶ ἐπικληθήσεται αὐτοῖς ὅρια ἀνομίας καὶ λαὸς, ἐφ' ὃν παρατέτακται Κύριος ἕως αἰῶνος. ε'. Καὶ ὀφθαλμοὶ ὑμῶν ὄψονται, καὶ ὑμεῖς ἐρεῖτε. ἐμεγαλύνθη Κύριος ὑπεράνω τῶν ὁρίων τοῦ Ἰσραήλ. Πρόσφατον ἦσαν Ἰδουμαῖοί τε τετιμωρημένοι καὶ πλείστων ὅσων ἐν πείρᾳ γεγονότες κακῶν, ὑπὲρ ὧν διατεθείκεσαν τοὺς Ἰσραηλίτας κατὰ τὸν καιρὸν ἐκεῖνον, καθ' ὃν Ἀσσύριοί τε αὐτοῖς πρότερον καὶ Βαβυλώνιοι μετὰ τοῦτο ἐπῆλθον. Ταῦτα δὲ προείρητο μὲν τῷ μακαρίῳ Δαυὶδ ἐν ψαλμοῖς. λέγει γάρ [1]). „Μνήσθητι, Κύριε, τῶν υἱῶν Ἐδὼμ τὴν ἡμέραν Ἱερουσαλὴμ, τῶν λεγόντων ἐκκενοῦτε ἕως τῶν θεμελίων αὐτῆς! θυγάτηρ Βαβυλῶνος ἡ ταλαιπωρός!" ἐν οἷς ἔδειξεν ὅτι καὶ Βαβυλώνιοι δώσουσι δίκας, ὑπὲρ ὧν αὐτοὺς διατεθείκασι κακῶν, καὶ Ἰδουμαῖοι δὲ τιμωρηθήσονται συμπράξαντες αὐτοῖς ἐν τοῖς κα-

[1]) Ps. CXXXVI, 7. 8.

sionem in solitudinem redegi. V. 4. *Quare si dixerit: Idumaea eversa est, sed rursus aedificemus vastatas ejus; haec dicit Dominus omnipotens: illi quidem aedificent, ego vero destruam; et nomen habebunt regionis iniquae populique, contra quem Dominus instructus est in aeternum.* V. 5. *Haec oculi vestri videbunt, et dicetis: magnificatus est Dominus super fines Israelis.* Idumaei recens erant puniti et maximae calamitates iis inflictae propter ea, quae adversus Israelitas susceperant eo tempore, quo Assyrii primum et deinde Babylonii illos adgressi erant. Quod etiam beatus David in psalmis praedixit: „Recordare, Domine filiorum Edomi die Hierosolymae, qui dicunt: evertite, evertite funditus eam. O filia Babylonis infelix!" quibus significat, etiam Babylonios poenas soluturos esse, propter mala, quae iis attulerint, nec non Idumaeos, qui illorum in vexandis Israelitis socii fuerint, puniendos esse. Idem vero etiam beatus Abdias postea praedixit; sed quum nunc illa

τὰ τῶν Ἰσραηλιτῶν κακοῖς. Προεῖπε δὲ καὶ ὁ μακάριος Ἀβδίας ὁ προφήτης μετὰ τοῦτο, ἀλλ' ἐπειδὴ νῦν εἴληφεν τὴν ἔκβασιν ἐκεῖνα καὶ νεαρὰ παρὰ πᾶσιν ἦν ἡ μνήμη τῆς ἐπιγενομένης κατὰ τῶν Ἰδουμαίων παρὰ τοῦ θεοῦ τιμωρίας, εἰκότως ἐκ παραθέσεως τῆς πρός ἐκείνους ἐνδείκνυται τὴν ἀγάπην ἑαυτοῦ, τῶν περὶ τούτους ἀπὸ τῶν προπατόρων τούτων τε καὶ Ἰδουμαίων τὴν ἀρχὴν ποιησάμενος· ἦν γὰρ τούτων μὲν Ἰακὼβ, ἐκείνων δὲ Ἠσαῦ. λέγει τοίνυν, ὅτι ἀδελφοὶ μὲν ἦσαν ἀμφότεροι, τοῦ νόμου δὲ τῆς φύσεως κοινὰ πάντα αὐτοῖς ποιοῦντος, ἠγάπησα μὲν τὸν ὑμέτερον προπάτορα ἐμίσησα δὲ τὸν ἐκείνων Ἠσαῦ, καὶ δὴ διαμεμένηκα ἄχρι τοῦ δεῦρο τῆς τε περὶ ὑμᾶς ἀγάπης καὶ τοῦ περὶ ἐκείνων μίσους τὴν ἀπόδειξιν παρεχόμενος. πᾶσαν μὲν γὰρ αὐτῶν τὴν χώραν ἠφάνισα δι' ὑμᾶς, δίκας αὐτοὺς εἰσπραττόμενος ὧν καὶ καθ' ὑμῶν τετολμήκασι, πᾶσαν δὲ αὐτῶν τὴν κτῆσιν μετέστησα εἰς ἐρημίαν, ἣν τοσαύτην αὐτοῖς ἐπήγαγον καὶ οὕτω χαλεπὴν, ὥστε κἂν εἰ μεταβαλόμενοί ποτε βουληθεῖεν διορθώσασθαι τὰ οἰκεῖα καὶ ἀνοικοδομῆσαι τὰς ἠρημωμένας αὐτῶν πόλεις τε καὶ χώρας, μηθὲν δύνασθαι τοῦτο ποιεῖν. ἀπεφηνάμην γὰρ κατ' αὐτῶν ἐρημίαν, καὶ

eventum habuissent, omnibusque poenae a Deo Idumaeis inflictae recens adhuc memoria esset, merito comparatione cum illis facta amorem suum ostendit, eorum, quae ipsis benefecerit, repetita a majoribus horum et Idumaeorum origine; horum enim pater Jacobus, illorum vero Esavus. Itaque dicit: ambo fratres fuerunt; quamvis igitur natura iis communia omnia faceret, nihilominus vestrum patrem amavi, illorum vero patrem, Esavum odio habui; et hujus erga vos amoris odii vero in illos nunquam non argumenta exhibui. Totam enim illorum terram everti, inflicta iis per vos poena etiam propter ea, quae adversus vos ausi sint; omniaque, quae possederunt, in solitudinem mutavi, quam tantam tamque gravem effeci, ut etiamsi quando acta poenitentia redintegrare sua voluerint, vastataque oppida rursus aedificare, nihil horum facere possint. Semel enim in eos solitudinem declaravi, unde fieri nequit, ut res eorum redintegrentur, quum etiamsi ad aedificandum accingantur, ego

οὐδαμῶς οἷόν τε συστῆναι τὰ ἐκείνων πάλιν, ἐπειδὴ κἂν ἐπιχειρήσωσιν οἰκοδομῆσαι, καταστρέψω πάλιν, ὥστε ἐκείνοις μὲν ὄνομα ἐπικεκλῆσθαι ἀνομίας ὅριον, ἅτε ὑπὸ παρανομίας ἠρημωμένοις· περὶ ὑμᾶς δὲ οὕτως ἐδοκίμασα πᾶν ὅ, τι καλὸν διαπράξασθαι, ὥστε αὐτοὺς ὑμᾶς θεάτας γεγονότας τῶν δωρουμένων ὑμῖν ἀγαθῶν ἐπιγνῶναι τοῦ θεοῦ τὴν δύναμιν τοσούτοις φαιδρύναντος ἀγαθοῖς τὰ ὑμέτερα. Εἶτα ἐπιτείνων τὸ ἔγκλημα.

ς΄. Υἱὸς δοξάζει πατέρα καὶ δοῦλος κύριον αὐτοῦ φοβηθήσεται. καὶ εἰ πατήρ εἰμι ἐγώ, ποῦ ἐστιν ἡ δόξα μου; λέγει Κύριος παντοκράτωρ. Υἱῶν μὲν οὖν ἴδιον, φησί, τοιαῦτα διαπράττεσθαι, ἀφ' ὧν κόσμος τις καὶ σεμνολογία περιέσται τοῖς πατράσι, δούλων δὲ τὸ μετὰ πολλοῦ τοῦ δέους ὑπηρετεῖσθαι τοῖς δεσποτικοῖς ἐπιτάγμασι. ἐγὼ δέ, φησίν, εἰμὶ μὲν ὑμῶν κύριος, ἅτε ἐκ τοῦ μὴ ὄντος ὑμᾶς εἰς τὸ εἶναι παραγαγών, δι' ὑπερβάλλουσαν δὲ φιλανθρωπίαν τε καὶ χρηστότητα ᾠκειωσάμην τε ὑμᾶς καὶ ἐδεξάμην υἱοὺς ἐμοὺς καλεῖσθαι, μεταδέδωκά τε ὑμῖν παῤῥησίαν τοῦ πατέρα ὑμῶν ὀνομάζειν ἐμέ, ὁρῶ δὲ πρὸς οὐδέτερον ὑμᾶς εὐγνωμονοῦντας, οὔτε γὰρ ὡς πατέρα τῇ καλοκαγαθίᾳ τῶν ἐπιτηδευ-

haec destructurus sim. Unde futurum est, ut nomen iis detur regionis iniquitatis, quippe iniquitate in solitudinem redactis. In vos vero quodvis boni genus collaturus sum, ut ipsi bona vobis donata videntes Dei potentiam cognoscatis, qui tot beneficiis res vestras ornaverit. Aucta deinde accusatione ita pergit.

V. 6. *Filius honorat patrem, et servus Dominum suum timebit; at si ego pater sum, ubi est honor meus? inquit Dominus omnipotens.* Filiorum est ea facere, quae patri sunt decori et gloriae; servorum vero est, multo timore dominorum mandatis ministrare. ego vero, inquit pater vester sum, qui, quum nihili essetis, vitam vobis largitus sum, et pro magna mea humanitate ac benignitate vos ut meos conciliavi et adscivi, nec non filiorum meorum appellationem vobis concessi, atque vos patrem me dicere, permisi. Sed ad neutrum vos rationem aequam habere video; neque enim ut patrem facinorum vestrorum honestate ve-

μάτων τῶν οἰκείων σεμνύνειν ἐσπουδάκατε, οὔτε ὡς δεσπότῃ καὶ δεδοικότες τῶν ἐπιταγμάτων φροντίζετε τῶν ἐμῶν. Οὕτω δὴ κοινὸν κατὰ πάντων τὸν ἔλεγχον ποιησάμενος διορίζει καὶ τὰ πρόσωπα καὶ τὰ πράγματα, καὶ δὴ διαλεγόμενος πρὸς τοὺς ἱερέας οὕτω φησίν· Ὑμεῖς οἱ ἱερεῖς οἱ φαυλίζοντες τὸ ὄνομά μου. Ὑμεῖς, φησίν, οἱ τὴν λειτουργίαν ἐμπεπιστευμένοι τὴν θείαν καὶ ὁδηγοὶ τοῖς λοιποῖς ὀφείλοντες εἶναι τῶν κρειττόνων τοιαῦτα διαπράττεσθε, ἀφ᾽ ὧν οὐδενὸς ἄξιον ὄντα με λόγου δείκνυτε τοῖς παρ᾽ ὑμῶν πραττόμενα ὁρῶσι. — Καὶ εἴπατε· ἐν τίνι ἐφαυλίσαμεν τὸ ὄνομα αὐτοῦ; Ὁμοίως κἀνταῦθα λέγων τὸ εἴπατε, ἵνα εἴπῃ, ἐκ πολλῆς τῆς ἀπροσεξίας οὐδὲ αἴσθησιν ἔχετε ἐπὶ τῷ τοσούτῳ πλημμελήματι, ἀλλὰ διέκεισθε ὡς οὐδὲν ἄτοπον διαπραττόμενοι, καιτοίγε τοσοῦτον ἐργαζόμενοι κακόν. Εἶτα λέγει καὶ τὸ γινόμενον.

ζ. Προσάγοντες πρὸς τὸ θυσιαστήριον ἄρτους ἠλισγημένους. Οὐ γὰρ κατὰ τὴν νόμου διδασκαλίαν οὐδὲ κατὰ τὰς Μωσαϊκὰς διατάξεις σὺν ἐπιμελείᾳ ποιεῖσθε τῶν ἄρτων τὴν πρόθεσιν, ἀλλὰ κοινοὺς καὶ ὡς ἔτυχε γεγονότας παρὰ τὸ διατεταγμένον λαβόντες αὐτοὺς ἐπιτίθητε τῇ τραπέζῃ. λέγει δὲ ἠλισγημέ-

nerari me studuistis, neque ut Dominum veriti mandata mea curatis. Ita omnibus communi reprehensione objurgatis, discernit etiam personas atque res, et sacerdotes adlocutus ita dicit: *Vos sacerdotes, qui despicitis nomen meum.* Vos, inquit, quibus divinum ministerium concreditum est, quique caeteris virtutis duces esse debebatis, talia facitis, quae iis, qui opera vestra considerant, mei vobis nullam rationem esse, ostendunt. *At dicitis, quanam in re despeximus nomen ejus?* Verbi dicitis sensus hoc loco similis est (atque supra), nempe is: ob nimiam incuriam tanti delicti ne intelligentiam quidem habetis, sed nihil protervi fecisse vobis videmini, quamvis tam grave peccaveritis. Deinde etiam, quae facta sint, narrat.

V. 7. *Offertis ad altare meum panes pollutos.* Non ea, quae legis institutione Mosaicisque praescriptis sancita est diligentia, panum facitis oblationem, sed impuros et prouti cadebat comparatos sumentes hos mensae imponitis. Impuros autem fermentatos dicit, qui

τους τοὺς ζυμωτούς. ὃ προδήλως ἐναντίον ἦν τῷ νόμῳ, ἀζύμους ἐπὶ τοῦ θυσιαστηρίου κελεύοντι προσάγεσθαι τοὺς ἄρτους, ζυμωτὸν δὲ μηδ᾽ ὅλως. „πᾶσαν γὰρ θυσίαν, φησὶν, ἣν ἂν προσφέρητε Κυρίῳ, οὐ ποιήσετε ζυμωτόν. [1]“ οὗπερ οὕτω σαφῶς διατεταγμένου ἐναντίον ἦν τὸ ζυμωτοὺς προσφέρειν τοὺς ἄρτους. ὑπὲρ οὗ δὴ καὶ αἰτιᾶται δικαίως αὐτοὺς ὡς τἀναντία τῷ νόμῳ διαπραττομένους προδήλως. — Καὶ εἴπατε, ἐν τίνι ἠλισγήσαμεν αὐτούς; Καὶ τοῦτο, φησὶ, ποιοῦντες οὐδὲ συλλογίζεσθαι βούλεσθε τοῦ γενομένου τὴν ἀτοπίαν. τὸ γὰρ καὶ εἴπατε κἀνταῦθα πάλιν τὴν διάθεσιν λέγει, ἵνα εἴπῃ, ὅτι ὡς οὐθὲν διαπραττόμενοι διακεῖσθε, ἀναισθησίᾳ καὶ ἀπροσεξίᾳ τὴν τοσαύτην ἐργαζόμενοι πλημμέλειαν. — Ἐν τῷ λέγειν ὑμᾶς, τράπεζα Κυρίου ἐξουδενωμένη ἐστὶ, καὶ τὰ ἐπιτιθέμενα ἐξουδενώσατε. Πάλιν κἀνταῦθα τὸ ἐν τῷ λέγειν οὕτω φησὶν ὡς ἀντὶ πράγματος τὴν διάθεσιν δηλῶν. βούλεται γὰρ εἰπεῖν, ὅτι τὸ τοιαῦτα ποιεῖν ὑμᾶς οὐχ ἕτερόν τι κατὰ διάνοιαν ἔχοντας δείκνυσιν, οὐδ᾽ ἑτέρως πῶς διακειμένους, ἀλλ᾽ ἢ ὡς οὔτε τῆς τραπέζης τῆς ἐμῆς τυγχάνειν τινὸς ὀφειλούσης σπουδῆς, ἀναγκαίως τε

lege vetiti erant, jubente non fermentatos panes ad altare adferri, nequaquam autem fermentatos. „Omne enim sacrificium, inquit, quod Domino offertis, sine fermento fiat.“ cui praescripto tam claro fermentatorum panum oblatio adversabatur. Merito igitur eos accusat, quod legi contraria temerarie faciant. — *At dicitis: quanam in re eos polluimus?* Sed vel haec facientes, inquit, rei impietatem intelligere nolitis. Vox enim *dicitis* etiam hoc loco habitum indicat; et, ita comparatos eos esse, significat, quasi nihil fecerint, sed socordia et incuria tantum delictum eos commisisse. — *In eo quod dicitis: mensa Domini despicienda est; et imposita ei despexistis.* Etiam hoc loco rursus dicendi verbo animorum habitum pro actionibus designat. namque haec vult dicere: Talia si facitis, non alius vos mentis nec aliter adfectos esse ostenditis, tanquam ac si nec mensa mea ulla cura sit digna, ideoque imponendorum nulla sit ratio habenda. unde adparet segniter vos

[1]) Lev. II, 11.

καὶ τῶν ἐπιτιθεμένων οὐδενὸς ὀφειλόντων ἀξίων εἶναι λόγου. τοῦτο γὰρ δηλοῖ τὸ ῥαθύμως ὑμᾶς ποιεῖσθαι τῶν ἄρτων τὴν πρόθεσιν, οὐ φροντίζοντας ὅπως ἂν κατὰ τὴν νομικὴν ἐπιτελεσθείη διάταξιν. — Καὶ πρῶτον μὲν εἶπε τὸ τῶν ἄρτων ὡσὰν πρῶτον ἁμάρτημα, ἐπειδήπερ ἐκείνους μάλιστα τοὺς ἐπὶ τῆς τραπέζης προτιθεμένους ἄρτους ἐπιμελείας τυγχάνειν ἐχρῆν, ὡς τρόπον τινὰ ὑπὲρ παντὸς τοῦ λαοῦ προσαγομένους, ἐπειδήπερ ἐκέλευσεν αὐτοὺς ὁ Θεὸς καὶ ἓξ εἶναι τὸν ἀριθμὸν, δύο φυλῶν ἐν ἑκάστῳ γνωριζομένων, ὡς ἂν ἐν τοῖς ἓξ αἱ δώδεκα καταλογίζοιντο φυλαὶ, ὑπὲρ ὧν δὴ τὴν πρόθεσιν ἐκέλευσε γίνεσθαι ἄρτων. ἑξῆς δὲ ἐπάγει καὶ ἑτέραν αὐτῶν πλημμέλειαν.

panum oblationem facere, nihil curantes, num hoc secundum legis constitutionem fiat. — Et primum quidem delictum circa panes objurgat, ut primarium peccatum; quum panum in mensa propositorum maximam curam geri oporteret, quia quodammodo pro toto populo offerebantur. Deus enim sex esse jussit, quorum quisque binas tribus indicavit, ita ut in sex illis panibus duodecim tribus comprehenderentur, quorum causa panum oblationem fieri Deus jusserat.

η'. *Διότι ἐὰν προσαγάγητε τυφλὸν εἰς θυσίαν οὐ κακόν; καὶ ἐὰν προσαγάγητε χωλὸν ἢ ἄῤῥωστον, οὐ κακόν.* Ἐν δὲ τῷ τοιαῦτα, φησὶ, προσφέρειν τῷ Θεῷ θυσίας ἕνεκεν οὐχ ἁμαρτάνειν οἴεσθε; Καὶ δεικνὺς τοῦ γενομένου τὴν ἀτοπίαν. *Προσαγάγετε δὴ αὐτὸ τῷ ἡγουμένῳ σου, εἰ προσδέξεται, εἰ λήψεται πρόσωπόν σου; λέγει Κύριος παντοκράτωρ.* Ἀλλὰ γὰρ εἰ μὴ κατὰ σαυτὸν συνορᾷς τοῦ γινομένου τὸ ἄτοπον, πειρά-

V. 8. *Si itaque caeca adfertis in sacrificium, nonne hoc malum? et si clauda aut aegrota adfertis, nonne hoc malum?* Nonne, inquit, in eo peccare vobis videmini, si talia Deo immolanda offertis? Et dein rei temeritatem indicat. *Offerte ea principi tuo, num accipiet, num tui respectum habebit? inquit Dominus omnipotens.* Nam si rei temeritatem per se non intelligis, conare talia ei, qui principis munere

θητι αὐτὸ προσαγαγεῖν τῷ τὴν ἡγεμονίαν ὑμῶν πεπιστευμένῳ, καὶ θέασαι δὴ, εἰ δέξεται, εἰ αἰδοῖ τῇ πρὸς σὲ κομιεῖται τὴν ὕβριν. οὐχὶ δὲ, τοὐναντίον ὡσὰν ὑβρισμένος παρὰ σοῦ μᾶλλον ἢ τετιμημένος προσυβρίσας σε ἀποπέμψει μετὰ τοῦ προσκομισθέντος, ὄντος τοιούτου. Δείξας αὐτῶν ἀμφοτέρας τὰς ἀτοπίας τήν τε ἐπὶ τῶν ἄρτων καὶ τὴν ἐπὶ τῶν θυμάτων, ἐπάγει.

θ'. *Καὶ νῦν ἐξιλάσκεσθε τὸ πρόσωπον τοῦ θεοῦ ὑμῶν καὶ δεήθητε αὐτοῦ ἵνα ἐλεήσῃ ὑμᾶς.* Ἀλλὰ γὰρ κἂν τοῖς μετὰ ταῦτα διορθώσασθε τὰ πρόσθεν ὑμῶν ἁμαρτήματα, καὶ παυσάμενοι τοῦ τοιαῦτα διαπράττεσθαι, ἔτι ὑπὲρ τῶν παρεληλυθότων αἰτήσατε συγγνώμης τυγχάνειν παρὰ τοῦ θεοῦ. καὶ φοβῶν εἰκότως. *ἐν χερσὶν ὑμῶν γέγονα ταῦτα.* ἔγγυθεν γὰρ ἔχετε τῶν κακῶν τὴν πεῖραν, οἷς οὐ πρὸ πολλοῦ περιπεπτώκατε διὰ τὴν τοῦ προσήκοντος ἀμέλειαν, ὧν τῇ μνήμῃ μάλιστα πᾶσαν ἔχειν ὑμᾶς ἐπιμέλειαν προσήκει τοῦ καλοῦ. — *Εἰ λήψομαι ἐξ ὑμῶν πρόσωπα ὑμῶν; λέγει Κύριος παντοκράτωρ.* Ἀφ' ὧν ὀφείλετε εἰδέναι, ὡς οὐδὲ νῦν ὑμᾶς ἁμαρτάνοντας αἰδεσθήσομαι, εἰ μὴ μεταμελείᾳ τινὰ διόρθωσιν ἐπαγάγοιτε τοῖς πλημμελουμένοις παρ' ὑμῶν.

penes vos praeditus est offerre, et vide, num te veritus contumeliam tolerabit. Minime vero! imo contra quasi contumelia magis quam honore adfectus te cum oblatione tua tam abjecta extrudet superaddita etiam contumelia. Jam, ostensa eorum utraque temeritate cum quoad panes tum quoad sacrificia, addit.

V. 9. *Jam igitur expiate faciem Dei vestri, et implorate eum ut vestrum misereatur.* Jam vero et in posterum peccata vestra emendate, et a talibus facinoribus desistentes etiam praeteritorum veniam rogate a Deo. Deinde iis merito timorem injicit: *In manibus vestris haec fuerunt.* Propinquae adhuc miseriae sunt, quibus ante haud multum temporis propter officiorum neglectum adficiebamini, quorumque ne obliviscamini admodum videndum vobis est. — *Num vestra causa personarum respectum habebo? inquit Dominus omnipotens.* Id enim bene sciatis, me vos non reveriturum esse, nisi acta poenitentia delicta vestra emendaveritis.

ι'. *Διότι καὶ ἐν ὑμῖν συγκλεισθήσονται θύραι, καὶ οὐκ ἀνάψεται τὸ θυσιαστήριόν μου δωρεάν.* Καὶ [1]) γὰρ χαλεπόν μοι, καὶ ἄβατον ὑμῖν ποιῆσαι τὸν ναὸν τὸν ἐμὸν καὶ παῦσαι πάλιν ὑμᾶς τοῦ τῷ θυσιαστηρίῳ ὑπηρετεῖσθαι τῷ ἐμῷ διαπραττομένους τοιαῦτα, ὅπερ οὖν ἤδη πεποίηκα παραδοὺς μὲν πυρὶ τὸν ναὸν, ἐπειδὴ πλημμελοῦντας ὑμᾶς ἀνήκεστα ἑώρων ἐν αὐτῷ, αἰχμαλωσίᾳ δὲ ὑμᾶς παραδοὺς, ἐν ᾗ καθεστῶτες οὐδὲν τῶν εἰς ἱερατικὴν λειτουργίαν ἡκόντων ποιεῖν οἷοί τε εἶτε [2]). *Οὐκ ἔστι μου θέλημα ἐν ὑμῖν, λέγει Κύριος παντοκράτωρ, καὶ θυσίαν οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν.* Εὖ γὰρ ἴστε, ὅτι ἄχρις ἂν τοιαῦτα διαπράττησθε, ἀποστρέφομαί τε τὰ παρ' ὑμῶν γινόμενα, καὶ τὰς θυσίας ὑμῶν οὐ προσίεμαι, ὥστε οὐδὲ τὸ κέρδος ἀποίσεσθε, οὗπερ οὖν ἐλπίδι τῶν θυσιῶν τὴν προσκομιδὴν ποιεῖσθε.

V. 10. *Ideo etiam apud vos januae claudentur, nec ara mea frustra succendetur.* Etenim (non) molestum mihi est, templum meum vobis inaccessum facere, et rursus efficere, ut, quum tantopere peccaveritis, vos non amplius arae meae ministretis; id quod jam feci, templum concremandum curans, quum vos nefanda in eo perpetrantes viderem. tunc captivitati vos tradebam, qua impediti nihil eorum, quae ad munera sacerdotalia pertinent, facere poteratis. *Delectationem enim de vobis non habeo, inquit Dominus omnipotens; nec sacrificium e manibus vestris accipiam.* Haud enim ignoratis, quamdiu talia perpatretis, me, quaecunque faciatis, respuere nec sacrificia vestra cupere; igitur neque quaestum habebitis, quem ex oblatis sacrificiis exspectatis.

ια'. *Διότι ἀπὸ ἀνατολῶν ἡλίου καὶ ἕως δυσμῶν αὐτοῦ τὸ ὄνομά μου δοξάσει ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται ἐπὶ τῷ ὀνόματί μου καὶ θυσία καθαρά.* διότι μέγα

V. 11. *Nam ab ortu solis usque ad occasum magnum erit inter gentes nomen meum; et ubique locorum suffitus incendetur nomini meo et sacrificium purum.* nam magnum inter gen-

[1]) Leg. οὐ. — [2]) Leg. ἦτε.

τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι, λέγει Κύριος παντοκράτωρ. Ἀπανταχοῦ, φησὶ, γῆς τὴν ὀνομασίαν τὴν ἐμὴν ἅπαντες διώκουσι οἱ ὅπου ποτὲ καθεστῶτες τῶν ἀνθρώπων, Θεὸν γὰρ σέβειν ἐσπούδακεν ἕκαστος καὶ τὴν τούτου περιέπειν ὀνομασίαν, ὡσὰν δεσπότου τε καὶ κυρίου. ὅπερ οὖν ὄντως εἰμὶ ἐγὼ, ὥστε εἰ καὶ πεπλανημένως οἷς οὐ προσῆκε τὴν ὀνομασίαν περιτεθέασι τὴν ἐμὴν, ἀλλὰ τὴν ἐμήν ὅμως περιέπουσι ἅπαντες καὶ ἐπ' ὀνόματι τῷ ἐμῷ τὰς θυσίας ἐπιτελοῦσι, πάντων μέγιστον καὶ πάντων ὑπερέχον νομιζόντων[1]) τὸ θεῖον. ιβ'. ὑμεῖς δὲ τὸ παρὰ πᾶσιν οὕτω μέγα τε νομιζόμενον καὶ σεπτὸν ἐξυβρίζοντες φαίνεσθε, ἐπειδὴ ἐν τῷ τὴν τραπέζην τὴν ἐμὴν κοινὴν ἡγεῖσθαι καὶ μηδὲν ἔχουσαν πλέον τῶν λοιπῶν τά γε ἐπιτιθέμενα μηδεμίας ἄξια νομίζειν σπουδῆς τοιαῦτά τε μοι προσφέρειν, τὴν ἐμὴν ὀνομασίαν προδήλως ἐξυβρίζοντες φαίνεσθε, ἐν οὐδενὸς μέρει τιθέμενοι τὸ θεῖον, ὃ παρὰ πᾶσιν οὕτω τε μέγαν καὶ φοβηρὸν ὑπειλήπται καὶ σεβάσμιον καὶ πάντων ὑπερέχον δικαίως.

ιγ', Καὶ εἴπατε, ταῦτα ἐκ κακοπαθείας ἐστί. καὶ ἐξεφύσησα αὐτὰ, λέγει Κύριος παντοκράτωρ. Εἶτα ὑ-

[1]) Leg. νομίζοντες.

tes erit nomen meum, inquit Dominus omnipotens. Ubique terrarum, inquit, ubicunque sint homines, nomen meum (honore) prosequentur; Deum enim venerari ejusque nomen colere nemo non studebit, tanquam regis et domini. qui etiam revera ego sum; unde, etiamsi quibus non decuit, nomen meum tribuerint, me tamen omnes colunt, et nomini meo sacra sua faciunt, quippe omnium maximum omniumque supremum numen esse rati. V. 12. Vos vero id, quod ab omnibus maximum et augustissimum habetur, insolentia lacessitis, dum mensam meam profanam esse, nec alias ullo modo antecellere rati, eam nullo honore dignam aestimantes et talia mihi offerentes, nomen meum aperte insolentia lacessitis; namque numen nihili facitis, quod ab omnibus tam magnum et reverendum, et augustum atque omnium summum recte censetur.

V. 13. *Et dicitis, haec de molestia sunt. at ego ea respui, inquit Dominus omnipotens.* Deinde vel glo-

μεῖς μὲν, φησὶ, σεμνύνεσθε ὡς ἐκ πόνου καὶ ἱδρώτων καὶ κακοπαθείας προσφέροντες ἰδίας, ἐγὼ δὲ αὐτὰ ἀπέῤῥιψα τοσαύτην οὖσαν ὑμῶν τὴν ἐν τῇ προσκομιδῇ καταφρόνησιν θεωρῶν. Καὶ εἰσφέρετε τὰ ἁρπάγματα καὶ τὰ χωλὰ καὶ τὰ ἐνοχλούμενα, καὶ προσφέρετε αὐτὰ εἰς θυσίαν, εἰ προσδέξομαι αὐτὰ ἐκ τῶν χειρῶν ὑμῶν, λέγει Κύριος παντοκράτωρ. Ἐπειδὴ δὲ ἐν ταῖς θυσίαις τοιαῦτα προσεκομίζετε, ἔτι μᾶλλον αὐτὰ ἀπεπεμπόμην ὡς φαῦλα καὶ ἐν φαύλης προσφερόμενα γνώμης. Εἶτα νόμον τιθείς.

riamini, quasi haec multo labore et sudore ac molestia vestra offeratis; ego vero ea rejeci, quia tantam vestram superbiam, qua offerebatis, noveram. — *Adferte rapta et clauda et aegrota, et haec in sacrificium offerte, num forte ea accipiam e manibus vestris? inquit Dominus omnipotens.* Quum vero tales adferebatis oblationes, eo magis eas recusabam; utpote malas et mala mente oblatas. Et deinde legem constituit.

ιδʹ. Καὶ ἐπικατάρατος, ὃς ἦν δυνατὸς καὶ ὑπῆρχεν αὐτῷ ἐν τῷ ποιμνίῳ αὐτοῦ ἄρσεν, καὶ ἡ εὐχὴ αὐτοῦ ἐν αὐτῷ, καὶ θύει διεφθαρμένα τῷ Κυρίῳ διότι μέγας βασιλεὺς ἐγώ εἰμι, λέγει Κύριος παντοκράτωρ, καὶ τὸ ὄνομά μου ἐπιφανὲς ἐν τοῖς ἔθνεσιν. Πᾶς δὴ, φησὶν, εὐχὴν ἐπὶ θυσίᾳ πεποιημένος, εἶτα εὐπορῶν καὶ δυνάμενος ἐκ τῶν προσόντων αὐτῷ ποιμνίων προσαγαγεῖν ἄρσεν τε καὶ δόκιμον, καὶ οἷον προσάγεσθαι πρέπον Θεῷ, καὶ τοῦτο μὲν οὐ προσάγων, φαῦλον δέ τι καὶ διεφθαρμένον θύων τῷ Θεῷ, τῆς ἐσχάτης ἄξιός ἐστι τιμωρίας, ἐ-

V. 14. *Maledictus sit, qui potuit, et in grege suo habuit masculum, quod (sacrificandum) voverat, tamen immolat Deo corruptum. Nam magnus ego rex sum, inquit Dominus omnipotens, et nomen meum inter gentes praeclarum est.* Quicunque condito sacrificii voto, gregibus abundans, e quibus masculum et probatum, quale adferri decet, adferre potest, id vero Deo non adfert, sed malum et corruptum Deo immolat; is summa dignus est punitione, quoniam Deo, omnium regi ab omnibus pariter ob naturae suae

τῶν πραττομένων ἐπάξω τιμωρίαν. τοῦτο γάρ ἐστι τὸ λήψομαι ὑμᾶς εἰς τὸ αὐτό.

etiam communem vobis factorum poenam infligam. hoc enim significant verba comprehendam vos in unum.

δ'. *Καὶ ἐπιγνώσεσθε διότι ἐγὼ Κύριος ἐξαπέσταλκα πρὸς ὑμᾶς τὴν ἐντολὴν ταύτην, τοῦ εἶναι τὴν διαθήκην μου πρὸς τοὺς Λευΐτας, λέγει Κύριος παντοκράτωρ.* Τότε ἐκ τῆς περιγινομένης ὑμῖν ἀτιμίας τε καὶ τιμωρίας αἰσθήσεσθε ἀκριβῶς τῆς τε ἐξουσίας καὶ τῆς δυνάμεως τῆς ἐμῆς καὶ ὅτι ἐγὼ μὲν εὖ ποιεῖν ὑμᾶς βουλόμενος ἐξ ἀρχῆς εἰς τὴν ἱερατικὴν παρήγαγον ἀξίαν, τοιαύτας τινὰς θέμενος πρὸς ὑμᾶς τὰς συνθήκας, ἵνα τῆς παρ' ἐμοῦ δοθείσης ἀπολαύοντες τιμῆς ἅπαντα πρὸς τὴν ἐκείνων ὠφέλειαν ποιῆτε, ὑπὲρ ὧν μέτιτε τὴν ἱερωσύνην. ὑμεῖς δὲ οὐδένα τούτων ἐποιήσασθε λόγον, ἀλλὰ τῆς τε δοθείσης ὑμῖν ὑπερίδετε τιμῆς καὶ ἀμελείᾳ τοσαύτῃ τὴν ἐμὴν παρεδώκατε λειτουργίαν. — Εἶτα ἐπειδὴ τὰ τῆς ἱερωσύνης ἐκ τοῦ Ἀαρὼν εἴληφε τὴν ἀρχήν, ὃς πρῶτος ἀρχιερεὺς κατὰ θείαν προβολὴν ἀπεδείχθη, ἐπάγει.

V. 4. *Tunc intelligetis, me, Dominum hoc vobis dedisse praeceptum, ut esset foedus meum cum Levitis, inquit Dominus omnipotens.* Tunc ex ignominia et poena vobis inflicta potentiam meam atque vim accurate intelligetis, meque vobis benefacturum vos ad sacerdotalem promovisse dignitatem illo vobiscum foedere inito, ut honore a me concesso fruentes omnia in eorum commodum faceretis, quorum causa sacerdotium accepistis. Vos autem eorum nihil respexistis, sed honorem vobis concessum sprevistis cultumque mihi debitum neglexistis. — Deinde, quia sacerdotii munus ab Aarone initium cepit, qui primus a Deo summus sacerdos eligebatur, addit.

ε'. *Ἡ διαθήκη μου ἦν μετ' αὐτοῦ τῆς ζωῆς καὶ τῆς εἰρήνης, καὶ ἔδωκα αὐτῷ φόβον φοβεῖσθαί με καὶ ἀπὸ προσώπου τοῦ ὀνόματός μου στέλλεσθαι αὐτόν.*

V. 5. *Foedus illud meum cum eo vitam et pacem spectabat, et dedi ei, ut timore me timeret et nomen meum revereretur.* V. 6. *Lex veritatis in ore suo erat, nec*

ϛ'. νόμος ἀληθείας ἦν ἐν τῷ στόματι αὐτοῦ, καὶ ἀδικία οὐχ εὑρέθη ἐν χείλεσιν αὐτοῦ. ἐν εἰρήνῃ κατευθύνων ἐπορεύθη μετ' ἐμοῦ καὶ πολλοὺς ἀπέστρεψεν ἀπὸ ἀδικίας. ζ'. ὅτι χείλη ἱερέως φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ, ὅτι ἄγγελος Κυρίου παντοκράτορός ἐστιν. Ἐκεῖνον γοῦν πρῶτον, φησὶν, ἐπιλεξάμενος συνθήκας πρὸς αὐτὸν ἐθέμην, ἐπαγγειλάμενος μὲν αὐτῷ καὶ ζωῆς μακρᾶς καὶ εἰρήνης ἀπόλαυσιν, κελεύσας δὲ τὸν φόβον ἐπὶ τῆς διανοίας ἔχειν τὸν ἐμὸν καὶ μετὰ πολλοῦ τοῦ δέους καὶ τὴν μνήμην ποιεῖσθαι τὴν ἐμήν. ἠκολούθησε δὲ ἄρα καὶ τὰ παρ' ἐκείνου πρέποντα τῇ τιμῇ τῇ παρ' ἐμοῦ, ἐπειδὴ τέθεικε μὲν ἑαυτῷ νόμον τοῦ ζῆν σὺν ἀληθείᾳ καὶ ἅπαν ἀποστρέφεσθαι ψεῦδος. ἐφθέγξατο δὲ οὐδὲ πώποτε ἄδικον οὐθὲν οὔθ' ὃ βλάβης αἴτιον τοῖς ὑπὸ τὴν ἱερωσύνην ἐγίνετο. ὑπὲρ δὴ τούτων ἀκολούθως ταῖς ἐπαγγελίαις ταῖς ἐμαῖς αὐτός τε ἐν εἰρήνῃ διῆγεν, ἐν οὐδενὶ πώποτε πρὸς ἐμὲ διενεχθεὶς οὐδέ τι τῶν ἐμοὶ διαπραξάμενος ἐναντίων, (τοῦτο γὰρ λέγει ἐν εἰρήνῃ κατευθύνων ἐπορεύθη μετ' ἐμοῦ), καὶ πολλοὺς δὲ ὅσους ἐπὶ τὸ κρεῖττον ἐκ τοῦ χείρονος ἐπανῆγεν. συντόμως τε

iniquitas in labiis suis inveniebatur; et in pace incedens mecum ambulabat, multosque ab iniquitate revertebat. V. 7. *namque sacerdotis labia cognitionem custodient; legemque ex ore ejus requirent, nuntius enim Domini est.* Cum illo enim, inquit, quem primum elegi, foedus inii, longae vitae pacisque fructum ei pollicitus; eumque timorem meum semper in animo volvere et multo metu mei facere mentionem jubens. Ille autem omnia, quae honori meo congrua erant, etiam fecit; nam eam sibi legem constituerat, ut veritatem sequeretur omne mendacium abominatus; unde etiam nunquam quidquam iniqui locutus est, vel quod iis, qui sub sacerdotio erant, noxae esse poterat. Quam ob rem promissionibus meis congrue vixit, neque in ulla re mihi obnixus, nec quidquam adversus me molitus (hoc enim significant verba, in pace incedens ambulabat mecum), plurimos quoque e sceleribus ad virtutem revocavit et, brevi ut dicam, quaecunque sacerdotem decent, ea fecit, veritatis cognitionem tradens et omnes

εἰπεῖν, ὃ μάλιστα πρέπον ἦν ἱερεῖ διεπράττετο, διδάσκων μὲν τῆς ἀληθείας τὴν γνῶσιν, πρὸς δὲ τὸν νόμον τὸν θεῖον ἅπαντας τοὺς ὑπ᾽ αὐτὸν ἐπανάγων καὶ διδάσκων, ὅπως ἂν ἀσχολοῖντο πάντοτε περὶ αὐτόν. τοῦτο γὰρ ἱερέως ἔργον, ἀγγέλου τινὸς τάξιν ἐπέχειν τεταγμένου τοῖς λοιποῖς ἀνθρώποις καὶ πάντας ἐπὶ τὴν ἀρετὴν ἐπανάγοντος, ὅπεροῦν καὶ τοῖς ἀγγέλοις περὶ ἡμᾶς ἔργον ποιεῖν. Ταύτας δὴ πρὸς τὸν Ἀαρὼν ἐθέμην τὰς συνθήκας, ὃς καὶ ἀκόλουθα τοῖς ἐμοῖς διεπράττετο νόμοις, ὑμεῖς δὲ οἱ τὴν ἱερωσύνην διαδεξάμενοι τοῦ ἐκείνου παμπολὺ τούτων ἐστὲ κεχωρισμένοι. Πῶς καὶ τίνα τὸν τρόπον;

η'. Ὑμεῖς δὲ ἐξεκλίνατε ἐκ τῆς ὁδοῦ καὶ πολλοὺς ἠσθενήσατε ἐν νόμῳ διεφθείρατε τὴν διαθήκην τοῦ Λευὶ, λέγει Κύριος παντοκράτωρ. Ἐξετράπητε γὰρ τῆς περὶ ταῦτα σπουδῆς, ὥστε καὶ τοὺς λοιποὺς ῥᾳθύμως περὶ τὸν νόμον ποιῆσαι, οὕτω τε πάσας συντόμως εἰπεῖν τὰς συνθήκας, ἃς πρὸς ἐκεῖνον ἐθέμην, βουλόμενος αὐτὰς καὶ ἐπὶ τῶν ἐκείνου διαδόχων κρατεῖν, τῇ οἰκείᾳ διεφθείρατε κακίᾳ. —

θ'. Καὶ ἐγὼ δέδωκα ὑμᾶς ἐξουδενωμένους καὶ παρειμένους εἰς πάντα τὰ ἔθνη, ἀνθ᾽ ὧν ὑμεῖς οὐκ ἐ-

sibi subditos ad legem divinam adducens eosque instituens, quomodo huic semper opera sit navanda. hoc enim sacerdotis est negotium, ut angeli quodammodo locum obtineat, qui ad caeteros homines missus est, omnes ad virtutem vocaturus. hoc enim angelorum circa nos negotium est. Hoc igitur cum Aarone inii foedus, qui etiam praescriptis meis congrue egit, vos vero, qui illi in sacerdotio successistis, prorsus ab iis receditis. Quanam autem ratione?

V. 8. *Vos vero ab illa via recessistis et multos quoad legem infirmos fecistis: foedus Levis violastis, inquit Dominus omnipotens.* Adeo a recti studio aberrastis, ut etiam alios segnes circa legem reddideritis, et ita, brevi ut dicam, omne foedus, quod cum illo pepigeram, et quod etiam illius successoribus manere volui, vestra malitia solveritis.

V. 9. *Propterea reddidi vos contemptos et dispersos inter omnes gentes, quoniam vias meas non tenuistis, sed*

φυλάξασθε τὰς ὁδούς μου, ἀλλ᾽ ἐλαμβάνετε πρόσωπα ἐν νόμῳ. Καλῶς ἐκ τῶν πρὸ βραχέος γεγονότων αὐτοὺς σωφρονίζει. τοιαῦτα γάρ, φησὶν, ὑμᾶς διαπραττομένους εὑρὼν αἰχμαλωσίᾳ παραδέδωκα, τὸ μηδὲ [1]) ἀποδείξας καὶ πάντῃ [2]) τῆς ἱερατικῆς ἔξω καταστήσας τιμῆς, ἀνθ᾽ ὧν οὐδένα λόγον ποιεῖσθαι τῶν προσταγμάτων ἐβούλεσθε τῶν ἐμῶν, συνεπράττετε δὲ καὶ τοῖς λοιποῖς ἀμελεῖν τῶν νόμων, οὓς σωφρονίζεσθαι παρ᾽ ὑμῶν δίκαιον ἦν. τοῦτο γὰρ λέγει τὸ ἐλαμβάνετε πρόσωπα ἐν νόμῳ· ἀντὶ τοῦ ἐλέγχειν τοὺς ἁμαρτάνοντας παρὰ τὸ τῷ νόμῳ δοκοῦν οὐκ ἐβούλεσθε.

ι᾽. Οὐχὶ θεὸς εἷς ἔκτισεν ὑμᾶς; οὐχὶ πατὴρ εἷς πάντων ὑμῶν; τί ὅτι ἐγκατελίπετε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ τοῦ βεβηλῶσαι τὴν διαθήκην τῶν πατέρων ὑμῶν; Καίτοιγε, φησὶ, καὶ ὑμεῖς κἀκεῖνος, λέγει δὲ τὸν Ἀαρὼν, ὑφ᾽ ἑνός τε γεγόνατε θεοῦ κηδεμονίας τε καὶ τιμῆς ἠξιώθητε τῆς αὐτῆς, κοινῇ γὰρ καὶ πρὸς ἐκεῖνον καὶ πρὸς ὑμᾶς ἔφην τὸ [3]) „Ἐγὼ εἶπον, θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες,“ ὅπερ δὴ μάλιστα τοῖς τῆς ἱερατικῆς προεδρίας ἐπειλημμένοις καὶ ἡγου-

in lege tradenda personarum respectum habuistis. Egregie illos rebus haud multum ante gestis castigat. Quum ita agentes vos viderem, captivitati vos tradidi; nihil vos esse declarans et sacerdotali dignitate prorsus exuens; quoniam mandatorum meorum rationem habere nolebatis, et una cum caeteris leges negligebatis, quos tamen a vobis castigari oportebat. hoc enim indicant verba, *in lege tradenda personarum respectum habuistis.* i. e. eos, qui contra legis praecepta deliquerunt, reprehendere nolebatis.

V. 10. *Nonne unus Deus vos omnes creavit? nonne unus pater vobis omnibus? cur igitur alter alterum reliquistis, ut foedus majorum vestrorum violaretis?* Attamen, inquit, vos et ille, Aaronem autem dicit, ab uno creati estis Deo et eadem cura eodemque honore digni habiti, namque ut illi ita vobis dixi illud: „Ego ajebam, Dii estis et Supremi filii vos omnes;“ quod eos maxime spectat, qui sacerdotali dignitate in-

[1]) F. l. μηδέν — [2]) F. l. πάντως. — [3]) Ps. LXXXI, 6.

μένοις ἐντεῦθεν τοῦ λαοῦ ἁρμόττον. πόθεν τοίνυν τοσαύτην ἐπὶ τῶν τρόπων ἐσχήκατε τὴν διαφορὰν, ὥστε ἐκεῖνον μὲν ἐπανορθοῦσθαι τοὺς καθ' ἑαυτὸν καὶ πρὸς τὸ δέον ἐπανάγειν σπουδῇ, ὑμᾶς δὲ παρορᾶν τοὺς ὑπὸ τὴν ἱερωσύνην ὄντας, ἀδελφοὺς ὄντας ἰδίους, ἐξαμαρτάνοντάς τε οὕτως καὶ μονονουχὶ πατοῦντας τῶν νόμων τῶν ἐμῶν τὴν ἀκρίβειαν. Τοιγαροῦν τί γέγονεν;

ια'. Ἐγκατελείφθη Ἰούδας καὶ βδέλυγμα ἐγένετο ἐν τῷ Ἰσραὴλ καὶ ἐν Ἱερουσαλὴμ, διότι ἐβεβήλωσεν Ἰούδας τὰ ἅγια Κυρίου, ἐν οἷς ἠγάπησε, καὶ ἐπετήδευσεν εἰς θεοὺς ἀλλοτρίους. Τοιγαροῦν ἐπειδὴ καὶ οἱ τοῦ λαοῦ τὸ μὴ δέον ἔπραττον καὶ ὑμῖν τοῖς ἱερεῦσι λόγος οὐδεὶς ἦν τῆς ἐκείνων διορθώσεως, ἀφεθέντες τῆς προνοίας τῆς ἐμῆς εἰς αἰχμαλωσίαν ἀπεληλύθατε, ὑπὲρ ὧν δὴ τῆς θεραπείας ἀμελήσαντες τοῦ θεοῦ, ἣν δὴ μάλιστα μετὰ πολλῆς ὑμᾶς μετιέναι προσῆκον ἦν τῆς σπουδῆς, εἰς εἰδώλων ἐξετράπητε θεραπείαν. — Οὕτως ἀπὸ τῶν ἱερέων εἰς ἅπαντας ἐκβαλὼν τὸν λόγον, ὡσὰν τῇ τούτων κακίᾳ καὶ τῶν λοιπῶν γεγονότων τοιούτων, εἰς σωφρονισμὸν ἁπάντων κοινῇ λοιπὸν ἐπάγει.

signiti ideoque populi principes sunt. Unde igitur tantum morum vestrorum discrimen ortum est, ut ille quidem studiose eos, qui sui temporis erant, emendaret et ad officium incitaret, vos vero, eos, qui sacerdotio subditi sunt fratresque vestri, adeo delinquere contra meas leges easque fere conculcare, toleretis? Idcirco quid factum est?

V. 11. *Relictus est Judas, et abominandum factum in Israële et Hierosolymae patratum est; namque Judas sacra Domini profanavit, quae amavit, et operam dedit Diis peregrinis.* Itaque quum etiam Israelitae nefaria patrarent, vos sacerdotes autem illos emendandos non curaretis, providentia mea destituti in captivitatem migrastis, quoniam Dei cultu, quem omni studio sequi debebatis, neglecto, idolis venerandis inclinastis. — Ita a sacerdotibus ad omnes sermonem transferens, quasi illorum pravitate caeteri quoque iis similes facti fuerint, omnes communi ratione castigaturus addit:

ιβ'. Ἐξολοθρεύσει Κύριος τὸν ἄνθρωπον τὸν ποιοῦντα ταῦτα, ἕως ἂν ταπεινωθῇ ἐκ σκηνωμάτων Ἰακὼβ καὶ ἐκ προσαγαγόντων τῷ Κυρίῳ παντοκράτορι. Ἀλλ' εἴγε μὴ τοιούτων ἀποσταίητε, φησὶ, παντελὴς ἀπώλεια λήψεται πάντας ὑμᾶς, ὥστε εἰς τὴν ἐσχάτην ταπείνωσιν τούς τε λοιποὺς ἀχθῆναι καὶ δὴ καὶ ὑμᾶς τοῦ ἱερατεύειν τε καὶ τὰς ὑπὲρ ἑτέρων θυσίας προσάγειν προσποιουμένους, οὐθὲν οὔτε ὑμῶν οὔτε ἐκείνων τῇ προσαγωγῇ τῶν θυσιῶν ὠφελεῖσθαι οἵων τε ὄντων.

V. 12. *Perdet Dominus eum, qui hoc fecerit, usque adeo, ut ejiciatur e sedibus Jacobi et e (numero) eorum, qui Domino omnipotenti sacrificant.* Sed nisi ab his desistatis, inquit, pernicies omnes vos adeo prehendet, ut et caeteri in maximam humilitatem redigantur, et vos, qui sacerdotio fungi et pro caeteris sacrificia offerre simulatis, quin tamen aut vobis aut illis sacrificiorum oblatio quidquam prosit.

Ἐντεῦθεν ἐφ' ἑτέραν αὐτῶν μεθίσταται παρανομίαν. ἐπανελθόντες γὰρ ἀπὸ τῆς αἰχμαλωσίας καὶ τῆς ὑπὸ τοῦ θεοῦ παρασχεθείσης αὐτοῖς εὐπραγίας μετεσχηκότες εἰς ἀκόλαστον ἐκτραπέντες βίον τὰς πρόσθεν ἑαυτῶν γυναῖκας ἠφίεσαν, ἐφ' ἑτέρας ὅπως ποτὲ τρέποντες τὸ ὄμμα, καὶ τὰς μὲν ἐν μακρῷ τῷ χρόνῳ συγγεγονυίας αὐτοῖς καὶ δὴ καὶ τῶν κατὰ τὴν αἰχμαλωσίαν κακῶν τῶν τε αὐτόθι ταλαιπωριῶν κεκοινηκυίας αὐτοῖς ἀπέβαλον ἀδεῶς, ἐφ' ἑτέρας δέ ἐτρέποντο ἐξ ἀκολασίας. εἶτ' οὐδεμιᾶς ἐντεῦθεν βοηθείας προσαγομένης κακῶς πασχούσαις ταῖς γυναιξὶν, οὐδέ τινος τοῖς γινομένοις ἐπιτιμῶντος, ἀναγκαίως τήν τε ὕβριν

Deinde ad aliam eorum transit iniquitatem. E captivitate enim reversi et impetrata felicitate a Deo condita, libidinosae vitae se dederunt, et dimissis pristinis uxoribus in alias conjecerunt oculos, eas vero, quae longo tempore cum ipsis vixerant, imo et captivitatis mala et miserias una perpessae erant, temere abegerunt, alias lascivia sua amplexi. Mulieres autem infelices, quum auxilium nullum impetrarent, nec quisquam injurias reprehenderet, contumeliam et probrum haud diutius ferentes una Deum adierunt, multis lacrimis et gemitibus, quasi omni praesidio

διάθεσιν ἐπὶ τῇ τοσαύτῃ κεκτημένοι παρανομίᾳ. Εἶτα δεικνὺς τοῦ γενομένου τὴν ἀτοπίαν ἐπάγει. Ὅτι Κύριος διεμαρτύρατο ἀναμέσον σου καὶ ἀναμέσον γυναικὸς νεότητός σου, ἣν ἐγκατέλιπες, καὶ αὕτη κοινωνός σου καὶ γυνὴ διαθήκης σου. ιε΄. Καὶ οὐκ ἄλλος ἐποίησε, καὶ ὑπόλειμμα πνεύματός σου. Ἐγὼ μὲν γάρ, φησὶν, ἄνωθεν καὶ ἐκ πρώτης διεταξάμην τῆς δημιουργίας πατέρα τε καὶ μητέρα ἀφιέντας τῇ γυναικὶ προσκολλᾶσθαι τῇ ἰδίᾳ, ὡς ἂν εἶεν εἰς σάρκα μίαν οἱ δύο. ὑμεῖς δὲ τοσοῦτον τῶν νόμων ἠμελήκατε τῶν ἐμῶν, ὥστε τὴν ἐκ νεότητός σου συναφθεῖσαν πρὸς γάμον καὶ κοινωνόν σου τοῦ βίου γεγονυῖαν παντὸς ἀφιέναι, δίχα λόγου τῆς οἰκίας ἐξωθουμένην τῆς ἰδίας, πρὸς ἣν τοιαῦταί σοι διὰ τῶν γαμικῶν νόμων εἰσὶν αἱ συνθῆκαι, ὡς ἂν μία τε εἴητε σὰρξ καὶ κοινὰ πάντα ἡγεῖσθε[1]) τὰ ἀλλήλων. εἶτα ταύτην ἀφεὶς τὴν ἐπὶ τοσούτοις σοι συναφθεῖσαν ἐφ᾽ ἑτέραν μετῄεις ἐξ ἀκολασίας, οὐδὲ ἐκεῖνο λογισάμενος, ὅτι ἐπὶ διαδοχῇ γένους ὁ γάμος συνέστηκεν, ἵνα θανάτῳ διαφθειρόμενον τὸ γένος ἀνασώζηται τῇ τεκνογονίᾳ, ὥστε ὁ γάμος μηχάνημα τῆς διαδοχῆς εὕρηται παρὰ τοῦ

[1]) F. l. ἡγοῖσθε.

tis; tantae in hac iniquitate facienda estis levitatis! Deinde facinoris pravitatem ostensurus addit: *Testis enim est Dominus inter te et inter uxorem juventutis tuae, quam dereliquisti, quamquam conjux tua est et mulier foederis tui.* V. 15. *quod nemo alius fecit, et residuum spiritus tui.* Ego enim, inquit, ab initio primaque rerum origine eam constitui legem, ut viri patre ac matre relictis uxori suae adhaereant, et ambo quasi unum efficiant corpus. Vos vero legem meam adeo neglexistis, ut conjugem in juventute tibi ad omnis vitae communionem junctam absque ratione domo ejicias tua, quamquam nuptialibus legibus adeo tibi associata sit, ut unum efficiatis corpus, omniaque vestra communia censeatis. Deinde vero illa, quae tam arcte tecum conjuncta erat, dimissa, ob lasciviam aliam sectatus es, oblitus, ob generis successionem matrimonium esse institutum, ut, dum morte genus exstinguitur, liberis procreandis conservetur, itaque matrimonium propagationis machinamentum a

θεοῦ. τοῦτο γὰρ λέγει τὸ ὑπόλειμμα πνεύματός σου, ἀντὶ τοῦ, ἐπειδὴ ἀποτίθεσθαι μέλλεις τοῦ παρόντος βίου τὴν ζωήν. οἷόν ἐστι τὸ [1]) „Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ καὶ ἐπιστρέψει εἰς τὸν χοῦν αὐτοῦ.“ ὡς ἂν μὴ παντελῶς ἀπόλλυσθαι δοκοίης, ἐπελίπετό σοι τὴν διαδοχὴν μνημόσυνον ὁ θεὸς καὶ λείψανον τῆς τε οὐσίας καὶ τῆς ὑποστάσεως τῆς σῆς. ὥστε καὶ πρὸς τὴν αἰτίαν ὁρῶντα τοῦ γάμου δεδίττεσθαι τὸ πρᾶγμα ἐχρῆν καὶ μὴ πλημμελεῖν εἰς τοὺς περὶ τούτου τεθέντας νόμους ἄνωθεν παρὰ τοῦ θεοῦ, φυλάττειν δὲ αὐτοὺς ἀκεραίους τῷ μένειν ἐπὶ τῶν προτέρων, ἃς οὕτω καὶ ἐπὶ τούτῳ ἠγάγεσθε, μὴ μὴν ἐξ ἀκολασίας ἀφιέναι μὲν τὰς πρώτας, μεθίστασθαι δὲ ἐφ᾽ ἑτέρας. — Καὶ θαυμασιώτατα ἐπήγαγε· Καὶ εἴπατε, τί ἄλλο ζητεῖ ὁ θεὸς ἢ σπέρμα; Ἐπειδὴ γὰρ ἐδόκουν καὶ ἐκ τῶν παρανόμως συναπτομένων γυναικῶν παιδοποιεῖσθαι, τοῦτό φησιν. οὐχ ὡς νόμους αἰδεῖσθε θείους τοὺς περὶ τοῦ γάμου τεθέντας παρὰ τοῦ θεοῦ, ἀλλ᾽ ὡς δίκην ἀλόγων εἰς συνουσίαν τε καὶ τὸ τίκτειν μόνον ἐκκείμενοι καὶ ἐπὶ τούτῳ γεγονότες παρὰ τοῦ θεοῦ, οὕτω τὰς μὲν προτέρας ἀφίετε ἐφ᾽ ἑτέρας δὲ ἔρχεσθε, οὐδεμίαν διαφορὰν

Deo esse constitutum. hoc enim significant verba: *residuum spiritus tui.* i. e. quum praesentem vitae vigorem deponere oporteat. cui respondet illud: „Exibit spiritus ejus et ad pulverem suum redibit.“ ne plane interire videaris tibi, propagationem tibi concessit Deus tanquam memoriam et reliquias naturae et vitae tuae. Quod si igitur matrimonii causas respicere voluisses, vos revereri eam rem, nec contra leges ab initio a Deo circa eam constitutas delinquere, sed eas incolumes eo servare oportebat, quod in priori conjugio ea ratione et eum in finem inito perseveraretis, neque vero prioribus uxoribus relictis ad alias vos converteretis. — Et summopere mira addit: *Et dicitis: Quid aliud nisi semen quaerit Deus?* Quoniam etiam ex uxoribus praeter legem sibi junctis liberos se gignere posse autumabant, haec est sententia: leges de matrimonio a Deo constitutas, non tanquam divinas leges reveremini, sed quasi brutorum instar non nisi ad coitus et partus a Deo creati fueritis, priores

[1]) Ps. CXLV, 4.

εἶναι νομίζοντες, ἢ ἐξ ἐκείνων τεκνογονεῖν ἢ ἐκ τούτων, δέον εἰδέναι, ὅτι τὸ μὲν ἀδεὲς τῆς διαδοχῆς ἀλόγοις ἁρμόττον, τοῖς δὲ λόγου μετειληφόσι πρέπον τὸ μετὰ τῶν νόμων τῶν θείων μετιέναι τε τοὺς γάμους καὶ τὴν ἐντεῦθεν στέργειν διαδοχήν. Κἀνταῦθα γὰρ τὸ εἴπατε οὐ φωνὴν λέγει, ἐπεὶ μηδὲ οἷόν τε ἦν αὐτοὺς τοῦτο εἰπεῖν, ὅτι οὐδὲν ἄλλο ζητεῖ ὁ θεὸς ἢ σπέρμα, ἀλλ' ἵνα τὴν διάθεσιν εἴπῃ τῆς διανοίας μοχθηρὰν οὖσαν, καὶ ὅτι οὕτω πάντα ἔπραττον, οὐχ ὡς ἄνθρωποι λογικοὶ, ἀλλ' ὡς δίκην ἀλόγων πρὸς τὴν μίξιν μόνον καὶ τὴν διαδοχὴν ἐκκεῖσθαι. Εἶτα· νόμον τιθείς. Καὶ φυλάξασθε ἐν τῷ πνεύματι ὑμῶν, καὶ γυναῖκα νεότητός σου μὴ ἐγκαταλίπῃς. Τοιγαροῦν πᾶσαν ἐπιμέλειαν ποιήσασθε τοῦ λοιποῦ τοῦ μετὰ τῆς πρεπούσης διαθέσεως ταῖς γαμεταῖς συνεῖναι, ὡς ἄνωθεν εἰλήφατε, μὴ μὴν ἀφιέναι ταύτας. Καὶ ἐπειδὴ αὐτὸς διὰ Μωσέως· βιβλίον ἀποστασίου προσέταξε διδόσθαι ταῖς γυναιξὶ, δεικνὺς ὁπόσον ἐστὶ τὸ διάφορον ἐπάγει.

uxores dimittitis et cum aliis rem habetis, nihil discriminis interesse opinati, utrum ex illis an ex his liberos gignatis. Attamen scire debebatis, promiscuos coitus a brutis quidem non abhorrere, qui vero praediti sint ratione, eos secundum leges divinas matrimonia inire oportere, ideoque propagandum genus etiam hoc modo curare. Namque hoc quoque loco verbo *dicitis* non sermocinationem significat, quum ineptum fuisset dicere: quid aliud nisi semen Deus quaerit? sed ob indicandam pravam mentis adfectionem, qua omnia ita faciebant, non ut homines ratione compotes, sed ut bruti coitus solius liberorumque procreandorum cupidi. Deinde legem constituit hanc: *Cavete igitur animis vestris, ne uxorem juventutis tuae deseras.* Idcirco omni diligentia id agatis in posterum, ut eo, quo par est, in conjuges vestras, quas prius jam duxistis in matrimonium, utamini animo, easque nequaquam deseratis. Et quum ipse per Mosen uxoribus libellum repudii dari jussisset, quantum sit discriminis in hoc, deinde ostendit.

ιϛʹ. Ἀλλ' ἐὰν μισήσῃς, ἐξαπόστειλον, λέγει Κύριος ὁ θεὸς τοῦ Ἰσραήλ. Ὅταν μὲν γὰρ ἐκ δυσκολίας γυναικὸς ἢ τινος μοχθηρᾶς[1]) ἢ ὅλως ἑτέρων τινῶν τῶν ἀξίαν αὐτὴν τοῦ μισεῖσθαι δεικνύντων εἰς τὸ τοιαύτην ἔχειν τὴν γνώμην περὶ αὐτὴν καταστῇς, ἀπολύειν αὐτὴν ἐκέλευσα τότε, οὐ τὸν γαμικὸν λύων νόμον, ἐκ δὲ τῶν συμβαινόντων οὐ παρὰ τὴν σὴν αἰτίαν ἐπιτρέπων σοι μᾶλλον αὐτὴν ἀφιέναι, ἢ εἰς καθημερινοὺς καθίστασθαι πρός αὐτὴν διαπληκτισμούς, μή ποτέ τι καὶ χεῖρον ὁ μακρὸς ἐργάσηται χρόνος καί που καὶ πρὸς φόνον ὁπλισθῇς τῆς γυναικός. Οὕτω γὰρ καὶ ὁ Κύριος ἐν τοῖς εὐαγγελίοις πρὸς Φαρισαίους ἐρωτήσαντας, „Τί οὖν Μωσῆς ἔδωκε βιβλίον ἀποστασίου;“ ἐπήγαγε „Πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέστρεψεν οὕτω Μωσῆς, ἀπ' ἀρχῆς δὲ οὐ γέγονεν οὕτως· ὁ γὰρ ποιήσας ἐξ ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς καὶ εἶπεν, ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν[2]).“ τοῦτο λέγει, ὅτι τὸ μὲν κάλλιστον ἦν, ἀλλήλοις συνόντας ἄνδρα τε

V. 16. *Sed si odio eam habes, dimittas, inquit Dominus, Deus Israëlis.* Sin vero ob conjugis morositatem vel aliam malitiam vel aliam quamcunque causam, quae eam odio dignam declarat, ejusmodi in eam fueris animi, tum eam repudiari jussi, idque non solvens legem de conjugio sed ob causas, quarum tu auctor non evasisti, tibi eam potius dimittere concedens, quam quotidianas in eam agitare altercationes, ne forte longum tempus etiam aliquid pejus efficiat, et ad interficiendam uxorem accingaris. Ita enim etiam Dominus in evangeliis Pharisaeis interrogantibus, „Cur dedit Moses repudii libellum?“ respondebat, „Propter vestram pervicaciam Moses ita permisit; verum ab initio non ita factitatum est, sed a creationis primordio marem et feminam fecit eos Deus et dixit: hujus causa homo relicto suo patre ac matre haerebit uxori suo; et erunt ambo quasi unum corpus.“ Sententia haec est: Optimum esset, maritum cum uxore una degere, sed quia

[1]) F. l. μοχθηρίας. — [2]) Matth. XIX, 7. et Marc. X, 7. 8.

καὶ γυναῖκα, εἰδὼς δὲ ὑμῶν τὰς ὀργὰς ἀκαθέκτους οὔσας ἐκέλευσεν, εἰ αἱ φυόμεναι ἐν ὑμῖν αἰτίαι δοκοῖεν παροξυσμόν τινα παρέχειν, μᾶλλον ἀφιέναι τὴν γυναῖκα ἢ ἐκ μίσους πρὸς ἐπιβουλὴν καθίστασθαι φόνου. — Εἶτα ἐπειδὴ ἐνῆν αἰτίαν οὐ παρεχούσης τῆς γυναικὸς ἐκ τῆς πρὸς ἑτέραν ῥοπῆς μῖσος πλάττειν ἑαυτῷ τὸ μὴ δίκαιον. Ἀποκαλύψει ἀσέβεια τὰ ἐνθυμήματα ὑμῶν, λέγει Κύριος παντοκράτωρ. Εἰ γὰρ μὴ τούτων οὕτως ἐχόντων πλαττόμενοι τὴν αἰτίαν ἀποπέμποισθε τὰς ἄνωθεν ὑμῖν συναφθείσας γυναῖκας, ἐστὶν ὁ τῶν ἀσεβειῶν ὑμῶν ἐξετάστης θεός. Οἷς καλῶς ἐπήγαγε. Καὶ φυλάξασθε ἐν τῷ πνεύματι ὑμῶν, καὶ μὴ ἐγκατελίπητε τὴν συνθήκην. ὥστε, φησὶν, ὅλῃ διανοίᾳ καὶ διαθέσει τῇ προσηκούσῃ μετὰ τῆς δεούσης εὐγνωμοσύνης τὸν γαμικὸν φυλάττετε νόμον καὶ τὰς συνθήκας ἀπαραβάτους τηρεῖτε, μεθ' ὧν ἄνωθεν εἰς τὴν γαμικὴν ἐληλύθατε κοινωνίαν. —

Συμπεράνας δὲ τὰ τῶν γυναικῶν ἐν τούτοις, λέγει καὶ ἑτέραν αὐτῶν οὐ πλημμέλειαν ἁπλῶς ἀλλ' ἀσέβειαν. πολλοὶ γὰρ τῶν ἀνθρώπων τὰ μὲν παρ' αὐτῶν ἁμαρτανόμενα ὁρᾷν οὐκ ἐθέλουσιν, ἀλλ' οὐδέ τι πάσχειν ὑπὲρ τούτων ἀνέχονται· τοὐναντίον μὲν

iras vestras noverat intolerabiles, ubi causas intra vos natas violentia erupturas senseritis, conjugem repudiare vos potius quam invisae necem cogitare jussit. — Sed qui etiam fieri posset, ut quis, conjuge nullam causam exhibente, ob animi in aliam inclinationem odium injustum caperet, addit: *Impietas cogitationes vestras revelabit, inquit Dominus omnipotens.* Sin vero inquit, haec se non ita habeant, et vos ficta causa conjuges prius vobis junctas dimittatis, Deus impietatum vestrarum explorator exstabit. Quibus bene addidit: *Cavete animis vestris, ne pactiones perturbetis.* Ideo animo et corde atque ea, qua par est, pietate legem de conjugiis servate, et pactionibus firme state, quas prius conjugii communionem ineuntes fecistis.

Ita adhortationibus de uxoribus finitis, aliam non solum iniquitatem sed impietatem reprehendit. Multi enim, quae peccant videre nolunt, nec quidquam eorum causa pati; sed contra, ubi mala perpeti et experiri eos

οὖν καὶ δυσχεραίνουσιν ἐν πείρᾳ καθιστάμενοι λυπηρῶν, καὶ ταῦτα ἧττον πολλάκις πάσχοντες τῆς ἀξίας, ὑπὲρ ἑτέρων δὲ μέμφονται τῷ Θεῷ προχείρως ὡς ἁμαρτανόντων μὲν πλεῖστα δίκας δὲ οὐ διδόντων. τοῦτο δὴ καὶ παρ᾽ ἐνίων τῶν ἐν τοῖς Ἰσραηλίταις τότε γινόμενον ἐν τούτοις αἰτιώμενος ὁ προφήτης οὕτω φησίν.

ιζ. Οἱ παροξύνοντες τὸν Θεὸν ἐν τοῖς λόγοις ὑμῶν. καὶ εἴπατε, ἐν τίνι παρωξύναμεν αὐτόν; ἐν τῷ λέγειν ὑμᾶς, πᾶς ποιῶν πονηρὰ, καλὸν ἐνώπιον Κυρίου καὶ ἐν αὐτοῖς αὐτὸς ηὐδόκησε, καὶ, ποῦ ἐστιν ὁ Θεὸς τῆς δικαιοσύνης; Ἀλλὰ γὰρ οὐδὲ ἐκείνην ὑμῶν παρήσω τὴν ἀσέβειαν, ἐφ᾽ ἥπερ εἰς ἀγανάκτησιν καθ᾽ ἑαυτῶν κινοῦντες τὸν Θεὸν οὐκ αἰσθάνεσθε (τὸ γὰρ καὶ εἴπατε, ἐν τίνι παρωξύναμεν αὐτὸν, κἀνταῦθα ἐπὶ τῆς διαθέσεως αἰτιώμενος λέγει), ὡς οὐδὲ τοῦ ἀσεβεῖν ἐπὶ τοσούτοις αἴσθησιν ἔχοντες. Τί δὲ ἦν τὸ ἀσέβημα δηλῶν, φάτε, φησὶν, ὅτι ἔοικεν ἀρέσκεσθαι τοῖς τὰ κακὰ διαπραττομένοις ὁ Θεὸς, καὶ τούτῳ δῆλον, ἐξ ὧν ἐπὶ τοιαύταις πλημμελείαις οὐ διδόασιν ἄνθρωποι δίκας, καίτοιγε εἴ τις λόγος ἦν τοῦ δικαίου τῷ Θεῷ, προσηκόντως ἂν αὐτοῖς κόλασιν

oportet, etiamsi haec merito inferiora sint, tamen aliorum causa temere Deum incusant, quasi hi summopere peccaverint quin tamen puniantur. Id quod etiam a nonnullis Israelitarum tunc factum est, et nunc a propheta in sequentibus reprehenditur, qui ita loquitur.

V. 17. *Lacessitis Deum sermonibus vestris, sed dicitis: quanam re lacessivimus eum? Eo quod dicitis, quicunque malum facit, bonus habetur apud Dominum, cui hi placent, et: ubi est Deus justitiae?* Nec illam vobis ignoscam impietatem, qua Deum ad indignationem incitari non intelligitis, (illud enim, Dicitis, quanam re eum lacessivimus, etiam hoc loco eorum animum incusaturus dicit) tanquam ac si ea in re impie vos agere nesciatis. Et quodnam eorum peccatum fuerit, indicans, dicitis, inquit, Deo eos, qui mala faciant, placere, ex eo clarum esse, quod homines talium delictorum poenas non dent, et tamen, si Deus ullam justitiae curam habeat, eum his extremum supplicium impositurum fuisse. Quid ergo?

μακάριον Ἰωάννην ἅμα δὲ αὐτῷ παρόντα φανῆναι καὶ τὸν ὑπ᾽ αὐτοῦ μαρτυρούμενον δεσπότην Χριστὸν, ἐν ᾧπερ ἡ πάντων ἀνθρώπων ἤμελλεν οἰκονομεῖσθαι σωτηρία. ἀκολουθῶν μέντοιγε ὁ προφήτης ἑαυτῷ ἐπάγει.

β. Ἰδοὺ ἔρχεται, λέγει Κύριος παντοκράτωρ, καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; καὶ τίς ὑποστήσεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ; Ἐπειδὰν γὰρ παραγίνηται, φησὶν, ὁ θεὸς τιμωρὸς ἐπιφαινόμενος τῶν οὐ δεόντως γινομένων, οὐδεὶς ὑμῶν τῶν ταῦτα νῦν λέγειν τολμώντων ὑποστήσεται τῆς τιμωρίας τὸ μέγεθος. Δῆλος δέ ἐστιν ἐν τούτοις τὰ ἐπὶ τῶν Μακκαβαίων αὐτοῖς μηνύων κακὰ, ἅπερ τῆς ἑαυτῶν ἕνεκεν ὑπομεμενήκασι κακίας. ὡς ὅ γε αὐτὴν τὴν φωνὴν ἁρμόττειν οἰόμενος τῷ δεσπότῃ Χριστῷ ὡσὰν περὶ αὐτοῦ καὶ οὐχ ἑτέρου του ῥηθεῖσαν, ἔοικεν ἀγνοεῖν τὸ διάφορον τῶν ἐνταῦθά τε γεγραμμένων καὶ τῶν ἐπὶ τῆς παρουσίας οἰκονομηθέντων τοῦ δεσπότου Χριστοῦ, ὃς εἰ καὶ κριτοῦ δίκην διέκρινεν ἐν Ἰουδαίοις τοὺς φαύλους ἀπὸ τῶν κρειττόνων, τοὺς μὲν ἐπ᾽ αὐτὸν πεπιστευκότας ἐπὶ τὸ κρεῖττον μεταστήσας τοὺς ἠπιστηκότας δὲ παραδοὺς τιμωρίᾳ, ἀλλ᾽ εὔδηλον, ὅτι τῷ κοινῷ λόγῳ σκό-

ministerque praedictorum, nempe beatus Johannes; quocum simul etiam advenit, quem ille adnuntiabat, Christus dominus, a quo omnium hominum salus erat efficienda. Jam autem constans sibi propheta pergit.

V. 2. *En, venit, inquit Dominus omnipotens; et quis adventus ejus diem sustinebit, et quis eo adparente consistet?* Ubi vero advenerit, inquit, Deus ea vindicaturus, quae contra fas aguntur, nemo vestrûm, qui haec loqui audetis, poenae magnitudinem sustinebit. Adparet autem, eum in his Maccabaici aevi calamitates significare, quas ob suam malitiam perpessi sunt. Qui igitur hoc dictum dominum Christum spectare ita censeat, ut de eo, nec de quopiam alio prolatum sit, is differentiam nescire videtur eorum, quae hoc loco scripta sunt, ab iis, quae in adventu Christi Domini facta sunt; quem, etiamsi tanquam judex inter Judaeos malos a melioribus segregaret, ad meliora conversis iis, qui in eum crediderunt, incredulis vero punitioni traditis, tamen, si in universum spectamus, eum adventus sui

πὸν τῆς οἰκείας ἔσχηκε παρουσίας, ὃν ὁ μακάριος Ἰωάννης δεδήλωκεν εἰπών· „Ἰδοὺ ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.“ Καὶ τὰ ἐφ' ἑξῆς ἔτι μᾶλλον δείκνυσι τῶν ῥημάτων τὸν σκοπόν. ἐπάγει γάρ.

β'. Διότι αὐτὸς εἰσπορεύσεται ὡς πῦρ χωνευτηρίου καὶ ὡς πόα πλυνόντων, γ'. καὶ καθιεῖται χωνεύων καὶ καθαρίζων ὡς τὸ ἀργύριον καὶ τὸ χρυσίον καὶ καθαριεῖ τοὺς υἱοὺς Λευὶ, καὶ ἐκχεεῖ αὐτοὺς ὡς τὸ χρυσίον καὶ ὡς τὸ ἀργύριον, καὶ ἔσονται τῷ Κυρίῳ προσάγοντες θυσίαν ἐν δικαιοσύνῃ, δ'. καὶ ἀρέσει τῷ Κυρίῳ θυσία Ἰούδα καὶ Ἱερουσαλὴμ, καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος καὶ καθὼς τὰ ἔτη τὰ ἔμπροσθεν. Ἀλλὰ γὰρ, ἔσται τι, φησὶ, κέρδος ἐκ τῆς ἐπαχθησομένης τότε τιμωρίας ὑμῖν. δίκην μὲν γὰρ πυρὸς ἐν χωνείᾳ ἀγγύριόν τε καθαίροντος καὶ χρυσίον ἢ καὶ πόας διὰ τῶν πλυνόντων καθαιρούσης ἐσθῆτα ταῖς συμφοραῖς ταῖς τηνικαῦτα ἐπαγομέναις ὑμῖν καθαριεῖ πάντας τοὺς τὴν ἱερωσύνην τολμῶντας ἐκτελεῖν ἀδοκίμως, ὥστε αὐτοὺς τοῖς ἐπιγινομένοις σωφρονισθέντας κακοῖς προσάγειν λοιπὸν τῷ θεῷ θυσίας, ὡς νόμιμον προσάγειν θεῷ προεστῶτι τοῦ δικαίου,

finem habuisse constat, quem beatus Johannes declaravit verbis: „Ecce agnum Dei, qui tollit peccata mundi.“ Et sequentia etiam clarius verborum finem ostendunt; pergit enim ita.

V. 2. *Etenim ingredietur ut ignis fornacis aerariae, et ut herba fullonum.* V. 3. *et sedebit quasi conflans et purgans argentum atque aurum, et purgabit filios Levis, et effundet eos quasi aurum et quasi argentum; et sacrificium Domino juste offerent.* V. 4. *et placebit hoc sacrificium Judae et Hierosolymae Domino, sicuti diebus antiquissimis et annis praeteritis.* Poena tunc vobis infligenda maximum vobis praebebit commodum; nam quasi ignis, qui in fornace argentum atque aurum purgat, vel etiam quasi herba fullonum, quae vestem purgat, calamitatibus tunc vobis immittendis omnes purgabit, qui temere sacerdotio fungi ausi sunt; et deinde his malis castigati, talia Deo sacrificia offerent, quali Deo justi vindici offerri, lege praescriptum est; multo enim timore ministeria ei facere, aequum est, utqui sui contem-

ᾧ δὴ μετὰ πολλοῦ τοῦ δέους τὴν λειτουργίαν προσῆκεν ἐκπληροῦν, ὡς εἰδότι καὶ τιμωρεῖσθαι τοὺς καταμελεῖν ἐθέλοντας αὐτοῦ. τότε δὴ, φησὶν, Ἰουδαῖοι ἐπὶ τῆς Ἱερουσαλὴμ ἀρεστὰς προσοίσουσι τῷ θεῷ θυσίας ἀνάλογον τῷ πρόσθεν χρόνῳ, ἐν ᾧπερ τοῖς γεγονόσι κατὰ καιρὸν δικαίοις ἐπιμελησαμένοις τοῦ προσήκοντος τὰς ἑαυτῶν προσάγειν θυσίας νόμιμον ἦν. Οὔτε δὲ τὸ καθαριεῖ τοὺς υἱοὺς Λευὶ, οὔτε τὸ ἀρέσει τῷ Κυρίῳ θυσία Ἰούδα καὶ Ἱερουσαλὴμ ἁρμόσει, εἰ τῷ δεσπότῃ Χριστῷ τις προσήκειν οἴοιτο τὰ λεγόμενα· οὐδὲ γὰρ οἱ υἱοὶ τοῦ Λευὶ μόνοι τὸν καθαρμὸν ἐδέξαντο τότε, ἀλλὰ πάντες ἄνθρωποι, οἷσπερ οὖν ἁρμόττουσα ἡ τοῦ μακαρίου Παύλου φωνὴ, [1]) „Ἐκκαθάρατε τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα, καθὼς ἐστὲ ἄζυμοι.“ ἀλλ' οὐδὲ ἡ Ἰούδα θυσία ἐν Ἱερουσαλὴμ δεκτὴ τότε γέγονε τῷ θεῷ, τοὐναντίον μὲν οὖν πεπαυμένης ἁπάσης νομικῆς θυσίας ἐν Ἱερουσαλὴμ γενομένης, ἅτε καὶ συγκεκαταλελυμένης τῇ τοῦ τόπου παρατηρήσει, ἀνεδείχθη θυσία ἀπόῤῥητός τε καὶ λογικὴ, ἣν ἐπὶ μνημοσύνῳ τοῦ τε πάθους τοῦ δεσποτικοῦ καὶ τῆς ἐκεῖθεν ἀναστάσεως οὐκ ἐν Ἱερουσαλὴμ, ἀλλὰ πανταχοῦ γῆς οἱ πεπιστευκότες ἐπιτελοῦμεν ὁ-

[1]) I Cor. V, 7.

tores punire sciat. Tunc igitur, inquit, accepta Judaei Hierosolymam habitantes Deo offerent ferta, sic, ut prioribus temporibus, quum, qui tunc erant, justis officio suo satis facere, et ita ferta sua offerre, legitimum esset. At neque illa verba: *purgabit filios Levi*, neque haec: *placebit Deo sacrificium Judae et Hierosolymae*, quadrent, si quis ea Christum dominum spectare dicat; namque tunc nec soli Levis filii purgati sunt, sed omnes homines, ad quoscunque illud beati Pauli accommadari potest „Expurgate vetus fermentum, ut sitis nova massa, sicut estis non fermentati;“ nec Judaeorum sacrificium Hierosolymae oblatum tunc Deo acceptum fuit, sed contra, post omne legitimum sacrificium, quod Hierosolymae fiebat, tunc finitum ac sublatum cum loci observatione, ineffabilis et rationalis declaratus est cultus, cui in passionis et resurrectionis Domini memoriam non Hierosolymae sed quovis loco operamur nos, qui credidimus. Namque, „Crede mihi, inquit, mulier, adventat hora, quum nec Hie-

μοίως. „Πίστευέ γάρ μοι, φησὶ[1]), γύναι, ὅτι ἔρχεται ὥρα, ὅτε οὔτε ἐν Ἱεροσολύμοις οὔτε ἐν τῷ τόπῳ τούτῳ προσκυνήσετε τῷ πατρὶ,“ καὶ τὴν αἰτίαν λέγων, „πνεῦμα ὁ θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν, καὶ γὰρ ὁ πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν.“ σαφῶς δεικνὺς, ὅτι ἐκείνους μὲν ἀπεπέμψατο τοὺς τῇ τε Ἱερουσαλὴμ καὶ τῇ Σαμαρείᾳ περιγράφοντας τὴν προσκύνησιν τὴν θείαν, περὶ πολλοῦ δὲ ποιεῖται τούτους τοὺς ἐραστὰς τῆς ἀληθείας, οἳ πανταχοῦ γῆς ὁμοίως προσάγουσι τὴν θυσίαν τῷ τῶν ἁπάντων ποιητῇ θεῷ καὶ πανταχοῦ γε παρόντι ὁμοίως. Ἁρμοττόντως δὲ ταῦτα τῷ κατὰ τοὺς Μακκαβαίους εἴρηται καιρῷ, ὅτε πλείστης ὅσης παρά τε τῶν ἱερατεύειν δοκούντων καὶ παρὰ τῶν τοῦ λαοῦ γινομένης τῆς πλημμελείας, παρέδωκε μὲν αὐτοὺς ὁ θεὸς τῷ πολέμῳ τῶν ἐκ τῆς Μακεδονικῆς βασιλευόντων διαδοχῆς, ὑφ᾽ ὧν δὴ πλείστοις[2]) περιεβλήθησαν κακοῖς, τῶν δὲ περὶ τὸν Μακκαβαῖον Ἰούδαν τοῦ νόμου προστάντων τοῦ θείου καὶ τὸν ὑπὲρ αὐτοῦ πόλεμον ἀναδεξαμένων πρὸς τοὺς τότε βασιλεύοντας τῶν Μακεδόνων πολλή τις ἐπὶ τὸ κρεῖττον μεταβολὴ περὶ

rosolymis, nec hoc loco patrem coletis,“ cujus rei causam adnectit verbis, „Spiritus est Deus, et qui eum colunt spiritu et veritate eum colere debent; namque tales requirit pater sui cultores.“ quibus aperte declarat, illos jam rejectos fuisse, qui Hierosolymae et Samariae finibus circumscribebant Dei cultum, sed magnifacere Deum veritatis amatores, qui ubique terrarum eodem modo omnium creatori atque ubique praesenti Deo colendo operam dent. Sed in Maccabaeorum tempora ista plane quadrant, quum et ii, qui sacerdotio fungebantur, et populus admodum delinquerent; quam ob rem Deus eos bello a Macedonicae successionis regibus, a quibus maximis cruciabantur malis, suscepto permisit. Quum vero Judae Maccabaei adseclae legis curam gerentes divinae ob eam bellum Macedonicis tunc temporis regibus inferrent, totius populi res in meliorem ordinem restituebatur. Namque impetrata ope divina et reges debellarunt, et punitis inter po-

[1]) Joh. IV, 21. 24. coll. 23. — [2]) Cod. πλείστης.

ἅπαν γέγονε τὸ ἔθνος. τετυχηκότες γὰρ τῆς θείας ῥοπῆς οἱ Μακκαβαῖοι τούς τε βασιλέας κατηγορίσαντο καὶ τοὺς παρ' αὐτοῖς τῶν μοχθηρῶν τιμωρησάμενοι ἐν εὐσταθείᾳ τε καὶ εὐκοσμίᾳ τὸ ἔθνος ἅπαν παρεσκεύασαν εἶναι, ὥστε καὶ τοὺς νόμους τοὺς θείους κρατεῖν παρ' αὐτοῖς, παρανομίαν τε πᾶσαν ἐξ αὐτῶν ἀπελαθῆναι πρότερον κρατοῦσαν, καὶ δὴ καὶ τὴν ἱερωσύνην πᾶσάν τε τὴν ταύτῃ καθήκουσαν λειτουργίαν μετὰ τοῦ προσήκοντος ἐκτελεῖσθαι. ὅπερ οὖν καὶ ὁ μακάριος Ζαχαρίας ἐν τοῖς ἑαυτοῦ δεδήλωκε λόγοις. Τοῦτο τοίνυν κἀνταῦθά φησιν, ὅτι ἐπειδὴ τὴν δικαίαν ζητεῖτε κρίσιν, ἔσται καιρὸς, ὁπηνίκα τιμωρήσομαι μὲν ὑμῶν τὰς πλημμελείας, σωφρονεστέρους δὲ ὑμᾶς διὰ τῶν ἐπιγινομένων ἐργασάμενος κακῶν, καὶ ὥσπερ τινὶ χωνείᾳ τῶν παλαιῶν ἐκκαθήρας πλημμελημάτων παρασκευάσω δὴ πάντων τε ἐπιμελεῖσθαι τῶν θεῷ δοκούντων, καὶ δὴ καὶ τὴν τῶν θυσιῶν προσκομιδὴν ἀρεσκόντως ποιεῖσθαι θεῷ, Οἷς ἀκολούθως ἐπειδὴ τῆς ἐπαχθησομένης[1]) αὐτοῖς τότε τιμωρίας τὸ κέρδος ἔφη, ὡς ἂν ἐντελεστέραν προσαγάγοι τοῖς ἀκούουσι τὴν διόρθωσιν, οὕτω φησί.

pulum praevaricatoribus, totam nationem in firmum et decorum rerum publicarum ordinem restituerunt, ita ut leges divinae apud eos invalescerent, omnisque iniquitas, quae antea inter eos multa fuerat, removeretur ab iis, et sacerdotium totum cum omnibus, quae ad id pertinent, muneribus rite perageretur. id quod etiam beatus Zacharias sermonibus suis narravit. Idem etiam hoc loco dicit; nempe, quoniam inquit, justum judicium postulatis, erit tempus, quo delicta vestra puniam; at postquam inflictis malis vos emendavero, et quasi in fornaci aeraria a delictis purgavero, efficiam, ut Dei mandatis morem geratis et sacrificia eo, quo mihi acceptum est, modo mihi offeratis. — Quibus consequenter, postquam infligendae iis poenae utilitatem dixit, ut penitius auditores emendaret, ita pergit.

[1]) Cod. τοῖς ἐπαχθησομένοις.

έ. Καὶ προσελεύσομαι πρὸς ὑμᾶς ἐν κρίσει, ἀντὶ τοῦ φανοῦμαι ἐν ὑμῖν τότε κρίνων τοῖς παρ' ὑμῶν πραττομένοις. Καὶ ἔσομαι μάρτυς ταχὺς ἐπὶ τοὺς φαρμακοὺς καὶ ἐπὶ τὰς μοιχαλίδας καὶ ἐπὶ τοὺς ὀμνύοντας τῷ ὀνόματί μου ἐπὶ ψεύδει, καὶ ἐπὶ τοὺς ἀποστεροῦντας μισθὸν μισθωτοῦ καὶ τοὺς καταδυναστεύοντας χήρας καὶ τοὺς κονδυλίζοντας ὀρφανοὺς καὶ τοὺς ἐκκλίνοντας κρίσιν προσηλύτου καὶ τοὺς μὴ φοβουμένους με, λέγει Κύριος παντοκράτωρ. δεικνὺς διὰ τούτων, ὑπὲρ ὁπόσων ὧν διαπράττονται τότε κακῶν δώσουσι δίκας. τὸ δὲ μάρτυς ταχὺς, ἵνα εἴπῃ ὀξεῖαν ἐπάγων τὴν τιμωρίαν, ὡσὰν ἀκριβῶς τὰ καθ' ὑμᾶς ἐπιστάμενος. ἐπὶ πάντας δὴ τούτους, φησὶ, καὶ καθάπαξ ἐφ' ἅπαντας, ὅσοι τοῦ φόβου καταμελοῦντες τοῦ ἐμοῦ τοῖς χείροσιν ἀδεῶς προστετήκασι, τοιαύτην ἐπάξω τιμωρίαν. Εἶτα ἐπάγει.

V. 5. *Et adventabo vobis in judicio* i. e. adparebo inter vos facta vestra judicaturus. *Et ero testis celer in maleficos et in adulteras et in eos qui per nomen meum pejerant, et in eos qui mercenarios mercede privant, et viduas opprimunt, orphanosque percutiunt, et jus proselytae pervertunt, et me non timent, inquit Dominus omnipotens.* Significat, quorumnam flagitiorum, quae commiserint, poenas sint daturi. *Testis celer* autem significat: subito vobis poenam infligam, ut qui accurate vos noverim, Omnibus igitur his, et simul omnibus qui me non reveriti malitiae audacter vacarunt, talem infligam poenam. Deinde addit:

ϛ'. Διότι ἐγὼ Κύριος ὁ θεὸς ὑμῶν οὐκ ἠλλοίωμαι. ζ'. Καὶ ὑμεῖς υἱοὶ Ἰακὼβ οὐκ ἀπέσχεσθε ἀπὸ τῶν ἀδικιῶν τῶν πατέρων ὑμῶν, ἐξεκλίνατε νομιμά μου καὶ οὐκ ἐφυλάξατε. Ἐγὼ μὲν γὰρ αὐτός εἰμι πάντοτε ἐμαυτῷ καὶ

V. 6. *Ego enim Dominus, Deus vester, non mutatus sum.* V. 7. *Vos vero, Jacobi filii, patrum vestrorum iniquitatibus non abstinuistis, sed ab institutis meis vos deflexistis, neque ea servastis.* Ego quidem semper mi-

ἀνεξικακεῖν ὅτε προσῆκεν εἰδὼς καὶ τιμωρίας τὸν καιρὸν ἐπιστάμενος, ὑμεῖς δὲ ἀκριβεῖς ἐστε μιμηταὶ τῶν πατρῴων ἁμαρτημάτων παραπλησίως ἐκείνοις τῶν τε νόμων ἐκτραπέντες τῶν ἐμῶν καὶ τῆς φυλακῆς αὐτῶν οὐδένα ποιούμενοι λόγον, ὑπὲρ ὧν δὴ καὶ τὴν τιμωρίαν δέξασθε δίκαιαν. — Μεθίσταται δὲ πάλιν ἐφ᾽ ἑτέραν πλημμέλειαν, ἣν περί τε τὰς ἀπαρχὰς ἐπλημμέλουν καὶ τὰς δεκάτας, ἀποδιδόναι ταύτας κατὰ τὴν τοῦ νόμου διάταξιν οὐκ ἐθέλοντες. *Ἐπιστρέψατε πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς λέγει Κύριος παντοκράτωρ.* Νεύσατε δὴ πρός με, φησὶν, ὡς ἂν ἀκόλουθα ὑμῖν ὑπάρξειεν καὶ τὰ παρ᾽ ἐμοῦ. *Καὶ εἴπατε, ἐν τίνι ἐπιστρέψομεν;* Ἀλλὰ γὰρ οἴεσθε, φησὶ, μὴ δεδεῖσθαί τινος ἐπιστροφῆς, οὕτως ἀναίσθητόν τινα ἀπ᾽ ἐμοῦ πεποίησθε τὴν ἐκτροπήν.

hi consto, quando veniam dare aequum sit et quando puniendi tempus, bene sciens; vos vero paternorum peccatorum accurati estis imitatores, et similiter atque illi leges meas transgressi earumque servandarum nullam curam habentes; ideo justam tolerabitis punitionem. — Rursus autem propheta ad aliud delictum transit, quod circa primitias et decumas, quas, uti lege praescriptum erat, dare nolebant, transit. *Redite ad me, atque ego redibo ad vos, inquit Dominus omnipotens.* Me colatis, ut quae inde sequuntur commoda a me accipiatis. *Et dicitis, in quo nobis redeundum est?* At reditu vobis opus non esse, censetis; tam atrociter a me vos deflexistis.

η΄. *Εἰ πτερνίζει ἄνθρωπος θεόν; διότι ὑμεῖς πτερνίζετέ με.* Καὶ ταῦτα, φησὶν, οὕτω νομίζετε ἀπατᾷν με οἰόμενοι, ὅπερ οὖν ἐπιχειρεῖν ἀνθρώποις περὶ θεὸν τῆς ἐσχάτης ἐστὶν εὐηθείας τε καὶ μανίας. — *Καὶ εἴπατε, ἐν τίνι ἐπτερνίσαμέν σε;* Ἀλλ᾽ οὐδὲ τοῦτο ποιοῦντες αἴσθησιν ἔχετε τῆς ἀτοπίας τοῦ γινομένου. Εἶτα τὸ

V. 8. *Num homo Deum decipiat? Vos enim me decipitis.* Et haec quidem, inquit, censetis, quia me fallere vos posse putatis; hoc autem audere in Deum summae est stultitiae ac dementiae humanae. — *Et dicitis, in quo te decepimus?* At ne sensum quidem habetis ejus, quam protervum sit, quod

ἁμάρτημα λέγων. Ὅτι τὰ ἐπιδέκατα καὶ αἱ ἀπαρχαὶ μεθ' ὑμῶν εἰσι. θ'. καὶ ἀποβλέποντες ὑμεῖς ἀποβλέπετε εἰς αὐτὸ, καὶ ὑμεῖς ἐμὲ πτερνίζετε. Τὰς γὰρ δεκατίας καὶ τὰς ἀπαρχὰς οὐ κατὰ τὸ νενομισμένον προσάγετε τοῖς ἱερεῦσιν, ἀλλ' ἔχετε παρ' ἑαυτοῖς. εἶτά τι κέρδος ἑαυτοῖς ἐντεῦθεν προξενεῖν νομίζοντες καὶ ὡς ἐπί τινα μεγίστην ὠφέλειαν ἀφορῶντες εἰς ταῦτα δὴ, ἃ παρ' ὑμῶν ἀποδίδοσθαι προσῆκον ἦν, τοῦτο μὲν εἰλικρινῶς ποιεῖν οὐκ ἐθέλετε, βραχέων δέ τινων καὶ εὐτελῶν προσαγωγῇ νόμιμον ἀποδιδόναι προσποιεῖσθε, ὅπερ οὖν οὐδὲν ἕτερόν ἐστιν ἀλλ' ἢ ἀπατᾷν με νομιζόντων. ἀπάτης γὰρ εἴη ἂν τὸ μὴ εἰλικρινῶς τὸ νόμιμον χρέος ἀποπληροῦν, πανουργεῖν δὲ αὐτοῦ περὶ τὴν ἀποπλήρωσιν πειρᾶσθαι. εἶτα ἐπάγει.

ι'. Τὸ ἔτος συνετελέσθη καὶ εἰσηνέγκατε πάντα τὰ ἐκφόρια εἰς τοὺς θησαυροὺς; καὶ ἡ ἁρπαγὴ τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν. Τὸ μὲν γὰρ ἔτος εἴληφε πέρας, αἱ δὲ τοῦ ἔτους τροπαὶ κατὰ τὴν ἐμὴν διάταξιν τὴν ἀκολουθίαν πεπληρώκασι τὴν οἰκείαν ἀφ' ὧν ἡ τῶν καρπῶν γέγονε φορά. εἶτα ὑμεῖς ἐντελεῖν τοὺς ἀπὸ τῆς γῆς κομισάμενοι

agitis. Deinde peccatum recitat. *Quia decumae et primitiae vobiscum sunt.* V. 9. *et hoc respicientes respicitis, et me decipitis.* Decumas et primitias, non eo quo statutum est, modo solvitis sacerdotibus, sed eas retinetis. Deinde magnam utilitatem inde vos habituros rati, et maximum lucrum capere cupientes ex iis quae a vobis solvi debebant, probe hoc facere nolitis, sed pauca et vilia adferentes, legitima solvisse simulatis. id quod nihil est aliud, nisi me defraudandi conamen; defraudatio enim in eo nititur, ut quod lege postulatur, non probe solvatur, sed fraudes in solvendo adhibeantur. Deinde addit:

V. 10. *Annus praeterlapsus est, et collegistis omnes proventus in thesauros vestros; et pauperis rapina in aedibus vestris est.* Annus exiit, annique tempora successiones suas decreto meo absolverunt, quibus fructuum efficiuntur proventus. vos quoque collectis terrae frugibus integris, gratias Deo agere debebatis, oblatis Deo

καρποὺς δεόν ὑπὲρ τούτων ἀποτίσαι τῷ Θεῷ τὴν εὐχαριστίαν διὰ τῆς τῶν ἀπαρχῶν καὶ τῶν δεκατιῶν προσκομιδῆς, τοῦτο μὲν οὐ πεποιήκατε, βραχέα δέ τινα μονονουχὶ προσρίψαντες τοῖς ἱερεῦσιν εἰς τοὺς θησαυροὺς ἅπαντας τοὺς οἰκείους εἰσηνέγκατε, οὐδὲ ἐκεῖνο λογισάμενοι, ὅτι οὐδὲν ἀπέοικε τοῦτο τοῦ τὰς τῶν πενήτων διαρπάζειν τροφὰς, ὑπὲρ ὧν ταῦτα δίδοσθαι κεκέλευσται παρ᾽ ὑμῶν, καὶ ὡς ἂν οἵ τε τῷ θυσιαστηρίῳ λειτουργοῦντες οἵ τε διὰ πενίαν τῷ ναῷ προσεδρεύοντες τῷ ἐμῷ τὰς ἀναγκαίας κομίζοιντο χρείας. Οἷς ἀκολούθως ἐπάγει. Ἐπιστρέψατε δὴ ἐν τούτῳ, λέγει Κύριος παντοκράτωρ. ἐὰν μὴ ἀνοίξω ὑμῖν τοὺς καταράκτας τοῦ οὐρανοῦ καὶ ἐκχεῶ ὑμῖν τὴν εὐλογίαν μου ἕως τοῦ ἱκανωθῆναι. ια΄. καὶ διαστελῶ ὑμῖν εἰς βρῶσιν, καὶ οὐ μὴ διαφθείρω ὑμῶν τὸν καρπὸν τῆς γῆς, καὶ οὐ μὴ ἀσθενήσῃ ἡ ἄμπελος ἐν τῷ ἄγρῳ, λέγει Κύριος παντοκράτωρ. ιβ΄. καὶ μακαριοῦσιν ὑμᾶς πάντα τὰ ἔθνη, διότι ἔσεσθε ὑμεῖς γῆ θελητὴ, λέγει Κύριος παντοκράτωρ. Ἀλλὰ γὰρ, φησὶ μεταβαλλόμενοι διόρθωσιν τούτων δὴ ποιήσασθε πάντων. ὄψεσθε

primitiis et decumis; at hoc non fecistis, sed paucis tantummodo sacerdotibus paene projectis, caetera omnia in thesauros vestros intulistis, non considerantes, hoc non aliud esse quam pauperum alimenta diripere, quorum causa haec dare jussi estis, et ut, arae qui ministrant, et ob paupertatem templo adsident, necessarium inde habeant usum. Deinde consequenter pergit. *Redite in hoc, inquit Dominus omnipotens, an non aperturus sim vobis coeli flumina tantamque vobis ubertatem effusurus, quae sufficiat.* V. 11. *et mittam vobis escam, nec perdam fructum vestrum terrae, nec vitis in agro sterilis erit, inquit Dominus omnipotens.* V. 12. *Omnes autem gentes felices vos praedicabunt, quia vos accepta terra eritis, inquit Dominus omnipotens.* Mutati, inquit, his omnibus emendationem adhibete. tum enim videbitis, quam largam vobis pluviam daturus sim et quantam abundantiam usque ad saturitatem (hoc enim innuunt verba *Ubertatem meam, ut sufficiat*); ut largum in-

γὰρ, ὅπως μὲν ὑμῖν πλούσιον παρέξω τὸν ὑετὸν, ὅπως δὲ ὑμῖν παρέξω τὴν ἀφθονίαν εἰς κόρον (τοῦτο γὰρ λέγει τὴν εὐλογίαν μου ἕως τοῦ ἱκανωθῆναι), ὥστε πλουσίαν ἔχειν ὑμᾶς τὴν ἐξ αὐτῶν ἀπόλαυσιν τὸ γὰρ καὶ διαστελῶ ὑμῖν εἰς βρῶσιν τοῦτο σημαίνει. φυλαχθήσονταί τε ὑμῶν ἀδιάφθοροι πάντες οἱ καρποὶ, πλουσίαν ὑμῖν καὶ τῆς ἀμπέλου τὴν οἰκείαν ἀπόλαυσιν παρεχούσης, ὥστε ἐκ τῆς πολιτευομένης ἐν ὑμῖν εὐθηνίας ἅπαντας δὴ τοὺς ἐκτὸς μακαρίζειν ὑμᾶς ὅτι ὄντως ὑμῖν τὰ κάλλιστα βεβούληται θεὸς, ὥστε καὶ τῇ γῇ τῇ ὑμετέρᾳ πλείστην παρὰ τοὺς λοιποὺς παρέχειν τὴν ἀφθονίαν τῶν καρπῶν. — Εἶτα ἐπὶ τοὺς πρόσθεν ἀνατρέχει λόγους ὡσὰν δυσσεβεῖς καὶ μοχθηροὺς, δευτέρας ἀξιῶν νουθεσίας, καὶ φησίν.

de habeatis fructum hoc enim indicant verba, *et mittam vobis escam.* Omnes quoque fruges incolumes vobis servabuntur, et vitis largum vobis exhibebit fructum. Ob hanc omnium ubertatem omnes exteri felices vos praedicabunt, quod Deus re vera pulcherrima quaeque decreverit et vestrae terrae prae caeteris frugum abundantiam largitus sit. — Deinde ad priores sermones redit, tanquam impios ac malos, et repetitas postulat reprehensiones.

ιγʹ. Ἐβαρύνατε ἐπ' ἐμὲ τοὺς λόγους ὑμῶν, λέγει Κύριος παντοκράτωρ. Χαλεπαῖς, φησὶ, λοιδορίαις ἐχρήσασθε κατ' ἐμοῦ. Καὶ εἴπατε, ἐν τίνι κατελαλήσαμέν σου; εἶτα οὐδὲ αἴσθησιν τῆς τοσαύτης λαμβάνετε τῆς δυσφημίας. διόλου γὰρ ὁ προφήτης οὗτος τὸ εἴπατε τέθεικεν, ὥσπερ ὀνειδίζων αὐτοῖς ἀναισθησίαν πολλὴν, μεθ' ἧς ἔπραττον τὰ ἄτοπα, οὐδεμίαν ἐπ' αὐτοῖς λαμβάνοντες αἴσθησιν, ἀλλ' οὕτως ἐπὶ τοῖς

V. 13. *Duros adversus me fecistis sermones vestros, inquit Deus omnipotens.* Graves inquit in me conjecistis contumelias. *Et dicitis, quosnam duros sermones?* Et ne haec tanta convicia agnoscitis. Dixisse enim eos propheta ubique narrat, ut significet magnam illorum pervicaciam, qua turpia faciebant, ut ea ne animadverterent quidem, sed ita se quoad peccata sua haberent, ut

ἁμαρτήμασι διατιθέμενοι τοῖς ἑαυτῶν, ὡς μηδὲ ἁμαρτάνειν ἡγεῖσθαι. — Εἶτα λέγων τὸ ἁμάρτημα, εἴπατε, φησὶν, ὡς ἀνωφελὲς τὸ θεῷ δουλεύειν, οὐδὲ γὰρ ἡμῖν προσεγένετό τι ὄφελος ἐπιμεληθεῖσι τῆς φυλακῆς τῶν παρ' αὐτοῦ προστεταγμένων, ἀλλ' οὐδὲ δεηθεῖσιν αὐτοῦ πολλάκις οὐδὲν ὑπῆρξε πλέον. περιέστηκε δὲ εἰς τοῦτο τὰ πράγματα, ὥστε ὑμᾶς[1]) μὲν εἶναι ἐν ἀνάγκαις καὶ θλίψεσι, μακαρίζειν δὲ ἑτέρους οὐδένα τῶν αὐτῷ δοκούντων πεποιημένους λόγον οἷς ἐπὶ τὸ κρεῖττον προβαίνει τὰ πράγματα ἀνθεστηκόσι μὲν αὐτῷ πάντοτε βλεπομένοις δὲ οὐδὲν ἐκ τούτου.

ις' — ιζ'. Ταῦτα κατελάλησαν οἱ φοβούμενοι τὸν Κύριον, ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. Ταῦτα δὴ, φησὶν, πρὸς ἀλλήλους λέγειν οὐκ ὤκνουν οἱ προσποιούμενοι παρὰ πάντας τοὺς ἀλλοτρίους τὸν φόβον ἔχειν τὸν ἐμόν. Οἷς προσεσχηκὼς ὁ θεὸς ἐν γραφῇ τὴν μνήμην αὐτῶν τοῖς μετέπειτα καταλέλοιπεν, ὁπηνίκα μὲν δώσουσι δίκας οἱ τοῖς τοιούτοις κεχρημένοι λόγοις καὶ πρὸς πᾶν εἶδος παρανομίας ἑαυτοὺς ἐκδεδωκότας. περιέσται δὲ πᾶν ὅ, τι ἀγαθὸν τοῖς ὄντως ἐπιμελουμένοις τῶν νόμων τῶν ἐμῶν, οὕσπερ οὖν

[1]) F. l. ἡμᾶς.

ne peccasse quidem censerent. — Deinde autem peccatum ipsum recenset. Inutile est, inquit, dicitis, quod Deo servimus, nihil enim commodi nobis ex legum suarum observatione provenit, imo ne precati quidem eum saepe, quidquam eo profecimus, sed contra ita res cadebant, ut nos quidem angustiis et miseriis irretitos, alios felices praedicare oporteret, qui statutorum ejus nullam habuerint rationem; his enim omnia feliciter succedunt, quamvis ubivis eum irritaverint, quin quidquam ea de re passi sint.

V. 16. *Haec Deum timentes alter alteri oblocuti sunt.* Haec inter se loqui non dubitarunt, qui prae omnibus alienigenis me colere simulant. Quibus attendens Deus posteris horum memoriam litteris scriptam reliquit, quando poenas daturi sunt qui talibus utebantur sermonibus et omni flagitiorum generi operam dabant. At quodvis bonum iis continget, qui vere legibus meis diligentiam adhibent; eos enim isto tempore, quum malos puniam providentia mea dignabor,

ἐν ἐκείνῳ τῷ καιρῷ, καθ᾽ ὃν τιμωρήσομαι τοὺς φαύλους, τῆς κηδεμονίας ἀξιώσω τῆς ἐμῆς, οὕτως αὐτοὺς ἐν τοῖς οἰκειοτάτοις ἔχειν αἱρούμενος, καὶ πᾶν ὅ, τι κάλλιστον περὶ αὐτοὺς δοκιμάζων ποιεῖν, ὡσὰν εἴ τις περὶ υἱὸν ἑαυτοῦ διατεθείη πολλὴν τὴν εὐγνωμοσύνην ἐπιδεδειγμένον πάντοτε περὶ αὐτόν. εἶτα ἐπάγει.

ιη'. Καὶ ἐπιστραφήσεσθε καὶ ὄψεσθε ἀναμέσον δικαίου καὶ ἀναμέσον ἀνόμου, καὶ ἀναμέσον δουλεύοντος θεῷ καὶ ἀναμέσον τοῦ μὴ δουλεύοντος αὐτῷ. Τότε φανερὰ γενήσεται ἡ διάκρισις τῶν τε δικαίων καὶ τῶν παρανόμων, καὶ τῶν δουλεύειν τε ἐσπουδακότων θεῷ καὶ τῶν μηδένα τούτου ποιεῖσθαι λόγον ἐθελόντων, τῆς τε κακοῖς ἐπαγομένης τιμωρίας καὶ τῶν τοῖς εὐγνώμοσι περιγινομένων ἀγαθῶν, καὶ [τῶν ὄντων κακῶν] σαφῆ ποιουμένων τὴν διάκρισιν τῶν τε ὄντως ἀγαθῶν καὶ τῶν ὄντως κακῶν. λέγει δὲ καὶ ταῦτα ἀκολούθως τοῖς πρόσθεν περὶ τῶν ἐσομένων κατὰ τὸν τῶν Μακκαβαίων καιρὸν, ὅτε δὴ μάλιστα βαρυτάτην μὲν οἱ κακοὶ τοῦ λαοῦ τὴν τιμωρίαν ἐδέξαντο, μεγίστης δὲ ἐν ἅπασι τῆς θείας ἔτυχον ῥοπῆς οἱ τοῦ κρείττονος ἐρασταί. Ὅθεν εἰς βεβαίωσιν τῶν εἰρημένων ἐπάγει.

mihique familiares adeo adjungam et pulcherrima quaeque iis praebebo, perinde ac si quis filio suo faciat, quem magno perpetuoque amore amplectitur. Deinde addit.

V. 18. *Et redibitis et videbitis, (quantum discrimen sit) inter justum et injustum inter eum qui Deo servit, et eum, qui non servit.* Tunc apertum erit discrimen piorum et impiorum, eorum qui studiosissime Deum coluerunt, et eorum qui hujus rei rationem habere noluerunt, poena malis infligenda et bonis, bene moratis contingentibus et clarum constituentibus discrimen vere bonorum et vere malorum. Etiam haec autem iis congrua sunt quae supra de casibus Maccabaeorum aetate futuris dicebantur; tunc nempe a malis in populo gravissima poena repetebatur, virtutis autem amatores maxima ubivis divina opitulatio tuebatur. Itaque ut haec confirmet, addit:

Κεφάλαιον Δ'.

α'. Ὅτι ἰδοὺ ἡμέρα Κυρίου ἔρχεται καιομένη ὡς κλίβανος καὶ φλέξει αὐτοὺς, καὶ ἔσονται πάντες οἱ ἀλλογενεῖς καὶ πάντες οἱ ποιοῦντες ἄνομα καλάμη, καὶ ἀνάψει αὐτοὺς ἡ ἡμέρα ἡ ἐρχομένη, λέγει Κύριος παντοκράτωρ, καὶ οὐ μὴ ὑπολειφθῇ ἐξ αὐτῶν ῥίζα οὐδὲ κλῆμα. Ἐν ἐκείνῳ γὰρ, φησὶ, τῷ καιρῷ ὡς ὑπὸ πυρὸς φλεχθήσονται οἱ τε ἀλλότριοι πάντες καὶ οἱ τῆς ἀνομίας ἐργάται καλάμης δίκην ὑπὸ τῆς προσπιπτούσης αὐτοῖς ἀφανιζόμενοι τιμωρίας. καὶ περὶ μὲν οὖν τοὺς κακοὺς ταῦτά φησι, τοῖς δὲ φοβουμένοις τί;

β'. Καὶ ἀνατελεῖ ὑμῖν τοῖς φοβουμένοις τὸ ὄνομά μου ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ. Ὑμῖν δὲ πολλὴ μὲν περιέσται λαμπρότης, δικαίως ὑμῖν παρὰ τοῦ θεοῦ χορηγουμένη ὑπὲρ τῆς εἰς αὐτὸν εὐνοίας, ἀπαλλάξει δὲ ὑμᾶς παντὸς κακοῦ ὥσπερ τισὶ πτέρυξι τῇ κηδεμονίᾳ σκέπων τῇ θείᾳ. καὶ διοίσετε, φησὶν, οὐδὲν μοσχαρίων ἀπολυθέντων τε ἐκ δεσμῶν καὶ μετὰ πολλῆς σκιρτώντων τῆς ἡδονῆς.
γ'. Κρατήσετε γὰρ καὶ τῶν παρανομούντων, οἳ σπόδου δίκην

Caput IV.

V. 1. *Ecce enim, venit dies Domini ardens instar fornacis, qui comburet eos; tunc omnes alienigenae, omnesque, qui impia faciunt, stipulae erunt, quas incendet dies adventans, inquit Dominus omnipotens; nec reliqua erit de iis radix neque ramus.* Illo tempore, inquit, tanquam igne omnes peregrini omnesque qui malis operantur stipularum instar concremabuntur, poena iis infligenda absumti. Haec de impiis, quid vero iis, qui verentur (Deum)?

V. 2. *Vobis vero, nomen meum reverentibus, sol justititiae orietur, in cujus alis erit medela.* Vobis vero multis continget splendor, merito a Deo vobis donatus propter verecundum animum vestrum; et omni malo vos expediet, quasi alis providentia divina vos obtegens. Tunc nihil differetis a vitulis e vinculis solutis et multa laetitia exsultantibus. V. 3. nam etiam iniquis superiores evadetis, qui instar pulveris sub pedibus vestris erunt, eo

ὑπὸ τοῖς πόσιν ἔσονται τοῖς ὑμετέροις, κατὰ τὸν καιρὸν ἐκεῖνον οὐδεμιᾶς ἐπιμελείας ἤ τινος ἀξιουμένη[1]) διορθώσεως ἔτι. Λέγει δὲ ταῦτα, ὡς πολλάκις ἔφην, ἐπὶ τοῦ καιροῦ γεγονότα τῶν Μακκαβαίων, ὁπηνίκα τὴν ἑαυτῶν[2]) παρασχὼν ῥοπὴν ὁ Θεὸς ἐτιμωρήσατο μὲν τοὺς κακοὺς, ἐν ἀνέσει δὲ καὶ εὐπραγίᾳ κατέστησε τοὺς τῶν αὐτοῦ νομίμων ἀντεχομένους, οἳ καὶ ἐτιμωρήσαντο καὶ κατεκράτησαν παντελῶς τῶν ἐναντίων, οὐ τῶν παρὰ τοῖς ἀλλοτρίοις μόνον, ἀλλὰ γὰρ καὶ τῶν οἰκείων. ἀφ᾽ ὧν δὴ καὶ δῆλον ἅπασιν ἐγένετο, ὅσον ἐστὶ τὸ μεταξὺ τῶν τε δουλευόντων Θεῷ καὶ τῶν τἀναντία φρονούντων, ἀφ᾽ ὧν οἱ μὲν βαρυτάτην ἐδέξαντο τιμωρίαν, οἱ δὲ ἐν εὐθηνίᾳ τε καὶ εὐπραγίᾳ κατέστησαν πλείστῃ. —

tempore [illegible] datione [illegible] Haec, ut [illegible] cabaeorum [illegible] collata sunt, [illegible] sua lata et malos [illegible] quiete ac fortuna [illegible] felicitaret legum suarum [illegible] servantes, qui etiam adversarios puniebant et penitus evertebant, et non solum apud peregrinos sed etiam inter contribules. Unde omnibus perspicuum fiebat, quantum sit discrimen inter Dei cultores et eos, qui illi adversantur; hi enim gravissimam solvebant poenam, illi autem in summa felicitate et securitate degebant. —

Ἡ μὲν δὴ πρὸς τὸν λαὸν προφητεία τοῦ μακαρίου Ἀγγέλου τοῦτον ἔσχε τὸν τρόπον, ἣν περὶ τῶν αὐτοῖς προσηκόντων κατά τε τὸν καιρὸν ἐκεῖνον κατά τε τὸν τῶν Μακκαβαίων ἐποιήσατο, ἐπειδὴ δὲ τελευταῖος οὗτος ἐγένετο προφήτης ἁπάντων τῶν γραφῇ τὰς ἑαυτῶν παραδεδοκότων προφητείας, καλῶς ἔχειν ἡγήσατο λοιπὸν δεῖξαι μὲν τοῦ νόμου τὴν

Jam vero beati Angeli de populo prophetia, quam circa eos, qui tunc temporis et Maccabaeorum aevo ad illum pertinebant, protulit, ita se habet. Quoniam autem hic propheta omnium, qui vaticinia sua litteris mandaverunt, postremus exstat prophetarum, commodum existimavit, etiam legis abrogationem et quae post eam

[1]) Leg. ἀξιούμενοι. — [2]) F. l. ἑαυτοῦ.

κατάλυσιν, δεῖξαι δὲ τὰ μετὰ τοῦτο ἐσόμενα. διὸ φησί.

δ΄. Μνήσθητε νόμου Μωσῆ τοῦ δούλου μου, καθότι ἐνετειλάμην αὐτῷ ἐν Χωρὴβ πρὸς πάντα τὸν Ἰσραὴλ προστάγματα καὶ δικαιώματα. ε΄. Καὶ ἰδοὺ ἐγὼ ἀποστελῶ ὑμῖν Ἠλίαν τὸν Θεσβίτην πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ, ς΄. ὃς ἀποκαταστήσει καρδίας πατρὸς πρὸς υἱὸν καὶ καρδίαν ἀνθρώπου πρὸς τὸν πλησίον αὐτοῦ, μὴ ἐλθὼν πατάξω τὴν γῆν ἄρδην. Ἀλλὰ γὰρ ἐφ᾽ ἅπασι τοῖς εἰρημένοις ἐσχάτην ταύτην ὑμῖν παραδίδωμι τὴν ἐντολὴν, ἵν᾽ ἔχητε τὸν νόμον ἐν μνήμῃ τὸν ἐμὸν, ὃν διὰ τοῦ Μωσέως πρὸς ἅπαντα δέδωκα τὸν Ἰσραὴλ, ἅτινα πράττειν αὐτοὺς ἐφ᾽ ἑκάστῳ χρῆ, σαφῶς εἰρηκὼς ὥσπεροῦν [1]) πρῶτον τοῦ πείθεσθαι παρέξετε γνώρισμα τὸ τὸν δεσπότην παραγεγονότα δέξασθαι Χριστὸν ὑπὲρ τῆς ἁπάντων ἀνθρώπων φανούμενον σωτηρίας ὃς παύσει μὲν τὸν νόμον, ἐκφανεῖ δὲ τὴν τελειότητα τὴν οἰκείαν. ὁπεροῦν [2]) καλῶς μὲν εἶχεν ὑμᾶς εὐθὺ καὶ κατὰ πρώτας φανέντι πιστεῦσαι καὶ γνῶ-

futura sint indicare. Igitur dicit:

V. 4. *Memores estote legis Mose, servo meo, latae, quam ei mandavi in Horebo monte, omnibus Israelitis praecipiendam et constituendam.* V. 5. *En, ego Eliam, Thesbitam, vobis mittam, antequam dies Domini magnus et insignis veniat.* V. 6. *Is operam dabit, ut corda patrum filiis et alterum alteri reconciliet, ne, quando veniam terram penitus evertam.* Omnibus hucusque dictis hoc ultimum adjicio mandatum, ut memoria teneatis legem meam, quam per Mosen universo Israeli dedi, quid cuique faciendum sit aperte docens. Et primum obsequii vestri id praestabitis documentum, quod Christum Dominum accipiatis ob omnium hominum salutem appariturum. Is legem quidem abrogabit sed suam perfectam integritatem manifestabit. Cui ut primum apparuerit, statim credere vos decet, eumque agnoscere tan-

[1]) Leg. ὥπεροῦν. — [2]) Leg. ὥπεροῦν.

ναι τοῦτον ὄντα ἐκεῖνον, ὃν Μωσῆς τε καὶ πάντες ἐμήνυον οἱ προφῆται τέλος μὲν ἐπιθήσοντα τῷ νόμῳ, τὴν κοινὴν δὲ ἁπάντων ἀνθρώπων ἐκκαλύψοντα σωτηρίαν, ὥστε κἀκεῖνο δῆλον ἅπασι γενέσθαι, ὅτι δὴ τοῦτο πάσης τῆς κατὰ τὸν νόμον οἰκονομίας ἐστὶ τό τε κεφάλαιον καὶ τὸ μέγιστον ἀγαθὸν, τὸ πάντας ἀνθρώπους τῷ δεσπότῃ προσαγαγεῖν Χριστῷ ἐπὶ τοῖς τοσούτοις ἀγαθοῖς κατὰ τὸν καιρὸν φαινομένῳ τὸν οἰκεῖον. Ἐπειδὴ δὲ καὶ ἐπὶ τῆς ἐκείνου δείξεως τὴν ἀγνωμοσύνην ἐπιδείξετε τὴν οἰκείαν. Ἠλίας ἀποσταλήσεται πρὸς ὑμᾶς ὁ μακάριος πρὸ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας, ἣν ἀπ᾽ οὐρανοῦ ποιήσεται, ὥστε τοὺς διὰ τὴν εὐσέβειαν πρὸς ἀλλήλους διῃρημένους συνάψει καὶ δὴ καὶ πατέρας διὰ τῆς κατὰ τὴν εὐσέβειαν ἐπιγνώσεως εἰς τὴν τῶν τέκνων ἀπαγεῖν ὁμονοίαν, διῃρημένους πρότερον ἐκ τῆς κατὰ τὴν εὐσεβείαν αἰτίας, πάντας τε ἀνθρώπους συντόμως εἰπεῖν εἰς μίαν καὶ τὴν αὐτὴν καταστῆναι συνάφειαν, τῶν ἐν ἀσεβείᾳ τότε καταλαμβανομένων δεχομένων μὲν παρ᾽ αὐτοῦ τὴν τῆς ἀληθείας ἐπίγνωσιν ἐχομένων δὲ καὶ τὴν ἐντεῦθεν πρὸς τοὺς εὐσεβεῖς κοινωνίαν. ταῦτα δὲ ποιήσεται τῆς ἁπάν-

quam illum, quem Moses omnesque prophetae praefigurabant legi quidem finem facturum, sed omnium hominum salutem revelaturum ita ut hinc omnibus quoque innotescat, id totius legalis oeconomiae summum atque maximum bonum fuisse, ut omnes homines ad Christum Dominum adducerentur ob tanta bona suo tempore appariturum. Sed quoniam etiam in illius adventu incredulos vos exhibituri estis, beatus Elias ante secundum Christi adventum, quem de coelo habebit, ad vos mittetur, ut eos qui religione inter se discrepant sibi invicem reconciliet, et patres religionis cognitione ad consensum cum filiis perducat, qui prius religionis causa dissidebant, omnesque homines brevi ut dicam, in unam eandemque colligat societatem, revocatis iis, qui antea impietate occupati erant, ad veritatis cognitionem, eoque in piorum communionem reductis. Et haec facturus est qui omnium hominum saluti

Typis Fratrum Unger.